DEMOSTHENIS
ORATIONES

EDIDIT

CAROLVS FVHR

EDITIO MAIOR

VOLVMEN I PARS I—III

ORATIONES I—XIX CONTINENS

EDITIO STEREOTYPA
EDITIONIS PRIMAE (MCMXIV)



STVTGARDIAE ET LIPSIAE
IN AEDIBVS B.G.TEVBNERI MCMXCIV

Die Deutsche Bibliothek — CIP-Einheitsaufnahme

Demosthenes:
[Orationes]
Demosthenis Orationes / ed. Carolus Fuhr. —
Ed. maior, Ed. stereotypa ed. 1. (1914), [Leinenausg.]. —
Stutgardiae ; Lipsiae : Teubner.
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
NE: Fuhr, Carolus [Hrsg.]; Demosthenes: [Sammlung]

Ed. maior, Ed. stereotypa ed. 1. (1914), [Leinenausg.]
Vol. 1. Ps. 1/3 (1994)
ISBN 3-8154-1254-4

Printed in Germany
Druck und Bindung: Druckhaus Köthen GmbH

PRAEFATIO

Demosthenem orationes publicas hic illic mutatas singulas vulgavisse consentaneum est, eas orationes quae Philippicae dicuntur postea collectas edidisse quamquam ex Plutarchi q. d. verbis (p. 845^{d}) *Φίλιππον δὲ πρὸς τοὺς ἀναφέροντας αὐτῷ τὰς κατ' αὐτοῦ δημηγορίας εἰπεῖν* non sequitur, coniectura probabilis videtur. Incerta autem sunt quae et de editione ab Anaximene facta W. Nitsche (Demosthenes und Anaximenes p. 136) et de universa editione Atheniensi post Christium (Die Attikusausgabe des Demosthenes p. 52) suspicatus est Er. Bethe (Demosthenis scriptorum corpus ubi et qua aetate collectum editumque sit, ind. lect. aest. Rostochiensis a. 1897), contra quem disputaverunt Th. Thalheim (Berl. phil. Wochenschrift 1897 p. 889) et E. Drerup (Philol. suppl. vol. VII p. 547 sq.). Eum orationum Demosthenicarum ordinem quem nunc habemus a Callimacho institutum esse egregie docuit H. Sauppe (Epistula ad G. Hermannum p. 49 = Ausgewählte Schriften p. 110) eiusque coniectura postea numeris stichometricis confirmata est. Digestae autem erant orationes secundum genera, ut anteirent deliberativae, sequerentur iudiciales, finem facerent laudationes prooemia epistulae. Cuius ordinis luculentum est testimonium codicis Marciani 416 (F) index, non ille tamen ab eodem quo codex librario scriptus:

Φιλιππικοί

$\overline{αβγ}$	*Ὀλυνθιακός α β γ*
$\overline{δ}$	*Κατὰ Φιλίππου α*
$\overline{ε}$	*Περὶ τῆς εἰρήνης*
$\overline{ς}$	*Κατὰ Φιλίππου β*

Συμβουλευτικοί

Δημόσιοι

---

1) Harpocrationis codicem eundem quem codices FAY orationum Philippicarum ordinem habuisse testes sunt loci s. *Βούχετα· Δημοσθένης ἐν Φιλιππικῶν ζ* (= *π. Ἁλονν.* 32) et s. *διοικεῖν Δημοσθένης ἐν ε′ Φιλιππικῶν* (= *π. εἰρ.* 10), nec Photius quamquam cod. 265 p. 491 a 2 *τὸν περὶ Ἁλοννήσου λόγον, ὃς καὶ κατὰ Φιλίππου ἐπιγράφεται δεύτερος* scribit alium ordinem habuisse videtur, quoniam coniectura *δ′* (i. e. *τέταρτος*) in propatulo est. Alius fuit ordo eius exemplaris ex quo codex Parisinus (S) descriptus est; ibi enim tres Olynthiacas orationes et Philippicam primam excipiebant orationes *περὶ τῶν ἐν Χερρονήσῳ* et *περὶ Ἁλοννήσου*, ex quibus primum orationum volumen (*τόμον*) constitisse docemur orationis *περὶ Ἁλοννήσου* subscriptione (v. p. 101 et p. XI). Si commentarii Didymei volumina sequebantur volumina editionis, id quod suspiceris, illa volumina minora erant; nam eius *τόμος γ′* continebat Philippicas tertiam, quartam, ad Philippi epistulam, de ordinanda republica, versus MDCCXL.

2) Haec oratio a Didymo in Philippicis numeratur (cf. Didymos Kommentar zu Demosthenes col. 15 fin.), id quod Libanii argumentum *ὁ λόγος οὗτος οὐκέτι Φιλιππικός ἐστιν, ἀλλ' ἁπλῶς συμβουλευτικός* respexisse videtur.

κβ Κατὰ Μειδίου περὶ τοῦ κονδύλου
κγ Κατὰ Ἀριστοκράτους
κδ Κατὰ Τιμοκράτους
κε Κατὰ Ἀριστογείτονος α
κϛ Κατὰ Ἀριστογείτονος β

⟨Δημόσιοι ἐπιτροπικοί⟩[1])

κζ Κατὰ Ἀφόβου α
κη Κατὰ Ἀφόβου β
κθ Πρὸς Ἄφοβον ψευδομαρτυριῶν
λ Κατὰ Ὀνήτορος ἐξούλης α
λα Κατὰ Ὀνήτορος ἐξούλης β

Παραγραφαί

λβ Παραγραφὴ πρὸς Ζηνόθεμιν
λγ Παραγραφὴ πρὸς Ἀπατούριον
λδ Πρὸς Φορμίωνα ὑπὲρ δανείου
λε Πρὸς τὴν Λακρίτου παραγραφήν
λϛ Παραγραφὴ ὑπὲρ Φορμίωνος
λζ Παραγραφὴ πρὸς Πανταίνετον
λη Παραγραφὴ πρὸς Ναυσίμαχον καὶ Ξενοπείθη

Ἰδιωτικοί

λθ Πρὸς Βοιωτὸν περὶ τοῦ ὀνόματος
μ Πρὸς Βοιωτὸν ὑπὲρ προικός
μα Πρὸς Σπουδίαν περὶ προικός
μβ Πρὸς Φαίνιππον περὶ ἀντιδόσεως
μγ Πρὸς Μακάρτατον περὶ τοῦ Ἁγνίου κλήρου
μδ Πρὸς Λεωχάρην περὶ κλήρου
με Κατὰ Στεφάνου ψευδομαρτυριῶν α
μϛ Κατὰ Στεφάνου ψευδομαρτυριῶν β
μζ Κατὰ Εὐέργου καὶ Μνησιβούλου ψευδομαρτυριῶν
μη Κατὰ Ὀλυμπιοδώρου βλάβης
μθ Πρὸς Τιμόθεον ὑπὲρ χρέως

---

1) Is est titulus orationum in codice F.

Diversae fuerunt antiquitus orationum Demosthenicarum recensiones. Atque primo quidem *Ἀττικιανά* (*ἀπόγραφα*) ab Harpocratione memorantur, de quibus post G. Dindorfium (in praefatione editionis Oxoniensis) et H. Usenerum (Nachrichten der Kgl. Gesellschaft der Wissenschaften zu Göttingen 1892 p. 195 = Kl. Schriften III 143) egit I. H. Lipsius (Berichte über die Verhandlungen der Kgl. Sächsischen Gesellschaft der Wissenschaften zu Leipzig 1893 p. 12 sqq.), contra quem quae G. Helmke (De Demosthenis codicibus quaestiones selectae, Berolini 1896) disputavit nihili sunt. Nomen *Ἀττικιανά* illa quin duxerint ab Attico quodam non est dubium eoque Attico (ut Hemsterhusius in Anecdotis I p. 244 coniecit), cuius in codicibus scribendis diligentiam laudat Lucianus (adv. indoctum c. 2 *ἵνα δέ σοι δῶ αὐτὰ ἐκεῖνα κεκρικέναι ὅσα ὁ Καλ-*

λῖνος ἐς κάλλος ἢ ὁ ἀοίδιμος Ἀττικὸς σὺν ἐπιμελείᾳ τῇ πάσῃ γράψαιεν et c. 24 *οἴει συνήγορον κοινὸν καὶ μάρτυρα ἔσεσθαί σοι τὸν Ἀττικὸν καὶ Καλλῖνον τοὺς βιβλιογράφους*), sed num hic fuerit Ciceronis ille amicus T. Pomponius Atticus, ut Usener coniecit (p. 197 = 145), incertum est. Sed utut illa res se habet, *Ἀττικιανά* illa cum Aeschinea (cf. Harpocr. s. v. *Ἀργᾶς* et *Θύστιον*) et Platonica (cf. Galen. ad Platonis Timaeum 77[c]) tum Demosthenica multis viris doctis nimiae fuisse admirationi Lipsius luculenter demonstravit; nam uno loco (XXIV 11) omnes nostri codices eandem quam *Ἀττικιανά* illa (Harpocr. s. *ναυκραρικά*) habent lectionem, altero (XXII 20 *ἀνελοῦσα γὰρ ἡ βουλὴ τὸν νόμον τοῦτον ἐχειροτόνησεν αὐτήν*) duplicem lectionem *ἐν τοῖς Ἀττικιανοῖς* fuisse testatur Harpocr. s. v. *ἀνελοῦσα*, ubi alteram (*αὐτὴν* vel *αὑτὴν*) codices Parisinus et Augustanus, alteram (*αὐτῆι* [F[1]] vel *αὑτῆι*) ceteri codices habent; vera est *αὑτῇ*, quod Iurinus coniecit et Harpocrationis cod. Angelicanus (A) habet (cf. Lipsius p. 21 sqq.). Tertio loco qui est s. *ἐκπολεμῶσαι* Harpocratio[1]) dicit *Ἀττικιανῶν* in Philippicis scripturam *ἐκπολεμῆσαι* fuisse, quae scriptura in Parisino in orat. Olynth. I 7 et III 7 a pr. manu exarata fuit. Quae cum ita sint, qui ex Attici exemplaribus Parisinum deducunt, in una litterula rem posuerunt.

Accedit subscriptio illa orationis undecimae quam servavit cod. F *διωρ*[*θ*] *αγ* (compendio scriptum) *δυο αττικ*[*ω*], cuius ultimum verbum viri artis palaeographicae periti cum alii (v. Revue de phil. III 13) tum Usener (p. 196 = 145) *ἀττικιανῶν* legendum esse affirmant[2]); sed quod idem compendium *εγ*

---

1) Qui de Harpocrationis codice Demosthenico scripserunt, neglexerunt ni fallor quod dicit s. v. *ὅτι ἑξακισχίλια*: *Δημοσθένης ἐν τῷ περὶ συμμοριῶν φησὶν οὕτως· ἡμῖν δὲ τὸ τῆς χώρας τίμημα ὑπάρχειν ἀφορμὴν ὀκτακισχίλια τάλαντα ἀκούσεται. ἤτοι οὖν γραφικὸν ἁμάρτημά ἐστιν ἢ κτλ.* idem *γραφικὸν ἁμάρτημα* habet cod. F (v. XIV 30).

2) Moneo tamen apud Harpocrationem saepius (ut p. 20, 2. 69, 7 Bekk.) *ἐν Ἀττικοῖς* traditum esse, quod correxit Hemsterhusius, nec aliter scriptum esse in cod. Paris. 2935 (Y) fol. 8 *τ̅ ὀλυνθιακ*[*ω*].

esse dicit („die bekannte Ligatur für ε in der Präposition ἐγ ist nach landläufigem Mißverständnis für α angesehen worden“), errat; est enim eadem ligatura saepius et in cod. F velut f. 103r[1] ἀγῶνι, 110v[1] ἐπαγωγαῖς et in aliis. — Examinavit autem Lipsius p. 16 correctiones quae sunt in or. XI (accesserunt § 1 ἄλλον F[1] ἄλον F corr. § 13 τοιαῦτα om. F[1] add. ead. § 14 κατορθώσειν ut vid. F[1] κατορθῶσιν F corr. § 22 ὡς F ὥσθ' γρ. F) atque inde nihil de Atticianorum codicum et Parisini origine colligi posse demonstravit; nempe quoniam subscriptio illa a librario ex archetypo descripta est, ignoramus, quae correctiones iam antea in textum ipsum transierint. Aliter res se habet in codice Parisino, in quo in omnibus fere paginis diorthotae ipsius correctiones deprehendimus. Sunt vero etiam certa codicis Parisini et marginalium cod. Marciani lectionum cognationis vestigia, ut III 31 ἀνδρειότατον S γρ. F, VI 20 εἴ τίς τι S γρ. F, VIII 61 ἑκάστου et στέρεσθαι S γρ. F (sed etiam ὑμᾶς ἔχειν γρ. S rec. γρ. F, τούτων S corr. γρ. F), IX 9 τῶν κακῶν S γρ. F, IX 13 αὐτὸν οἳ ἐποίησαν μὲν οὐδὲν ἂν S γρ. F, quibus tamen Atticianorum exemplarium et cod. S necessitudo non probatur.

Proximus post Harpocrationem diversas testatur editiones scholiasta ad orationem Midianam, quem Nitschius Menandrum rhetorem esse demonstravit. Ille enim ad § 147 p. 562, 16 scribit: ἱερὰ μόνον ἡ ἀρχαία [scil. ἔκδοσις, cf. Usener p. 188 = 136] ἔχει ἐμφαντικὴ οὖσα [ἐμφαντικῶς codd. ἐμφαντικὸν ὂν Usener] πολλῶν, οἷον στεφάνων, ἐσθῆτος, αὐτῆς τῆς ἐν ἱερῷ πανηγύρεως — καὶ ⟨γὰρ⟩ (inseruit Meier) ταύτην ὕβρισε —· ἐπεί τό γε τὴν ἐσθῆτα προσθεῖναι πολλὴν ἔχει τὴν ἐλάττωσιν: ἱερὰ habet cod. Parisinus a pr. m., S[d] ν litteram et vocabulum ἐσθῆτα adscripsit. Idem scholiasta ad § 133 p. 558, 16 ad verba ἐπ' ἀστράβης δὲ ὀχούμενος dixerat: προσέθηκεν [ἐξ] ἀργυρᾶς· τὸ γὰρ ἠργυρῶσθαι τὴν καθέδραν δεῖγμα ἦν τοῦ ἐπιτηδεύοντος καὶ ἐντρυφῶντος τούτῳ τῷ εἴδει. τὸ δὲ καὶ ἐξ Εὐβοίας ὅτι μὴ εἰωθότων τῶν Ἀθήνησιν τοιαύτας ἐργάζεσθαι αὐτὸς ἐξ Εὐβοίας ὠνήσατο. ἡ δὲ δημώδης ἐξ Ἀργυρᾶς ἔχει, ἀπὸ τόπου τῆς Εὐβοίας. ἀλλὰ τὰ ἑξῆς δηλοῖ, ὅτι μαλα-

κίαν αὐτῷ καὶ τρυφὴν ὀνειδίζει, χλανίδας λέγων καὶ ἱμάτια τρυφερὰ καὶ σκεύη ἐπιτήδεια πρὸς ἀνειμένον βίον: quoniam Paris. S et *γρ.* Laurent. P *ἀργυρᾶς τῆς ἐξ εὐβοίας*[1]) habent (*ἀργούρας τῆς ἐξ εὐβοίας* YUP[1]), Marcianus F et Augustanus A *ἐξ ἀργούρας τῆς εὐβοίας*, S (*γρ.* P) veterem editionem (quam etiam habuit Helladius apud Photium bibl. p. 533 a 30), FA volgarem repraesentare iam Voemel (Demosthenis contiones p. 286 sq.) viderat.

Sed testes illi quos nominavi nullas nos docent scripturas nisi quae in nostris codicibus sunt; fuerunt tamen codices qui plura habebant. Hermogenes enim (p. 308 W. 325 R.) haec dicit: *ἐκεῖνα μέντοι διὰ τὸ ἄγαν εὐτελὲς καὶ ὠβέλισάν τινες καὶ ὑπεξείλοντο, ἴσως ὀρθῶς ποιοῦντες, λέγω τὸ ⟪κυάμους ἐφθοὺς βοῶσα καὶ κατὰ πᾶν τὸ θέρος ἐπλανᾶτο⟫*[2]) *καὶ τὰ ἑξῆς· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἐν μὲν ἰδιωτικοῖς λόγοις ἴσως ἂν ἁρμόσειεν, ἐν δημοσίῳ δὲ καὶ τηλικοῦτον ἔχοντι ἀξίωμα λόγῳ ἢ προσώπῳ ἢ πράγματι πῶς ἂν ἁρμόττοι; τοιοῦτόν ἐστι καὶ τὸ ἐν τῷ κατὰ Νεαίρας ὠβελισμένον ὑπό τινων τὸ ⟪ἀπὸ τριῶν τρυπημάτων τὴν ἐργασίαν πεποιῆσθαι⟫*[3]) *λέγειν· λίαν γὰρ εὐτελές ἐστι, καὶ εἰ σφοδρὸν εἶναι δοκεῖ.* Horum verborum, quae nescio an rhetorica *αὐξήματα* sint qualia multa sunt in orationibus VIII et IX, in nostris codicibus nec vola nec vestigium est.

Venio ad codices, de quibus indagandis post I. Bekkerum optime meritus est E. Drerup (v. Antike Demosthenesausgaben, Philol. suppl. vol. VII 531—588 et Vorläufiger Bericht über eine Studienreise zur Erforschung der Demosthenesüberlieferung, Sitzungsber. d. philos.-philol. Klasse der Kgl.

1) Verba *τῆς ἐξ Εὐβοίας* interpolata esse Diels (Didymos Kommentar p. XLVIII) mihi non persuasit; ubi enim est, quod dicit vir doctissimus: „allmählich entstand ... der jetzige Text, der einen Prachtwagen von Euböa kommen läßt, um ihn im Kriege sofort wiederum nach Euböa zu transportieren"?

2) v. ad. orat. XVIII 129.

3) Hoc dictum etiam Tzetzes affert (chil. VI 35) ex Dionysio Halicarnaseo, cf. fr. XI in editione Radermacheri p. 294, ex Hermogene ut videtur Gregorius Cor. VII 1160 W.

Bayer. Akad. d. Wiss. 1902, III). Omnium antiquissimus et praestantissimus est cod. Parisiensis bibliothecae nationa-
S lis 2934 (S vel Σ), qui cum a. 1892 phototypice expressus sit (Demosthenis orationum cod. Σ, Œuvres complètes de Démosthène. Fac-simile publié par H. Omont, Paris, E. Leroux) ab omnibus quibus Demosthenis orationes curae sunt ipsis tractari potest. Codex est membranaceus, scriptus saec. X ineunte, non eadem manu, magnae formae, foliis 533, paginis bipartitis, versibus binis et tricenis. In folio ultimo, quod est chartaceum, manus saec. XVI inscripsit

Βιβλίον μονῆς τῶν Σωσάνδρων
ἔχων φύλλα πεντακόσια δέκα[1])
τετραδία ἑξηκοντατέσσαρα

addidit alia manus: *ἔχει λόγους ἑξήκοντα ἕξ*. Ubi Sosandrorum monasterium fuerit, incertum est, nam quod Dindorfius illud in monte Atho fuisse dicit, in monasteriis montis sancti Sosandrorum nullum est, cf. Voemel, Demosthenis contiones p. 220, qui ipse monasterium Ancyrae in Galatia fuisse suspicatus est. Codex a Iano Lascare altero ut videtur itinere Graeco a. 1491 inventus et in Italiam transportatus est[2]), post Lascaris autem mortem emptus est a Nicolao Rodulpho cardinali; qui cum vita decessisset, ab heredibus venumdatus in possessionem Petri Strozzi et paucis annis post in bibliothecam reginae Catharinae de Medicis venit, quae post reginae mortem in bibliothecam regiam translata est.[3]) Insunt in codice

---

1) Sunt autem ut dixi folia 533.

2) Primum commemoratur codex in Lascaris librorum catalogo (*Πίναξ τῶν βυβλίων τοῦ Λασκάρεως, ἅπερ ἔχει παρ' ἑαυτοῦ*), edito a K. K. Müller (Centralblatt f. Bibliothekswesen 1884) ubi legitur (p. 407) *Δημοσθένης, περγαμηνόν*.

3) Bis memoratur in catalogis, cum in Lista de' libri che furon del Sr Lascheri (3 [*Δημοσθένης παλαιός*]), tum in indice librorum rev. Domini Nicolai cardinalis Rodulphi: 35 *Δημοσθένους λόγοι ξβ'*. Cardinalis nomen in prima codicis pagina legitur. Qui plura scire cupiet, adeat Omontium (p. 4 sqq.), qui scite omnia paucis comprehendit.

orationes sexaginta, prooemia, epistulae quinque, desunt epistula Philippi (XII), orationis XVII (quae est ultima codicis) pars extrema, epistula VI. Orationum ordo hic est: I—IV, VIII, VII, V, VI, IX—XI, XXII, XXIV, XXIII, XX, XXI, XVIII, XIX, XXV, XXVI, LIX, XXXVI, XLV, XLVI, XXXVII, XXXVIII, XXXII—XXXV, prooemia, epistulae (I, IV, II, V, III), or. XXVII—XXXI, LIV, LVI, XLVIII, XLVII, LV, L, LI, LIII, XLIX, LII, XXXIX—XLIV, LVII, LVIII, LXI, LX, XIII, XIV, XVI, XV, XVII. Argumenta orationibus IV, XXXVII—LI, LIII—LVIII[1]) ab librariis recentioris aetatis adscripta sunt. Correctus est codex a diversis manibus, de quibus cf. Drerup, Vorläufiger Bericht p. 290 sq. Codicem ipsum quia non vidi, correctores quippe quorum manus saepe atramento tantum dignoscantur distinguere ut Drerup non potui et praeter correcturas calligraphi ipsius manum prioris diorthotae (vide notam ad orat. XIV finem p. 226), quae mihi saec. undecimi, non calligraphi ipsius (ut putat Drerup, Vorläuf. Bericht p. 291) videtur esse, discernere satis habui. Liber autem secundum quem diorthota ille codicem correxit plurimis locis consentiebat cum ceteris codicibus (cf. exempli causa XVIII 98 ὑμεῖς S: ὑμῶν γρ. S^{d}VY [ὑμῖν A], 99 τούτων S: τούτωι γρ. S^{d}VAY, 102 τὰ ὄντα om. S^{1} add. S^{d}), aliis cum illo codice, ex quo marginales Venetorum lectiones profectae sunt (ut XVIII 35 ἀπολογήσασθαι γρ. S^{d} γρ. V, 102 ναυτικὰς γρ. S^{d} γρ. V, 103 παρανόμων τὸν γρ. S^{d} γρ. V). Excussit codicem iam ab Augero inspectum primus I. Bekker, secuti sunt Duebner, Voemel, alii; contuli exemplum phototypum et codicem ipsum plus centum locis de quorum lectione dubitabam amicissime inspexit H. Rabe, cuius officiosae operae hic quoque ago meritas gratias.

Proxime ad codicem Parisinum accedere putaverunt multi viri docti codicem Laurentianum conv. soppr. 136, olim abbatiae Florentinae 49. 2707 (L), maximam partem saec. XIII scriptum, in quo hae leguntur orationes: I II III (in charta **L**

1) Etiam orat. XXXIX et LIV, quod Voemel praetermisit.

volgari manu saec. XIV scriptae), VIII, VII, VI, IX, X, XI, XXII, XXIV (p. 13—94 in charta bombycina scriptae, desunt tamen finis or. IX a § 70 ἴσως et initium or. X usque ad § 2 οὐκ ἔνι), XX, XVIII, XIX (alia quidem manu, sed eadem ut videtur aetate qua priores scriptae), XXIII, XX [initium usque ad § 3 συμμάχους ἤδη τινὰς] (alia manu eiusdem aetatis[1])), XII (manu recentiore). Codicem qui protraxit F. Schultz (De codicibus quibusdam Demosthenicis ad orationem Philippicam tertiam nondum adhibitis, Berolini, progr. gymn. Fridericiani a. 1860, p. 16 sqq.) quamquam et aliis et Voemelio (Demosthenis orationes contra Aeschinem, p. IX) persuasit „non esse descriptum proxime ex ipso antiquiore S librum Laurentianum, non per alios medios illius nepotem esse, sed ex iisdem maioribus ambos oriundos esse", tamen qui codicum discrepantias[2]) accurate examinaverit, Drerupio Laurentianum ex Parisino ortum esse censenti non poterit non assentiri. Ut duo afferam exempla, XIX 174 post καρδιανοὺς in Laur. fol. 204ᵛ, 205ʳ repetuntur § 150 ἐφ' ἑλλησπόντου usque ad § 155 τρεῖς καὶ — nempe cum καρδιανους verbo explicit p. 216ʳ cod. Parisini; librarius cum in fine paginae laborem intermisisset, postea falso loco pergere coepit (incipit autem p. 213ᵛ columna altera in Parisino [ἐφ' ἑλλησπον|του). Quod autem XVIII 203 L^1 τότε τοῖς habet, id inde explicatur, quod in S fol. 182ᵛ τότε a correctore ita super τοῖς adscriptum est, ut primo obtutu ante τοῖς esse inserendum videatur; deinde signo adpicto locum ei post τοῖς attribui cognoscis. Illa tamen inter or. IX et X lacuna cum hoc modo explicari non possit, codicem per medium aliquem librum ex Parisino descriptum esse putaverim.

Praeter codicem S duae codicum classes distinguendae sunt. F Atque prioris princeps est cod. Venetus Marcianus 416 (F) membranaceus saec. X vel XI ineuntis, forma magna foliis

1) Num eadem qua prima codicis pars scripta sit dicere non possum; codicis autem Parisini ordine comparato hanc Laurentiani partem post primam ligandam fuisse apparet.

2) IX 55 τούτοις ἢ τοῖς etiam S habet.

323, a tertia decima bipartitis. Folia 1—12 Libanii vitam et argumenta (Λιβανίου ὑποθέσεις τῶν λόγων Δημοσθένους) et orationum indicem (v. p. III sqq.) exhibent, quae folia postea demum praemissa esse iam Buermann (Hermes XXI p. 39) perspexit ex diversa scriptura (aliter iudicat Drerup, Antike Demosthenesausgaben p. 559), et cum ab antiqua et nitida manu fol. 93 ια, 101 ιβ, 109 ιγ, 117 ιδ, 125 ιε, 133 ις, 141 ιζ, 149 ιη, 157 ιθ, 165 κ, 173 κα, 181 κβ, 188 κγ, 196 κδ, 204 κε, 212 κς, 220 κζ, 228 κη, [ς ζ η in ras.], 236 κθ, 244 λ, 251 λα [fol. 249 bis numeratum est], 259 λβ, 267 λγ, 275 λδ, 283 λε, 291 λς, 299 λζ, 307 λη, 315 λθ adscriptum sit folium 12 re vera olim primum fuisse apparet.[1]) Continet codex orationes sexaginta et unam, prooemia, epistulas; ordo orationum, quia cod. F apographum editionis principis Aldinae fundamentum fuit, idem est qui in editionibus, nisi quod orationum XV et XVI inversus est ordo et Androtionea orationem pro corona habitam antecedit. Diversissimus est ordo argumentorum, quorum series haec est: I—XI, XIII—XXI, XXIII, XXII, XXIV, XXV et XXVI (τῶν κατὰ Ἀριστογείτονος), LIX, LVIII, LVII, XXVII—XXXI, LIV, XXXIX, XL, XXXVI, XLV, XLVI, XXXII, XXXVII, XXXVIII, XXXV, XXXIV, XXXIII, LV, LII, LI, L, XLIX, LIII, XLII, XLI, XLVIII, LVI, XLVII, XLIII, XLIV. — Codex multis locis tam leniter correctus est, ut vix lituram videas, saepissime ν paragogicum ante literam consonantem erasum et littera consonans qua syllaba dirempta erat, in fine versus deleta et initio proximi scripta est (ita πρᾶγ|μα mutatum est in πρᾶ|γμα[2])). Plura videas apud Drerupium, Antike Demosthenesausg. p. 559 sqq. Post I. Bekkerum contuli, in or. XVIII tamen ab I. H. Lipsio diligenter excussa codicem permultis locis inspicere satis habui.

---

1) Contra fol. 24 δ, 29 et 33 ε, 37 ς, 45 et 49 ζ, 53 et 57 η, 61 et 65 θ, 69 et 73 ι, 77 et 81 ια, 85 et 89 ιβ a manu recenti numerata sunt.

2) Idem in omnibus factum est codicibus, ut XVIII 33 αι|ωνα S^1 αγω|να S corr. habet; § 129 προσηκοντα|σεμαντωι S^1; XIX 188 παρ|ολην Y^1 παρο|λην Y^2.

B Marciani apographum esse codicem Monacensem 85 (B) primus a. 1839 perspexit L. Spengel, Über die dritte Philippische Rede des Demosthenes, Abhandlungen der I. Cl. d. Ak. d. Wiss. III Th. Abt. I, p. 158 n., et post Buermannum (Herm. XXI p. 34 sqq.) et Lipsium (in praefatione de corona editionis p. III sq. et Zur Textgeschichte des Demosthenes p. 15 n.) demonstrare supervacaneum est; nam quae Burger (Abhandlungen aus dem Gebiet der kl. Altertumswissenschaft, W. v. Christ dargebracht, p. 252 sqq.) contra eos disputavit, ea iam a Drerupio p. 565 refutata sunt et corruunt post accuratiorem F codicis collationem. Descriptus est cod. B ex F, cum iam fol. 1—12 cum orationibus colligata erant, nam etiam haec in utroque codice consentiunt (velut est in B[1] § 8 ἐν λέκτροις).

Cod. F habet duos posterioris aetatis fratres, de quibus Q cf. Drerup p. 565 et 569. Alter est cod. Marcianus 418 (Q vel Φ), membranaceus forma quadrata, saec. XI ut videtur (Drerup autem s. X eum esse putat), scriptus a duobus librariis, quorum alter or. XVIII et XIX et ultimam codicis partem, quae continet epitaphium, amatorium, prooemia, epistulas, alter orationes XXXII usque ad LIX, παραγραφάς igitur et ἰδιωτικούς, scripsit. Libanii argumenta in codice, quem post I. Bekkerum contuli, non insunt.

D Alter est codex Ambrosianus D 112 super. (D) saec. XI membranaceus forma quadrata; continet nunc orationes ab XXIX, eroticum, prooemia. Codex initio mutilus manu saec. XV suppletus est, quae scripsit fol. 1—4 (XXIX § 1 usque ad § 27 μεμαρτυρημένων πάντα), fol. 11 (or. XXX 10 μᾶλλον . . 19 ὀνήτορα) et fol. 212—215 (eroticum usque ad § 35 πράγματος). Perisse Drerupius demonstravit orat. XXVII XXVIII, epitaphium et fortasse epistulas. Duorum igitur voluminum editio fuisse videtur, cuius Ambrosianus alterum erat volumen. Libanii argumenta praecedunt orationes. Quod autem Drerupius orationis XXXVIII subscriptionem

παραγραφικοὶ ⁙ τὲ

quam recte *τέλος* interpretatus est se non intellegere dixit (p. 573), est haec oratio ultima *λόγων παραγραφικῶν*, cf. index cod. F. Stichometrica vestigia cod. D nulla habet.

Marciani et Ambrosianus ea re, si recte video, maxime inter se differunt, quod Ambrosianus vel lectiones quas illi in *γρ.* habent, in textum recepit (ut XXIX 32 *ἑαυτοῦ* F *ἐμῆς γρ.* FD, 38 *οὕτως ὡς* F *οὓς ὡς γρ.* FD, 39 *τὸν οὐδ' ὅσιον* F *ὃν οὐδ' ὅσιον γρ.* FD, 51 *περὶ μὲν τοίνυν* F *περὶ μὲν τούτων γρ.* FD, XXX 40 *ἀνελεῖν* F *ἀνελεῖν τὴν γῆν γρ.* FD, XXXIV 5 *δανείσασθαι μὲν* FQ, *δανείσασθαι μὲν τὰ χρήματα γρ.* F *γρ.* QD, 30 *ἀπολύσ̈ωσιν̈* F *ἀπολύσωσιν* Q *ἀποδίδωσιν γρ.* V *ἀποδιδῶσιν* D) vel duarum cod. F lectionum alteram praebet (ut XXIX 32 *ὡμολόγησας* [εν] F *ὡμολόγησεν* D, 33 *μεμαρτυρη-* [ται] *κότας* F *μεμαρτύρηται* D). — Comparatis autem inter se horum codicum lectionibus facile est dicere quid suum cuiusque codicis vitium sit et archetypi scripturam eruere. Cavendum vero est ne librarii mendum archetypi lectionem esse putes, ut Blass XVIII 72 *ταῦτα τοίνυν πολιτευόμην ἐγώ, καὶ ὁρῶν καταδουλούμενον πάντας ἀνθρώπους ἐκεῖνον ἠναντιούμην, καὶ προλέγων καὶ διδάσκων μὴ προίεσθαι διετέλουν* ultimum verbum in cod. FY omissum delevit. Codicum FQ consensum V littera significavi.

Eiusdem familiae[1]) est liber **Laurentianus** plut. LIX cod. 9 (P vel *Π*) membranaceus, forma quadrata maiore, saec. XI, teste I. Bekkero manu scriptus eadem qua Aristophanes Ravennas. Continebat olim XVI orationes, perierunt octo et initium nonae. Folia 1—18 suppleta sunt manu saec. XVI, fol. 19 incipit or. XIX 157 *περὶ οὐδενὸς*, secuntur fol. 42 *ῐ ἐπιτάφιος*, 47 *ια περὶ τῆς ἀτελείας πρὸς λεπτίνην* (cum argumento ad marginem adscripto), 68ᵛ *ιβ κατὰ μειδίου περὶ τοῦ κονδύλου* (argumento in margine scripto), 94 *ιγ κατὰ ἀριστοκράτους*, 129

P

---

1) Quamquam multa habet cum cod. Augustano communia ut XIX 322 *ὑπαγωγαῖς*, *τὰς* om., 323 *δύνησθε*, *πράξαντες*, 325 *ἐξηνδραποδισμένας*, 329 *δεδωροδόκηται*, 332 *εὑρεθήσεται* cet.

ιδ κατὰ ἀνδροτίωνος παρανόμων, 140 *ιε κατὰ τιμοκράτους παρανόμων*, 168ᵛ *ις κατὰ ἀριστογείτονος* (praecedunt quattuor extremas orationes argumenta eadem manu scripta). Orationum igitur quae post or. funebrem secuntur idem est ordo qui fuit in libro Libanii, cf. p. XIII. Scholia non sunt adscripta or. Aristocrateae, plurima sunt in orationes c. Androtionem et Timocratem. Dindorfius (praef. v. VIII p. VI) se codice usum esse dicit, quod cum scholium primum ad or. c. Androt. scriptum *ὁ λόγος μικτός ἐστι ἔκ τε τοῦ πραγματικοῦ καὶ τοῦ καταφορικοῦ συνειργασμένος, καὶ τὸ μὲν πραγματικὸν ἐν ταῖς μάχαις ταῖς περὶ τὸν νόμον ἔχει, τὸ δὲ καταφορικὸν ἐκ τῆς κατὰ τοῦ προσώπου κατηγορίας· ἵνα δὲ μὴ δόξῃ μόνος ὡς φιλοπράγμων κατηγορεῖν Διόδωρος δείκνυσιν, ὅτι καὶ ἄλλον ἠδίκηκε. προείρηκε γὰρ Εὐκτήμων καὶ ἐστὶ δευτερολογία τοῦ Διοδώρου ὁ λόγος κτλ.* cum scholiis ab illo editis comparaveris, valde dubitabis. Codicem contuli.

Melior quam cod. Laurentiani fuit fortuna cod. Parisini bibliothecae nationalis 2935 (Y), quamquam in eo quoque prior pars periit, cf. Dindorf VIII p. 5 et Drerup, Vorl. Bericht p. 291 sqq. Codex membranaceus est in folio saec. XI et ex duabus partibus constat, quae a duobus eiusdem fere aetatis librariis scriptae sunt. De parte priore octo tantum supersunt folia, quorum in primo hic est index:

Y

+ τάδε ἔνεστιν ἐν τῇδε τῇ βίβλῳ δημοσθένους
+ φιλιππικοί +

α̅ ὀλυνθιακός α̅
β̅ ὀλυνθιακός β̅
γ̅ ὀλυνθιακός γ̅
δ̅ κατὰ φιλίππου α̅
ε̅ περὶ τῆς εἰρήνης
ς̅ κατὰ φιλίππου β̅
ζ̅ περὶ ἁλοννήσου
η̅ περὶ τῶν ἐν χερροννήσῳ
θ̅ κατὰ φιλίππου γ̅

ῑ κατὰ φιλίππου δ̄
ῑᾱ πρὸς τὴν φιλίππου ἐπιστολήν
ἐπιστολὴ φιλίππου

+ συμβουλευτικοί +

ῑβ̄ περὶ συντάξεως
ῑγ̄ περὶ συμμοριῶν
ῑδ̄ ὑπὲρ τῆς ῥοδίων ἐλευθερίας
ῑε̄ ὑπὲρ μεγαλοπολιτῶν
ῑϛ̄ περὶ τῶν πρὸς ἀλέξανδρον συνθηκῶν

∴ οἱ δημόσιοι ∴ [1])

ῑζ̄ περὶ τοῦ στεφάνου
ῑη̄ περὶ τῆς παραπρεσβείας
ῑθ̄ περὶ τῆς ἀτελείας πρὸς λεπτίνην
κ̄ κατὰ μειδίου περὶ τοῦ κονδύλου
κ̄ᾱ κατὰ ἀριστοκράτους
κ̄β̄ κατὰ ἀνδροτίωνος παρανόμων
κ̄γ̄ κατὰ τιμοκράτους
κ̄δ̄ κατὰ ἀριστογείτονος ᾱ
κ̄ε̄ κατὰ ἀριστογείτονος β̄

∴ ἐκ τῶν ἰδιωτικῶν ∴ [1])

κ̄ϛ̄ κατὰ νεαίρας
κ̄ζ̄ ἐρωτικός
κ̄η̄ ἐπιτάφιος
— προοίμια δημηγορικά.

Secuntur mensium Atheniensium et Romanorum nomina et in altera columna

+ ζωσίμου ἀσκαλωνίτου εἰς δημοσθένην +
βίος δημοσθένους

δευτέρῳ λοιπὸν ἐπιβῆναι κτλ., fol. 2ʳ ἑτέρως ὁ δημοσθένους βίος:

---

1) Titulus postea additus est eadem ut videtur manu.

ὁ περὶ δημοσθένους βίος τοῦ ῥήτορος κτλ. (Dindorf p. 23), 3v + αἱ ὑποθέσεις τῶν λόγων δημοσθένους: (I—XI, XIII—XXV, LIX, cf. cod. F ordinem p. XIII, subscriptum est λιβανίου ὑποθέσεις) 8r σχόλια εἰς τὸν πρῶτον λόγον τῶν ὀλυνθιακῶν. Fol. 9—26 suppleta sunt manu saec. XV; incipit antiqua manus eaque nitida fol. 27r ἐπαναγινωσκομένου (VII 19), secuntur orationes in indice enumeratae.[1]) Est igitur editionis eius quam habebat Libanius (cf. p. XIII) volumen prius, additis erotico, epitaphio, prooemiis. Contuli exemplum phototypum.

Ex codice Parisino Y eoque iam mutilato profectum esse O cod. Bruxellensem 11294/5 (O vel Ω) saec. XV demonstravit Drerup (Vorläufiger Bericht p. 299), cf. etiam XIX 325, ubi οἱ διαιρεθέντες ὥστε μὴ ὁμοῦ οἰκεῖν scholium quod Y[1] mg. habet in O in textu legitur, sed fortasse non ex cod. Parisino ipso descriptus est, sed alio libro intercedente, in quo verba XIX 300 τῷ τοὺς προεστηκότας usque ad 309 Ἀτρεστίδαν unum continebant folium. Codicis Y supplementis librarium cod. O non usum esse certum mihi videtur; nam et Libanii vitam (non Zosimi) habet et quae verba (scholii A τὸ διαφθείρειν ἢ λόγοις ἢ χρήμασιν) VII 15 (ἢ λόγῳ ἢ χρήμασι post φυλακῇ et τὰ αὑτῷ φρονοῦντας ante ἑαυτοῦ) in Y in textu[2]) leguntur, ea teste Voemelio in O in margine exstant.

Princeps alterius classis est cod. bibliothecae regiae Mo- A nacensis 485, olim Augustanus (A)[3]), membranaceus, saec. undecimi (decimi autem ineuntis putat Drerup, Antike Demosthenesausgaben p. 536), forma quadrata; constat foliis 468 (non 470, ut dicit Drerup p. 555, nam fol. 207 sequitur 209, 210 sequitur 212).[4]) Codex autem iniquitate temporum mu-

---

1) Quaternionis numerum ιβ' a Drerupio inventum (Vorläufiger Ber. p. 292) in exemplo phototypo non vidi.

2) Ceterum Y et § 18 et § 19 ἡμῖν habet.

3) A. Spengel, Über die Handschrift Cod. Augustanus I Monac. des Demosthenes, programma gymn. Ludov., Monachi 1872.

4) Quaternionum numeros perspexi hos: 13 γ (?), 29 ε, 53 η hasta, 101 ιδ, 125 ιζ, 143v ιθ, 157 κα, 165 κβ, 173 κγ, 189 κε, 205 κζ, 215 κη, 223 κθ, 231 λ, 239 λα, 247 λ hasta, 255 λγ, 263 λδ,

tilatus est et ab initio et a fine; perierunt enim duo primi quaterniones (praeter secundam primi plagulam id est $\alpha^{2}\alpha^{7}$, nunc codicis fol. 469 [I 8 *ἡμᾶς — 15 τίς οὕτως ἐστιν*] et 470 [II 16 *(κο)πτόμενοι — 24 ὀκνεῖτ' ἐξιέναι*], et mediam alterius, $\beta^{4.5}$, nunc fol. 1. 2 [III 24 *κατέλιπον* — IV 3 *ἕνεκα ταῦτα*]); in fine quantum perierit dici non potest. Excidit praeterea media quaternionis LII inter folia 409 et 410 (XXXIX 9 *τίς ἤκουσε* — 26 *εἶχε γυναῖ(κα)*.[1]) De initii supplementis quia nihili sunt, non dico. Insunt in codice praeter frustula quae dixi orationum Olynthicarum orationes IV (a § 28 *μικρόν τι*) usque ad undecimam, XXII, XXI, XXIII, XVIII, XIX, XXIV, XX, XXV, XXVI, LIV (cui praescriptum est *ἰδιωτικοί*), LV, XLVIII, LVI[2]), XXVII–XXXI, XXXVII, XXXV, XXXVIII, XXXIV, XXXII, XXXVI, XXXIII, XIII (cui praescriptum est *Δημοσθένους συμβουλευτικοί*), XIV, XVI, XV, XVII, LI, XLIII, XLIV, XXXIX, XL, XLI, XLIX, LIII, XLII, L, LI, LVII, LVIII et quadragesimae septimae pagina dimidia (— § 2 *δοκῇ ὑμῖν τὰ*); desunt igitur praeter Philippi epistulam, quae etiam in cod. Parisino deest, or. XLV, XLVI, LII, LIX, LX, LXI, prooemia, epistulae. Ex duobus autem libris[3]) cod. A conscriptus videtur esse, nam or. LI eamque in alia recensione bis habet, quod quo alio modo facilius ex-

---

271 *λε*, 279 *λς*, 287 *ζ* litterae cauda, 295 *λη*, 303 *λθ*, 311 *μ* hasta, 319 *μα*, 327 *μ*, 335 *μγ*, 343 *μδ*, 351 *με*.

1) Duo quaterniones [fol. 133 usque 148, XVIII 26 *ἠλπίσατε* —152 *ταῦτα ποιοῦν(τας)*] a bibliopega inversis litteris ligati sunt.

2) Est oratio vicesima quarta (*λόγος κδ*, ut scripsit rubricator); quod ad versum quartum rubro *λβ* adscriptum est non intellego.

3) Alterius libri versus fere tricenas quaternas litteras habebat, cf. XVIII 255, ubi versus *τὴν ἰδίαν τύχην τὴν ἐμὴν τῆς κοινῆς τῆς πο* a librario omissus erat, quocum consentit X 10 *τὴν ἐπ' Ἀμβρακίαν ὁδόν, τὰς ἐν Ἤλιδι σφαγάς*, VIII 23 *εἰσοίσετε μήτε αὐτοὶ στρατεύσεσθε μήτε*. V 15 *οὐκοῦν* — *πολέμου* (72 litterae) duo versus erant, cf. VII 41 *ὅσην οἱ πολλοὶ ὑμῶν ἴσασιν ὡς ἑαυτοῦ οὖσαν* (35 litt.).

plicari possit non video. In privatarum orationum seriem[1]) intrusi sunt οἱ συμβουλευτικοί et cum eis oratio illa de corona trierarchica.

Augustanam recensionem eandem esse atque editionis quae Dionysio Halicarnasei de Dem. p. 1015 scribenti praesto erat, qui varias lectiones ad Olynth. III 23—32 notatas diligenter examinaverit non negabit; cf. etiam IX 13. Quod Dionysius p. 948 et 976 (IX 1) Ἕλληνας et εὖ omisit, inde interpolationes illas vulgares (cf. ex. gr. XIX 86 et VI 29) post illius aetatem in oratoris verba (εὖ etiam apud rhetorem p. 976) inrepsisse apparet. Discrepat autem Augustana recensio, ut Dindorfii verbis utar (ed. Oxon. praef. p. XIII) a Parisina et Marciana tribus potissimum modis plurimum, verbis aliter collocatis[2]), sententiis facilioris intellectus causa vel amplificatis vel aliter conformatis, vocabulis verborumque constructionibus exquisitioribus interdum in vulgaria mutatis. Addo quod haec recensio quae recte δημώδους illius ἐκδόσεως exemplum putatur, non raro amplificata est lectionibus ex aliis oratoris locis petitis ut XVIII 121, XIX 223 al. Post Reiskium, Dindorfium, A. Spengelium (or. I—XVII), Lipsium (or. XVIII), Blassium codicem Berolini, quo comiter missus erat, non sine fructu contuli.

Ex cod. A descripti sunt hi codices Parisini: cod. 2998 (k), v. L. Spengel, Über die dritte Philippische Rede des Demosthenes p. 58 n., Drerup p. 297, qui codex quoniam ipse mutilatus est ad lacunas cod. A supplendas nihil adiuvat, cod. 2940 (s), v. Drerup p. 302, et praeter prooemia pars poste-

1) Privatae orationes continentur cod. Palatino 224 (cf. Voemel p. 253 sq.) eodem quo cod. A ordine praeter or. XXXIV, quae in codice archetypo interciderat; quod ibi orationem XXXIII or. XLIII, non LI excipit et in cod. Malatestiano, in quo omnes orationes privatae insunt (cf. Voemel p. 245 sqq.), or. LI inter or. L et LVII legitur, coniectura mea probari videtur.

2) Flagrat librarius mira cupidine mutandi πάντα ταῦτα in ταῦτα πάντα ut XVIII 26 aut ταῦτα πάντα in πάντα ταῦτα ut XVIII 275. 249 m. pr. aut ταυτὶ in ταῦτα ut XVIII 21; addidit autem ταῦτα XVIII 72, omisit XVIII 298.

rior cod. 2936 (r) saec. XIV in., ut iudicat Drerup, XI (!) ut putat May, Zur Kritik der Proömien des Demosthenes (progr. Durlacense a. 1905) p. 5. Miror quod May etiam lectiones eius partis quae ex cod. A fluxit defendere conatus est; neque enim codex adhiberi debet nisi in ea parte or. XXXIX quae in cod. A excidit, § 9 *τίς ἤκουσε*—§ 26 *(γυναῖ)κα ἧς*; opportune autem accidit, quod hae ipsae paragraphi maximam partem continentur pap. Oxyrh. VIII 1093 (§ 21 *ζῶν* om. cum r). Magni tamen momenti est, quod in cod. r alia prooemiorum recensio adest; quae unde hausta sit, nondum constat; neque enim eam profectam esse putaverim (cf. Drerup, Vorläuf. Ber. p. 298) ex cod. A non mutilato, qui si integer prooemia habuisset, librarium cod. r cum prooemiis etiam or. XLVII scripturum fuisse verisimile est.

Eiusdem classis est cod. Vaticanus Urbinas graec. 113 (U) membranaceus, quaternae formae minoris, foliorum 175, de quo v. Voemel p. 251; antiquam partem codicis saec. X vel XI Heysius esse iudicavit. Librum cum a. 1911 quantum poteram per ferias paschales conferrem, nihil ad verba oratoris corrigenda adferre perspexi, sed ob varias manus[1]) dignum esse putaverim, qui a viro artis palaeographicae perito adcurate examinetur. Insunt orationes I—XI, XXII (cum argumento), XVIII (desunt documenta praeter prima § 37. 39. 54), XXI, XXIII (cum argumento), XIX (cum argumento) usque ad § 70 *ἐξηγεῖτο* (f. 175r); ultimarum autem paginarum scriptura humore evanuit, ut a fol. 171v multa legi non possint. U

1) Antiqua manus scripsit fol. 9—12 (Olynth. I 5 *οὐδ' ὑπὲρ* — II 2 *σκοπεῖν αὐτοὺς*, 16 (Olynth. II 16 *ταῖς στρατείαις*, scriptura tamen evanida a m. rec. restituta est usque ad § 21 *συμπλακῇ πάντα*), deinde plures se excipiunt scribae (fol. 55v, 96, 111, 112, 144) itemque numerus versuum varius est (fol. 9—30 sunt viceni seni, tum viceni quini, fol. 47 undetriceni, a fol. 48v triceni, fol. 111 viceni terni, 171 viceni seni). Quaternionum numeri inveniuntur hi: cum 15 *β*, 23 *γ*, 31 *δ*, 39 *ε*, 47 *ϛ*, 55 *ζ*, 63 *η*, 71 *ϑ*, 79 *ι*, 87 *ια*, 95 *ιβ*, 103 *ιδ*, 111 *ιϛ*, tum 112 *ιδ*, 120 *ιε*, 128 *ιϛ*, 136 *ιζ*, 152 *ιϑ*; perierunt quaterniones tredecim.

Hi libri sunt quod sciam ad orationes Demosthenis recensendas adhibendi; praeterea multi recentioris aetatis extant in bibliothecis partim nondum examinati, qui quamquam ad textum constituendum usui non fore videntur, tamen ab eo qui textus historiam quae dicitur scribet perquirendi et explorandi erunt.

Ad codices autem accesserunt — et accedent, spero — novae copiae in Aegypto repertae, dico papyros quibus continentur fragmenta orationum Demosthenicarum, quas recentissime enumeravit K. Iander, Oratorum et rhetorum graecorum nova fragmenta (Regimonti 1913) p. 26 sqq.[1]) Sed spes

1) Ad or. I—XIX pertinent hae papyri:

Pap. Tancockiana (Class. Review VI 430), saec. I vel II: Olynth. II 10 *ω [ανδρες αθη]ναιο[ι — α]λλα τα* et 15 *και [προηιρηται — βασ[ιλευς]*.

Pap. Gen. 258 (ed. Nicole, Texts grecs inédits) saec. IV vel V: IV 26 *τας πομπ]ας* — 27 *των [δ υπερ* (cf. Berl. Phil. Wochenschr. 1913 p. 1218) et 28 *εκαστ]ον στρατιωτ[αις* — 29 *λοιπα πρ[οσπορισι*.

Pap. Oxyrh. (ed. Papiri greci e latini II No. 129) saec. IV: V 2 *χ]αλε[πωτερον—παρα παν[τα*, 3 *κ]αι φιλο[νι]κειν*—4 *λε[γ]ε[ι]ν π* et *υ[π εμου μνημο]νε[υσαντας εγω] γ[αρ*, 7 *αλλ α[υτους*— 8 *οι]ομα[ι* et *ενθα]δε [κεκτητ*—9 *αποφανθεν[τα* (habet § 3 *προειμε*, § 7 *εθεασθε*, § 8 *οι]χεται*, § 9 *τοις γεγενημενοις*).

Pap. Oxyrh. III 460 saec. II vel III in.: V 21 *πε]πρα[κται — την κορωνειαν*, 23 *τουτω]ν ουτε — ευρ[ησετε*.

Pap. Amherst. 24 saec. III: VI 1 *οταν — ορω*, 5 *ετι πορρωτερω — αλλα και τοις*.

Pap. Fayum 8 (ed. Fayum Towns) saec. II: IX 38 *πριασθα]ι παρα* — 40 *αλ[λης κατασκευης* et 43 *αυτων [ανεγραψαν και των συμ]μαχων*.

Pap. Ryland. (ed. Catalogue of the Greek Papyri in the John Rylands Library, I) saec. III: XVIII 1 *πρωτον — ευχομαι*.

Pap. Oxyrh. III 461 saec. II—III: XVIII 7 *παρελθε]ιν* — 8 *λογ[ον*.

Pap. Oxyrh. IV 700 saec. II vel III: XVIII 17 *αθη]ναιοι* — 19 *αν]αλισκων παντας*.

Pap. Oxyrh. III 462 saec. III: XVIII 25 *τ]η [πολει]*—26 *μονον αλ[λ* et 27 *γιγνοι]νθ* — 28 *αλλ[α τι*.

Pap. Oxyrh. II 230 saec. II medii: XVIII 40 *ακοντω]ν αθ[ηναιων* — 44 *τοτε πα[ν]τε[ς* et 45 *κιν]δυνων* — 47 *πριηται αει*.

si quae fuerat vetustiores testes textui oratoris magno lucro fore fefellit, neque enim papyri quamquam neque cum cod. S neque cum alio plane consentiunt, textum praebent a nostro diversum, et nostros codices si epistulas exceperis papyris non inferiores esse et plerasque codicum corruptelas aetate Byzantina antiquiores esse nunc iam constat, cf. quae sobrio iudicio I. H. Lipsius iam ante viginti annos disputavit (Zur Textgeschichte p. 6 sqq.). Ceterum papyri illius qua orationis Midianae argumentum et commentarii pars continentur utilitas minor est quam Lipsius tum scire potuit, desunt enim § 7 *εἰ ἐπιδείξω Μειδίαν τουτονὶ μὴ μόνον εἰς ἐμὲ ἀλλὰ καὶ εἰς ὑμᾶς καὶ εἰς τοὺς νόμους καὶ εἰς τοὺς ἄλλους ἅπαντας ὑβρικότα* verba *καὶ εἰς τοὺς νόμους* etiam in cod. F. Quamquam haec verba delenda esse nego, quoniam cum facile intercidere potuerunt (ut omisit Aesch. I 2 *βοηθῆσαι τῇ τε πόλει πάσῃ καὶ τοῖς νόμοις καὶ ὑμῖν καὶ ἐμαυτῷ* verba necessaria — cf. § 3 *οὔθ' οἱ νόμοι οὔθ' ὑμεῖς οὔτ' ἐγώ* — *καὶ τοῖς νόμοις* cod. f pr. m.), tum iam in prooemio sicut fecit Aeschines oratori Midiam violasse leges dicere necessarium fuit, ut leges nominavit in peroratione (§ 222 *μὴ προδῶτε μήτ' ἐμὲ*

Pap. Ryland. 57 saec. II vel III: XVIII 163 *ψηφι[σματων* — 168 *επ]αρθεις* et 169 *δειπνουντες* — *και] π[ριν*.

Pap. Oxyrh. II 231 saec. I/II: XVIII 227 *εσ]τιν φ[υσει*—229 *θ[η]βαι[ους*.

Pap. Oxyrh. I 25 saec. III: XVIII 244 *το[ιν]υν* — *πωπο]τε*.

Pap. Ryland. 58 saec. V vel VI: XVIII 267 *μαλισ]τα* — 324 *ασφαλη* multis versibus praetermissis.

Pap. Graec. IX (Greek Papyri ed. Grenfell and Hunt) saec. I: XIX 10 *ο]υτος ὁ πρω[τος* — *πολεμον*.

Fragmentum Grafianum, membranaceum (Journal of Philology XXII p. 247 sqq.) saec. II: XIX 11 *τον υπερ φιλιππου* — 32 *ει δε φησιν*.

Pap. Oxyrh. IX 1182 saec. II: XIX 53 *και την επαγγελιαν* — 57 *ειπατων. η μεν*.

Pap. Oxyrh. VIII 1094 saec. V: XIX 274 *καιτοι* — 275 *καθηρη]κνιαν τ[ας* et 279 *το]ν δωρα*—280 *σπο]νδων και*.

Pap. Tebtun. 267 saec. II in.: XIX 293 *δη]ποτε* — 294 *κλεπτον[τες* et 294 *τις α[ιτιος*—295 *ταυθ ο μ[εν*.

μήθ' ὑμᾶς αὐτοὺς μήτε τοὺς νόμους); offensio autem quam habet locus mihi melius tolli videtur deletis *καὶ εἰς τοὺς ἄλλους ἅπαντας* verbis, quippe quibus nihil novi addatur.

Praeter codices adhibenda sunt rhetorum et grammaticorum testimonia, quae ipse quoque Didymi commentis in arena Aegyptia repertis aucta sunt; ex quibus quamvis multa didicerimus, velut orationem undecimam ab Anaximene compositam esse (cf. P. Wendland, Anaximenes von Lampsakos p. 1 sqq.), textui Demosthenico ne Didymus quidem profuit, cf. quae post H. Dielsium dixi Berl. phil. Wochenschr. 1911 p. 628 sq. Collegit testimonia post Voemelium summa sollertia et novis collationibus usus correxit Fr. Blass, vir et doctrina et sagacitate insignis meaque laude maior, sed in eo erravit, quod non modo rhetoris alicuius testimonia — interdum etiam unius codicis lectionem — sed etiam sophistarum imitationes pluris fecit quam codicum nostrorum consensum.[1]) Neque enim illos meliores libros habuisse demonstravit, nam quae duo affert exempla, alterum or. XVIII 67 *πᾶν ὅτι βουληθείη μέρος ἡ τύχη τοῦ σώματος παρελέσθαι, τοῦτο προιέμενον*, ubi Choricium *παρελέσθαι τοῦτο* legisse negat, alterum or. IX 42, ubi „Libanii codex leve vitium *προσγέγραπται*[2]) habuit, at non habuit foediora multo quae deinceps nostri inferunt: *δι' ἣν τοῦτο ἐγένετο*" (praef. p. XIII), eis nihil probavit, quoniam illo loco quinto iam anno post

---

1) Id quoque factum est ut Blassius testimonium non recte interpretaretur, ut ad or. I 1 scribit: „*τῇ πόλει* post *συνοίσειν* hic additum om. prooem. 3 p. 1420 R. (quidam ibi codd. loco eorum *ὑμῖν* add.), neque legisse videntur Hermogenes p. 435 W.; Rufus ib. p. 451; Schol. Y V p. 32 sq. Dd., schol. S p. 34"; nam ut 'quosdam' illos codices S Y *γρ.* Q esse omittam, legitur apud Hermog. (p. 446, 13 R.) *χρώμενος κοινῷ διανοήματι τῷ ἀντὶ πολλῶν χρημάτων αὐτοὺς αἱρήσεσθαι τὸ κοινῇ συμφέρον* et Rufus nihil habet nisi *πραγμάτων δὲ (σύγκρισις) οὕτως· ἀντὶ πολλῶν ὦ Ἀθηναῖοι· συγκρίνει γὰρ συμφέρον καὶ πράγματα.*

2) Quam inconstans fuerit Blassius hoc ipso loco probatur, nam leve illud vitium a. 1905 ipse in textum recepit (in sexta novem orationum Philippicarum editione).

(vol. II p. CXLIV) verba illa agnovit idque recte, cum *βούλεσθαι* vocis usus verbo *παρελέσθαι* deleto inauditus sit, hoc autem verba *δι' ἣν τοῦτο* (vel *ταῦτα*) *ἐγένετο* in Libanii codice non fuisse demonstrari non potest, et quamquam necessaria non esse concedo tamen delenda esse nego, conferas velim Din. II 25 *καὶ μόνῳ τούτῳ προσέγραψαν τὴν αἰτίαν δι' ἣν ὁ δῆμος ἐξέβαλεν αὐτὸν ἐκ τῆς πόλεως κτλ.*, Is. V 153 *πολλὰ δὲ βουλόμενος τοιαῦτα λέγειν οὐ δύναμαι· τὴν δ' αἰτίαν δι' ἥν, πλεονάκις τοῦ δέοντος εἴρηκα*, XII 199. Difficillimum autem est dicere quid in suo quisque rhetorum et sophistarum libro legerit. Nam primum quidem illi quoniam saepe ex memoria verba afferunt, memoria falluntur, aut ipsi mutant, id quod in testimoniorum initiis et finibus maxime est perspicuum [1]), tum multo gravius testimoniorum textus corrumpi poterat quam oratoris, praesertim cum Demosthenis codices illis et antiquiores et meliores sint, ex quibus si Blassius tres vel quattuor saec. X vel XI contulisset, longe eum aliter iudicaturum fuisse arbitror. Adde quod multi rhetores post Walzium editi non sunt, ut saepe optimorum codicum lectiones ignoremus. Quae cum ita sint, testimoniis illis non multum tribuo, multo minus sophistarum imitationibus, quippe quos oratoris verba cum se imitando oratorem superare posse confiderent saepe ipsos mutasse credam. [2]) Itaque ne apparatum

---

1) Addam exemplum quod mihi his ipsis diebus occurrit: Dem. I 23 dicit *διόπερ πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ τοῦ κτήσασθαι χαλεπώτερον εἶναι*, Asterius *πολλάκις γὰρ τὸ φυλάξαι τὰ ἀγαθὰ τοῦ κτήσασθαι δυσχερέστερον* (Bretz, Studien und Texte zu Asterios von Amasea p. 120, 30).

2) Ceterum quaerendum est qualibus Demosthenis exemplaribus rhetores et sophistae usi sint, tum qua ratione sophistae oratorem imitati sint et quomodo serioris aetatis rhetores alius ex alio pendeant; cuius rei ut unum afferam exemplum, Maximum Planudem V 471 W. omnia ex Syriano I 29 R. descripsisse luce est clarius. Apparet igitur ipsum memoriter *κινδυνεύουσιν* addidisse, ut Minucius IX 602 in libera paraphrasi *ὁ κίνδυνος αὐτοῖς ἐστι* habet; in hoc fundamento posita est Blassii coniectura *κίνδυνος* I 5, nam quod cum Weilio ne ad sensum quidem aptum

iusto ampliorem[1]) facerem, in afferendis testimoniis parcus fui (id quod mihi viros doctos quosdam vitio versuros esse scio, sed me non magnam illam editionem criticam parare considerent velim, sed quae sit habilis usui omnium), et Didymi Dionysii Hermogenis, cuius ut novam editionem adhibere possem H. Rabe amicitia factum est, lectiones omnes enotare satis habui.

Nec vero Blassii iudicio de hiatu, de brevium syllabarum frequentatarum fuga, de numero adstipulor. Atque hiatum a Demosthene evitatum esse quis negabit? Sed quod vir ille doctissimus auctoritatem codicis S se nunquam induxisse dixit (I p. XIX), ut hiatum vitiosum in verba oratoris introduceret, me paulo cautius rem instituisse gaudeo, cf. adcuratam Fr. Schilleri commentationem (Zu dem Hiat bei Demosthenes, est autem in libro qui inscribitur Festschrift des Gymnasiums zu Hirschberg 1912), quae cum textum iam constituissem in manus meas venit. Erit vero tota de hiatu quaestio quae post Benselerum neglecta iacuit denuo instituenda et examinanda. Brevium autem syllabarum frequentationem Demosthenem fugisse Blassius ille quidem optime demonstravit, sed quoniam non exploratum est quatenus et non numquam oratorem ut vivacior fieret oratio et incitatior brevium syllabarum frequentia de industria usum esse verisimile est, quandoquidem ne Sophocles quidem in versu senario novem breves syllabas fugit (cf. Oed. r. 967), equidem haud immemor Ciceronis magis offendere nimium quam

---

esse *πολεμοῦσιν* arbitratus est, conferas velim II 1 *τὴν ὑπὲρ τοῦ πολέμου γνώμην τοιαύτην ἔχοντας κτλ.* Cf. nunc etiam M. Pohlenz, Nachrichten d. K. Gesellsch. d. Wiss. in Göttingen 1913 p. 359; scriptor ille, quem Plutarchus et Hermogenes Dem. XVIII 299 proferentes secuntur, pro *τοὺς ὑπὲρ τούτων ἀμυνομένους* verbis *συμμάχους* de suo dixisse videtur, cetera verba culpa librariorum excidisse possunt; *καὶ* ante *ὅπλα* ne Plutarchus quidem legit.

1) Velut inutile fuit opinor notare scriptorem *περὶ ὕψους* 32, 2 omittere XVIII 296 *καὶ ἀλάστορες μὲν* post *πρότερον*, *αὐτῶν* post *δεσπότην* et habere *νυνὶ*, *τοῖς πρότερον Ἕλλησιν*, *ἀνατετροφότες*.

parum dicentis paucissimis tantum locis textum mutare ausus sum. Quid vero de numeris dicam? Quos observatos esse a Demosthene constat, sed vellem nossemus illos numeros; nam quae Blassius admirabili atque indefessa industria protulit, retractavit, emendavit, nulli credo probata sunt, neque qui post eum quaestionem retractavit Carolus Zander (Eurythmia Demosthenis, Lipsiae 1910), mihi persuasit, etsi eo est laudabilior Blassio, quod oratoris verba intacta reliquit.

Itaque res redit ad codices, ex quibus recensionis fundamentum Parisinus S est, de cuius praestantia post Voemelium alios dicere longum est. Unum commemorare sufficiet: codex liber est cum aliis tum eis interpolationibus quae profectae sunt ex grammaticorum studiis, qui similes locos in margine notaverant, videas ex. gr. orat. VI 6 *ἐγὼ δοκῶ βέλτιον προορᾶν* S, *βέλτιον τῶν ἄλλων* FA ut est V 11, 17 *οἷς γὰρ οὖσιν ὑμετέροις ἔχει* S, *ἔχει χρῆσθαι* A *ἔχει χρήσασθαι* F (ex X 12). Neque tamen secundum unum Parisinum, id quod Cobet quondam cogitavisse videtur, textus constitui potest. Artiore vinculo cum S coniunctam esse recensionem Venetam[1]) apparet ex notis stichometricis, de quibus post Christium Fr. Burger (Stichometrische Untersuchungen zu Demosthenes und Herodot, diss. Erlang. 1892) et Drerup (Antike Demosthenesausgaben p. 567 sq.) egerunt.[2]) In codice A praeter interpolationes quas modo commemoravi VI 11 *πόλις*, quod *γρ.* F habet, in textum inrepsit et § 27 *περιστοιχίζεσθε* (ex IV 9), XIX 246 lacuna archetypi, quae etiam in Parisini archetypo fuisse videtur, ex XIX 260 grammatici alicuius opera expleta est, et quamquam in Veneto interpolationes sunt, quibus Augustanus liber est, cf. ex. gr. VIII 41 ubi *νῦν γε δὴ* ex VI 17, § 17 ubi *καὶ διαφθαρήσεται*, IX 58, ubi *καὶ φίλος*, XIX 278, ubi *εἶναι κελεύει τὴν εἰρήνην* interpolatum est, tamen hic pluri-

1) Cum Venetis arte cohaeret cod. P, v. ad orat. XIX § 161. 162. 163. 164. 166. 167. 168. 171. 174. 186 (*οἵας*) al.

2) Addo in Q XIX 81 *τεθνάναι τῷ φόβῳ* rasuram esse in margine (fuitne *ῑ*?), *κ̄* legi § 90 fin., *λ̄* § 99 *πρᾶγμα ποιοῦντες*, *β̄* XXXIII 20 *ὅτε ὁ σεισμὸς*, *η̄* XLV 71 *οἶμαι γὰρ*.

bus interpolationibus videtur inquinatus esse, cf. XIX 147 (νῦν δὲ ἡ μὲν πόλις τῶν αὐτῆς ἀφέστηκεν, οὗτος δὲ χρήματα εἴληφεν), 223 (καὶ πλέον ἕξειν τῶν πολλῶν κατὰ τοῦτο), 243 (θεός νύ τίς ἐστι καὶ αὐτή), 269 (ἐν τοῖς νῦν συμβαίνει μιμεῖσθαι καιροῖς); quae cum ita sint, parva fide digna videntur esse quae A solus tradit, ut XVIII 129 ἀλλὰ πάντες ἴσασι ταῦτα, κἂν ἐγὼ μὴ λέγω. Mira autem condicio est codicis Parisini Y, quippe qui modo ita cum cod. S consentiat, ut ex eo descriptus esse videatur velut in oratione IX multa additamenta cum S omittit (ut 31 πολλῆς ex XIX 7, 37 οὐδὲν ποικίλον οὐδὲ σοφόν, ἀλλ' ὅτι et καὶ παραίτησις οὐδεμί' ἦν οὐδὲ συγγνώμη, 38 καὶ τοῖς—πραττόντων, 42 ἔστω et οὐκ Ἀθήναζε, 44. 56. 60. 63, v. etiam ex. gr. XIX 319 Φωκέας ἐκτήσατο πρῶτον, 320 ἐκράτουν et μάχην, 331 οὕτω et τηλικαύτας καὶ τοσαύτας), modo cum F (v. IX 26 πολλοστὸν πέμπτον μέρος, 42 προσγέγραπται, 69 ἐφεξῆς πρόθυμον, 70 ἴσως punctis del. F om. Y, τριήρεσι χρήμασι, δουλεύειν δήπου,
εὐθέως
71 αὐτοὶ om. FY cet. XIX 167 εὐήθως F εὐθέως εὐήθως Y; adde quod Philippi epistulam hi codices soli habent), modo sed rarius idque in rebus minutis cum A (ut VIII 11 ἀεὶ συνεστηκυῖαν, 14 τῆς αὐτῆς ἀνοίας, 19 δύναμιν τῇ πόλει, 24 ἅπαντες, 25 μηδὲ, 75 om. καὶ μηδὲν ὑπηκούσατε, IX 9 ἄγειν λέγει, 44 om. δίκας). Ne multa: cod. Y recensio ex codicum SF(A) recensionibus contaminata est; olim videtur liber (qualis est S) fuisse, qui multas varias lectiones inter versus et in margine habebat, ex quibus qui cod. Y vel eius archetypum scripsit suo iudicio elegit.

Codicum lectiones diligenter attuli, neglexi tamen res minutas[1]) ut accentus, qui in S^1 plerumque desunt (ut πρόεσθαι, προοῖδεν, κάθηται XIX 70 VA, τριηρῶν, Παιόνα, Παγάσας, κήρυξ al.), spiritus (Ἅλος, ἅσμενος I 4. II 8 et XVIII 43. 36. 202 ubi A recte scribit, ἀθροίσαντα III 18 SF), elisiones; fortasse saepius neglegere debebam vitia ex itacismo

1) VI 16 συντάσσων, VII 14 θάλασσαν F.

qui dicitur orta. Quoniam S cum ceteris codicibus post μή habet θέλειν VII 44, VIII 48. 54, X 24, XV 28, XVI 27 (ἐθ. F), XIX 178, etiam XVI 15. 24 cum FAY, 28 cum AY corr., XIX 43 et 301 cum A scripsi. Non constantem me fuisse video in scribendis ἐκεῖνος et ἐγώ pronominibus; nam quoniam II 22, IX 11, XV 5, XVIII 41, XIX 15. 198. 244 et VIII 24 mutavi, XVIII 152 ἐκεῖνος et XVI 22, XVIII 162. 196 ἐγώ relinquere non debebam. Crasis autem adhibenda erat XVIII 277 et sicut IV 33 ἁγὼ cum S (ἃ ἐγὼ FAU) et XIX 253 κἀγὼ cum VAP, sic contra codices ἁγὼ XVIII 27 et κἀγώ XVIII 286 scribendum. In ceteris verbis quamquam codicibus in his rebus fides habenda non est (IV 21 τουλάχιστον S τὸ ἐλάχιστον FU, XIX 215 τἀκ S τὰ ἐκ VAP, XIX 219 τἀπὶ SA τὰ ἐπὶ YP cet.), tutius esse existimavi lectionem in S traditam servare, nisi quod scripsi VII 24 cum FA τἀναντία, XVIII 99 cum A τἄλλα, IV 8 κἂν ἄλλοις quoniam κἂν τοῖς subsequitur, II 24 κροὐκινδυνεύετε, IX 60 προὐπηλακίζετο.[1]) I 4 προέχει reliqui.

Auctoritatem codicis optimi secutus non ad unam normam exegi formas ἕνεκα (εἵνεκα) ἀεί (αἰεί), ἐάν, augmentum verborum βούλεσθαι et μέλλειν, ν quod dicunt ἐφελκυστικόν.

Orthographiam secundum grammaticorum praecepta, quae pleraque collecta invenies apud Voemelium, et titulos constitui et scripsi aoristum et perfectum αἴρω verbi sine ι[2]), ἁλίσκομαι (perfectum[3])), Ἀλόννησος (ἀλλόνησος vel ἀλόνησος saepe codices) ἀναλίσκω (augmentum η[4])), ἀναμιμνῄσκειν et

---

1) A habet προέδοσαν VIII 40, IX 56, προεδίδοσαν (fort. προυδ. A[1]) IX 61.

2) ἀντήιρατε II 24 S, ἐπηιρμένον IV 49 SA, ἐπῆιρεν XVIII 298 SA.

3) XIX 169. 341 ἑαλωκέναι omnes, 179 ηλωκέναι (superscr. εα) S ἡλωκέναι A, 312 ἀνηλωκέναι P[1], ἂν ἑαλωκέναι P[3].

4) I 11 συναναλώσε S corr. FAU, VIII 12 ἀναλωκέναι S, XVIII 66 ἀναλωκυῖαν A, 113 τἀναλωμένα A, 140 ἀνάλωσεν S rec. Y, ἀνήλωσεν (superscr. α) fere constanter F.

ἀποθνῄσκειν, ὦ ἄνδρες Ἀθηναῖοι[1]), ἀπόλλυμι (ἀπωλώλει[2])) ut ὠμωμόκει[3])), γίγνομαι et γιγνώσκω[4]), δωρειά, ἐπιμειξία[5]) (ut Ποτείδαια Φλειάσιοι Ἠλεῖοι Σίγειον, contra Θεσπιαί, Φιλιστίδης, φιλονικεῖν), εἶμι (ᾖσαν imperf.[6])) ἐλεινός, ἐργάζομαι (augmentum η ut XVIII 218 S[1]), εὐδοκιμεῖν εὐτυχεῖν εὐτρεπίζειν εὑρίσκειν εὔχεσθαι (augmentum ηὐ- ut XIX 128. 130 ηὔχετο et συνηύχετο F[1]), κλάειν, Κολλυτός, λῃτουργεῖν, Μυτιληναῖος, ὁρᾶν (ἑόρακεν perf.[7])), Πειραιῶς, πέρᾳ (cum S praeter XIV 35) περιὼν περιόντες[8]), πρῴην (ita S VIII 4. 18, XVIII 130, FY semper), σῴζειν ἔσῳσα (ad testimonia his diebus accessit συνδιέσωισεν[9])) σέσωιμαι, τέθηκα (III 12. VIII 34

---

1) Ita semper SF, ὦ (ϑ supra) AP, quod dubito rectene H. Usener (Kl. Schriften I 277) idem esse dixerit, quoniam in P saepius (ut XIX 277. 280. 285) plene ὦ ἀθηναῖοι scriptum est; U quoque habet IV 1 ὦ (δ) ἀ (ϑ), IV 25 ὦ ἀν (δ) ἀ (ϑ), IV 2. ὦ (ϑ). A habet LVI 47. 48 ὦ (δ) ἀθηναῖοι.

2) ἀπολώλειτε XVIII 49 SF[1]QA corr., XIX 59. 97. 125 SF[1]QA, XIX 260 ἀπολωλέκει SQ ἀπωλωλέκει F ἀπολώλεκε AP, 266 ἀπολωλέκεσαν SF[1]QAP[3], XIX 13 ἀπόλεσαν S[1], ἀπώλολε XIX 287 S.

3) ὀμωκόκει IX 15 S, XIX 318 SF[1]QA

4) γίνομαι et γινώσκω saepe Y, constanter fere A; non adcurate A. Spengel p. 2, nam γίγνομαι legitur XX 63. 73. 87. 100. 158. 162, XXIV 62. 92 saepius, γιγνώσκω XXIII 115, XXVI 52, LVIII 17.

5) συνεμείξαμεν XIX 155 S[1].

6) προσῄεσαν IX 61 SA προσήιεσαν FY, ἀπῄειτε XVIII 236 S ἀπήιειτε VAY, ἀπῄεσαν XIX 154 S ἀπήιεσαν VAY; v. etiam ad XIX 17.

7) ἑόρακεν XVIII 190, XIX 157. 177. 328. 275. 204 F[1]QY, XVIII 64, XIX 104 F[1]Q, XIX 1 F[1]Y, XVIII 248 F corr. Q; v. etiam XIX 193.

8) IV 10. 48 (S[1]F), VI 14 (F), XIV 12 (SY[1]), XIX 2. 188. 189. 229. 242. 245 (S[1]) — contra codices XVIII 44. 151. 158.

9) Inscriptio Attica a. 303/2 a. Chr. n. (American Journal of Archaeology XVII 508, 20). Sed quamquam S praebet σωιθείς III 5, σωιθείσης XXXII 5, σώισωμεν III 2 (S[1]), σώισειν III 17, nunc me paenitet ι litteram V 3, VIII 54, IX 29. 63. 64, X 56. XIV 13, XV 22, XVI 12. 13. 30. 31 addidisse et deletam velim, cf. Blassii praef. ad Andocidis orat. p. X.

ut VIII 34 *παρήκατε* S habet), *Ὠρεός* (in S^1 multis locis confusum cum *ὡραῖος*), *ὧταν*[1]) atque hos verborum in *-μι* desinentium coniunctivos et optativos: *προθῆσθε* IV 34, *προσθῆσθε* VI 6 (v. ad l.), *προῆσθε* VIII 49 (*πρόησθε* codd.) X 24, *ἐπιθῆται* X 33 (*ἐπίθηται* F), *μεταθῆσθε* XIX 124 (v. ad l.), *προῆται* XIX 118; *καταθεῖτε* XIV 27 A (*κατάθειτε* Y corr. *κατάθοιτε* SFY^1), *πρόσθοιτο* VI 12 (*προσθεῖτο* S) XI 6, *πρόοισθε* VI 8 (*προεισθε* S^1), *πρόοιντο* V 15, XVIII 254, *καθυφείμεθα* III 8 (*καθυφοίμεθα* U corr.).

Argumentorum Libaniorum recensio duplex est, altera codicis F, altera O (vitae) et Y; melior, quamquam multis lacunis est corrupta, codicis F est, cf. p. 30, 15 *ἵνα δεήσηι* F (unde leni mutatione elicuit I. Bekker *ἵν' ἀδεὲς ᾖ*), *ἵνα δειχθῇ* Y, audacter mutatum *ἵνα δυνηθῇ* U. Adhibui etiam codicem Ambrosianum Q 12 sup. (m), de quo videas Drerup p. 582.

Restat ut debitas atque iustas agam gratias et collegio scholastico provinciae Brandenburgensis, cuius opera ante quattuor annos mihi commeatus annuus impetratus est, et praefectis bibliothecarum Ambrosianae Laurentianae Marcianae Monacensis Parisinae nationalis Vaticanae.

Marpurgi Chattorum m. Ianuario MDCCCCXIV.

Carolus Fuhr.

---

1) Cf. Voemel p. 14; I 26 *ωταν* S^1 *ὦ τᾶν* S corr. F *ὅταν* U^1, III 29 *ὦ τᾶν* SF (quid A habeat dignosci non potest), XVIII 312 *ὅταν* S *ὦ τᾶν* FA^2 (circumflexus s. *α* in ras.) Y *ωταν* Q, XXV 78 *ὅταν* S *ὦ τᾶν* F *ὢ τὰν* A.

DEMOSTHENIS
ORATIONES

EDIDIT

CAROLUS FUHR

EDITIO MAIOR
VOLUMEN I · PARS I
ORATIONES I—XVII CONTINENS



LIPSIAE IN AEDIBUS B. G. TEUBNERI MCMXIV

Conspectus notarum.

S = cod. Parisinus 2934
    S[d] = scriptura eius correctoris qui subscripsit διώρθωται
    [L = Laurentianus conv. sopp. 136; pendet a cod. Parisino S]
F = cod. Marcianus 416
    [B = cod. Bavaricus, nunc Monacensis 85, ex cod. F descriptus]
A = cod. Augustanus primus, nunc Monacensis 485
Y = cod. Parisinus 2935
    [O = cod. Bruxellensis 11295, ex cod. Y descriptus]
U = cod. Urbinas 113

Libanii vitae et argumentorum codices adhibui F, Y, cod. Ambrosianum Q 12 sup. (= m)
γρ. semper ante, corr. post codicis notam posui

LIPSIAE: TYPIS B. G. TEUBNERI

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΕΙΣ

ΤΩΝ ΛΟΓΩΝ ΔΗΜΟΣΘΕΝΟΥΣ

Reisk. 1 Ἐπειδή, κράτιστ' ἀνθυπάτων Μόντιε, κατὰ τὸν Ὁμηρικὸν Π. Φ 163
Ἀστεροπαῖον περιδέξιος τὰ εἰς λόγους ὢν πρωτεύεις μὲν ἐν τῇ
Ῥωμαίων φωνῇ καὶ τῆς παρ' ἐκείνοις παιδείας ὁμολογουμένως
τὸ πρεσβεῖον ἀνῄρησαι, ἀμελεῖς δ' οὐδὲ τῆς Ἑλληνικῆς, ἅτε καὶ
5 ἐν αὐτῇ διὰ τὸ τῆς φύσεως μέγεθος ὑπερέχειν δυνάμενος, ἀλλὰ
περί τε τοὺς ἄλλους διατρίβεις καὶ περὶ τὸν τελεώτατον τῶν
Ἑλληνικῶν ῥητόρων, τὸν Δημοσθένην, καὶ δὴ καὶ ἡμᾶς ἐβου-
λήθης τὰς ὑποθέσεις τῶν τούτου λόγων ἀναγράψασθαί σοι·
δεχόμεθα μὲν ἄσμενοι τὸ πρόσταγμα (ἴσμεν γὰρ ὅτι πλείω τὴν
10 τιμὴν ἢ πόνον ἔχει), ἀρξόμεθα δὲ τοῦ συντάγματος ἀπὸ τοῦ
2 βίου τοῦ ῥήτορος, οὐχ ὅλον αὐτὸν διεξιόν|τες (περιττὸν γὰρ
τοῦτο), ἀλλὰ τοσούτων μνημονεύοντες, ὅσα δοκεῖ καὶ πρὸς κατά-
ληψιν ἀκριβεστέραν τῶν λόγων συντελεῖν.

Δημοσθένει τοίνυν τῷ ῥήτορι πατὴρ ἦν Δημοσθένης, ἀν- 2
15 επίληπτος τῷ γένει δοκῶν, ὡς καὶ Αἰσχίνης ἐχθρὸς ὢν μαρ-
τυρεῖ (εἴρηται γοῦν οὕτως αὐτοῖς ῥήμασι „τούτῳ πατὴρ μὲν III 171
ἦν Δημοσθένης ὁ Παιανιεύς, ἀνὴρ ἐλεύθερος· οὐ γὰρ δεῖ ψεύ-
δεσθαι“)· ἐργαστήριον δ' οἰκετῶν μαχαιροποιῶν κεκτημένος
ἐντεῦθεν τὴν τοῦ μαχαιροποιοῦ κλῆσιν ἔλαβε. τὸ μέντοι Aesch. II 93
20 μητρῷον γένος τοῦ ῥήτορος οὐκ ἦν, ὥς φασι, καθαρῶς Ἀττι-

6 τὸν Fm: τὸ O 7 ῥητόρων γρ. FmO: ῥημάτων F | τὸν FO: om. m 12 τοσούτων r, mg. Mor: τοσοῦτον FO | τοσαῦτα μνημονεύσαντες m | ὅσω O 14 cf. Plut. Dem. c. 4 15 ὡς] ὅπερ O 17 ψεύσασθαι Om 20 φησι FO

κόν, Γύλωνος τοῦ πάππου τοῦ Δημοσθένους φυγόντος μὲν ἐξ Ἀθηνῶν ἐπὶ προδοσίας ἐγκλήματι, οἰκήσαντος δὲ περὶ τὸν Πόντον κἀκεῖ γυναῖκ' ἀγαγομένου Σκύθιν τὸ γένος, ἐξ ἧς ἦν τοῦ Δημοσθένους ἡ μήτηρ Κλεοβούλη. εἰς τοῦτο γοῦν ἄλλοι III 172 *τε λελοιδορήκασι καὶ Αἰσχίνης, εἰπὼν ὡς ἄρ' εἴη Σκύθης, βάρ-* 5 3 *βαρος ἑλληνίζων τῇ φωνῇ. περὶ μὲν οὖν τοῦ γένους αὐτοῦ τοσαῦτ' εἰρήσθω· ὀρφανὸς δὲ καταλειφθεὶς ὑπὸ τοῦ πατρὸς κομιδῇ νέος ἦν μέν, ὥς φασιν, ἀσθενὴς τῷ σώματι καὶ νοσώδης, ὥστε μηδ' εἰς παλαίστραν φοιτῆσαι, καθάπερ πάντες οἱ τῶν Ἀθηναίων παῖδες εἰώθεσαν. ὅθεν καὶ ἀνδρωθεὶς ὑπὸ τῶν* 10 *ἐχθρῶν εἰς μαλακίαν ἐσκώπτετο καὶ Βάταλος ἐπωνυμίαν ἔσχεν· ἱστόρηται γάρ τινα Βάταλον Ἐφέσιον αὐλητὴν γενέσθαι, ὃς πρῶτος ὑποδήμασι γυναικείοις ἐπὶ τῆς σκηνῆς ἐχρήσατο καὶ μέλεσι κατεαγόσι, καὶ ὅλως τὴν τέχνην ἐμάλθαξεν· ἀπὸ τούτου δὲ τοὺς ἐκλύτους καὶ ἀνάνδρους Βατάλους ἐκάλουν.* 15

4 *Λέγεται δὲ τὸν Δημοσθένην τὴν πολλὴν καὶ σφοδρὰν ἐπὶ λόγους ὁρμὴν ἐντεῦθεν σχεῖν. Καλλίστρατος ἦν Ἀθηναῖος ῥήτωρ ἔνδοξος· οὗτος ἔμελλεν δημοσίαν τι|νὰ δίκην ἀγωνίζεσθαι,* 8 *φασὶν οἶμαι τὴν περὶ Ὠρωποῦ. ὁ τοίνυν Δημοσθένης παῖς ὢν ἐδεῖτο τοῦ ἐφεστῶτος οἰκέτου συγχωρῆσαι παραβαλεῖν αὐτῷ* 20 *τῇ δίκῃ· καὶ ὃς ἐπέτρεψεν. ἀκούσας δ' οὕτω διετέθη, ὥστ' ἀπ' ἐκείνης τῆς ὥρας πάντα πάρεργα πρὸς τοὺς λόγους θέσθαι. διδασκάλῳ δὲ χρησάμενος Ἰσαίῳ, μάλα δεινῷ ῥήτορι, εἰς ἄνδρας ἐγγραφεὶς εὐθὺς ἀγῶνα κατὰ τῶν ἐπιτρόπων ἐνεστήσατο, κακῶς διῳκηκότων τὴν οὐσίαν αὐτοῦ. καὶ εἷλεν μὲν αὐτούς,* 25 5 *οὐ μὴν ἠδυνήθη πάντ' ἀπολαβεῖν ὅσ' ἀπολωλέκει. τοὺς δὲ λόγους τοὺς ἐπιτροπικοὺς εἰσὶν οἵ φασιν Ἰσαίου καὶ οὐ Δη-*

3 *ἀγαγομένου* r mg., Wolf: *ἀγομένου* FOm 5 *τε* om. FOm 8 sqq. cf. Photius cod. 265 p 495 a 35 11 *τὴν ἐπωνυμίαν* O, 13 *ἐχρήσατο ἐπὶ τῆς σκηνῆς* O 15 *ἐκάλουν*] *ὠνόμασαν* m *ἐπονομάζουσιν* Photius (*ἐπωνόμαζον* Photii cod. B) 16 sqq. sumpta ex Plut. Demosth. c. 5 19 *ὀρώπου* Fm 20 *παραλαβεῖν* O 24 *ἀνεστήσατο* F 26 *ἀπολωλέκει* Bekker: *ἀπολώλεκε(ν)* FOm 27 sqq. cf. argum. ad or. XXXI et [Plut.] vit. X orat. 839 F 27 *οὐ* om. O

μοσθένους εἶναι, διὰ τὴν ἡλικίαν τοῦ ῥήτορος ἀπιστοῦντες (ὀκτωκαίδεκα γὰρ ἐτῶν ἦν ὅτε πρὸς τούτους ἠγωνίζετο), καὶ ὅτι δοκοῦσιν οἱ λόγοι τὸ τοῦ Ἰσαίου πως ἐπιφαίνειν εἶδος. ἕτεροι δὲ νομίζουσι συντετάχθαι μὲν ὑπὸ Δημοσθένους, διωρ-
5 θῶσθαι δ' ὑπὸ τοῦ Ἰσαίου. οὐδὲν δὲ θαυμαστόν, εἰ ὁ Δημοσθένης ἐδύνατο μὲν κἀπ' ἐκείνης τῆς ἡλικίας συγγράφειν τοιούτους λόγους (ἡ γὰρ ὕστερον ὑπεροχὴ καὶ τοῦτο πιστοῦται), ἀπὸ δὲ νεαρᾶς ἔτι τῆς ἀσκήσεως τῆς ὑπὸ τῷ διδασκάλῳ τὸν ἐκείνου χαρακτῆρα πολλαχῇ μεμίμηται. μετὰ μέντοι τού-
10 τους τοὺς ἀγῶνας βραχὺ τῇ ἡλικίᾳ προελθὼν σοφιστεύειν ἐνεχείρησεν, εἶτ' ἀπαλλαγεὶς τούτου συνηγόρησεν ἐν δικαστηρίῳ. τούτοις δ' ὥσπερ γυμνασίοις χρησάμενος ἐπὶ τὸ δημαγωγεῖν καὶ τὰ τῆς πόλεως πράττειν ἦλθεν.

Ἔτι κἀκείνων μνημονευτέον, ὅτι τραυλὸς μὲν ἦν τὴν γλῶτ- 6
15 ταν ἐκ φύσεως, τὸ δὲ πνεῦμ' ἀτονώτερος· ἐξ ὧν ἀμφοτέρων συνέβαινε φαυλοτάτην αὐτὸν τὴν ὑπόκρισιν παρεχόμενον οὐκ εὐδοκιμεῖν τὸ κατ' ἀρχὰς ἐπὶ τοῖς λόγοις. διὸ καὶ πρὸς τὸν ἐρωτήσαντα „τί ἐστι ῥητορική;“ ἀπεκρίναθ' ὅτι ὑπόκρισις,
4 δυσχεραίνων ὅτι διὰ ταύτην τῶν χει|ρόνων ἥττων ἐφαίνετο.
20 ἀλλὰ καὶ ταῦτα μελέτῃ κατώρθωσεν καὶ ὅσ' ἄλλ' αὐτῷ πρὸς δημαγωγίαν ὑπῆν ἐλαττώματα. καὶ γὰρ δειλὸς ἦν τὸ πρῶτον πρὸς τοὺς τοῦ δήμου θορύβους καὶ εὐκατάπληκτος, ὥστ' εὐθὺς ἐξίστασθαι. διὰ δὲ τοῦτό φασιν αὐτὸν ἄνεμον ῥαγδαῖον τηροῦντα καὶ κινουμένην σφοδρῶς τὴν θάλατταν παρὰ τοὺς
25 αἰγιαλοὺς βαδίζοντα λέγειν, καὶ τῷ τῆς θαλάττης ἤχῳ συνεθίζεσθαι φέρειν τὰς τοῦ δήμου καταβοάς. μνημονεύονται δ' 7 αὐτοῦ καὶ οἰκήσεις κατάγειοι καὶ ξυρήσεις ἀπρεπεῖς, ἵνα δι' αἰσχύνην μὴ προΐοι τοῦ τῆς οἰκίας δωματίου, καὶ ὡς οὐδὲ

3 τὸ om. FOm 4 διωρθῶσθαι r, H. Wolf: διορθοῦσθαι FOm 5 δὲ post οὐδὲν om. Om 6 κἀπ' Dindorf (καὶ ἐπ' iam Sauppe): καὶ ἀπ' FOm 9 κατὰ μ. τοῦτον τὸν ἀγῶνα O 14 κακεῖνω O[1] κακεῖνο O[2] 15 ἀτονώτερον Fm 19 ἥττον F 20 αὐτῷ om. m 28 προίῃ m

τὰς νύκτας ἐκάθευδεν, ἀλλὰ διεπονεῖτο πρὸς φῶς περὶ λόγους. ὅθεν καὶ Πυθέας σκώπτων ἔφη τοὺς λόγους τοῦ Δημοσθένους λύχνων ἀπόζειν. πρὸς ὃν ὁ Δημοσθένης ἀστείως ἅμα καὶ πικρῶς „οἶδ'" εἶπεν „ὅτι σε λυπῶ λύχνον καίων". διεβέβλητο γὰρ ὡς λωποδυτῶν νύκτωρ ὁ Πυθέας. καὶ μὴν ὅτι γ' 5 ὕδωρ ἐπετήδευεν πίνειν, ἵν' ἐγρηγορυῖαν μᾶλλον παρέχηται τὴν διάνοιαν, ἅπασιν ὡμολόγηται. παρειλήφαμεν δὲ κἀκεῖνο, ὡς καὶ ξίφος ποτ' ἐκ τῆς ὀροφῆς ἀπήρτησε καὶ ἱστάμενος ὑπὸ τοῦτ' ἔλεγεν. ἐποίει δὲ τοῦτο δι' αἰτίαν τοιαύτην· ἐν τῷ λέγειν ἀπρεπῶς τὸν ὦμον εἰώθει κινεῖν· ὑπερεκρέμασεν οὖν τοῦ 10 ὤμου τὸ ξίφος ἐν χρῷ, καὶ οὕτως τῷ δέει τῆς πληγῆς ἠδυνήθη κατασχεῖν ἑαυτὸν ἐπὶ τοῦ πρέποντος σχήματος.

Dem. VI 30 XIX 46

8 Ἀναγκαῖον δὲ διηγήσασθαι καὶ ὅπως εἶχε τά τε τῶν Ἑλλήνων καὶ τῶν Ἀθηναίων πράγματα, ὅτ' ἐπὶ τὸ δημαγωγεῖν ἦλθε Δημοσθένης. Θηβαῖοι Λακεδαιμονίους ἄρχοντας τῶν 15 Ἑλλήνων καὶ μεγίστην δύναμιν ἔχοντας ἐν Λεύκτροις τῆς Βοιωτίας μάχῃ νικήσαντες αὐτοὶ προῆλθον εἰς ἰσχύν, καὶ μετ' ὀλίγον πρὸς Φωκέας πόλεμον ἐξήνεγκαν. ἦσαν δ' οἱ Φωκεῖς ἔθνος ὅμορον τῇ | Βοιωτίᾳ, πόλεις ἔχον δύο καὶ εἴκοσιν. οὗ- 5 τοι καταλαβόντες τὸν τοῦ Πυθίου ναὸν πλησίον ὄντ' ἐσύλη- 20 σαν· ἀνθ' ὅτου καὶ οἱ Θηβαῖοι πόλεμον ἐξήνεγκαν πρὸς αὐτούς. ἐπολέμουν δὲ καὶ Ἀθηναῖοι τὸν συμμαχικὸν κληθέντα πόλεμον· Χῖοι γὰρ καὶ Ῥόδιοι καὶ Βυζάντιοι πάλαι ποτ' ὄντες ὑπήκοοι τῶν Ἀθηναίων, τότε μετ' ἀλλήλων συστάντες καὶ συμμαχίαν ποιησάμενοι, πρὸς αὐτοὺς ἐπολέμουν. καὶ οὕτω 25 μὲν ἡ Ἑλλὰς εἰς πολλὰ μέρη διῄρητο, Ἀθηναίων πολεμούντων πρὸς τοὺς προειρημένους καὶ Θηβαίων πρὸς Φωκέας καὶ Λα-

2 cf. Plut. Dem. c. 8 et 11 4 εἶπεν om. m 5 γ' Schaefer: τε FOm 6 παρέχηται μᾶλλον m 8 ἀπήρτηται m 10 εἰώθει τὸν ὦμον m 16 λέκτροις F (et B[1]) | τῆς] τοῖς O 17 μάχην O | αὐτοὶ Felicianus: αὐτοῖς Fm αὐτοὺς O | προῆλθον mg. Mor.: παρῆλθον FOm | εἰς om. O 19 Βοιωτίᾳ Wolf: εὐβοίαι FOm 20 δὲ καταλ. Fm 24 τῶν add. m | συστάντες μετ' ἀλλήλων O 27 εἰρημένους O | καὶ ante Λακ. om. F

κεδαιμονίων πρὸς Πελοποννησίους. κατὰ δὲ τοῦτον τὸν καιρὸν 9
Φίλιππος ὁ Ἀμύντου παῖς εἰς τὴν Μακεδόνων βασιλείαν παρ-
ῆλθεν. Ἀμύντᾳ γὰρ τῷ Μακεδονίας βασιλεῖ τρεῖς ἐγένοντο
παῖδες ἐξ Εὐρυδίκης τῆς Ἰλλυρίδος, Ἀλέξανδρος, Περδίκκας,
5 Φίλιππος. τούτων ὁ μὲν πρεσβύτατος Ἀλέξανδρος δολοφονη-
θεὶς ἐτελεύτησεν, ὁ δὲ Περδίκκας πρὸς Ἰλλυριοὺς μαχόμενος·
Φίλιππος δ' ὁ νεώτατος ἐτύγχανε μὲν ἐν Θήβαις ὁμηρεύων, ὡς
δ' ἐπύθετο τὸν Περδίκκου θάνατον, ὑπεξελθὼν λάθρᾳ καὶ ὀξέως
εἰς Μακεδονίαν ἀφικόμενος κατέσχε τὴν ἀρχήν. Ἀθηναῖοι δ'
10 ἄρ' ἕτερόν τινα, γένους μὲν ὄντα τοῦ βασιλικοῦ, φυγάδα δ' ἐκ
Μακεδονίας, ἐπὶ βασιλείαν κατῆγον μετὰ πολλοῦ πλήθους
στρατιωτῶν. τούτοις ὁ Φίλιππος ἐπιθέμενος ἐνίκησε μάχῃ· καὶ
ὅσους συνέλαβεν αἰχμαλώτους τῶν Ἀθηναίων, ἀφῆκεν ἄνευ
λύτρων, οὐ κατ' εὔνοιαν τῆς πόλεως οὐδὲ δι' ἐπιείκειαν
15 τρόπου ...

6 | Τῆς ῥητορικῆς μέρη τρία, ἐπιδεικτικόν, δικανικόν, συμβου-
λευτικόν. τοῖν μὲν δυοῖν ἄκρος ἀγωνιστὴς γέγονε, τοῦ τε δικανι-
κοῦ καὶ συμβουλευτικοῦ· ἐπιδεικτικοὺς δ' οὐκ ἔχομεν αὐτοῦ
λόγους. τοὺς γὰρ φερομένους οὐ πιστευτέον εἶναι Δημοσθένους,
20 τὸν ἐπιτάφιον καὶ τὸν ἐρωτικόν· πολὺ γὰρ τῆς ἐκείνου δυνά-

5 πρεσβύτατος G. H. Schaefer: πρεσβύτερος FOm 10 γένος F
11 βασιλείαν vulgo: βασιλέα FOm cf. Diod. XVI 2, unde haec sumpta videntur 14 δι' om. O 15 τοῦ τρόπου O | lacunam indicavit Augerus, ἀλλὰ δι' ἐπικράτειαν add. m, quod pugnat cum Libanii verbis orat. ad Theod. I 663 (II 431, 13 Foer.) quae attulit Voemel: ἀλλὰ μὴν πρός γε τὴν δοκοῦσαν Φιλίππου φιλανθρωπίαν περὶ τοὺς ἁλόντας Ἀθηναίων, ὅτ' Ἀργαῖον κατῆγον, οὐ χαλεπὸν ἀντειπεῖν, ὡς οὐκ εἴη τοῦτο φιλανθρωπία. τοῦ θεραπεύειν γὰρ Ἀθηναίους ἀνάγκην ἔχων τὴν ἀσθένειαν αὐτοῦ, οὓς ἡδέως ἂν ἐκόλασεν, ἄκων ἀφῆκε τὸ μηδὲν παρ' Ἀθηναίων ὕστερον παθεῖν ὠνούμενος. Fortasse ⟨ἀλλὰ δι' ἀσθένειαν αὐτοῦ, τὸ μηδὲν παρ' Ἀθηναίων ὕστερον παθεῖν ὠνούμενος⟩ | ΠΕΡΙ ΤΩΝ ΜΕΡΩΝ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ inscribit O 16 συμβουλευτικὸν καὶ δικανικὸν O 17 τοῖς O | μὲν οὖν Mor. | cf. Syrian. II 9, 7 Rab. 18 τοῦ quod post καὶ Dindorf addidit om. FOm; cf. Gött. gel. Anz. 1901 p. 121 sq. | λόγους αὐτοῦ O 20 τῆς om. m

μεως ἀπολείπονται. καὶ οὐχ ἡμετέραν γνώμην λέγομεν, ἀλλὰ
de Dem c. 44 p. 1095 R *καὶ Διονυσίῳ τῷ Ἁλικαρνασεῖ τοῦτο συνδοκεῖ. ὅτι μὲν γὰρ εἶπεν ἐπιτάφιον λόγον Δημοσθένης ὡμολόγηται· οὐ μὴν τοῦτον εἰκὸς εἶναι τὸν ὑπ' ἐκείνου ῥηθέντα, πάνυ φαύλως καὶ ἀσθενῶς ἔχοντα. τῶν δὲ συμβουλευτικῶν αὐτοῦ λόγων οἱ μὲν αὐτὸ τοῦτ'* 5 *ἔχουσιν ἐπίγραμμα, συμβουλευτικοί, οἱ δ' οὐδὲν μὲν ἧττόν εἰσι συμβουλευτικοί, Φιλιππικοὶ δ' ἐπιγράφονται, ἐκ τοῦ περὶ τῶν* ⟨*τοῦ Φιλίππου*⟩ *πραγμάτων εἰρῆσθαι τὴν κλῆσιν λαχόντες. καὶ τῶν Φιλιππικῶν ἕκαστος ἰδίαν τιν' ἐπιγραφὴν ἔχει κατὰ τὴν τῶν πραγμάτων ἑκάστων ἰδιότητα.* 10

2 *καὶ* om. O   6 *συμβουλευτικὸς* O   7 *δ'* Sauppe: *δὲ οἵδε* FOm   8 *τοῦ Φιλίππου* add. Mor.   10 *τῶν* om. O

ΦΙΛΙΠΠΙΚΟΙ

I

ΟΛΥΝΘΙΑΚΟΣ Α

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ

Ὄλυνθος ἦν πόλις ἐπὶ Θρᾴκης, Ἑλληνικὸν δὲ ταύτῃ τῶν ἐνοικούντων τὸ γένος, ἀπὸ Χαλκίδος τῆς ἐν Εὐβοίᾳ· ἡ δὲ 7 *Χαλκὶς Ἀθηναίων ἄποικος.* | *πολλοὶ δὲ πόλεμοι καὶ ἔνδοξοι τῆς Ὀλύνθου· Ἀθηναίοις τε γὰρ ἐπολέμησεν ἄρχουσι τῶν Ἑλλή-* 5 *νων τὸ παλαιὸν καὶ αὖθις Λακεδαιμονίοις· χρόνῳ τ᾽ εἰς δύναμιν προῆλθε μεγάλην καὶ τῶν συγγενῶν πόλεων ἐπῆρχεν· ἦν γὰρ ἐπὶ Θρᾴκης πολύ τι γένος Χαλκιδικόν. Φιλίππῳ δὲ* 2 *τῷ Μακεδόνων βασιλεῖ συμμαχίαν οἱ Ὀλύνθιοι ποιησάμενοι, καὶ πολεμοῦντες μετ᾽ αὐτοῦ πρὸς Ἀθηναίους τὸ κατ᾽ ἀρχάς,* 10 *καὶ τοῦτο μὲν Ἀνθεμοῦντα παρὰ τοῦ Μακεδόνος εἰληφότες, πόλιν ἀμφισβητήσιμον Μακεδόσι καὶ Ὀλυνθίοις, τοῦτο δὲ Ποτείδαιαν, ἣν Ἀθηναίων ἐχόντων ἐκπολιορκήσας ὁ Φίλιππος Ὀλυνθίοις παρέδωκεν, ὕστερον ὑποπτεύειν ἤρξαντο τὸν βασιλέα, ὁρῶντες αὐτοῦ ταχεῖαν καὶ πολλὴν τὴν αὔξησιν, οὐ πιστὴν* 15 *δὲ τὴν γνώμην. ἀποδημοῦντα δὲ τηρήσαντες αὐτόν, πέμψαντες πρέσβεις πρὸς Ἀθηναίους κατελύσαντο τὸν πρὸς αὐτοὺς πόλεμον, ποιοῦντες τοῦτο παρὰ τὰς συνθήκας τὰς πρὸς Φίλιππον· συνετέθειντο γὰρ καὶ κοινῇ πολεμεῖν πρὸς Ἀθηναίους,*

1 *θράικην* F | *ταύτην* F 6 *ἐπῆρχεν* F: *ὑπερεῖχεν* Y (*ἔσχεν* mg.) m 7 *τι* om. Y 13 *ὕστερον δὲ* Y 15 *δὲ* om. Y *οὖν* s. v. addito

3 κἂν ἄλλο τι δόξῃ, κοινῇ σπείσασθαι. ὁ δὲ Φίλιππος πάλαι μὲν προφάσεως ἐπ' αὐτοὺς δεόμενος, τότε δὲ ταύτην λαβών, ὡς τὰς συνθήκας παραβεβηκόσι καὶ πρὸς τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ φιλίαν ἐσπεισμένοις πόλεμον ἐπήνεγκεν. οἱ δὲ πεπόμφασι πρέσβεις εἰς Ἀθήνας περὶ βοηθείας, οἷς ὁ Δημοσθένης συν- 5 αγορεύει, βοηθεῖν κελεύων τοῖς Ὀλυνθίοις. καί φησι τὴν Ὀλυνθίων σωτηρίαν ἀσφάλειαν τῶν Ἀθηναίων εἶναι· σῳζομένων γὰρ τῶν Ὀλυνθίων οὐδέποθ' ἥξειν εἰς τὴν Ἀττικὴν Φίλιππον, ἀλλὰ τοῖς Ἀθηναίοις ἐξουσίαν ἔσεσθαι πλεῖν ἐπὶ τὴν Μακεδονίαν κἀκεῖ ποιεῖσθαι | τὸν πόλεμον· εἰ δ' ὑπὸ Φιλίππῳ γέ- 8 νοιθ' ἡ πόλις αὕτη, ἀνεῖσθαι τὴν ἐπὶ τὰς Ἀθήνας ὁδὸν τῷ 11 βασιλεῖ. φησὶ δὲ δύσμαχον εἶναι τὸν Φίλιππον οὐχ ὡς ὑπείληπται, θαρσύνων ἐπ' αὐτὸν τοὺς Ἀθηναίους.

4 Διείλεκται δὲ καὶ περὶ τῶν δημοσίων χρημάτων, συμβουλεύων αὐτὰ ποιῆσαι στρατιωτικὰ ἀντὶ θεωρικῶν. καὶ τὸ ἔθος 15 οὐ πρόδηλον ὄν, ᾧ ἐχρῶνθ' οἱ Ἀθηναῖοι, ἀνάγκη σαφηνίσαι. οὐκ ὄντος τὸ παλαιὸν θεάτρου λιθίνου παρ' αὐτοῖς, ἀλλὰ ξυλίνων συμπηγνυμένων ἰκρίων, καὶ πάντων καταλαμβάνειν τόπον σπευδόντων, πληγαί τ' ἐγίνοντο καί που καὶ τραύματα. τοῦτο κωλῦσαι βουληθέντες οἱ προεστῶτες τῶν Ἀθηναίων ὠνη- 20 τοὺς ἐποιήσαντο τοὺς τόπους, καὶ ἕκαστον ἔδει [διδόναι] δύ' ὀβολοὺς καταβαλόντα θέαν ἔχειν. ἵνα δὲ μὴ δοκῶσιν οἱ πένητες τῷ ἀναλώματι λυπεῖσθαι, ἐκ τοῦ δημοσίου λαμβάνειν ἕκαστον ἐτάχθη τοὺς δύ' ὀβολούς. ἐντεῦθεν μὲν οὖν τὸ ἔθος

3 τὰς μὲν Y 6 post τοῖς del. ἀθηναίοις Y 7 αὐτῶν ἀθ. m | εἶναι τῶν ἀθηναίων Y 8 γὰρ] δὲ F 10 γένηται m 11 τὰς ἀθήνας Y rec.: τοὺς ἀθηναίους F Y¹ m 12 δ' οὐ Lambinus δ' οὐδὲ Blass | δυσμάχητον Y | οὐχ ὡς Felicianus: οὕτως FYm οὕτως ὡς exemplar Italum apud Wolfium 14 πραγμάτων (χρη) Y¹ 15 ποιῆσαι αὐτὰ Fm 16 ὂν om. Y | ᾧ] ὃ ut videtur Y¹ | ἀνάγκη οὖν Y rec. | σαφ. ταῦτα Y (τοῦτο Y rec.) 18 τὸν τόπον Y 19 ἐγίγνοντο m 20 τῶν om. Y 21 sq. διδόναι .. 22 ὀβολοὺς καὶ libri, verbum delevi et καταβαλόντα cum Feliciano scripsi: βαλόντα (βάλλοντα F) 23 λυπεῖσθαι τῷ ἀναλ. Y

ἤρξατο, προῆλθε δ' εἰς τοῦτο, ὥστ' οὐκ εἰς τοὺς τόπους μόνον ἐλάμβανον, ἀλλ' ἁπλῶς πάντα τὰ δημόσια χρήματα διενέμοντο. ὅθεν καὶ περὶ τὰς στρατείας ὀκνηροὶ κατέστησαν. πάλαι μὲν 5 γὰρ στρατευόμενοι μισθὸν παρὰ τῆς πόλεως ἐλάμβανον, τότε
5 δ' ἐν ταῖς θεωρίαις καὶ ταῖς ἑορταῖς οἴκοι μένοντες διενέμοντο τὰ χρήματα· οὐκέτ' οὖν ἤθελον ἐξιέναι καὶ κινδυνεύειν, ἀλλὰ καὶ νόμον ἔθεντο περὶ τῶν θεωρικῶν τούτων χρημάτων, θάνατον ἀπειλοῦντα τῷ γράψαντι μετατεθῆναί τε ταῦτ' εἰς τὴν ἀρχαίαν τάξιν καὶ γενέσθαι στρατιωτικά. διὸ Δημοσθένης εὐ-
10 λαβῶς ἅπτεται τῆς περὶ τούτου συμβουλῆς, καὶ ὑπερωτήσας
9 ἑαυτὸν ὅτι „σὺ γράφεις ταῦτ' εἶναι στρατιωτικά;" | ἐπιφέρει 119 „μὰ Δί' οὐκ ἔγωγε". ταῦτα μὲν περὶ τῶν θεωρικῶν.

Διείλεκται δ' ὁ ῥήτωρ καὶ περὶ πολιτικῆς δυνάμεως, ἀξιῶν 6 αὐτοὺς στρατεύεσθαι, καὶ μὴ διὰ ξένων, ὥσπερ εἰώθεσαν, ποι-
15 εῖσθαι τὴν βοήθειαν· τοῦτο γὰρ αἴτιον εἶναί φησι τοῦ τὰ πράγματ' ἀπόλλυσθαι.

Ἀντὶ πολλῶν ἂν ὦ ἄνδρες Ἀθηναῖοι χρημάτων ὑμᾶς 1 **ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν** Prooem. I **τῇ πόλει περὶ ὧν νυνὶ σκοπεῖτε. ὅτε τοίνυν τοῦθ' οὕτως**
20 **ἔχει, προσήκει προθύμως ἐθέλειν ἀκούειν τῶν βουλομένων συμβουλεύειν· οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτ' ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω πολλὰ τῶν δεόντων ἐκ τοῦ παραχρῆμ' ἐνίοις ἂν ἐπελθεῖν εἰπεῖν, ὥστ' ἐξ ἁπάν-**
25 **των ῥᾳδίαν τὴν τοῦ συμφέροντος ὑμῖν αἵρεσιν γενέσθαι.**

Ὁ μὲν οὖν παρὼν καιρὸς ὦ ἄνδρες Ἀθηναῖοι μόνον 2 **οὐχὶ λέγει φωνὴν ἀφιείς, ὅτι τῶν πραγμάτων ὑμῖν ἐκεί-**

1 τοὺς τόπους Y: τοῦτο Fm 5 καὶ F: καὶ ἐν Y ἢ m 7 καὶ om. F 8 τε ταῦτα Fm: τε αὐτὰ Y 9 διὸ: διὸ ὁ Fm διὰ ταῦτο ὁ Y 10 sq. ὑπηρώτησεν ... καὶ ἐπιφ. Y 12 τοσαῦτα Y 15 φησι Y: ἔφη Fm 18 ἂν om. S 19 ὅτε] ὅτι S rec.

νων αὐτοῖς ἀντιληπτέον ἐστίν, εἴπερ ὑπὲρ σωτηρίας αὐ-
τῶν φροντίζετε· ἡμεῖς δ' οὐκ οἶδ' ὅντινά μοι δοκοῦμεν
ἔχειν τρόπον πρὸς αὐτά. ἔστι δὴ τά γ' ἐμοὶ δοκοῦντα,
ψηφίσασθαι μὲν ἤδη τὴν βοήθειαν, καὶ παρασκευάσα-
σθαι τὴν ταχίστην ὅπως ἐνθένδε βοηθήσετε (καὶ μὴ 5
πάθητε ταὐτὸν ὅπερ καὶ πρότερον), πρεσβείαν δὲ πέμ-|
3 πειν, ἥτις ταῦτ' ἐρεῖ καὶ παρέσται τοῖς πράγμασιν· ὡς **10**
ἔστι μάλιστα τοῦτο δέος, μὴ πανοῦργος ὢν καὶ δεινὸς
ἅνθρωπος πράγμασι χρῆσθαι, τὰ μὲν εἴκων, ἡνίκ' ἂν
τύχῃ, τὰ δ' ἀπειλῶν (ἀξιόπιστος δ' ἂν εἰκότως φαίνοιτο), 10
τὰ δ' ἡμᾶς διαβάλλων καὶ τὴν ἀπουσίαν τὴν ἡμετέραν,
τρέψηται καὶ παρασπάσηταί τι τῶν ὅλων πραγμάτων.
4 οὐ μὴν ἀλλ' ἐπιεικῶς ὦ ἄνδρες Ἀθηναῖοι τοῦθ' ὃ δυσ-
μαχώτατόν ἐστι τῶν Φιλίππου πραγμάτων, καὶ βέλτιστον
ὑμῖν· τὸ γὰρ εἶναι πάντων ἐκεῖνον ἕν' ὄντα κύριον, καὶ 15
ῥητῶν καὶ ἀπορρήτων, καὶ ἅμα στρατηγὸν καὶ δεσπότην
καὶ ταμίαν, καὶ πανταχοῦ αὐτὸν παρεῖναι τῷ στρατεύ-
ματι, πρὸς μὲν τὸ τὰ τοῦ πολέμου ταχὺ καὶ κατὰ καιρὸν
πράττεσθαι πολλῷ προέχει, πρὸς δὲ τὰς καταλλαγάς, ἃς
ἂν ἐκεῖνος ποιήσαιθ' ἄσμενος πρὸς Ὀλυνθίους, ἐναντίως 20
5 ἔχει. δῆλον γάρ ἐστι τοῖς Ὀλυνθίοις, ὅτι νῦν οὐ περὶ
δόξης οὐδ' ὑπὲρ μέρους χώρας πολεμοῦσιν, ἀλλ' ἀναστά-
σεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος, καὶ ἴσασιν ἅ τ'

ζε
2 μοι]ι in ras. F rec. 4 παρασκευάσασθαι F 5 βοηθήσετε Palatinus 142: βοηθήσητε SF | parenthesin statuit Doederlein 9 ἅνθρωπος Bekker: ἄνθρωπος SF 10 ἀξιόπιστα γρ. S rec. γρ. F mg. 12 τρέψηται]αι in ras. F^1 ἀνατρέψῃ τε Dobree coll. XXV 28 κλέψητε Holzinger, Cobet εὐτρεπίσηται Bake τρέψηται καὶ secl. Blass 17 αὐτὸν πανταχοῦ Benseler 18 τὸ om. S 20 ποιή-σαιτο γρ. S rec. γρ. F mg. Hermog. III 285 W. (303, 18 R.): ποιή-σηται S^1 F^1 22 οὐδ' ὑπὲρ] incipit antiqua manus U

Ἀμφιπολιτῶν ἐποίησε τοὺς παραδόντας αὐτῷ τὴν πόλιν
καὶ Πυδναίων τοὺς ὑποδεξαμένους· καὶ ὅλως ἄπιστον
οἶμαι ταῖς πολιτείαις ἡ τυραννίς, ἄλλως τε κἂν ὅμορον
χώραν ἔχωσι. ταῦτ᾽ οὖν ἐγνωκότας ὑμᾶς ὦ ἄνδρες Ἀθη- 6
5 ναῖοι καὶ τἄλλ᾽ ἃ προσήκει πάντ᾽ ἐνθυμουμένους φημὶ
δεῖν ἐθελῆσαι καὶ παροξυνθῆναι καὶ τῷ πολέμῳ προσ-
έχειν εἴπερ ποτὲ καὶ νῦν, χρήματ᾽ εἰσφέροντας προθύμως
καὶ αὐτοὺς ἐξιόντας καὶ μηδὲν ἐλλείποντας. οὐδὲ γὰρ
λόγος οὐδὲ σκῆψις ἔθ᾽ ὑμῖν τοῦ μὴ τὰ δέοντα ποιεῖν
10 ἐθέλειν ὑπολείπεται. νυνὶ γὰρ ὃ πάντες ἐθρυλεῖτε τέως, 7
11 Ὀλυνθίους ἐκπολεμῶσαι δεῖν | Φιλίππῳ, γέγονεν αὐτό-
ματον, καὶ ταῦθ᾽ ὡς ἂν ὑμῖν μάλιστα συμφέροι. εἰ μὲν
γὰρ ὑφ᾽ ὑμῶν πεισθέντες ἀνείλοντο τὸν πόλεμον, σφα-
λεροὶ σύμμαχοι καὶ μέχρι του ταῦτ᾽ ἂν ἐγνωκότες ἦσαν
15 ἴσως· ἐπειδὴ δ᾽ ἐκ τῶν πρὸς αὐτοὺς ἐγκλημάτων μισοῦ-
σιν, βεβαίαν εἰκὸς τὴν ἔχθραν αὐτοὺς ὑπὲρ ὧν φοβοῦν-
ται καὶ πεπόνθασιν ἔχειν. οὐ δεῖ δὴ τοιοῦτον ὦ ἄνδρες 8
Ἀθηναῖοι παραπεπτωκότα καιρὸν ἀφεῖναι, οὐδὲ παθεῖν
ταὔθ᾽ ὅπερ ἤδη πολλάκις πρότερον πεπόνθατε. εἰ γὰρ
20 ὅθ᾽ ἥκομεν Εὐβοεῦσιν βεβοηθηκότες καὶ παρῆσαν Ἀμφι-
πολιτῶν Ἱέραξ καὶ Στρατοκλῆς ἐπὶ τουτὶ τὸ βῆμα, κε-
λεύοντες ἡμᾶς πλεῖν καὶ παραλαμβάνειν τὴν πόλιν, τὴν
αὐτὴν παρειχόμεθ᾽ ἡμεῖς ὑπὲρ ἡμῶν αὐτῶν προθυμίαν

5 τᾶλλα προσ. S 7 εἰσφέροντα F[1] 10 ἐθρυλεῖτε τέως Sauppe: ἐθρυλεῖτε ὡς SFU ἐθρύλουν τέως Reiske (γρ. F?) ἐθρύλλουν τε γρ. S mg. rec. 11 ἐκπολεμῶσαι S corr. FU: ἐκπολεμῆσαι S[1] et exemplaria Ἀττικιανά (Harpocr. s. v. ἐκπολεμῶσαι), cf. III 7 | δεῖν S (teste Rabe) F[1]U[1] et U[3]: δεῖ F corr. U[2] 13 ἡμῶν F 14 ταὐτὰ Reiske Guttentag 17 δὴ δεῖ S corr. U corr. 20 παρῆσαν Dobree: παρῆσαν SFU 22 ἡμᾶς] incipit antiqua manus A | ἡμᾶς A: ὑμᾶς SU ηs. υ F 23 καὶ ὑπὲρ U

ἥνπερ ὑπὲρ τῆς Εὐβοέων σωτηρίας, εἴχετ' ἂν Ἀμφίπολιν
τότε καὶ πάντων τῶν μετὰ ταῦτ' ἂν ἦτ' ἀπηλλαγμένοι
9 πραγμάτων. καὶ πάλιν ἡνίκα Πύδνα, Ποτείδαια, Μεθώνη,
Παγασαί, τἄλλ', ἵνα μὴ καθ' ἕκαστα λέγων διατρίβω,
πολιορκούμεν' ἀπηγγέλλετο, εἰ τότε τούτων ἑνὶ τῷ πρώ- 5
τῳ προθύμως καὶ ὡς προσῆκεν ἐβοηθήσαμεν αὐτοί, ῥᾴονι
καὶ πολὺ ταπεινοτέρῳ νῦν ἂν ἐχρώμεθα τῷ Φιλίππῳ.
νῦν δὲ τὸ μὲν παρὸν αἰεὶ προϊέμενοι, τὰ δὲ μέλλοντ'
αὐτόματ' οἰόμενοι σχήσειν καλῶς, ηὐξήσαμεν ὦ ἄνδρες
Ἀθηναῖοι Φίλιππον ἡμεῖς καὶ κατεστήσαμεν τηλικοῦτον, 10
ἡλίκος οὐδείς πω βασιλεὺς γέγονε Μακεδονίας. νυνὶ δὴ
καιρὸς ἥκει τις οὗτος ὁ τῶν Ὀλυνθίων αὐτόματος τῇ
πόλει, ὃς οὐδενός ἐστιν ἐλάττων τῶν προτέρων ἐκείνων.
10 καὶ ἔμοιγε δοκεῖ τις ἂν ὦ ἄνδρες Ἀθηναῖοι δίκαιος λο-
γιστὴς | τῶν παρὰ τῶν θεῶν ἡμῖν ὑπηργμένων καταστάς, 12
καίπερ οὐκ ἐχόντων ὡς δεῖ πολλῶν, ὅμως μεγάλην ἂν 15
ἔχειν αὐτοῖς χάριν εἰκότως· τὸ μὲν γὰρ πόλλ' ἀπολωλε-
κέναι κατὰ τὸν πόλεμον τῆς ἡμετέρας ἀμελείας ἄν τις
θείη δικαίως, τὸ δὲ μήτε πάλαι τοῦτο πεπονθέναι πε-
φηνέναι τέ τιν' ἡμῖν συμμαχίαν τούτων ἀντίρροπον, ἂν 20
Prooem. XLI 3 βουλώμεθα χρῆσθαι, τῆς παρ' ἐκείνων εὐνοίας εὐεργέ-
11 τημ' ἂν ἔγωγε θείην. ἀλλ' οἶμαι παρόμοιόν ἐστιν ὅπερ
καὶ περὶ τῆς τῶν χρημάτων κτήσεως· ἂν μὲν γάρ, ὅσ' ἂν
τις λάβῃ, καὶ σῴσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν,

4 ἕκαστον Pal. 1 Hermog. III 415 (427, 9 R.) 5 τὸ πρῶτον U[1] 6 αὐτοί del. Zander 7 νυνὶ A 8 ἀεὶ AU | τὸ δὲ μέλλον τε U[1] 11 πώποτε γρ. S mg. rec. γρ. F | νυνὶ δὴ F: νῦν ἤδη S νυνὶ δὲ AU νυνὶ δὲ δὴ G. H. Schaefer 12 ὁ τῶν Ὀλ. del. Valckenaer 13 πρότερον SF[2]U[2] 15 ὑμῖν U | ὑπηργμένων γρ. S rec. γρ. FAU: ὑπηρετημένων SF 17 ἄν τις ἀμελείας Hermog. III 282 (300, 9 R.) 18 τὸν om. S 20 τέ s. v. A[2] 22 ὅπερ del. Blass ὥσπερ Dobree

ἂν δ' ἀναλώσας λάθῃ, συνανήλωσε καὶ τὸ μεμνῆσθαι τὴν
χάριν. καὶ περὶ τῶν πραγμάτων οὕτως· οἱ μὴ χρησάμενοι
τοῖς καιροῖς ὀρθῶς, οὐδ' εἰ συνέβη τι παρὰ τῶν θεῶν
χρηστὸν μνημονεύουσι· πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν
5 ἕκαστον τῶν πρὶν ὑπαρξάντων κρίνεται. διὸ καὶ σφόδρα
δεῖ τῶν λοιπῶν ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι φροντίσαι, ἵνα
ταῦτ' ἐπανορθωσάμενοι τὴν ἐπὶ τοῖς πεπραγμένοις
ἀδοξίαν ἀποτριψώμεθα. εἰ δὲ προησόμεθ' ὦ ἄνδρες 12
Ἀθηναῖοι καὶ τούτους τοὺς ἀνθρώπους, εἶτ' Ὄλυνθον
10 ἐκεῖνος καταστρέψεται, φρασάτω τις ἐμοί, τί τὸ κωλῦον
ἔτ' αὐτὸν ἔσται βαδίζειν ὅποι βούλεται. ἆρα λογίζεταί
τις ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι καὶ θεωρεῖ τὸν τρόπον, δι'
ὃν μέγας γέγονεν, ἀσθενὴς ὢν τὸ κατ' ἀρχὰς Φίλιππος;
τὸ πρῶτον Ἀμφίπολιν λαβών, μετὰ ταῦτα Πύδναν, πάλιν
15 Ποτείδαιαν, Μεθώνην αὖθις, εἶτα Θετταλίας ἐπέβη· μετὰ 13
ταῦτα Φεράς, Παγασάς, Μαγνησίαν, πάνθ' ὃν ἐβούλετ'
18 εὐτρεπίσας τρόπον | ᾤχετ' εἰς Θρᾴκην· εἶτ' ἐκεῖ τοὺς
μὲν ἐκβαλὼν τοὺς δὲ καταστήσας τῶν βασιλέων ἠσθέ-
νησεν· πάλιν ῥᾴσας οὐκ ἐπὶ τὸ ῥᾳθυμεῖν ἀπέκλινεν, ἀλλ'
20 εὐθὺς Ὀλυνθίοις ἐπεχείρησεν. τὰς δ' ἐπ' Ἰλλυριοὺς καὶ
Παίονας αὐτοῦ καὶ πρὸς Ἀρύββαν καὶ ὅποι τις ἂν εἴποι
παραλείπω στρατείας.

1 τὸ S^1 ex quo τῶ (ὸ supra) factum est | τὴν χάριν SF: del. Cobet
τῇ τύχῃ ante τὴν χάριν add. γρ. S mg. rec. F s. v. et γρ. mg., AU
3 τοῦ θεοῦ U   5 πρὶν ὑπαρξάντων S: προϋπαρξάντων FAU |
ὡς τὰ πολλὰ ante κρίνεται add. S rec. s. v. F s. v., AU   6 ὑμᾶς
SAFU: ἡμᾶς vulgo | φροντίσαι (ζειν supra) F   11 ἔσται αὐτὸν U | βού-
λοιτο U | ἆρά γε FA   13 κατὰ τὴν ἀρχὴν U mg. | ὁ φίλ. AU
17 ἐς S   19 ῥᾴσας Herwerden: ῥαΐσας SFAU   21 ἀρύββαν
S^1F^1A (cf. C. I. A. II 115): ἀρύμβαν S^2F^2U   22 στρατιάς S^1A

14 „Τί οὖν“ ἄν τις εἴποι „ταῦτα λέγεις ἡμῖν νῦν;“ ἵνα γνῶτ' ὦ ἄνδρες Ἀθηναῖοι καὶ αἴσθησθ' ἀμφότερα, καὶ τὸ προΐεσθαι καθ' ἕκαστον αἰεί τι τῶν πραγμάτων ὡς ἀλυσιτελές, καὶ τὴν φιλοπραγμοσύνην ᾗ χρῆται καὶ συζῇ Φίλιππος, ὑφ' ἧς οὐκ ἔστιν ὅπως ἀγαπήσας τοῖς πεπραγ- 5 μένοις ἡσυχίαν σχήσει. εἰ δ' ὁ μὲν ὡς αἰεί τι μεῖζον τῶν ὑπαρχόντων δεῖ πράττειν ἐγνωκὼς ἔσται, ἡμεῖς δ' ὡς οὐδενὸς ἀντιληπτέον ἐρρωμένως τῶν πραγμάτων, σκο-
15 πεῖσθ' εἰς τί ποτ' ἐλπὶς ταῦτα τελευτῆσαι. πρὸς θεῶν, τίς οὕτως εὐήθης ἐστὶν ὑμῶν ὅστις ἀγνοεῖ τὸν ἐκεῖθεν 10 πόλεμον δεῦρ' ἥξοντα, ἂν ἀμελήσωμεν; ἀλλὰ μήν, εἰ τοῦτο γενήσεται, δέδοικ' ὦ ἄνδρες Ἀθηναῖοι μὴ τὸν αὐτὸν τρόπον ὥσπερ οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς μεγάλοις [τόκοις] μικρὸν εὐπορήσαντες χρόνον ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν, οὕτως καὶ ἡμεῖς [ἂν] ἐπὶ 15 πολλῷ φανῶμεν ἐρρᾳθυμηκότες, καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ καὶ χαλεπὰ ὧν οὐκ ἠβουλόμεθ' ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐτῇ τῇ χώρᾳ.

16 Τὸ μὲν οὖν ἐπιτιμᾶν ἴσως φήσαι τις ἂν ῥᾴδιον καὶ 20 παντὸς εἶναι, τὸ δ' ὑπὲρ τῶν παρόντων ὅ τι δεῖ πράττειν ἀποφαίνεσθαι, τοῦτ' εἶναι συμβούλου. ἐγὼ δ' οὐκ ἀγνοῶ μὲν ὦ ἄνδρες Ἀθηναῖοι τοῦθ', ὅτι πολ|λάκις 14 ὑμεῖς οὐ τοὺς αἰτίους, ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν πραγμάτων εἰπόντας ἐν ὀργῇ ποιεῖσθε, ἄν τι μὴ κατὰ 25

1 ἄν τις εἴποι A: τις ἂν εἴποι SFU; del. Cobet 3 ἀεὶ AU 4 συνζῇ A[1] 6 ἀεί AU 7. ὅτι δεῖ A 8 τῶν πραγμάτων ἀντιλ. ἐρρωμένως U[1] | σκοπεῖσθ'] τε S mg. rec. σκοπεῖτε vulgo 10 ἐστὶν εὐήθης AU | verba εὐήθης usque ad II 16 (κο)πτόμενοι in A perierunt | ἡμῶν U[2] 14 μεγάλοις τόκοις SFU: τόκοις om. Priscian. XVIII 295 del. L. Spengel 15 ἂν om. Pal. 104; del. Dobree 16 ἅπαντα] ἅπαν τὸ U

γνώμην ἐκβῇ· οὐ μὴν οἶμαι δεῖν τὴν ἰδίαν ἀσφάλειαν
σκοποῦνθ' ὑποστείλασθαι περὶ ὧν ὑμῖν συμφέρειν
ἡγοῦμαι. φημὶ δὴ διχῇ βοηθητέον εἶναι τοῖς πράγμασιν 17
ὑμῖν, τῷ τε τὰς πόλεις τοῖς Ὀλυνθίοις σῴζειν καὶ τοὺς
5 τοῦτο ποιήσοντας στρατιώτας ἐκπέμπειν, καὶ τῷ τὴν
ἐκείνου χώραν κακῶς ποιεῖν καὶ τριήρεσι καὶ στρατιώ-
ταις ἑτέροις· εἰ δὲ θατέρου τούτων ὀλιγωρήσετε, ὀκνῶ
μὴ μάταιος ἡμῖν ἡ στρατεία γένηται. εἴτε γὰρ ὑμῶν τὴν 18
ἐκείνου κακῶς ποιούντων, ὑπομείνας τοῦτ' Ὄλυνθον
10 παραστήσεται, ῥᾳδίως ἐπὶ τὴν οἰκείαν ἐλθὼν ἀμυνεῖται·
εἴτε βοηθησάντων μόνον ὑμῶν εἰς Ὄλυνθον, ἀκινδύνως
ὁρῶν ἔχοντα τὰ οἴκοι προσκαθεδεῖται καὶ προσεδρεύσει
τοῖς πράγμασι, περιέσται τῷ χρόνῳ τῶν πολιορκουμένων.
δεῖ δὴ πολλὴν καὶ διχῇ τὴν βοήθειαν εἶναι.

15 Καὶ περὶ μὲν τῆς βοηθείας ταῦτα γιγνώσκω· περὶ δὲ 19
χρημάτων πόρου, ἔστιν ὦ ἄνδρες Ἀθηναῖοι χρήμαθ'
ὑμῖν, ἔστιν ὅσ' οὐδενὶ τῶν ἄλλων ἀνθρώπων στρατιω-
τικά· ταῦτα δ' ὑμεῖς οὕτως ὡς βούλεσθε λαμβάνετε. εἰ
μὲν οὖν ταῦτα τοῖς στρατευομένοις ἀποδώσετε, οὐδενὸς
20 ὑμῖν προσδεῖ πόρου, εἰ δὲ μή, προσδεῖ, μᾶλλον δ' ἅπαν-
τος ἐνδεῖ τοῦ πόρου. „τί οὖν;" ἄν τις εἴποι, „σὺ γρά-
φεις ταῦτ' εἶναι στρατιωτικά;" μὰ Δί' οὐκ ἔγωγε. ἐγὼ 20
μὲν γὰρ ἡγοῦμαι στρατιώτας δεῖν κατασκευασθῆναι καὶ
ταῦτ' εἶναι στρατιωτικά, καὶ μίαν σύνταξιν εἶναι τὴν
25 αὐτὴν τοῦ τε λαμβάνειν καὶ τοῦ ποιεῖν τὰ δέοντα, ὑμεῖς

1 οἶμαι γε U 4 καὶ in ras. S a m. recentissima 8 στρατιὰ S^1F | ὑμῶν ⟨μόνον⟩ Cobet (post Reiskium) 10 οἰκίαν F | ἀμύνεται S^1 13 καὶ περιέσται U 14 δὴ] δὲ F 16 ἔστιν ὑμῖν (omisso ὑμῖν v. 17) Hermog. III 413 W. (425, 4 R.) 17 οὐδέσι Dindorf | στρατιωτικά del. Bake 20 δὲ παντὸς U 23 sq. καὶ . . . στρατιωτικά del. Dobree 24 ταῦτ' del. Bekker cf. Meiser in Fleckeiseni ann. 1874, 706

δ' οὕτω πως ἄνευ πραγμάτων λαμβάνειν εἰς τὰς ἑορτάς. ἔστι δὴ | λοιπὸν οἶμαι πάντας εἰσφέρειν, ἂν πολλῶν δέῃ, 15
πολλά, ἂν ὀλίγων, ὀλίγα. δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων. λέγουσι δὲ καὶ ἄλλους τινὰς ἄλλοι πόρους, ὧν ἕλεσθ' ὅστις ὑμῖν συμφέρειν δοκεῖ· 5
καὶ ἕως ἐστὶ καιρός, ἀντιλάβεσθε τῶν πραγμάτων.

21 *Ἄξιον δ' ἐνθυμηθῆναι καὶ λογίσασθαι τὰ πράγματ' ἐν ᾧ καθέστηκε νυνὶ τὰ Φιλίππου. οὔτε γάρ, ὡς δοκεῖ καὶ φήσειέ τις ἂν μὴ σκοπῶν ἀκριβῶς, εὐτρεπῶς οὐδ' ὡς ἂν κάλλιστ' αὐτῷ τὰ παρόντ' ἔχει, οὔτ' ἂν ἐξήνεγκε* 10
τὸν πόλεμόν ποτε τοῦτον ἐκεῖνος, εἰ πολεμεῖν ᾠήθη δεήσειν αὐτόν, ἀλλ' εὐθέως ἐπιὼν ἅπαντα τότ' ἤλπιζε τὰ πράγματ' ἀναιρήσεσθαι, κᾆτα διέψευσται. τοῦτο δὴ πρῶτον αὐτὸν ταράττει παρὰ γνώμην γεγονὸς καὶ πολλὴν
22 *ἀθυμίαν αὐτῷ παρέχει, εἶτα τὰ τῶν Θετταλῶν. ταῦτα* 15
γὰρ ἄπιστα μὲν ἦν δήπου φύσει καὶ αἰεὶ πᾶσιν ἀνθρώποις, κομιδῇ δ', ὥσπερ ἦν, καὶ ἔστι νῦν τούτῳ. καὶ γὰρ Παγασὰς ἀπαιτεῖν αὐτόν εἰσιν ἐψηφισμένοι, καὶ Μαγνησίαν κεκωλύκασι τειχίζειν. ἤκουον δ' ἔγωγέ τινων, ὡς οὐδὲ τοὺς λιμένας καὶ τὰς ἀγορὰς ἔτι δώσοιεν αὐτῷ 20
καρποῦσθαι· τὰ γὰρ κοινὰ τὰ Θετταλῶν ἀπὸ τούτων δέοι διοικεῖν, οὐ Φίλιππον λαμβάνειν. εἰ δὲ τούτων ἀποστερήσεται τῶν χρημάτων, εἰς στενὸν κομιδῇ τὰ τῆς
23 *τροφῆς τοῖς ξένοις αὐτῷ καταστήσεται. ἀλλὰ μὴν τόν γε Παίονα καὶ τὸν Ἰλλυριὸν καὶ ἁπλῶς τούτους ἅπαντας* 25
ἡγεῖσθαι χρὴ αὐτονόμους ἥδιον ἂν καὶ ἐλευθέρους ἢ

1 *λαμβάνετε* U 3 *δὲ* SFU[1] *δὴ* U[2] 4 sq. *τινες ἄλλους πόρους* U 10 *ἔχει* Aug. 3[1]: *ἔχῃ* SF *ἔχοι* U 12 *εὐθέως* Fox: *ὡς* SFU 13 *καταδιέψευσται* S[1]F 16 *μὲν ἤδη που φύσει που* U | *ἀεὶ* U 17 *δ'* om. U 23 *ἀποστερήσεται* Y suppl.: *ἀποστερηθήσεται* SFU 25 *τούτους*] *τοὺς* U

δούλους εἶναι· καὶ γὰρ ἀήθεις τοῦ κατακούειν τινός
εἰσιν, καὶ ἄνθρωπος ὑβριστής, ὥς φασιν. καὶ μὰ Δί'
16 οὐδὲν ἄπιστον ἴσως· τὸ γὰρ | εὖ πράττειν παρὰ τὴν ἀξίαν
ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίγνεται, διό-
5 περ πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ τοῦ κτήσασθαι
χαλεπώτερον εἶναι. δεῖ τοίνυν ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι 24
τὴν ἀκαιρίαν τὴν ἐκείνου καιρὸν ὑμέτερον νομίσαντας
ἑτοίμως συνάρασθαι τὰ πράγματα, καὶ πρεσβευομένους
ἐφ' ἃ δεῖ, καὶ στρατευομένους αὐτοὺς καὶ παροξύνοντας
10 τοὺς ἄλλους ἅπαντας, λογιζομένους, εἰ Φίλιππος λάβοι
καθ' ἡμῶν τοιοῦτον καιρὸν καὶ πόλεμος γένοιτο πρὸς
τῇ χώρᾳ, πῶς ἂν αὐτὸν οἴεσθ' ἑτοίμως ἐφ' ὑμᾶς ἐλθεῖν;
εἶτ' οὐκ αἰσχύνεσθε, εἰ μηδ' ἃ πάθοιτ' ἄν, εἰ δύναιτ'
ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες οὐ τολμήσετε;

15 Ἔτι τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι μηδὲ τοῦθ' ὑμᾶς λαν- 25
θανέτω, ὅτι νῦν αἵρεσίς ἐστιν ὑμῖν, πότερ' ὑμᾶς ἐκεῖ
χρὴ πολεμεῖν ἢ παρ' ὑμῖν ἐκεῖνον. ἐὰν μὲν γὰρ ἀντέχῃ
τὰ τῶν Ὀλυνθίων, ὑμεῖς ἐκεῖ πολεμήσετε καὶ τὴν ἐκεί-
νου κακῶς ποιήσετε, τὴν ὑπάρχουσαν καὶ τὴν οἰκείαν
20 ταύτην ἀδεῶς καρπούμενοι· ἂν δ' ἐκεῖνα Φίλιππος λάβῃ,
τίς αὐτὸν κωλύσει δεῦρο βαδίζειν; Θηβαῖοι; μὴ λίαν 26
πικρὸν εἰπεῖν ᾖ, καὶ συνεισβαλοῦσιν ἑτοίμως. ἀλλὰ Φω-
κεῖς; οἱ τὴν οἰκείαν οὐχ οἷοί τ' ὄντες φυλάττειν, ἐὰν μὴ
βοηθήσηθ' ὑμεῖς. ἢ ἄλλος τις; ἀλλ' ὦταν, οὐχὶ βουλή-
25 σεται. τῶν ἀτοπωτάτων μέντἂν εἴη, εἰ ἃ νῦν ἄνοιαν

1 τοῦ κατα habet S rec. in lac. 4 litt. (τ . . ακουειν S[1] teste Blassio; fuerit τουακουειν) 2 ἄνθρωπος Bekker: ἄνθρωπος SFU 6 ἡμᾶς Lex. Vindob. p. 165, 11 7 ἡμέτερον SF[1]U 11 ὑμῶν Harleianus 12 τὴν χώρᾱ S[1]U[1] | ἡμᾶς O 13 μηδ' vel (post Frankium) v. 14 οὐ del. Cobet coll. XXI 57 21 αὐτὸν ἔτι Lex. Vindob. p. 52, 19 | ⟨οἳ⟩ μὴ Baiter 22 ἀλλ' οἱ U[1] 24 ὑμεῖς ἢ ἄλλος τις. interpunxit cum S[1]F Blass (cf. rhet. Gr. IV 739, 26 W.)

ὀφλισκάνων ὅμως ἐκλαλεῖ, ταῦτα συνηθεὶς μὴ πράξει.
27 ἀλλὰ μὴν ἡλίκα γ' ἐστὶν τὰ διάφορ' ἐνθάδ' ἢ 'κεῖ πολε-
μεῖν, οὐδὲ λόγου προσδεῖν ἡγοῦμαι. εἰ γὰρ ὑμᾶς δεήσειεν
αὐτοὺς τριάκονθ' ἡμέρας μόνας ἔξω γενέσθαι, καὶ ὅσ' 4
ἀνάγκη στρατοπέδῳ χρωμένους τῶν ἐκ τῆς χώρας | λαμ- 17
βάνειν, μηδενὸς ὄντος ἐν αὐτῇ πολεμίου λέγω, πλεῖον'
ἂν οἶμαι ζημιωθῆναι τοὺς γεωργοῦντας ὑμῶν ἢ ὅσ' εἰς
ἅπαντα τὸν πρὸ τοῦ πόλεμον δεδαπάνησθε. εἰ δὲ δὴ
πόλεμός τις ἥξει, πόσα χρὴ νομίσαι ζημιώσεσθαι; καὶ
πρόσεσθ' ἡ ὕβρις καὶ ἔθ' ἡ τῶν πραγμάτων αἰσχύνη, 10
οὐδεμιᾶς ἐλάττων ζημία τοῖς γε σώφροσιν.

28 Πάντα δὴ ταῦτα δεῖ συνιδόντας ἅπαντας βοηθεῖν καὶ
ἀπωθεῖν ἐκεῖσε τὸν πόλεμον, τοὺς μὲν εὐπόρους, ἵν' ὑπὲρ
τῶν πολλῶν ὧν καλῶς ποιοῦντες ἔχουσι μίκρ' ἀναλί-
σκοντες τὰ λοιπὰ καρπῶνται ἀδεῶς, τοὺς δ' ἐν ἡλικίᾳ, 15
ἵνα τὴν τοῦ πολεμεῖν ἐμπειρίαν ἐν τῇ Φιλίππου χώρᾳ
κτησάμενοι φοβεροὶ φύλακες τῆς οἰκείας ἀκεραίου γέ-
νωνται, τοὺς δὲ λέγοντας, ἵν' αἱ τῶν πεπολιτευμένων
αὐτοῖς εὔθυναι ῥᾴδιαι γένωνται, ὡς ὁποῖ' ἄττ' ἂν ὑμᾶς
περιστῇ τὰ πράγματα, τοιοῦτοι κριταὶ καὶ τῶν πεπραγ- 20
μένων αὐτοῖς ἔσεσθε. χρηστὰ δ' εἴη παντὸς εἵνεκα.

1 ἐγκαλεῖ F in ras. | πράξηι SF[1] ut videtur 4 μόνας hab. U[1] s. v. 6 μηδενὸς (οὐ superscr.) F, οὐ ab alt. m. | πλείον' Blass: πλέον SFU πλεῖον Syrian. II 191, 5 7 ὑμῶν U: ἡμῶν S ἡμῶν (υ superscr.) F 8 δεδαπανῆσθαι F[1] | δὴ om U 9 ζημιώσεσθαι (ε superscr.) F 11 ζημίας U (non S) 14 ὧν] ἃ U 15 ἀδεῶς καρπῶνται U Syrianus 16 τῇ τοῦ vulgo (non F) 19 ὁποῖα ταν U[1] τινα superscr. U rec. 20 καὶ om. U 21 ἕνεκα U

In S F subscriptum est (versuum numerus in S a sec. manu)

ὈΛΥΝΘΙΑΚΟΣ Ᾱ
Η̄ Η̄ [Δ̄] Δ̄ Π̄

II

ΟΛΥΝΘΙΑΚΟΣ Β

ΥΠΟΘΕΣΙΣ

Προσήκαντο μὲν τὴν πρεσβείαν τῶν Ὀλυνθίων οἱ Ἀθηναῖοι, καὶ βοηθεῖν αὐτοῖς κεκρίκασι· μέλλουσι δὲ περὶ τὴν ἔξοδον καὶ δεδιόσιν ὡς δυσπολεμήτου τοῦ Φιλίππου, παρελθὼν ὁ Δημοσθένης πειρᾶται θαρσύνειν τὸν δῆμον, ἐπιδεικνὺς 5 ὡς ἀσθενῆ τὰ τοῦ Μακεδόνος πράγματα. καὶ γὰρ τοῖς συμμάχοις ὕποπτον αὐτὸν εἶναί φησι καὶ κατὰ τὴν ἰδίαν δύναμιν οὐκ ἰσχυρόν· τοὺς γὰρ Μακεδόνας ἀσθενεῖς εἶναι καθ' ἑαυτούς.

18 Ἐπὶ πολλῶν μὲν ἄν τις ἰδεῖν ὦ ἄνδρες Ἀθηναῖοι δοκεῖ μοι τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν γιγνο- 10 μένην τῇ πόλει, οὐχ ἥκιστα δ' ἐν τοῖς παροῦσι πράγμασιν· τὸ γὰρ τοὺς πολεμήσοντας Φιλίππῳ γεγενῆσθαι καὶ χώραν ὅμορον καὶ δύναμίν τινα κεκτημένους, καὶ τὸ μέγιστον ἁπάντων, τὴν ὑπὲρ τοῦ πολέμου γνώμην τοιαύτην ἔχοντας, ὥστε τὰς πρὸς ἐκεῖνον διαλλαγὰς πρῶ- 15 τον μὲν ἀπίστους, εἶτα τῆς ἑαυτῶν πατρίδος νομίζειν ἀνάστασιν, δαιμονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ. δεῖ τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι τοῦτ' ἤδη 2 σκοπεῖν αὐτούς, ὅπως μὴ χείρους περὶ ἡμᾶς αὐτοὺς εἶναι δόξομεν τῶν ὑπαρχόντων, ὡς ἔστι τῶν αἰσχρῶν, 20 μᾶλλον δὲ τῶν αἰσχίστων, μὴ μόνον πόλεων καὶ τόπων ὧν ἦμέν ποτε κύριοι φαίνεσθαι προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευασθέντων συμμάχων καὶ καιρῶν.

5 *ἀσθενεῖ* Y 6 *αὐτὸν ὕποπτον* Y | *ἰδίαν* FU m: *οἰκείαν* Y cf. or. § 13 16 *ἀνάστασιν εἶναι* F 18 prius *αὐτοὺς* del. vel cum c. Rehd. in *ἡμᾶς* mutat Dobree 19 *δόξομεν* Vat. 69 corr., Bekker: *δόξωμεν* SF 20 *μόνων* F[1] 22 *καὶ* SF[1]: *τε καὶ* F[2] ut vid.

3 Τὸ μὲν οὖν ὦ ἄνδρες Ἀθηναῖοι τὴν Φιλίππου ῥώμην διεξιέναι καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς, οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι. διὰ τί; ὅτι μοι δοκεῖ πάνθ' ὅσ' ἂν εἴποι τις ὑπὲρ τούτων, ἐκείνῳ μὲν ἔχειν φιλοτιμίαν, ἡμῖν δ' οὐχὶ καλῶς πεπρᾶχθαι. 5 ὁ μὲν γὰρ ὅσῳ πλείον' ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν αὑτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσι νομίζεται· ὑμεῖς δ' ὅσῳ χεῖρον ἢ προσῆκεν κέχρησθε τοῖς πράγ-
4 μασιν, τοσούτῳ πλείον' αἰσχύνην ὠφλήκατε. ταῦτα μὲν 9 οὖν παραλείψω. καὶ γὰρ εἰ μετ' | ἀληθείας τις ὦ ἄνδρες 19 Ἀθηναῖοι σκοποῖτο, ἐνθένδ' ἂν αὐτὸν ἴδοι μέγαν γεγενημένον, οὐχὶ παρ' αὑτοῦ. ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὑτοῦ πεπολιτευμένοις χάριν, ὑμῖν δὲ δίκην προσήκει λαβεῖν, οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν· ἃ δὲ καὶ χωρὶς τούτων ἔνι, καὶ βέλτιόν ἐστιν ἀκηκοέναι 15 πάντας ὑμᾶς, καὶ μεγάλ' ὦ ἄνδρες Ἀθηναῖοι κατ' ἐκείνου φαίνοιτ' ἂν ὀνείδη βουλομένοις ὀρθῶς δοκιμάζειν, ταῦτ' εἰπεῖν πειράσομαι.

5 Τὸ μὲν οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν, ἄνευ τοῦ τὰ πεπραγμένα δεικνύναι, λοιδορίαν εἶναί τις ἂν φήσειεν 20 κενὴν δικαίως· τὸ δὲ πάνθ' ὅσα πώποτ' ἔπραξε διεξιόντ' ἐφ' ἅπασι τούτοις ἐλέγχειν, καὶ βραχέος λόγου συμβαίνει δεῖσθαι, καὶ δυοῖν ἕνεχ' ἡγοῦμαι συμφέρειν εἰρῆσθαι, τοῦ τ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι, καὶ τοὺς ὑπερεκπεπληγμένους ὡς ἄμαχόν τινα 25

1 ὦ ἄνδ. Ἀθ. om. Hermog. III 216 W. (239, 20 R.). 272 (291, 8 R.) 4 εἴπῃ O 5 φιλοτιμίαν τινὰ S rec. F 6 γὰρ Φίλιππος .. 7 ἑαυτοῦ .. 8 ὑμεῖς δὲ ὦ Ἀθηναῖοι Hermog. III 157 W. (182, 12 R.) 14 οὐχὶ S[1]: τούτων οὐχὶ S man. scholiastae recentissimi, Hermog. III 151 (177, 12 R.). 155 (180, 22 R.) ὑπὲρ τούτων οὐχὶ F 23 συμφέρειν ἡγοῦμαι F 25 τοῦ τοὺς F | ὑπερεκπεπλημένους F

τὸν Φίλιππον ἰδεῖν, ὅτι πάντα διεξελήλυθεν οἷς πρότερον
παρακρουόμενος μέγας ηὐξήθη, καὶ πρὸς αὐτὴν ἥκει τὴν
τελευτὴν τὰ πράγματ' αὐτοῦ. ἐγὼ γὰρ ὦ ἄνδρες Ἀθη- 6
ναῖοι σφόδρ' ἂν ἡγούμην καὶ αὐτὸς φοβερὸν τὸν Φίλιπ-
5 πον καὶ θαυμαστόν, εἰ τὰ δίκαια πράττονθ' ἑώρων ηὐξη-
μένον· νῦν δὲ θεωρῶν καὶ σκοπῶν εὑρίσκω τὴν μὲν
ἡμετέραν εὐήθειαν τὸ κατ' ἀρχάς, ὅτ' Ὀλυνθίους ἀπ-
ήλαυνόν τινες ἐνθένδε βουλομένους ὑμῖν διαλεχθῆναι,
τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν καὶ τὸ θρυλού-
10 μενόν ποτ' ἀπόρρητον ἐκεῖνο κατασκευάσαι, τούτῳ προσ-
αγαγόμενον, τὴν δ' Ὀλυνθίων φιλίαν μετὰ ταῦτα τῷ 7
20 Ποτείδαιαν οὖσαν ὑμετέραν ἐξελεῖν, | καὶ τοὺς μὲν πρό-
τερον συμμάχους ὑμᾶς ἀδικῆσαι, παραδοῦναι δ' ἐκείνοις,
Θετταλοὺς δὲ νῦν τὰ τελευταῖα τῷ Μαγνησίαν παραδώ-
15 σειν ὑποσχέσθαι καὶ τὸν Φωκικὸν πόλεμον πολεμήσειν
ὑπὲρ αὐτῶν ἀναδέξασθαι. ὅλως δ' οὐδείς ἐστιν ὅντιν'
οὐ πεφενάκικεν ἐκεῖνος τῶν αὐτῷ χρησαμένων· τὴν γὰρ
ἑκάστων ἄνοιαν αἰεὶ τῶν ἀγνοούντων αὐτὸν ἐξαπατῶν
καὶ προσλαμβάνων οὕτως ηὐξήθη. ὥσπερ οὖν διὰ τού- 8
20 των ἤρθη μέγας, ἡνίχ' ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς
ᾤοντό τι πράξειν, οὕτως ὀφείλει διὰ τῶν αὐτῶν τούτων
καὶ καθαιρεθῆναι πάλιν, ἐπειδὴ πάνθ' ἕνεχ' ἑαυτοῦ ποιῶν
ἐξελήλεγκται. καιροῦ μὲν δὴ ὦ ἄνδρες Ἀθηναῖοι πρὸς
τοῦτο πάρεστι Φιλίππῳ τὰ πράγματα· ἢ παρελθών τις
25 ἐμοί, μᾶλλον δ' ὑμῖν δειξάτω, ὡς οὐκ ἀληθῆ ταῦτ' ἐγὼ
λέγω, ἢ ὡς οἱ τὰ πρῶτ' ἐξηπατημένοι τὰ λοιπὰ πιστεύ-

2 μέγας νῦν γρ. F 3 αὐτοῦ (ῶι supra) F, αὐτῷ vulgo cf. XVIII 295
8 βουλομένοις F 10 κατασκευάσαι (σειν supra) F | προσαγόμενον F 13 ὑμᾶς
del. Blass cf. Berl. Phil. Woch. 1910 p. 1148 23 ἐξελήλεκται S[1]
24 τοῦτον? F[1] 25 ἢ ὡς F 26 πιστεύσουσιν αὐτῶι γρ. F

σουσιν, ἢ ὡς οἱ παρὰ τὴν αὑτῶν ἀξίαν δεδουλωμένοι Θετταλοὶ νῦν οὐκ ἂν ἐλεύθεροι γένοινθ' ἅσμενοι.

9 *Καὶ μὴν εἴ τις ὑμῶν ταῦτα μὲν οὕτως ἔχειν ἡγεῖται, οἴεται δὲ βίᾳ καθέξειν αὐτὸν τὰ πράγματα τῷ τὰ χωρία καὶ λιμένας καὶ τὰ τοιαῦτα προειληφέναι, οὐκ ὀρθῶς* 5 *οἴεται. ὅταν μὲν γὰρ ὑπ' εὐνοίας τὰ πράγματα συστῇ καὶ πᾶσι ταὐτὰ συμφέρῃ τοῖς μετέχουσι τοῦ πολέμου, καὶ συμπονεῖν καὶ φέρειν τὰς συμφορὰς καὶ μένειν ἐθέλουσιν ἅνθρωποι· ὅταν δ' ἐκ πλεονεξίας καὶ πονηρίας τις ὥσπερ οὗτος ἰσχύσῃ, ἡ πρώτη πρόφασις καὶ μικρὸν* 10 10 *πταῖσμ' ἅπαντ' ἀνεχαίτισεν καὶ διέλυσεν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτή|σασθαι, ἀλλὰ τὰ* **21** *τοιαῦτ' εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει, καὶ σφόδρα γ' ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν τύχῃ, τῷ χρόνῳ* 15 *δὲ φωρᾶται καὶ περὶ αὑτὰ καταρρεῖ. ὥσπερ γὰρ οἰκίας οἶμαι καὶ πλοίου καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότατ' εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει. τοῦτο δ' οὐκ ἔνι νῦν ἐν τοῖς πεπραγμένοις Φιλίππῳ.* 20

11 *Φημὶ δὴ δεῖν ἡμᾶς τοῖς μὲν Ὀλυνθίοις βοηθεῖν, καὶ ὅπως τις λέγει κάλλιστα καὶ τάχιστα, οὕτως ἀρέσκει μοι· πρὸς δὲ Θετταλοὺς πρεσβείαν πέμπειν, ἣ τοὺς μὲν διδάξει ταῦτα, τοὺς δὲ παροξυνεῖ· καὶ γὰρ νῦν εἰσιν ἐψηφισμένοι Παγασὰς ἀπαιτεῖν καὶ περὶ Μαγνησίας* 25

2 *Θετταλοὶ* del. Rosenberg 7 *ταῦτα* S[1] 9 *ἅνθρωποι* Bekker: *ἄνθρωποι* S F *οἱ ἄνθρωποι* vulgo 10 *μικρὸν*] *τὸ τυχὸν γρ.* F, cf. XI 7 11 *καὶ διέλυσεν* om. Rh. Gr. II 232 del. Cobet; cf. Isocr. VII 12 18 *ἰσχυρότατα* (*τερα* s. v.) F 21 *ἡμᾶς* (*ὑ* s. v.) F | post *ὑμᾶς* add. *ἅμα* F[2] s. v. 25 *ἀπαιτεῖν ἄὐτ̈ὸν* F, *ἀπαιτεῖν αὐτὸν γρ.* F mg.

λόγους ποιεῖσθαι. σκοπεῖσθε μέντοι τοῦτ' ὦ ἄνδρες 12
Ἀθηναῖοι, ὅπως μὴ λόγους ἐροῦσιν μόνον οἱ παρ' ἡμῶν
πρέσβεις, ἀλλὰ καὶ ἔργον τι δεικνύειν ἕξουσιν, ἐξεληλυ-
θότων ὑμῶν ἀξίως τῆς πόλεως καὶ ὄντων ἐπὶ τοῖς πράγ-
5 μασιν· ὡς ἅπας μὲν λόγος, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν
τι φαίνεται καὶ κενόν, μάλιστα δ' ὁ παρὰ τῆς ἡμετέρας
πόλεως· ὅσῳ γὰρ ἑτοιμότατ' αὐτῷ δοκοῦμεν χρῆσθαι,
τοσούτῳ μᾶλλον ἀπιστοῦσι πάντες αὐτῷ. πολλὴν δὴ 13
τὴν μετάστασιν καὶ μεγάλην δεικτέον τὴν μεταβολήν,
10 εἰσφέροντας, ἐξιόντας, ἅπαντα ποιοῦντας ἑτοίμως, εἴπερ
τις ὑμῖν προσέξει τὸν νοῦν. κἂν ταῦτ' ἐθελήσηθ' ὡς
προσήκει καὶ δὴ περαίνειν, οὐ μόνον ὦ ἄνδρες Ἀθηναῖοι
τὰ συμμαχικὰ ἀσθενῶς καὶ ἀπίστως ἔχοντα φανήσεται |
22 Φιλίππῳ, ἀλλὰ καὶ τὰ τῆς οἰκείας ἀρχῆς καὶ δυνάμεως
15 κακῶς ἔχοντ' ἐξελεγχθήσεται.

Ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις καὶ ἀρχὴ ἐν μὲν 14
προσθήκῃ μερίς ἐστίν τις οὐ μικρά· οἷον ὑπῆρξέν ποθ'
ὑμῖν ἐπὶ Τιμοθέου πρὸς Ὀλυνθίους· πάλιν αὖ πρὸς
Ποτείδαιαν Ὀλυνθίοις· ἐφάνη τι τοῦτο συναμφότερον·
20 νυνὶ Θετταλοῖς στασιάζουσι καὶ τεταραγμένοις· ἐπὶ τὴν
τυραννικὴν οἰκίαν ἐβοήθησεν· ὅποι τις ἂν οἶμαι προσθῇ
κἂν μικρὰν δύναμιν, πάντ' ὠφελεῖ· αὐτὴ δὲ καθ' αὐτὴν

1 σκοπεῖσθαι μ. τοῦτο δεῖ γρ. F mg. 2 ἐροῦσι F 5 πράγματα] scholium ἔργα habet F mg. 9 τὴν μεταβολὴν del. Reiske, Cobet, cf. Plut. Ag. 5, 4 11 κἂν ταῦτα S γρ. F mg.: κανταῦθα F 12 δὴ S[2]: δεῖ S[1]F | περαίνειν S[2] γρ. F mg.: παραινεῖν S[1]F in text. 16 sq. ἐν μὲν προσθήκης μέρει γρ. F mg. ex XI 8 19 Ὀλυνθίοις· interpunxit cum S Madvig deleto commate post συναμφότερον | τοιοῦτο γρ. S γρ. F 20 νυνὶ δὲ S rec. F | νοσοῦσι καὶ στασιάζουσι Y ex IX 12 νοσοῦσι Cobet | τεταραγμένοις· interp. Blass 21 οἰκείαν S[1] | ἐβοήθησεν] ἐβοήθησαν S[1] ἐβοήθησεν F del. Meutzner | καὶ ὅποι S rec. F

15 *ἀσθενὴς καὶ πολλῶν κακῶν ἐστι μεστή. καὶ γὰρ οὗτος ἅπασι τούτοις, οἷς ἄν τις μέγαν αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις καὶ ταῖς στρατείαις, ἔτ' ἐπισφαλεστέραν ἢ ὑπῆρχε φύσει κατεσκεύακεν αὑτῷ. μὴ γὰρ οἴεσθ' ὦ ἄνδρες Ἀθηναῖοι τοῖς αὐτοῖς Φίλιππόν τε χαίρειν καὶ* 5 *τοὺς ἀρχομένους, ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ καὶ τοῦτ' ἐζήλωκεν καὶ προῄρηται πράττων καὶ κινδυνεύων, ἂν συμβῇ τι, παθεῖν, τὴν τοῦ διαπράξασθαι ταῦθ' ἃ μηδεὶς πώποτ' ἄλλος Μακεδόνων βασιλεὺς δόξαν ἀντὶ τοῦ ζῆν*
16 *ἀσφαλῶς ᾑρημένος· τοῖς δὲ τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ* 10 *τούτων οὐ μέτεστιν, κοπτόμενοι δ' αἰεὶ ταῖς στρατείαις ταύταις ταῖς ἄνω κάτω λυποῦνται καὶ συνεχῶς ταλαιπωροῦσιν, οὔτ' ἐπὶ τοῖς ἔργοις οὔτ' ἐπὶ τοῖς αὑτῶν ἰδίοις ἐώμενοι διατρίβειν, οὔθ' ὅσ' ἂν ποιήσωσιν οὕτως ὅπως ἂν δύνωνται, ταῦτ' ἔχοντες διαθέσθαι, κεκλειμένων* 15
17 *τῶν ἐμπορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον. οἱ μὲν οὖν πολλοὶ Μακεδόνων πῶς ἔχουσι Φιλίππῳ, ἐκ | τούτων* 23 *ἄν τις σκέψαιτ' οὐ χαλεπῶς· οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες ξένοι καὶ πεζέταιροι δόξαν μὲν ἔχουσιν, ὡς εἰσὶ θαυμαστοὶ καὶ συγκεκροτημένοι τὰ τοῦ πολέμου, ὡς δ' ἐγὼ* 20 *τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι, οὐδένων εἰσὶν βελτίους.*
18 *εἰ μὲν γάρ τις ἀνήρ ἐστιν ἐν αὐτοῖς οἷος ἔμπειρος πολέμου καὶ ἀγώνων, τούτους μὲν φιλοτιμίᾳ πάντας ἀπ-*

3 *στρατιαῖς* S rec. | *αὑτὴν ἢ* S rec. F ex XI 9   4 *ἑαυτῶι* S rec. F   8 pap. Tancock. *τι* omisisse aut post *ἂν* habuisse videtur 9 *Μακεδόνων βασιλεὺς* et. pap. et Hermog. III 287 (305, 20) 11 *ἀεὶ* A | *στρατιαῖς* A   12 *ἄνω καὶ κάτω* S rec. *ἄνω τε καὶ κάτω* γρ. FA   14 *ποιήσωσιν*] *πορίσωσιν* A   15 *κεκλεισμένων* S[1] 19 *πεζετεροι* S[1] *πεζαίτεροι* S rec.   22 *οὐδένων* (ὅς superscr.) F

ωθεῖν αὐτὸν ἔφη, βουλόμενον πάνθ' αὐτοῦ δοκεῖν εἶναι
τὰ ἔργα (πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ τὴν φιλοτιμίαν
ἀνυπέρβλητον εἶναι)· εἰ δέ τις σώφρων ἢ δίκαιος ἄλλως,
τὴν καθ' ἡμέραν ἀκρασίαν τοῦ βίου καὶ μέθην καὶ
5 *κορδακισμοὺς οὐ δυνάμενος φέρειν, παρεῶσθαι καὶ ἐν*
οὐδενὸς εἶναι μέρει τὸν τοιοῦτον. λοιποὺς δὴ περὶ αὐτὸν 19
εἶναι λῃστὰς καὶ κόλακας καὶ τοιούτους ἀνθρώπους, οἵους
μεθυσθέντας ὀρχεῖσθαι τοιαῦθ' οἷ' ἐγὼ νῦν ὀκνῶ πρὸς
ὑμᾶς ὀνομάσαι. δῆλον δ' ὅτι ταῦτ' ἐστὶν ἀληθῆ· καὶ
10 *γὰρ οὓς ἐνθένδε πάντες ἀπήλαυνον ὡς πολὺ τῶν θαυ-*
ματοποιῶν ἀσελγεστέρους ὄντας, Καλλίαν ἐκεῖνον τὸν
δημόσιον καὶ τοιούτους ἀνθρώπους, μίμους γελοίων καὶ
ποιητὰς αἰσχρῶν ᾀσμάτων, ὧν εἰς τοὺς συνόντας ποι-
οῦσιν ἕνεκα τοῦ γελασθῆναι, τούτους ἀγαπᾷ καὶ περὶ
15 *αὐτὸν ἔχει. καίτοι ταῦτα, καὶ εἰ μικρά τις ἡγεῖται,* 20
μεγάλ' ὦ ἄνδρες Ἀθηναῖοι δείγματα τῆς ἐκείνου γνώμης
καὶ κακοδαιμονίας ἐστὶν τοῖς εὖ φρονοῦσιν. ἀλλ' οἶμαι
νῦν μὲν ἐπισκοτεῖ τούτοις τὸ κατορθοῦν· αἱ γὰρ εὐ- Is. VI 102
19 *πραξίαι δειναὶ συγκρύψαι τὰ τοιαῦτ' ὀνείδη· εἰ δέ τι*
24 *πταίσει, τότ' ἀκριβῶς αὐτοῦ ταῦτ' ἐξετασθήσεται.* | *δοκεῖ*
δ' ἔμοιγ' ὦ ἄνδρες Ἀθηναῖοι δείξειν οὐκ εἰς μακράν, ἂν
οἵ τε θεοὶ θέλωσι καὶ ὑμεῖς βούλησθε. ὥσπερ γὰρ ἐν τοῖς 21
σώμασι, τέως μὲν ἂν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται,

2 *φιλοτιμίαν τἀνδρὸς γρ.* FA   7 posterius *καὶ* om. S[1] add. rec.   15 *καὶ εἰ* SA: *εἰ καὶ* F   18 *τούτοις*] *τοῖς τοιούτοις γρ.* F ex XI 13   19 *συγκρύψαι* S, in mg. schol. *συσκιάσαι*, *γρ. συσκιάσαι* F *συγκρ. καὶ συσκιάσαι* A ex XI 13   20 *πταίσει* (ε s. v.) F | *ταῦτα* S *πάντ'* add. F s. v. *ταῦτα πάντα* A   23 *σώμασιν ἡμῶν* F ex XI 13 | *ἕως* Stob. Flor. XXXVI 11 H., Dindorf | *τις ᾖι* A | post *ἐπαισθάνεται* add. *τῶν καθ' ἕκαστα σαθρῶν* S rec. FA Stob. ex XI 14

ἐπὰν δ' ἀρρώστημά τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα κἂν στρέμμα κἂν ἄλλο τι τῶν ὑπαρχόντων σαθρῶν ᾖ, οὕτω καὶ τῶν πόλεων καὶ τῶν τυράννων, ἕως μὲν ἂν ἔξω πολεμῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἐστιν, ἐπειδὰν δ' ὅμορος πόλεμος συμπλακῇ, πάντ' ἐποίησεν ἔκδηλα. 5

22 *Εἰ δέ τις ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι τὸν Φίλιππον εὐτυχοῦνθ' ὁρῶν ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· μεγάλη γὰρ ῥοπή, μᾶλλον δ' ὅλον ἡ τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα· οὐ μὴν ἀλλ' ἔγωγ', εἴ τις αἵρεσίν* 10 *μοι δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων ἃ προσήκει ποιεῖν ὑμῶν αὐτῶν καὶ κατὰ μικρόν, ἢ τὴν ἐκείνου· πολὺ γὰρ πλείους ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν ὁρῶ ὑμῖν ἐνούσας ἢ*

23 *'κείνῳ. ἀλλ' οἶμαι καθήμεθ' οὐδὲν ποιοῦντες· οὐκ ἔνι δ'* 15 *αὐτὸν ἀργοῦντ' οὐδὲ φίλοις ἐπιτάττειν ὑπὲρ αὑτοῦ τι ποιεῖν, μή τί γε δὴ τοῖς θεοῖς. οὐ δὴ θαυμαστόν ἐστιν, εἰ στρατευόμενος καὶ πονῶν ἐκεῖνος αὐτὸς καὶ παρὼν ἐφ' ἅπασι καὶ μήτε καιρὸν μήθ' ὥραν παραλείπων ἡμῶν μελλόντων καὶ ψηφιζομένων καὶ πυνθανομένων περιγίγνεται· οὐδὲ* 20 *θαυμάζω τοῦτ' ἐγώ· τοὐναντίον γὰρ ἂν ἦν θαυμαστόν,*

1 *πάντα—ῥῆγμα* om. F, add. in mg. 2 *σαθρῶν* S[1]: *σαθρὸν* S[2]FA Stob. 5 *συμπλεκῆι* A 6 *ὦ ἄ. Ἀθ.* Hermog. III 437 W. (448, 13 R.) 8 *ἀνθρώπου*] *ἀνδρὸς* Hermog. *λογισμῷ*] *προνοίᾳ* Dion. Hal. de Dem. 1089 R. ex XI 15 9 *τὸ ὅλον γρ.* S a man. schol., A | *ἅπαντ'* AU 11 *δώιη* S U[1] *δώιη* (οι s. v.) F 12 *αὐτῶν* om. Dion. 14 *οὔσας* G. H. Schaefer 15 post *δ'* in F 2 litt. eras. 16 *τοῖς φίλοις γρ.* FA | *ἐπιτάττει* F[1] 17 *οὐ δὴ* .. 20 *περιγίγν.* adf. Hermog. III 124 (150 R.) et 149 (175 R.) 18 *καὶ πονῶν αὐτὸς* om. Hermog. at cf. III 150, 3 (175, 21 R.) 19 *μήτε* ... *μήθ'* Blass: *μὴδὲ* ... *μήδ'* SF *μηδένα* ... *μηδ' γρ.* FAU Hermog. 20 *καὶ πυνθανομένων* om. Hermog. | *οὐδὲ* S: *οὐ δὴ* (ε s. v.) FU[1] *οὐ δὴ γρ.* S rec. A 21 *ἂν* add. F s. v. om. A Hermog. III 150 (176, 6 R.)

εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσήκει
25 τοῦ πάντα ποιοῦντος περιῇ|μεν. ἀλλ᾽ ἐκεῖνο θαυμάζω, εἰ 24
Λακεδαιμονίοις μέν ποτ᾽ ὦ ἄνδρες Ἀθηναῖοι ὑπὲρ τῶν
Ἑλληνικῶν δικαίων ἀντήρατε, καὶ πόλλ᾽ ἰδίᾳ πλεονεκτῆ-
5 σαι πολλάκις ὑμῖν ἐξὸν οὐκ ἠθελήσατε, ἀλλ᾽ ἵν᾽ οἱ ἄλλοι
τύχωσι τῶν δικαίων, τὰ ὑμέτερ᾽ αὐτῶν ἀνηλίσκετ᾽ εἰσ-
φέροντες καὶ προὐκινδυνεύετε στρατευόμενοι, νυνὶ δ᾽
ὀκνεῖτ᾽ ἐξιέναι καὶ μέλλετ᾽ εἰσφέρειν ὑπὲρ τῶν ὑμετέρων
αὐτῶν κτημάτων, καὶ τοὺς μὲν ἄλλους σεσώκατε πολλάκις
10 πάντας καθ᾽ ἕν᾽ αὐτῶν ἐν μέρει, τὰ δ᾽ ὑμέτερ᾽ αὐτῶν ἀπο-
λωλεκότες κάθησθε. ταῦτα θαυμάζω, καὶ ἔτι πρὸς τούτοις, 25
εἰ μηδεὶς ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι δύναται λογίσασθαι,
πόσον πολεμεῖτε χρόνον Φιλίππῳ, καὶ τί ποιούντων
ὑμῶν ὁ χρόνος διελήλυθεν οὗτος. ἴστε γὰρ δήπου τοῦθ᾽,
15 ὅτι μελλόντων αὐτῶν, ἑτέρους τινὰς ἐλπιζόντων πράξειν,
αἰτιωμένων ἀλλήλους, κρινόντων, πάλιν ἐλπιζόντων, σχε-
δὸν ταὔθ᾽ ἅπερ νυνὶ ποιούντων, ἅπας ὁ χρόνος διελή-
λυθεν. εἶθ᾽ οὕτως ἀγνωμόνως ἔχετ᾽ ὦ ἄνδρες Ἀθηναῖοι, 26
ὥστε δι᾽ ὧν ἐκ χρηστῶν φαῦλα τὰ πράγματα τῆς πόλεως
20 γέγονεν, διὰ τούτων ἐλπίζετε τῶν αὐτῶν πράξεων ἐκ φαύ-
λων αὐτὰ χρηστὰ γενήσεσθαι; ἀλλ᾽ οὔτ᾽ εὔλογον οὔτ᾽ ἔχον
ἐστὶ φύσιν τοῦτό γε· πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν ἢ
κτήσασθαι πάντα πέφυκεν. νῦν δ᾽ ὅ τι μὲν φυλάξομεν,

2 ποιοῦντος S[1]: ποιοῦντος ἃ δεῖ S rec. FAU Hermog. 5 ὑμῖν] υ in ras. S[1] 7 προὐκινδυνεύετε Voemel: προεκ. SFAU 8 καὶ μέλλετε .. III 24 φθονούντων perierunt in A 10 καὶ καθ᾽ F | αὐτῶν ἕκαστον FU 14 χρόνος ἅπας FU 15 αὐτῶν S: ὑμῶν F ἡμῶν U om. G. H. Schaefer 17 ταὐτὰ Mounteney: ταῦτα SFU | ποιούντων S γρ. F mg. U: ποθούντων F | ὁ χρόνος ἅπας U 18 ἀγνωμόνως om. U[1] 20 τῶν αὐτῶν ante τούτων ponit U | τῶν αὐτῶν πράξεων del. Cobet, cf. X[1] 21 πράξεων del. Gebauer

οὐδέν ἐστιν ὑπὸ τοῦ πολέμου λοιπὸν τῶν πρότερον, κτήσασθαι δὲ δεῖ. αὐτῶν οὖν ἡμῶν ἔργον τοῦτ' ἤδη.
27 φημὶ δὴ δεῖν εἰσφέρειν χρήματα, αὐτοὺς ἐξιέναι προθύμως, μηδέν' αἰτιᾶσθαι πρὶν ἂν τῶν πραγμάτων 4 κρατήσητε, τηνικαῦτα δ' ἀπ' αὐτῶν τῶν ἔργων κρί|ναν- 26 τας τοὺς μὲν ἀξίους ἐπαίνου τιμᾶν, τοὺς δ' ἀδικοῦντας κολάζειν, τὰς προφάσεις δ' ἀφελεῖν καὶ τὰ καθ' ὑμᾶς ἐλλείμματα· οὐ γάρ ἔστι πικρῶς ἐξετάσαι τί πέπρακται τοῖς ἄλλοις, ἂν μὴ παρ' ὑμῶν αὐτῶν πρῶτον ὑπάρξῃ τὰ
28 δέοντα. τίνος γὰρ ἕνεκ' ὦ ἄνδρες Ἀθηναῖοι νομίζετε 10 τοῦτον μὲν φεύγειν τὸν πόλεμον πάντας ὅσους ἂν ἐκπέμψητε στρατηγούς, ἰδίους δ' εὑρίσκειν πολέμους, εἰ δεῖ τι τῶν ὄντων καὶ περὶ τῶν στρατηγῶν εἰπεῖν; ὅτι ἐνταῦθα μέν ἐστιν τὰ ἆθλ' ὑπὲρ ὧν ἐστιν ὁ πόλεμος ὑμέτερα (Ἀμφίπολίς γ' ἂν ληφθῇ, παραχρῆμ' ὑμεῖς κο- 15 μιεῖσθε), οἱ δὲ κίνδυνοι τῶν ἐφεστηκότων ἴδιοι, μισθὸς δ' οὐκ ἔστιν· ἐκεῖ δὲ κίνδυνοι μὲν ἐλάττους, τὰ δὲ λήμματα τῶν ἐφεστηκότων καὶ τῶν στρατιωτῶν, Λάμψακος, Σίγειον, τὰ πλοῖ' ἃ συλῶσιν. ἐπ' οὖν τὸ λυσιτελοῦν
29 αὑτοῖς ἕκαστοι χωροῦσιν. ὑμεῖς δ', ὅταν μὲν εἰς τὰ 20 πράγματ' ἀποβλέψητε φαύλως ἔχοντα, τοὺς ἐφεστηκότας κρίνετε, ὅταν δὲ δόντες λόγον τὰς ἀνάγκας ἀκούσητε ταύτας, ἀφίετε. περίεστιν τοίνυν ὑμῖν ἀλλήλοις ἐρίζειν καὶ διεστάναι, τοῖς μὲν ταῦτα πεπεισμένοις, τοῖς δὲ ταῦτα, τὰ κοινὰ δ' ἔχειν φαύλως. πρότερον μὲν γὰρ ὦ 25 ἄνδρες Ἀθηναῖοι εἰσεφέρετε κατὰ συμμορίας, νυνὶ δὲ

9 ἡμῶν U 11 ἐκφεύγειν U[1] 15 Ἀμφίπολίς γ' ἂν Deuerling: ἀμφίπολις κἂν SFU Ἀμφίπολιν, κἂν Dindorf Ἀμφίπολις del. Rehdantz, Madvig 23 ἡμῖν SU ἡμῖν (ὑ supra) F 26 κατὰ συμμορίας εἰσεφέρετε Cobet coll. XIII 20 | νῦν U

πολιτεύεσθε κατὰ συμμορίας. ῥήτωρ ἡγεμὼν ἑκατέρων, καὶ στρατηγὸς ὑπὸ τούτῳ καὶ οἱ βοησόμενοι τριακόσιοι· οἱ δ' ἄλλοι προσνενέμησθε, οἱ μὲν ὡς τούτους, οἱ δ' ὡς ἐκείνους. δεῖ δὴ ταῦτ' ἐπανέντας καὶ ὑμῶν αὐτῶν ἔτι 30
5 καὶ νῦν γενομένους κοινὸν καὶ τὸ βουλεύεσθαι καὶ τὸ λέγειν καὶ τὸ πράττειν ποιῆσαι. εἰ δὲ τοῖς μὲν ὥσπερ
27 ἐκ τυραν|νίδος ὑμῶν ἐπιτάττειν ἀποδώσετε, τοῖς δ' ἀναγκάζεσθαι τριηραρχεῖν, εἰσφέρειν, στρατεύεσθαι, τοῖς δὲ ψηφίζεσθαι κατὰ τούτων μόνον, ἄλλο δὲ μηδ' ὁτιοῦν
10 συμπονεῖν, οὐχὶ γενήσεται τῶν δεόντων ὑμῖν οὐδὲν ἐν καιρῷ· τὸ γὰρ ἠδικημένον ἀεὶ μέρος ἐλλείψει, εἶθ' ὑμῖν τούτους κολάζειν ἀντὶ τῶν ἐχθρῶν ἐξέσται. λέγω δὴ 31 κεφάλαιον, πάντας εἰσφέρειν ἀφ' ὅσων ἕκαστος ἔχει τὸ ἴσον· πάντας ἐξιέναι κατὰ μέρος, ἕως ἂν ἅπαντες στρα-
15 τεύσησθε· πᾶσι τοῖς παριοῦσι λόγον διδόναι, καὶ τὰ βέλτισθ' ὧν ἂν ἀκούσηθ' αἱρεῖσθαι, μὴ ἃ ἂν ὁ δεῖν' ἢ ὁ δεῖν' εἴπῃ. κἂν ταῦτα ποιῆτε, οὐ τὸν εἰπόντα μόνον παραχρῆμ' ἐπαινέσεσθε, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὕστερον, βέλτιον τῶν ὅλων πραγμάτων ὑμῖν ἐχόντων.

1 ἑκατέρων om. XIII 20 Blass 2 $\text{τούτωι}^{\text{οις}}$ F | οἱ τριακόσιοι Bekker cum paucis apographis 5 τὸ λέγειν καὶ τὸ βουλεύεσθαι FU 7 ἐπιτάττει F^1 cf. § 23 | ἀναγκάζεσθε S^1 9 ψηφίζεσθε S^1 11 αἰεὶ F 12 ἐξέσται] περιέσται γρ. S rec. γρ. F rec. U | $\text{δή}^{\text{ὲ}}$ U 13 $\text{ὧν}^{\text{ὅσων}}$ F 14 πάντες στρατεύησθε U 16 $\text{αἱρεῖσθε}^{\text{αι}}$ F 19 πολλῷ ante βέλτιον add. F^2 s.v. U

In S subscriptum est (numerus versuum ab alt. manu)

ʼΟΛΥΝΘΙΑΚÒΣ Β̄
Η Η [Δ] Δ Δ Δ Π̄

in F ʼΟΛΥΝΘΙΑΚÒΣ Β̄
Η̄ Η̄ Δ̄ Δ̄ Δ̄ Δ̄ Π̄
([Δ] omissum est)

III

ΟΛΥΝΘΙΑΚΟΣ Γ

ΥΠΟΘΕΣΙΣ

Ἔπεμψαν βοήθειαν τοῖς Ὀλυνθίοις οἱ Ἀθηναῖοι, καί τι κατορθοῦν ἔδοξαν δι' αὐτῆς· καὶ ταῦτ' αὐτοῖς ἀπηγγέλλετο. ὁ δὲ δῆμος περιχαρής, οἵ τε ῥήτορες παρακαλοῦντες ἐπὶ τιμωρίαν Φιλίππου. ὁ δὲ Δημοσθένης δεδοικὼς μὴ θαρσήσαντες, ὡς τὰ πάντα νενικηκότες καὶ ἱκανὴν βοήθειαν πεποιημένοι τοῖς Ὀλυν- 5 *θίοις, τῶν λοιπῶν ὀλιγωρήσωσι, διὰ τοῦτο παρελθὼν ἐπικόπτει τὴν ἀλαζονείαν αὐτῶν καὶ πρὸς εὐλάβειαν σώφρονα τὴν γνώμην μεθίστησι, λέγων οὐ περὶ τῆς Φιλίππου τιμωρίας νῦν αὐτοῖς εἶναι τὸν λόγον, ἀλλὰ περὶ τῆς τῶν συμμάχων σωτηρίας. οἶδεν γὰρ ὅτι* | *καὶ Ἀθηναῖοι καὶ ἄλλοι πού τινες τοῦ μὲν μὴ* 28 *τὰ οἰκεῖα προέσθαι ποιοῦνται φροντίδα, περὶ δὲ τὸ τιμωρήσα-* 11
2 *σθαι τοὺς ἐναντίους ἧττον σπουδάζουσιν. ἐν δὲ τούτῳ τῷ λόγῳ καὶ τῆς περὶ τῶν θεωρικῶν χρημάτων συμβουλῆς φανερώτερον ἅπτεται, καὶ ἀξιοῖ λυθῆναι τοὺς νόμους τοὺς ἐπιτιθέντας ζημίαν τοῖς γράψασιν αὐτὰ γενέσθαι στρατιωτικά, ἵν' ἀδεὲς ᾖ τὸ συμ-* 15 *βουλεύειν τὰ βέλτιστα. παραινεῖ δὲ καὶ ὅλως πρὸς τὸν τῶν*

2 *δὲ*] *τε* Y 3 *παρακαλοῦσιν* YUm | *τιμωρία* F 4 *τοῦ φιλίππου* Y | *δέδοικε τοίνυν ὁ δημοσθένης* YUm | *θαρσήσαντες* FY: *θαρρήσαντες* Um 6 *ὀλιγωρήσουσι* F Y[2] (ut vid.) 7 sq. *τὴν γνώμην μεθίστησι λέγων* om. F 10 *που* om. m | *μὴ* om. U 11 *ποιεῖσθαι* m 13 *περὶ τῆς τῶν* m 14 *ἐπιτεθέντας* F *ἐπιθέντας* m 15 *ἵν' ἀδεὲς ᾖ* Bekker: *ἵνα δεήσῃ* F *ἵνα δειχθῇ* Ym *ἵνα δυνηθῇ* U

προγόνων ζῆλον ἀναστῆναι καὶ στρατεύεσθαι σώμασιν οἰκείοις, καὶ ἐπιτιμήσει πολλῇ κέχρηται κατὰ τοῦ δήμου θ' ὡς ἐκλελυμένου καὶ τῶν δημαγωγῶν ὡς οὐκ ὀρθῶς προϊσταμένων τῆς πόλεως.

5 Οὐχὶ ταὐτὰ παρίσταταί μοι γιγνώσκειν ὦ ἄνδρες Ἀθηναῖοι, ὅταν τ' εἰς τὰ πράγματ' ἀποβλέψω καὶ ὅταν πρὸς τοὺς λόγους οὓς ἀκούω· τοὺς μὲν γὰρ λόγους περὶ τοῦ τιμωρήσασθαι Φίλιππον ὁρῶ γιγνομένους, τὰ δὲ πράγματ' εἰς τοῦτο προήκοντα, ὥσθ' ὅπως μὴ πεισόμεθ' αὐ- [Prooem. II]
10 τοὶ πρότερον κακῶς σκέψασθαι δέον. οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες ἢ τὴν ὑπόθεσιν, περὶ ἧς βουλεύεσθε, οὐχὶ τὴν οὖσαν παριστάντες ὑμῖν ἁμαρτάνειν. ἐγὼ δ', ὅτι μέν ποτ' ἐξῆν τῇ πόλει καὶ τὰ 2 αὑτῆς ἔχειν ἀσφαλῶς καὶ Φίλιππον τιμωρήσασθαι, καὶ
15 μάλ' ἀκριβῶς οἶδα· ἐπ' ἐμοῦ γάρ, οὐ πάλαι γέγονε ταῦτ' ἀμφότερα· νῦν μέντοι πέπεισμαι τοῦθ' ἱκανὸν προλαβεῖν
29 ἡμῖν εἶναι τὴν πρώτην, ὅπως τοὺς συμμάχους σώσομεν. ἐὰν γὰρ τοῦτο βεβαίως ὑπάρξῃ, τότε καὶ περὶ τοῦ τίνα τιμωρήσεταί τις καὶ ὃν τρόπον ἐξέσται σκοπεῖν· πρὶν δὲ
20 τὴν ἀρχὴν ὀρθῶς ὑποθέσθαι, μάταιον ἡγοῦμαι περὶ τῆς τελευτῆς ὁντινοῦν ποιεῖσθαι λόγον.

Ὁ μὲν οὖν παρὼν καιρός, εἴπερ ποτέ, πολλῆς φροντίδος καὶ βουλῆς δεῖται· ἐγὼ δ' οὐχ ὅ τι χρὴ περὶ τῶν 3

2 πολλῇ om. F | τε ὡς Bekker: τέως FYm τε U 3 ὡς om. m 6 πρὸς S: πρὸς (εἰς) F εἰς U 9 πεισόμεθα S corr. U: πεισώμεθα S[1]F 15 οὐ F (οὐχὶ) οὐχὶ U 17 εἶναι ἡμῖν F | σώσομεν FU[1]: σωισωμεν S, ι eras. σώσωμεν U corr. 19 τρόπον τιμωρήσεταί τις ἐκεῖνον γρ. F rec. mg. U 22 καιρὸς ὦ ἄνδρες ἀθηναῖοι FU | ποτὲ καὶ νῦν U εἴπερ τίς ποτε Cobet | φροντίδος SF mg. U: κοροντίδος F in text.

παρόντων συμβουλεῦσαι χαλεπώτατον ἡγοῦμαι, ἀλλ'
Prooem. XV ἐκεῖν' ἀπορῶ, τίνα χρὴ τρόπον ὦ ἄνδρες Ἀθηναῖοι πρὸς
ὑμᾶς περὶ αὐτῶν εἰπεῖν. πέπεισμαι γὰρ ἐξ ὧν παρὼν καὶ
ἀκούων σύνοιδα, τὰ πλείω τῶν πραγμάτων ἡμᾶς ἐκπε-
φευγέναι τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν ἢ τῷ μὴ 5
συνιέναι. ἀξιῶ δ' ὑμᾶς, ἂν μετὰ παρρησίας ποιῶμαι τοὺς
λόγους, ὑπομένειν, τοῦτο θεωροῦντας, εἰ τἀληθῆ λέγω,
καὶ διὰ τοῦθ', ἵνα τὰ λοιπὰ βελτίω γένηται· ὁρᾶτε γάρ,
ὡς ἐκ τοῦ πρὸς χάριν δημηγορεῖν ἐνίους εἰς πᾶν προ-
ελήλυθε μοχθηρίας τὰ παρόντα. 10

4 Ἀναγκαῖον δ' ὑπολαμβάνω μικρὰ τῶν γεγενημένων
πρῶτον ὑμᾶς ὑπομνῆσαι. μέμνησθ' ὦ ἄνδρες Ἀθηναῖοι,
ὅτ' ἀπηγγέλθη Φίλιππος ὑμῖν ἐν Θράκῃ, τρίτον ἢ τέταρ-
τον ἔτος τουτί, Ἡραῖον τεῖχος πολιορκῶν. τότε τοίνυν
μὴν μὲν ἦν μαιμακτηριών· πολλῶν δὲ λόγων καὶ θορύ- 15
βου γιγνομένου παρ' ὑμῖν ἐψηφίσασθε τετταράκοντα
τριήρεις καθέλκειν καὶ τοὺς μέχρι πέντε καὶ τετταράκοντ'
ἐτῶν αὐτοὺς ἐμβαίνειν καὶ τάλανθ' ἑξήκοντ' εἰσφέρειν.
5 καὶ μετὰ ταῦτα διελθόντος τοῦ ἐνιαυτοῦ τούτου, ἑκατομ-
βαιών, μεταγειτνιών, βοηδρομιών· τούτου τοῦ μηνὸς 20
μόγις μετὰ τὰ μυστήρια δέκα ναῦς ἀπεστεί|λατ' ἔχοντα 30
κενὰς Χαρίδημον καὶ πέντε τάλαντ' ἀργυρίου. ὡς γὰρ
ἠγγέλθη Φίλιππος ἀσθενῶν ἢ τεθνεώς (ἦλθεν γὰρ ἀμ-
φότερα), οὐκέτι καιρὸν οὐδένα τοῦ βοηθεῖν νομίσαντες
ἀφεῖτ' ὦ ἄνδρες Ἀθηναῖοι τὸν ἀπόστολον. ἦν δ' οὗτος 25

3 ἢ καὶ U 4 ἡμᾶς (ὑ suprascr.) F ὑμᾶς U 5 ἢ S: οὐ γρ. S rec. FU
6 ἐὰν U 10 παρόντα πράγματα U 15 μαιμακτηριών] η in
ras. S μαιμακταριών F 21 μόγις (λ suprascr.) F μόλις U 22 χαρίδημον
κενὰς (καινὰς U¹) U 23 ἢ καὶ U 25 ἀφεῖτε Y suppl.: ἀφίετε
SF ἀφήκατε γρ. S rec. U ἀφείκατε (η suprascr.) γρ. F

ὁ καιρὸς αὐτός· εἰ γὰρ τότ' ἐκεῖσ' ἐβοηθήσαμεν, ὥσπερ ἐψηφισάμεθα, προθύμως, οὐκ ἂν ἠνώχλει νῦν ἡμῖν ὁ Φίλιππος σωθείς.

Τὰ μὲν δὴ τότε πραχθέντ' οὐκ ἂν ἄλλως ἔχοι· νῦν 6
5 δ' ἑτέρου πολέμου καιρὸς ἥκει τις, δι' ὃν καὶ περὶ τούτων ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. τί δὴ χρησόμεθ' ὦ ἄνδρες Ἀθηναῖοι τούτῳ; εἰ γὰρ μὴ βοηθήσετε παντὶ σθένει κατὰ τὸ δυνατόν, θεάσασθ' ὃν τρόπον ὑμεῖς ἐστρατηγηκότες πάντ' ἔσεσθ' ὑπὲρ Φιλίππου. ὑπῆρχον 7
10 Ὀλύνθιοι δύναμίν τινα κεκτημένοι, καὶ διέκειθ' οὕτω τὰ πράγματα· οὔτε Φίλιππος ἐθάρρει τούτους οὔθ' οὗτοι Φίλιππον. ἐπράξαμεν ἡμεῖς κἀκεῖνοι πρὸς ἡμᾶς εἰρήνην· ἦν τοῦθ' ὥσπερ ἐμπόδισμά τι τῷ Φιλίππῳ καὶ δυσχερές, πόλιν μεγάλην ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς
15 διηλλαγμένην πρὸς ἡμᾶς. ἐκπολεμῶσαι δεῖν ᾠόμεθα τοὺς ἀνθρώπους ἐκ παντὸς τρόπου, καὶ ἅπαντες ἐθρύλουν τοῦτο· πέπρακται νυνὶ τοῦθ' ὁπωσδήποτε. τί οὖν ὑπόλοιπον ὦ ἄνδρες Ἀθηναῖοι πλὴν βοηθεῖν ἐρρωμένως καὶ προθύμως; ἐγὼ μὲν οὐχ ὁρῶ· χωρὶς γὰρ τῆς περιστάσης 8
20 ἂν ἡμᾶς αἰσχύνης, εἰ καθυφείμεθά τι τῶν πραγμάτων, οὐδὲ τὸν φόβον ὦ ἄνδρες Ἀθηναῖοι μικρὸν ὁρῶ τὸν τῶν μετὰ ταῦτα, ἐχόντων μὲν ὡς ἔχουσι Θηβαίων ἡμῖν, ἀπειρηκότων δὲ χρήμασι Φωκέων, μηδενὸς δ' ἐμποδὼν
25 ὄντος Φιλίππῳ τὰ παρόντα καταστρεψαμένῳ πρὸς ταῦτ'
31 ἐπικλῖναι τὰ πράγ|ματα. ἀλλὰ μὴν εἴ τις ὑμῶν εἰς τοῦτ' 9

2 ἐνώχλει S (ω in ras.) 3 σωιθείς SF[1]: τότε σωθείς F rec. U 7 βοηθήσητε SU 9 ἔσεσθε πάντα U 14 αὐτοῦ U 15 ἐκπολεμῶσαι S[2]FU: ἐκπολεμῆσαι S[1] cf. I 7 16 sq. ἅπαντες ἐθρύλουν τοῦτο πέπρακται νυνὶ τοῦτο S[1]F[1]: ὃ πάντες ἐθρύλουν, πέπρακται νυνὶ τοῦτο S corr. ὃ πάντες ἐθρύλουν τέως (s. v. F ex I 7) τοῦτο πέπρακται νυνὶ F corr. U 21 τῶν om. FU

ἀναβάλλεται ποιήσειν τὰ δέοντα, ἰδεῖν ἐγγύθεν βούλεται τὰ δεινά, ἐξὸν ἀκούειν ἄλλοθι γιγνόμενα, καὶ βοηθοὺς ἑαυτῷ ζητεῖν, ἐξὸν νῦν ἑτέροις αὐτὸν βοηθεῖν· ὅτι γὰρ εἰς τοῦτο περιστήσεται τὰ πράγματα, ἐὰν τὰ παρόντα προώμεθα, σχεδὸν ἴσμεν ἅπαντες δήπου. 5

10 *Ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν, εἴποι τις ἄν, πάντες ἐγνώκαμεν, καὶ βοηθήσομεν· τὸ δ' ὅπως, τοῦτο λέγε. μὴ τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι θαυμάσητε, ἂν παράδοξον εἴπω τι τοῖς πολλοῖς. νομοθέτας καθίσατε. ἐν δὲ τούτοις τοῖς νομοθέταις μὴ θῆσθε νόμον μηδένα (εἰσὶ γὰρ* 10 *ὑμῖν ἱκανοί), ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς*
11 *λύσατε. λέγω τοὺς περὶ τῶν θεωρικῶν, σαφῶς οὑτωσί, καὶ τοὺς περὶ τῶν στρατευομένων ἐνίους, ὧν οἱ μὲν τὰ στρατιωτικὰ τοῖς οἴκοι μένουσι διανέμουσι θεωρικά, οἱ δὲ τοὺς ἀτακτοῦντας ἀθῴους καθιστᾶσιν, εἶτα καὶ τοὺς* 15 *τὰ δέοντα ποιεῖν βουλομένους ἀθυμοτέρους ποιοῦσιν. ἐπειδὰν δὲ ταῦτα λύσητε καὶ τὴν τοῦ τὰ βέλτιστα λέγειν ὁδὸν παράσχητ' ἀσφαλῆ, τηνικαῦτα τὸν γράψονθ' ἃ πάν-*
12 *τες ἴσθ' ὅτι συμφέρει ζητεῖτε. πρὶν δὲ ταῦτα πρᾶξαι, μὴ σκοπεῖτε τίς εἰπὼν τὰ βέλτισθ' ὑπὲρ ὑμῶν ὑφ' ὑμῶν* 20 *ἀπολέσθαι βουλήσεται· οὐ γὰρ εὑρήσετε, ἄλλως τε καὶ τούτου μόνου περιγίγνεσθαι μέλλοντος, παθεῖν ἀδίκως τι κακὸν τὸν ταῦτ' εἰπόντα καὶ γράψαντα, μηδὲν δ' ὠφελῆσαι τὰ πράγματα, ἀλλὰ καὶ εἰς τὸ λοιπὸν μᾶλλον ἔτ' ἢ νῦν τὸ τὰ βέλτιστα λέγειν φοβερώτερον ποιῆσαι.* 25

1 *ποιῆσαι* Blass, cf. Rehdantzii Ind. II s. Infin. fut. 6 *δὴ* om. U 9 *καθίσατε* Bekker, cf. XXI 223 XXIV 25 XXXIX 11: *καθιστατε* S^1 *καθιστᾶτε* S^{2}U *καθίστατε* F | *τούτοις* om. U 11 *ἱκανοὶ ὑμῖν* S 12 *λέγω δὲ* F *λέγω δὴ* (ε sup.) U 18 *γράψαντα* S^{1}U 22 *τοῦ παθεῖν* S rec. FU cf. XIX 282

καὶ λύειν γ' ὦ ἄνδρες Ἀθηναῖοι τοὺς νόμους δεῖ τού-
τους τοὺς αὐτοὺς ἀξιοῦν οἵπερ καὶ τεθήκασιν· οὐ γάρ 13
32 *ἐστι δίκαιον,* | *τὴν μὲν χάριν, ἣ πᾶσαν ἔβλαπτε τὴν πόλιν,*
τοῖς τότε θεῖσιν ὑπάρχειν, τὴν δ' ἀπέχθειαν, δι' ἧς ἂν
5 *ἅπαντες ἄμεινον πράξαιμεν, τῷ νῦν τὰ βέλτιστ' εἰπόντι*
ζημίαν γενέσθαι. πρὶν δὲ ταῦτ' εὐτρεπίσαι, μηδαμῶς ὦ
ἄνδρες Ἀθηναῖοι μηδέν' ἀξιοῦτε τηλικοῦτον εἶναι παρ'
ὑμῖν, ὥστε τοὺς νόμους τούτους παραβάντα μὴ δοῦναι
δίκην; μηδ' οὕτως ἀνόητον, ὥστ' εἰς προῦπτον κακὸν
10 *αὑτὸν ἐμβαλεῖν.*

Οὐ μὴν οὐδ' ἐκεῖνό γ' ὑμᾶς ἀγνοεῖν δεῖ ὦ ἄνδρες 14
Ἀθηναῖοι, ὅτι ψήφισμ' οὐδενὸς ἄξιόν ἐστιν, ἂν μὴ προσ-
γένηται τὸ ποιεῖν ἐθέλειν τά γε δόξαντα προθύμως
ὑμᾶς. εἰ γὰρ αὐτάρκη τὰ ψηφίσματ' ἦν ἢ ὑμᾶς ἀναγκά-
15 *ζειν ἃ προσήκει πράττειν ἢ περὶ ὧν γραφείη διαπράξα-*
σθαι, οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι μικρά, μᾶλλον δ'
οὐδὲν ἐπράττετε τούτων, οὔτε Φίλιππος τοσοῦτον ὑβρί-
κει χρόνον· πάλαι γὰρ ἂν ἕνεκά γε ψηφισμάτων ἐδεδώκει
δίκην. ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει· τὸ γὰρ πράττειν τοῦ 15
20 *λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει, πρότερον*
τῇ δυνάμει καὶ κρεῖττόν ἐστιν. τοῦτ' οὖν δεῖ προσεῖναι,
τὰ δ' ἄλλ' ὑπάρχει· καὶ γὰρ εἰπεῖν τὰ δέοντα παρ' ὑμῖν
ὦ ἄνδρες Ἀθηναῖοι δυνάμενοι, καὶ γνῶναι πάντων ὑμεῖς
ὀξύτατοι τὰ ῥηθέντα, καὶ πρᾶξαι δὲ δυνήσεσθε νῦν, ἐὰν
25 *ὀρθῶς ποιῆτε. τίνα γὰρ χρόνον ἢ τίνα καιρὸν ὦ ἄνδρες* 16

2 *τοὺς* ante *αὐτοὺς* punctis del. F om. U 3 *ἔβλα*^{ψ}*πτε* F
4 *θήσειν* F 4 sq. *ἅπαντες ἂν* U 7 *μηδὲν* U[1] 8 *ἡμῖν* S[1]
10 *αὐτὸν* U[1] *ἑαυτὸν* U corr. 12 *μηδενὸς* U 14 prius *ὑμᾶς*
del. Cobet 15 *γραφείη* S[1]: *ἂν γραφῆ(ι)* S rec. U *γράφει* (*ἂν* ... *ηι* superscr.) F
17 *ἔπραττε* U[1] 22 *ὑμῖν εἰσιν* S rec. mg. FU

Ἀθηναῖοι τοῦ παρόντος βελτίω ζητεῖτε; ἢ πόθ' ἃ δεῖ
πράξετ', εἰ μὴ νῦν; οὐχ ἅπαντα μὲν ἡμῶν προείληφε τὰ
χωρί' ἅνθρωπος, εἰ δὲ καὶ ταύτης κύριος τῆς χώρας γενή-
σεται, πάντων αἴσχιστα πεισόμεθα; οὐχ οὕς, εἰ πολεμή-
σαιεν, ἑτοίμως σώσειν ὑπισχνού|μεθα, οὗτοι νῦν πολε- 33
μοῦσιν; οὐκ ἐχθρός; οὐκ ἔχων τὰ ἡμέτερα; οὐ βάρβαρος; 6
17 οὐχ ὅ τι ἂν εἴποι τις; ἀλλὰ πρὸς θεῶν πάντ' ἐάσαντες
καὶ μόνον οὐχὶ συγκατασκευάσαντες αὐτῷ, τότε τοὺς αἰ-
τίους οἵτινες τούτων ζητήσομεν; οὐ γὰρ αὐτοί γ' αἴτιοι
φήσομεν εἶναι, σαφῶς οἶδα τοῦτ' ἐγώ. οὐδὲ γὰρ ἐν τοῖς 10
τοῦ πολέμου κινδύνοις τῶν φυγόντων οὐδεὶς ἑαυτοῦ
κατηγορεῖ, ἀλλὰ τοῦ στρατηγοῦ καὶ τῶν πλησίον καὶ
πάντων μᾶλλον, ἥττηνται δ' ὅμως διὰ πάντας τοὺς φυ-
γόντας δήπου· μένειν γὰρ ἐξῆν τῷ κατηγοροῦντι τῶν
18 ἄλλων, εἰ δ' ἐποίει τοῦθ' ἕκαστος, ἐνίκων ἄν. καὶ νῦν, 15
οὐ λέγει τις τὰ βέλτιστα· ἀναστὰς ἄλλος εἰπάτω, μὴ
τοῦτον αἰτιάσθω. ἕτερος λέγει τις βελτίω· ταῦτα ποιεῖτ'
ἀγαθῇ τύχῃ. ἀλλ' οὐχ ἡδέα ταῦτα· οὐκέτι τοῦθ' ὁ λέγων
ἀδικεῖ. πλὴν εἰ δέον εὔξασθαι παραλείπει· εὔξασθαι μὲν
ὦ ἄνδρες Ἀθηναῖοι ῥᾴδιον, εἰς ταὐτὸ πάνθ' ὅσα βού- 20
λεταί τις ἀθροίσαντ' ἐν ὀλίγῳ, ἑλέσθαι δ', ὅταν περὶ

2 προείληφε τὰ χωρία SF¹: τὰ χωρία προείληφε F corr. U
3 ἅνθρωπος S: ἄνθρωπος FU 4 πολεμήσαιεν (ει s.l.) F 5 πολε-
μοῦσιν S¹ F¹: πολεμοῦνται S rec. F s. v. 7 οὐχ ὅ τι ἂν] χ ὅτι
ἂν S rec. in lac. 3 litt. quarum prima κ fuit (ουκαν? S¹) | πάντ'
ἐάσαντες] πάντες S¹F¹ ἅπαντ' ἐάσαντες S rec. U πάντ' ἐάσαντες
γρ. Sᵈ mg. ἅπαντα ταῦτα ἐάσαντες F corr. 9 οἵτινές εἰσι FU |
αὐτοί γ' S corr. F²U: αὐτοῖς γ' S¹ αὐτοῖς F¹ cf. X 19 11 φυγόν-
των S: φευγόντων FU 12 ἀλλὰ καὶ F | τῶν] τῶν (οὗ s.l.) F 13 ὅμως SF:
ὁμοίως U | φυγόντας S: φεύγοντας FU 15 ἐποίουν Benseler |
ἐποίει τοῦθ' Blass: τοῦτ' ἐποίει SFU ἕκαστος τοῦτ' ἐποίει Zander
19 μὲν γὰρ FU

πραγμάτων προτεθῇ σκοπεῖν, οὐκέθ' ὁμοίως εὔπορον, ἀλλὰ δεῖ τὰ βέλτιστ' ἀντὶ τῶν ἡδέων, ἂν μὴ συναμφότερ' ἐξῇ, λαμβάνειν. εἰ δέ τις ἡμῖν ἔχει καὶ τὰ θεωρικὰ ἐᾶν 19 καὶ πόρους ἑτέρους λέγειν στρατιωτικούς, οὐχ οὗτος 5 κρείττων; εἴποι τις ἄν. φήμ' ἔγωγε, εἴπερ ἔστιν ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλὰ θαυμάζω, εἴ τῳ ποτ' ἀνθρώπων ἢ γέγονεν ἢ γενήσεται, ἂν τὰ παρόντ' ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆσαι πρὸς ἃ δεῖ. ἀλλ' οἶμαι μέγα τοῖς τοιούτοις ὑπάρχει λόγοις ἡ παρ' ἑκάστου βού-10 λησις, διόπερ ῥᾷστον ἁπάντων ἐστὶν αὑτὸν ἐξαπατῆσαι· 34 ὃ γὰρ | βούλεται, τοῦθ' ἕκαστος καὶ οἴεται, τὰ δὲ πράγματα πολλάκις οὐχ οὕτω πέφυκεν. ὁρᾶτ' οὖν ὦ ἄνδρες 20 Ἀθηναῖοι ταῦθ' οὕτως, ὅπως καὶ τὰ πράγματ' ἐνδέχεται καὶ δυνήσεσθ' ἐξιέναι καὶ μισθὸν ἕξετε. οὔ τοι σωφρό-15 νων οὐδὲ γενναίων ἐστὶν ἀνθρώπων, ἐλλείποντάς τι δι' ἔνδειαν χρημάτων τῶν τοῦ πολέμου, εὐχερῶς τὰ τοιαῦτ' ὀνείδη φέρειν, οὐδ' ἐπὶ μὲν Κορινθίους καὶ Μεγαρέας ἁρπάσαντας τὰ ὅπλα πορεύεσθαι, Φίλιππον δ' ἐᾶν πόλεις Ἑλληνίδας ἀνδραποδίζεσθαι δι' ἀπορίαν ἐφοδίων τοῖς 20 στρατευομένοις.

Καὶ ταῦτ' οὐχ ἵν' ἀπέχθωμαί τισιν ὑμῶν, τὴν ἄλλως 21 προῄρημαι λέγειν (οὐ γὰρ οὕτως ἄφρων οὐδ' ἀτυχής εἰμ' ἐγώ, ὥστ' ἀπεχθάνεσθαι βούλεσθαι μηδὲν ὠφελεῖν νομίζων)· ἀλλὰ δικαίου πολίτου κρίνω τὴν τῶν πραγμάτων 25 σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος αἱρεῖσθαι, καὶ τοὺς ἐπὶ τῶν προγόνων ἡμῶν λέγοντας ἀκούω, ὥσπερ

3 ὑμῖν FU 10 ἑαυτὸν U 13 τὰ F s. v. 14 ἕξεται ut videtur F[1] 15 ἐλλείποντάς F[1] (sed ἐλ a scriba postea additum videtur) U Hermog. III 234, 14 W. (256, 14 R.): λείποντάς S 16 τῶν om. U[1] 20 στρατευσομένοις Tournier 21 ἀπέχθωμαι] αι in ras. F 25 καὶ SF[1]: καὶ γὰρ F[2]U 26 ἀκούων S[1]

ἴσως καὶ ὑμεῖς, οὓς ἐπαινοῦσι μὲν οἱ παριόντες ἅπαντες,
μιμοῦνται δ' οὐ πάνυ, τούτῳ τῷ ἔθει καὶ τῷ τρόπῳ τῆς
πολιτείας χρῆσθαι, τὸν Ἀριστείδην ἐκεῖνον, τὸν Νικίαν,
22 τὸν ὁμώνυμον ἐμαυτῷ, τὸν Περικλέα. ἐξ οὗ δ' οἱ δι-
ερωτῶντες ὑμᾶς οὗτοι πεφήνασι ῥήτορες „τί βούλεσθε; τί 5
γράψω; τί ὑμῖν χαρίσωμαι;“ προπέποται τῆς παραυτίκα
χάριτος τὰ τῆς πόλεως πράγματα, καὶ τοιαυτὶ συμβαίνει,
καὶ τὰ μὲν τούτων πάντα καλῶς ἔχει, τὰ δ' ὑμέτερ'
23 αἰσχρῶς. καίτοι σκέψασθ' ὦ ἄνδρες Ἀθηναῖοι, ἅ τις ἂν
κεφάλαι' εἰπεῖν ἔχοι τῶν τ' ἐπὶ τῶν προγόνων ἔργων καὶ 10
τῶν ἐφ' ὑμῶν. ἔσται δὲ βραχὺς καὶ γνώριμος ὑμῖν | ὁ 35
XIX 269 λόγος· οὐ γὰρ ἀλλοτρίοις ὑμῖν χρωμένοις παραδείγμασιν,
ἀλλ' οἰκείοις ὦ ἄνδρες Ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι γε-
24 νέσθαι. ἐκεῖνοι τοίνυν, οἷς οὐκ ἐχαρίζονθ' οἱ λέγοντες
οὐδ' ἐφίλουν αὐτοὺς ὥσπερ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν 15
καὶ τετταράκοντ' ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων, πλείω
δ' ἢ μύρια τάλαντ' εἰς τὴν ἀκρόπολιν ἀνήγαγον, ὑπ-
ήκουεν δ' ὁ ταύτην τὴν χώραν ἔχων αὐτοῖς βασιλεύς, ὥσ-
περ ἐστὶ προσῆκον βάρβαρον Ἕλλησι, πολλὰ δὲ καὶ καλὰ
καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαι' αὐτοὶ στρα- 20
τευόμενοι, μόνοι δ' ἀνθρώπων κρείττω τὴν ἐπὶ τοῖς ἔρ-
25 γοις δόξαν τῶν φθονούντων κατέλιπον. ἐπὶ μὲν δὴ τῶν
Ἑλληνικῶν ἦσαν τοιοῦτοι· ἐν δὲ τοῖς κατὰ τὴν πόλιν
αὐτὴν θεάσασθ' ὁποῖοι, ἔν τε τοῖς κοινοῖς καὶ ἐν τοῖς ἰδίοις.
δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοιαῦτα 25

1 παρόντες U 6 χαρίσωμαι F mg.: χαρίσομαι SF text. U | προπέποται] αι in ras. F | παραυτίκα ἡδυνῆς καὶ χ. γρ. FU ex VI 27 12 χρωμένοις ὑμῖν Dion. H. de Dem. 1015 R. 13 γίγνεσθαι Dion. 15 οὗτοι ὑμᾶς U[1] | νῦν om. U 17 συνήγαγον γρ. S rec. U Dion. 22 κατέλιπον] inc. antiqua m. A | δὴ om. U 24 τε om. Dion. | καὶ ἐν] καὶ A 25sq. τοσαῦτα καὶ τοιαῦτα A Dion.

καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν ἱερῶν καὶ τῶν ἐν τού-
τοις ἀναθημάτων, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερ- XXIII 207
βολὴν λελεῖφθαι· ἰδίᾳ δ' οὕτω σώφρονες ἦσαν καὶ σφόδρ'
ἐν τῷ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν Ἀριστείδου 26
5 καὶ τὴν Μιλτιάδου καὶ τῶν τότε λαμπρῶν οἰκίαν, εἴ τις
ἄρ' οἶδεν ὑμῶν ὁποία ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος
οὐδὲν σεμνοτέραν οὖσαν· οὐ γὰρ εἰς περιουσίαν ἐπράτ-
τετ' αὐτοῖς τὰ τῆς πόλεως, ἀλλὰ τὸ κοινὸν αὔξειν ἕκα-
στος ᾤετο δεῖν. ἐκ δὲ τοῦ τὰ μὲν Ἑλληνικὰ πιστῶς, τὰ
10 δὲ πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δ' ἐν αὐτοῖς ἴσως διοι-
κεῖν μεγάλην εἰκότως ἐκτήσαντ' εὐδαιμονίαν. τότε μὲν 27
δὴ τοῦτον τὸν τρόπον εἶχε τὰ πράγματ' ἐκείνοις, χρωμέ-
νοις οἷς εἶπον προστάταις· νυνὶ δὲ πῶς ἡμῖν ὑπὸ τῶν χρη-
36 στῶν τῶν νῦν τὰ πράγματ' | ἔχει; ἆρά γ' ὁμοίως καὶ
15 παραπλησίως; οἷς — τὰ μὲν ἄλλα σιωπῶ, πόλλ' ἂν ἔχων
εἰπεῖν, ἀλλ' ὅσης ἅπαντες ὁρᾶτ' ἐρημίας ἐπειλημμένοι,
καὶ Λακεδαιμονίων μὲν ἀπολωλότων, Θηβαίων δ' ἀσχό-
λων ὄντων, τῶν δ' ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ
τῶν πρωτείων ἡμῖν ἀντιτάξασθαι, ἐξὸν δ' ἡμῖν καὶ τὰ
20 ἡμέτερ' αὐτῶν ἀσφαλῶς ἔχειν καὶ τὰ τῶν ἄλλων δίκαια
βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας οἰκείας, πλείω δ' ἢ 28

3 λειφθῆναι Dion. 4 ἐν om. S, add. s. v. F[1] 5 τὴν om. AU Dion. 7 sq. αὐτοῖς ἐπράττετο AU Dion. 8 ἕκαστος αὔξειν A Dion. 11 ἐκέκτηντο Dion. 13 εἶπαν ut videtur F[1] | νῦν AU |
ὑ
ἡμιν F ὑμῖν AU Hermog. III 252, 14 W. (272, 5 R.). 350, 7 W. (365, 4 R.). 351, 15 W. (366, 12 R.) 14 τῶν νῦν SF Dion. c. M: τούτων AU Dion. c. B Hermog. | καὶ SF Dion.: ἢ AU 15 οἷς SF: καὶ γρ. FAU Dion. c. M[2], om. Dion. c. M[1]BP Sauppe at v. Dionysii imitationem Archaeol. Rom. X 38, 2 οἵ γε — τὰ μὲν ἄλλα .. σιωπῶ, ἀλλ' εἰς τοῦτο προεληλύθασιν ὑπερηφανίας κτλ. | ἂν om. Dion. 16 πάντες Dion. 17 καὶ del. in r, secl. Dobree 19 ὑμῖν AU Dion. | ἀντιτάξασθαι] ἀνταῖραι Dion. cf. VI 5 | δ' om. Dion. Bekkeri Anecd. 136, 1 21 οἰκείας] ει in ras. F οἰκίας γρ. F

Is. VII 9 sq. χίλια καὶ πεντακόσια τάλαντ' ἀνηλώκαμεν εἰς οὐδὲν δέον, οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, εἰρήνης οὔσης ἀπολωλέκασιν οὗτοι, ἐχθρὸν δ' ἐφ' ἡμᾶς αὐτοὺς τηλικοῦτον ἠσκήκαμεν. ἢ φρασάτω τις ἐμοὶ παρελθών, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν ἢ παρ' ἡμῶν αὐτῶν Φί- 5
29 λιππος. ἀλλ' ὦταν εἰ ταῦτα φαύλως, τά γ' ἐν αὐτῇ τῇ πόλει νῦν ἄμεινον ἔχει. καὶ τί ἂν εἰπεῖν τις ἔχοι; τὰς ἐπάλξεις ἃς κονιῶμεν, καὶ τὰς ὁδοὺς ἃς ἐπισκευάζομεν, καὶ κρήνας, καὶ λήρους; ἀποβλέψατε δὴ πρὸς τοὺς ταῦτα πολιτευομένους, ὧν οἱ μὲν ἐκ πτωχῶν πλούσιοι γεγόνα- 10 σιν, οἱ δ' ἐξ ἀδόξων ἔντιμοι, ἔνιοι δὲ τὰς ἰδίας οἰκίας τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας εἰσὶ κατεσκευασμένοι· ὅσῳ δὲ τὰ τῆς πόλεως ἐλάττω γέγονεν, τοσούτῳ τὰ τούτων ηὔξηται.

30 Τί δὴ τὸ πάντων αἴτιον τούτων, καὶ τί δή ποθ' ἅπαντ' 15 εἶχε καλῶς τότε, καὶ νῦν οὐκ ὀρθῶς; ὅτι τότε μὲν πράττειν καὶ στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος δεσπότης τῶν πολιτευομένων ἦν καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν, καὶ ἀγαπητὸν ἦν παρὰ τοῦ δήμου τῶν ἄλλων ἑκάστῳ καὶ τιμῆς καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινος μεταλα- 20
31 βεῖν· | νῦν δὲ τοὐναντίον, κύριοι μὲν οἱ πολιτευόμενοι 37 τῶν ἀγαθῶν, καὶ διὰ τούτων ἅπαντα πράττεται, ὑμεῖς δ' ὁ δῆμος ἐκνενευρισμένοι καὶ περιῃρημένοι χρήματα,

4 ἠσκήσαμεν AU Hermog. III 175 W. (199, 20 R.) 5 γέγονε ante Φίλ. Hermog. | ὁ φίλ. A Dion. 7 ἂν] δὴ Dion. (praet. c. M[2]) | ἔχηι S 8 κονίομεν S corr. U 9 τὰ ταῦτα A[1] τὰ τοιαῦτα A[2]U 10 ταχὺ πλούσιοι AU ex VIII 66 14 ηὔξηται AU Dion.: ηὔξηκεν S ηὔξηκεν (ται supra) F cf. ad IV 11 16 τότε XIII 31 [qui locus adf. ab Hermog. III 266, 5 W. (285, 5 R.)]: τὸ SFAU Dion. | πράττειν Rehdantz: πρῶτον SFAU Dion. πρότερον Sauppe 18 ἤ S[1] 22 τῶν ἀγαθῶν οἱ πολ. AU Dion.

*συμμάχους, ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γε-
γένησθε, ἀγαπῶντες ἐὰν μεταδιδῶσι θεωρικῶν ὑμῖν ἢ
Βοηδρόμια πέμψωσιν οὗτοι, καὶ τὸ πάντων ἀνδρειότατον,
τῶν ὑμετέρων αὐτῶν χάριν προσοφείλετε. οἱ δ' ἐν αὐτῇ τῇ
5 πόλει καθείρξαντες ὑμᾶς ἐπάγουσιν ἐπὶ ταῦτα καὶ τιθα-
σεύουσι χειροήθεις αὐτοῖς ποιοῦντες. ἔστι δ' οὐδέποτ'* 32
*οἶμαι μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν μικρὰ καὶ φαῦλα
πράττοντας· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀν-
θρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημ' ἔχειν. ταῦτα
10 μὰ τὴν Δήμητρ' οὐκ ἂν θαυμάσαιμ' εἰ μείζων εἰπόντι
ἐμοὶ γένοιτο παρ' ὑμῶν βλάβη τῶν πεποιηκότων αὐτὰ
γενέσθαι· οὐδὲ γὰρ παρρησία περὶ πάντων ἀεὶ παρ' ἡμῖν
ἐστιν, ἀλλ' ἔγωγ' ὅτι καὶ νῦν γέγονε θαυμάζω.*

Ἐὰν οὖν ἀλλὰ νῦν γ' ἔτ' ἀπαλλαγέντες τούτων τῶν 33
*15 ἐθῶν ἐθελήσητε στρατεύεσθαί τε καὶ πράττειν ἀξίως
ὑμῶν αὐτῶν, καὶ ταῖς περιουσίαις ταῖς οἴκοι ταύταις
ἀφορμαῖς ἐπὶ τὰ ἔξω τῶν ἀγαθῶν χρήσησθε, ἴσως ἄν,
ἴσως ὦ ἄνδρες Ἀθηναῖοι τέλειόν τι καὶ μέγα κτήσαισθ'
ἀγαθὸν καὶ τῶν τοιούτων λημμάτων ἀπαλλαγείητε, ἃ*

1 *καὶ συμμ.* A [*καὶ* om. etiam Hermog. III 205 W. (229, 17 R.). 234 W. (256, 8 R.)] 2 *μεταδῶσι* AU Dion. | *θεωρικῶν* (o s. v.) F *θεωρικὸν* A[1]U Dion. (cuius c. M mutat in *θεωρικῶν*) 3 *Βοηδρόμια*] *βοίδια γρ.* S rec. *γρ.* FAU Dion. Hermog. III 234 W. (256, 10 R.) | *ἀνδρειότατον* S *γρ.* F: *ἀνανδρότατον γρ.* S rec. FAU Dion. 4 *προσωφείλετε* S[1] 5 *ἡμᾶς* SF[1] | *τιθασσεύουσι* S[2]F[2]U Dion. 8 *ἂν* s. v. A om. Dion. (praet. c. M[2]) 10 *δήμητραν* U | *μεῖζον* F[1]A[1] 11 *μοι* A Dion. | *ἢ τῶν* SF 12 *γενέσθαι*] *ἑκάστῳ* Dion. | *αἰεὶ* F | *ὑμῖν* FAU Dion. at *παρ' ἡμῖν* est *ἐν τῇ πόλει*, v. IX 3 14 *ἀλλὰ νῦν γ' ἔτι* SF: *ἔτι καὶ νῦν γρ.* FA *ἔτι νῦν* U 15 *ἐθελήσητε*] alt. *η* in ras. F | *τε* om. A 16 *οἴκοι*] *κοι* s. v. F 17 *χρῆσθαι* AU 18 *κτήσησθε* S *κτήσαισθε* (η s. v.) F *κτήσεσθε* AU

τοῖς [ἀσθενοῦσι] παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις
ἔοικεν. καὶ γὰρ ἐκεῖν' οὔτ' ἰσχὺν ἐντίθησιν οὔτ' ἀπο-
θνήσκειν ἐᾷ· καὶ ταῦθ' ἃ νέμεσθε νῦν ὑμεῖς, οὔτε το-
σαῦτ' ἐστίν, ὥστ' ὠφέλειαν ἔχειν τινὰ διαρκῆ, οὔτ'
ἀπογνόντας ἄλλο τι πράττειν ἐᾷ, ἀλλ' ἔστι ταῦτα τὴν ἑκά- 5
34 στου ῥᾳθυμίαν | ἡμῶν ἐπαυξάνοντα. „οὐκοῦν σὺ μισθο- 38
φορὰν λέγεις;“ φήσει τις. καὶ παραχρῆμά γε τὴν αὐτὴν
I 20 σύνταξιν ἁπάντων ὦ ἄνδρες Ἀθηναῖοι, ἵνα τῶν κοινῶν
ἕκαστος τὸ μέρος λαμβάνων, ὅτου δέοιθ' ἡ πόλις, τοῦθ'
ὑπάρχοι. ἔξεστιν ἄγειν ἡσυχίαν· οἴκοι μένων βελτίων, 10
τοῦ δι' ἔνδειαν ἀνάγκῃ τι ποιεῖν αἰσχρὸν ἀπηλλαγμένος.
συμβαίνει τι τοιοῦτον οἷον καὶ τὰ νῦν· στρατιώτης αὐ-
τὸς ὑπάρχων ἀπὸ τῶν αὐτῶν τούτων λημμάτων, ὥσπερ
ἐστὶ δίκαιον ὑπὲρ τῆς πατρίδος. ἔστι τις ἔξω τῆς ἡλικίας
ἡμῶν· ὅσ' οὗτος ἀτάκτως νῦν λαμβάνων οὐκ ὠφελεῖ, 15
ταῦτ' ἐν ἴσῃ τάξει λαμβάνων πάντ' ἐφορῶν καὶ διοικῶν
35 ἃ χρὴ πράττεσθαι. ὅλως δ' οὔτ' ἀφελὼν οὔτε προσθείς,

1 ἀσθενοῦσι del. F. A. Wolf cf. Philostr. vit. Apoll. VII 26 | διδο-μένοις del. Cobet coll. prooem. LIII 4 ἔχειν ὠφέλειαν A 6 ἡμῶν S: ἡμῶν (ὁ s. v.) F ὑμῶν AU | ἐπαυξάνοντα] ανον in ras. A prima litt. erasa fuit o (non ἐπαύξοντα fuisse vid.) 7 φήσει τις] φήσεις Dion. de Isaeo 608 R. 8 ἁπάντων γρ. FAU Dion.: ἀπ' αὐτῶν SF text. | καινῶν F κοινῶν γρ. F mg. 9 ἕκαστος post λαμβ. pon. Dion. 9sq. τοῦθ' ὑπάρχοι S[1]F: τοῦτο παρέχοι Dion. (unde ortum εἰς τοῦθ' ἑτοίμως χρήσιμον ἑαυτὸν παρέχοι γρ. F mg. U, cf. IV 7) εἰς τοῦθ' (τοῦτο) ἕτοιμος ὑπάρχοι S corr. rec. A (ὑπάρχει? A[1]) 10 οἴκοι δὲ U[1] | εἶ βελτίων S rec. AU corr. βελτίων εἶ Dion. 11 ἀνάγκη SFA Dion. 12 τὰ (ο s. v.) νῦν F 13 λημάτων F[1] 15 ἡμῶν SFAU Dion. ὑμῶν Y suppl. | νῦν ἀτάκτως A | ὠφελεῖ γρ. S rec. AU Dion.: ὠφελεῖται SF 16 λαμ-βάνων SF[1]A[1] Dion. (cuius c. F παραλαμβάνων): λαμβανέτω F[2] s. v. γρ. FA[2]U 17 πράττεσθαι (τειν s. v.) F | ἀφελὼν] φ in ras. 2 litt. F

πλὴν μικρῶν, τὴν ἀταξίαν ἀνελὼν εἰς τάξιν ἤγαγον τὴν πόλιν, τὴν αὐτὴν τοῦ λαβεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν τοῦθ' ὅ τι καθ' ἡλικίαν ἕκαστος ἔχοι καὶ ὅτου καιρὸς εἴη, τάξιν ποιήσας. οὐκ ἔστιν ὅπου μηδὲν
5 *ἐγὼ ποιοῦσι τὰ τῶν ποιούντων εἶπον ὡς δεῖ νέμειν, οὐδ' αὐτοὺς μὲν ἀργεῖν καὶ σχολάζειν καὶ ἀπορεῖν, ὅ τι δ' οἱ τοῦ δεῖνος νικῶσιν ξένοι, ταῦτα πυνθάνεσθαι· ταῦτα γὰρ νυνὶ γίγνεται. καὶ οὐχὶ μέμφομαι τὸν* 36 *ποιοῦντά τι τῶν δεόντων ὑπὲρ ὑμῶν, ἀλλὰ καὶ ὑμᾶς*
10 *ὑπὲρ ὑμῶν αὐτῶν ἀξιῶ πράττειν ταῦτ' ἐφ' οἷς ἑτέρους τιμᾶτε, καὶ μὴ παραχωρεῖν ὦ ἄνδρες Ἀθηναῖοι τῆς τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι τῆς ἀρετῆς μετὰ πολλῶν καὶ καλῶν κινδύνων κτησάμενοι κατέλιπον*

Σχεδὸν εἴρηχ' ἃ νομίζω συμφέρειν· ὑμεῖς δ' ἕλοισθ'
15 *ὅ τι καὶ τῇ πόλει καὶ ἅπασι συνοίσειν ὑμῖν μέλλει.*

1 *μικρῶν* S (corr. a pr. m.) AU: *μικρὸν* S[1]F *τι μικρῶι* Dion. 3 *ἔχει* A *ἔχει* (οι superscr.) U 4 *τοῖς μηδὲν* S rec. F rec. AU 5 *ποιοῦσιν ἐγὼ* A | *ποιούντων* A: *ποιησόντων* S corr. (*ησον* in ras. 3 vel 4 litt.; non *ποιούντων* fuisse videtur) FU 7 *ὅ τι* Frohberger: *ὅτι* SFAU cf. XIII 3 9 *ἀλλὰ* .. 10 *ὑμῶν* add. in mg. inf. A[1] | *ὑμᾶς ὑπὲρ* etiam F 10 *ὑμῶν*] *υ* in corr. F 13 *καὶ μεγάλων* ante *κινδύνων* add. A ex IX 74 15 *πᾶσιν ὑμῖν συν.* A *ὑμῖν* om. U

In S F subscriptum est (versuum numerus in S ab alt. m.)

ʼΟΛΥΝΘΙΑΚΌΣ Γ̄

Η̄ Η̄ Η̄ Δ̄ Δ̄ Π̄

in A

ʽΟΛΥΝΘΙΑΚΌΣ Γ̄

in U

ΤΈΛΟΣ ʼΟΛΥΝΘΙΑΚΟΥ̃ ΛΌΓΟΥ Γʹ

IV

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Α

ΥΠΟΘΕΣΙΣ

Κακῶς ἐν τῷ πολέμῳ τῷ πρὸς Φίλιππον οἱ Ἀθηναῖοι φερόμενοι συνεληλύθασιν εἰς ἐκκλησίαν ἀθυμοῦντες. ὁ τοίνυν ῥήτωρ τήν τ' ἀθυμίαν πειρᾶται παύειν, λέγων οὐδὲν εἶναι θαυμαστὸν εἰ ῥαθυμοῦντες κεκράτηνται, καὶ εἰσηγεῖται πῶς ἂν ἄριστα τῷ πολέμῳ προσενεχθεῖεν. κελεύει δὲ δύο δυνάμεις παρασκευάσασθαι, μίαν μὲν μείζω, πολιτικήν, ἥτις οἴκοι μένουσα πρὸς τὰς τῶν ἐπικαίρων χρείας ἕτοιμος ὑπάρξει, ἑτέραν δ' ἐλάττονα, ξένων ὄντων τῶν στρατευομένων, παραμεμιγμένων δὲ ⟨*πολιτῶν. ταύτην δὲ*⟩ *κελεύει τὴν δύναμιν μὴ Ἀθήνησι μένειν μηδ' ἐκ τῆς πόλεως ποιεῖσθαι τὰς βοηθείας, ἀλλὰ περὶ τὴν Μακεδονίαν ἀναστρέφεσθαι πολεμοῦσαν ἀδιαλείπτως, ἵνα μὴ τοὺς ἐτησίας πνέοντας ἐπιτηρήσας ὁ Φίλιππος ἢ καὶ τὸν χειμῶνα, ἡνίκ' Ἀθήνηθεν εἰς Μακεδονίαν πλεῖν οὐ δυνατόν, ἐπιχειρῇ τοῖς πράγμασιν καὶ παρὰ τὴν ἀπουσίαν τὴν τῶν Ἀθηναίων ἁπάντων κρατῇ, ἀλλ' ἐγγὺς ἡ πρὸς αὐτὸν ἀντιταξομένη δύναμις ὑπάρχῃ.*

Is. VI 2 Prooem. I — Εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετ' ὦ ἄνδρες Ἀθηναῖοι λέγειν, ἐπισχὼν ἂν ἕως οἱ πλεῖστοι τῶν 40

Argumentum habet etiam S a m. recentissima; praeterea cf. Gregorius Corinthius VII 1199 n. 79, 1207 sq. W. *Ὑπόθεσις λόγου οὗ ἡ ἀρχὴ εἰ μὲν περὶ καινοῦ τινὸς ὦ ἄνδρες προυτίθετο λέγειν* F 5 *δὲ* F m' Greg.: *δὴ* SY | *δύο* om. F 7 *τῶν ἐπικαίρων* F m Greg.: *ἐπικαίρων* Y[1] *ἐπὶ καιρῶν* Y corr. U *κατὰ καιρὸν* S | *ἕτοιμος*] *μος* add. F mg. | *ἐλάττω* S 8 sq. *πολιτῶν. ταύτην δὲ* add. Sauppe 9 *καὶ κελεύει* UY m 15 *κρατήσηι* U | *πρὸς αὐτὸν* post *δύναμις* iterant FYU m | *ὑπάρχει* F

εἰωθότων γνώμην ἀπεφήναντο, εἰ μὲν ἤρεσκέ τί μοι τῶν
ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον, εἰ δὲ μή, τότ' ἂν
αὐτὸς ἐπειρώμην ἃ γιγνώσκω λέγειν· ἐπειδὴ δ' ὑπὲρ ὧν
πολλάκις εἰρήκασιν οὗτοι πρότερον συμβαίνει καὶ νυνὶ
5 σκοπεῖν, ἡγοῦμαι καὶ πρῶτος ἀναστὰς εἰκότως ἂν συγ-
γνώμης τυγχάνειν. εἰ γὰρ ἐκ τοῦ παρεληλυθότος χρόνου
τὰ δέονθ' οὗτοι συνεβούλευσαν, οὐδὲν ἂν ὑμᾶς νῦν ἔδει
βουλεύεσθαι.

Πρῶτον μὲν οὖν οὐκ ἀθυμητέον ὦ ἄνδρες Ἀθηναῖοι 2
10 τοῖς παροῦσι πράγμασιν, οὐδ' εἰ πάνυ φαύλως ἔχειν δο-
κεῖ. ὃ γάρ ἐστι χείριστον αὐτῶν ἐκ τοῦ παρεληλυθότος Prooem. XXX
χρόνου, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. τί
οὖν ἐστι τοῦτο; ὅτι οὐδὲν ὦ ἄνδρες Ἀθηναῖοι τῶν δεόν-
των ποιούντων ὑμῶν κακῶς τὰ πράγματ' ἔχει· ἐπεί τοι,
15 εἰ πάνθ' ἃ προσῆκε πραττόντων οὕτως εἶχεν, οὐδ' ἂν
ἐλπὶς ἦν αὐτὰ βελτίω γενέσθαι. ἔπειτ' ἐνθυμητέον καὶ 3
παρ' ἄλλων ἀκούουσιν καὶ τοῖς εἰδόσιν αὐτοῖς ἀναμιμνη-
σκομένοις, ἡλίκην ποτ' ἐχόντων δύναμιν Λακεδαιμονίων,
ἐξ οὗ χρόνος οὐ πολύς, ὡς καλῶς καὶ προσηκόντως οὐδὲν
20 ἀνάξιον ὑμεῖς ἐπράξατε τῆς πόλεως, ἀλλ' ὑπεμείναθ'
ὑπὲρ τῶν δικαίων τὸν πρὸς ἐκείνους πόλεμον. τίνος οὖν
41 ἕνεκα ταῦτα λέγω; | ἵν' εἰδῆτ' ὦ ἄνδρες Ἀθηναῖοι καὶ

3 *καὶ αὐτὸς* A Hermog. III 274 W. (292, 11 R.) ex prooem. I | *δ' ὑπὲρ* SF[1] A Hermog.: *δὲ περὶ* F[2] U 4 *νῦν* U 7 *οὗτοι* (α superscr.) F *αὐτοὶ* U | *συνεβούλευσαν* (ον superscr.) F *συνεβούλευον* AU | *ὑμᾶς* (η superscr.) F *ἡμᾶς* A | *ἔδει νῦν* U[1] 8 *βουλεύεσθαι περὶ αὐτῶν* A 14 *τοι εἰ* Bekker (ex IX 5): *εἴ τοι* SF *τοί γ' εἰ γρ.* FAU 15 *προσῆκε* (ει superscr.) F *προσήκει γρ.* FAU 16 *αὐτὰ*] *αὐτῷ* U 20 *τῆς πόλεως ὑμεῖς ἐπρ.* AU 21 *ἑλληνικῶν δικαίων γρ.* FA ex II 24 22 *λέγω . . . ἐνενήκοντα καὶ* § 28 perierunt in A | *ἴδητε* Blass

θεάσησθε, ὅτι οὐδὲν οὔτε φυλαττομένοις ὑμῖν ἐστι φο-
βερόν, οὔτ', ἂν ὀλιγωρῆτε, τοιοῦτον οἷον ἂν ὑμεῖς βού-
λοισθε, παραδείγμασι χρώμενοι τῇ τότε ῥώμῃ τῶν Λακε-
δαιμονίων, ἧς ἐκρατεῖτ' ἐκ τοῦ προσέχειν τοῖς πράγμασι
τὸν νοῦν, καὶ τῇ νῦν ὕβρει τούτου, δι' ἣν ταραττόμεθ' 5
4 ἐκ τοῦ μηδὲν φροντίζειν ὧν ἐχρῆν. εἰ δέ τις ὑμῶν ὦ
ἄνδρες Ἀθηναῖοι δυσπολέμητον οἴεται τὸν Φίλιππον
εἶναι, σκοπῶν τό τε πλῆθος τῆς ὑπαρχούσης αὐτῷ δυνά-
μεως καὶ τὸ τὰ χωρία πάντ' ἀπολωλέναι τῇ πόλει, ὀρθῶς
μὲν οἴεται, λογισάσθω μέντοι τοῦθ', ὅτι εἴχομέν ποθ' 10
ἡμεῖς ὦ ἄνδρες Ἀθηναῖοι Πύδναν καὶ Ποτείδαιαν καὶ
Μεθώνην καὶ πάντα τὸν τόπον τοῦτον οἰκεῖον κύκλῳ,
καὶ πολλὰ τῶν μετ' ἐκείνου νῦν ὄντων ἐθνῶν αὐτονο-
μούμενα καὶ ἐλεύθερ' ὑπῆρχεν καὶ μᾶλλον ἡμῖν ἐβούλετ'
5 ἔχειν οἰκείως ἢ 'κείνῳ. εἰ τοίνυν ὁ Φίλιππος τότε ταύ- 15
την ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν ἐστιν Ἀθη-
ναίοις ἔχουσι τοσαῦτ' ἐπιτειχίσματα τῆς αὐτοῦ χώρας
ἔρημον ὄντα συμμάχων, οὐδὲν ἂν ὧν νυνὶ πεποίηκεν
ἔπραξεν οὐδὲ τοσαύτην ἐκτήσατο δύναμιν. ἀλλ' εἶδεν
ὦ ἄνδρες Ἀθηναῖοι τοῦτο καλῶς ἐκεῖνος, ὅτι ταῦτα μέν 20
ἐστιν ἅπαντα τὰ χωρί' ἆθλα τοῦ πολέμου κείμεν' ἐν
μέσῳ, φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων,
καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν τὰ τῶν ἀμε-
6 λούντων. καὶ γάρ τοι ταύτῃ χρησάμενος τῇ γνώμῃ πάντα

1 θεάσησθε] λογίσησθε γρ. F γρ. U 2 ἐὰν U | βούλοισθε G. H. Schaefer: βούλησθε SFU 6 ἂν δ' ἄρα super εἰ δέ τις U[1] 8 τῆς νῦν F rec. U 9 τὸ S rec. U: τῶι S[1]F 11 ἡμεῖς om. F[1] add. s. v. 14 ἡμῖν vulg: ὑμῖν SFU 17 τοσαῦτα S F[1]: τοιαῦτα F corr. U | αὐτοῦ] αὐτῶι S[1] 18 ἔρημος ὢν τότε S rec. U[1](?) 19 ἂν δύναμιν A suppl. Y suppl. | ᾔδειν Cobet, cf. VI 8 24 τοι ταύτῃ SU: τοιαύτηι F

κατέστραπται καὶ ἔχει, τὰ μὲν ὡς ἂν ἑλών τις [ἔχοι] πο-
42 λέμῳ, τὰ δὲ σύμμαχα καὶ φίλα ποιησά|μενος· καὶ γὰρ
συμμαχεῖν καὶ προσέχειν τὸν νοῦν τούτοις ἐθέλουσιν
ἅπαντες, οὓς ἂν ὁρῶσι παρεσκευασμένους καὶ πράττειν
5 ἐθέλοντας ἃ χρή. ἂν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι καὶ ὑμεῖς 7
ἐπὶ τῆς τοιαύτης ἐθελήσητε γενέσθαι γνώμης νῦν, ἐπει-
δήπερ οὐ πρότερον, καὶ ἕκαστος ὑμῶν, οὗ δεῖ καὶ δύναιτ'
ἂν παρασχεῖν αὑτὸν χρήσιμον τῇ πόλει, πᾶσαν ἀφεὶς
[τὴν] εἰρωνείαν ἕτοιμος πράττειν ὑπάρξῃ, ὁ μὲν χρήματ'
10 ἔχων εἰσφέρειν, ὁ δ' ἐν ἡλικίᾳ στρατεύεσθαι—συνελόντι
δ' ἁπλῶς, ἂν ὑμῶν αὐτῶν ἐθελήσητε γενέσθαι καὶ παύ-
σησθ' αὐτὸς μὲν οὐδὲν ἕκαστος ποιήσειν ἐλπίζων, τὸν
δὲ πλησίον πάνθ' ὑπὲρ αὐτοῦ πράξειν, καὶ τὰ ὑμέτερ'
αὐτῶν κομιεῖσθ', ἂν θεὸς θέλῃ, καὶ τὰ κατερρᾳθυμημένα
15 πάλιν ἀναλήψεσθε, κἀκεῖνον τιμωρήσεσθε. μὴ γὰρ ὡς 8
θεῷ νομίζετ' ἐκείνῳ τὰ παρόντα πεπηγέναι πράγματ'
ἀθάνατα, ἀλλὰ καὶ μισεῖ τις ἐκεῖνον καὶ δέδιεν ὦ ἄν-
δρες Ἀθηναῖοι καὶ φθονεῖ, καὶ τῶν πάνυ νῦν δοκούν-
των οἰκείως ἔχειν· καὶ ἅπανθ' ὅσαπερ κἀν ἄλλοις τισὶν
20 ἀνθρώποις ἔνι, ταῦτα κἀν τοῖς μετ' ἐκείνου χρὴ νομί-
ζειν ἐνεῖναι. κατέπτηχε μέντοι πάντα ταῦτα νῦν, οὐκ
ἔχοντ' ἀποστροφὴν διὰ τὴν ὑμετέραν βραδυτῆτα καὶ
ῥᾳθυμίαν· ἣν ἀποθέσθαι φημὶ δεῖν ἤδη. ὁρᾶτε γὰρ ὦ 9
ἄνδρες Ἀθηναῖοι τὸ πρᾶγμα, οἷ προελήλυθεν ἀσελγείας

1 ἔχοι om. Aug. 3 del. post Kruegerum Blass; Dem. XXVII 48 XXXIX 22 Xen. Hell. III 1, 14 comparari non possunt | γρ. πολέμου νόμῳ F mg. 8 αὐτὸν post πόλει pon. U 9 τὴν del. Frohberger coll. Soph. Phil. 120; cf. et. Dion. de Dem. p. 1025 R. | ἑτοίμως S[1]U ἑτοίμως (ο s. v.) F | ὑπάρξει (η s. v.) U 11 ἁπλῶς om. A suppl. del. Cobet | εἰπεῖν post ἁπλῶς add. F rec. s. v. U | ἂν Benseler: ἣν SFU 19 ἔχειν αὐτῶι FU | πάντα U 21 εἶναι U | ταῦτα πάντα FU

ἄνθρωπος, ὃς οὐδ' αἵρεσιν ὑμῖν δίδωσι τοῦ πράττειν ἢ ἄγειν ἡσυχίαν, ἀλλ' ἀπειλεῖ καὶ λόγους ὑπερηφάνους, ὥς φασι, λέγει, καὶ οὐχ οἷός ἐστιν ἔχων ἃ κατέστραπται μένειν ἐπὶ τούτων, ἀλλ' ἀεί τι προσπεριβάλλεται, καὶ κύκλῳ πανταχῇ | μέλλοντας ἡμᾶς καὶ καθημένους περι- 43

10 στοιχίζεται. πότ' οὖν ὦ ἄνδρες Ἀθηναῖοι, πόθ' ἃ χρὴ 6 πράξετε; ἐπειδὰν τί γένηται; „ἐπειδὰν νὴ Δί' ἀνάγκη τις ᾖ." νῦν δὲ τί χρὴ τὰ γιγνόμεν' ἡγεῖσθαι; ἐγὼ μὲν γὰρ οἴομαι τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὲρ τῶν πραγμάτων αἰσχύνην εἶναι. ἢ βούλεσθ', εἰπέ μοι, περι- 10 όντες αὐτῶν πυνθάνεσθαι· „λέγεταί τι καινόν;" γένοιτο γὰρ ἄν τι καινότερον ἢ Μακεδὼν ἀνὴρ Ἀθηναίους κατα-

11 πολεμῶν καὶ τὰ τῶν Ἑλλήνων διοικῶν; „τέθνηκε Φίλιππος;" „οὐ μὰ Δί', ἀλλ' ἀσθενεῖ." τί δ' ὑμῖν διαφέρει; καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον 15 Φίλιππον ποιήσετε, ἄνπερ οὕτω προσέχητε τοῖς πράγμασι τὸν νοῦν· οὐδὲ γὰρ οὗτος παρὰ τὴν αὑτοῦ ῥώμην τοσοῦτον ἐπηύξηται, ὅσον παρὰ τὴν ἡμετέραν ἀμέλειαν.

12 καίτοι καὶ τοῦτο· εἴ τι πάθοι καὶ τὰ τῆς τύχης ἡμῖν, ἥπερ ἀεὶ βέλτιον ἢ ἡμεῖς ἡμῶν αὐτῶν ἐπιμελούμεθα, 20 καὶ τοῦτ' ἐξεργάσαιτο, ἴσθ' ὅτι πλησίον μὲν ὄντες, ἅπα-

1 ἄνθρωπος S. ἄνθρωπος F U 3 post οἷός add. τε F s. v. 4 αἰεὶ F | τι] ι in ras. S | καὶ punctis del. F et post κύκλῳ add. rec. κύκλω καὶ U 5 περιστοιχίζεται] γράφεται ἐν ἄλλοις περισχοινίζεται Harpocr. s. v. 7 γεγένηται U¹ | τις om. S 8 ᾖ non legisse videtur schol. p. 150, 1; τις ᾖ del. Blass 9 οἶμαι U 10 πραγμάτων S F γρ. U: πεπραγμένων U | εἰπέ] τε add. s. v. F rec. 11 post πυνθάνεσθαι add. κατὰ τὴν ἀγοράν S rec. mg. F s. v. U ex XI 17 16 ἐάνπερ U 18 ἐπηύξηται F²U: ἐπηύξηκεν SF¹ cf. III 29 vitium usitatum cf. Lucian. soloec. c. 4 | ἡμετέραν F | ἀμέλειαν] γρ. καὶ ῥαθυμίαν F 19 τι erasum in S om. U τοι F τὰ F | ἡμῖν ὑπάρξηι F ὑπάρξαι add. S rec. mg. U 20 αἰεὶ F

σιν ἂν τοῖς πράγμασι τεταραγμένοις ἐπιστάντες ὅπως βούλεσθε διοικήσαισθε, ὡς δὲ νῦν ἔχετε, οὐδὲ διδόντων τῶν καιρῶν Ἀμφίπολιν δέξασθαι δύναισθ' ἄν, ἀπηρτημένοι καὶ ταῖς παρασκευαῖς καὶ ταῖς γνώμαις.

5 Ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα ποιεῖν ἐθέλοντας ὑπάρχειν ἅπαντας ἑτοίμως, ὡς ἐγνωκότων ὑμῶν καὶ πεπεισμένων παύομαι λέγων· τὸν δὲ τρόπον τῆς παρασκευῆς, ἣν ἀπαλλάξαι ἂν τῶν τοιούτων πραγμάτων ἡμᾶς οἴομαι, καὶ τὸ πλῆθος ὅσον, καὶ πόρους οὕστινας χρη- 13
10 μάτων, καὶ τἆλλ' ὡς ἄν μοι βέλτιστα καὶ τάχιστα δοκεῖ
44 παρασκευ|ασθῆναι, καὶ δὴ πειράσομαι λέγειν, δεηθεὶς ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι τοσοῦτον. ἐπειδὰν ἅπαντ' 14 ἀκούσητε, κρίνατε, μὴ πρότερον προλαμβάνετε· μηδ' ἂν ἐξ ἀρχῆς δοκῶ τινι καινὴν παρασκευὴν λέγειν, ἀναβάλ-
15 λειν με τὰ πράγμαθ' ἡγείσθω. οὐ γὰρ οἱ „ταχὺ" καὶ Prooem. XXI 4 „τήμερον" εἰπόντες μάλιστ' εἰς δέον λέγουσιν (οὐ γὰρ ἂν τά γ' ἤδη γεγενημένα τῇ νυνὶ βοηθείᾳ κωλῦσαι δυνηθείημεν), ἀλλ' ὃς ἂν δείξῃ, τίς πορισθεῖσα παρασκευὴ 15 καὶ πόση καὶ πόθεν διαμεῖναι δυνήσεται, ἕως ἂν ἢ δια- XIV 2
20 λυσώμεθα πεισθέντες τὸν πόλεμον ἢ περιγενώμεθα τῶν ἐχθρῶν· οὕτω γὰρ οὐκέτι τοῦ λοιποῦ πάσχοιμεν ἂν κακῶς. οἶμαι τοίνυν ἐγὼ ταῦτα λέγειν ἔχειν, μὴ κωλύων εἴ τις ἄλλος ἐπαγγέλλεταί τι. ἡ μὲν οὖν ὑπόσχεσις οὕτω μεγάλη, τὸ δὲ πρᾶγμ' ἤδη τὸν ἔλεγχον δώσει, κριταὶ δ'
25 ὑμεῖς ἔσεσθε.

2 βούλ$^{\eta}$εσθε F | διοικήσαισθε F rec.: διοικήσεσθε SF[1] διοικήσετε U | διδόντων ὑμῖν F 3 δύνεσθ' S[1] 6 ἑτοίμους S corr. ἑτοίμ$^{\omega}$ους F 8 $^{\upsilon}$ἡμᾶς F 9 οἴομαι] ἡγοῦμαι γρ. FU 10 δοκῆι S 13 καὶ μὴ FU 14 γρ. καὶ ἀναβαλέσθαι S rec. ἀναβάλλεσθαι γρ. FU 18 ὃς FU: ὡς S | πορισθεῖσα S F: πονηθεῖσα U 19 ἕως SU: τέως F 22 κωλύων] καταλύων S κατακωλύων coni. Weil

16 Πρῶτον μὲν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι τριήρεις πεντήκοντα παρασκευάσασθαι φημὶ δεῖν, εἶτ' αὐτοὺς οὕτω τὰς γνώμας ἔχειν, ὡς, ἐάν τι δέῃ, πλευστέον εἰς ταύτας αὐτοῖς ἐμβᾶσιν. πρὸς δὲ τούτοις τοῖς ἡμίσεσι τῶν ἱππέων ἱππαγωγοὺς τριήρεις καὶ πλοῖ' ἱκανὰ εὐτρεπίσαι κελεύω. 5
17 ταῦτα μὲν οἶμαι δεῖν ὑπάρχειν ἐπὶ τὰς ἐξαίφνης ταύτας ἀπὸ τῆς οἰκείας χώρας αὐτοῦ στρατείας εἰς Πύλας καὶ Χερρόνησον καὶ Ὄλυνθον καὶ ὅποι βούλεται (δεῖ γὰρ ἐκείνῳ τοῦτ' ἐν τῇ γνώμῃ παραστῆσαι, ὡς ὑμεῖς ἐκ τῆς ἀμελείας ταύτης τῆς ἄγαν, ὥσπερ εἰς Εὔβοιαν καὶ πρό- 10 τερόν ποτέ φασιν εἰς Ἁλίαρτον καὶ τὰ τελευταῖα πρῴην
18 εἰς Πύλας, ἴσως ἂν ὁρμήσαιτε· οὔτοι παντελῶς, οὐδ' εἰ μὴ ποιή|σαιτ' ἂν τοῦτο, ὡς ἔγωγέ φημι δεῖν, εὐκαταφρό- 45 νητόν ἐστιν), ἵν' ἢ διὰ τὸν φόβον εἰδὼς εὐτρεπεῖς ὑμᾶς (εἴσεται γὰρ ἀκριβῶς· εἰσὶν γάρ, εἰσὶν οἱ πάντ' ἐξαγγέλ- 15 λοντες ἐκείνῳ παρ' ἡμῶν αὐτῶν πλείους τοῦ δέοντος) ἡσυχίαν ἔχῃ, ἢ παριδὼν ταῦτ' ἀφύλακτος ληφθῇ, μηδενὸς ὄντος ἐμποδὼν πλεῖν ἐπὶ τὴν ἐκείνου χώραν ὑμῖν, ἐὰν
19 ἐνδῷ καιρόν. ταῦτα μέν ἐστιν ἃ πᾶσι δεδόχθαι φημὶ δεῖν καὶ παρεσκευάσθαι προσήκειν οἴομαι· πρὸ δὲ τούτων δύ- 20 ναμίν τιν' ὦ ἄνδρες Ἀθηναῖοι φημὶ προχειρίσασθαι δεῖν ὑμᾶς, ἣ συνεχῶς πολεμήσει καὶ κακῶς ἐκεῖνον ποιήσει. μή μοι μυρίους μηδὲ δισμυρίους ξένους, μηδὲ τὰς ἐπιστολιμαίους ταύτας δυνάμεις, ἀλλ' ἣ τῆς πόλεως ἔσται,

7 στρατιὰς U 8 δεῖ .. 14 ἐστιν interpositionem esse cognovit v. Bamberg 9 παραστῆσαι S: παραστῆναι FU 10 ταυτησὶ U 12 ὁρμήσετε S[1]U ὁρμήσητε S rec. 13 ποιήσετ' S Hermog III 51 W. (79, 11 R.) | ἂν] αὐτὸ Deuerling | ἂν τοῦτο] νὴ Δία Hermog. φημι δεῖν] κρίνω Hermog. ut est VI 15. X 6. 49. XV 8 17 ἡσυχίαν ἔχῃ] ἀπόσχηται Hermog. 19 καιρόν S: καιρός FU 20 παρεσκευάσθαι S corr. F corr.: παρασκευάσθαι S[1]U παρασκευάσασθαι F[1] | οἶμαι FU | πρὸς δὲ τούτοις γρ. FU 22 ὑμᾶς Y suppl. 24 ἔσται F

κἂν ὑμεῖς ἕνα κἂν πλείους κἂν τὸν δεῖνα κἂν ὁντινοῦν
χειροτονήσητε στρατηγόν, τούτῳ πείσεται καὶ ἀκολουθή-
σει. καὶ τροφὴν ταύτῃ πορίσαι κελεύω. ἔσται δ' αὕτη 20
τίς ἡ δύναμις; καὶ πόση; καὶ πόθεν τὴν τροφὴν ἕξει;
5 καὶ πῶς ταῦτ' ἐθελήσει ποιεῖν; ἐγὼ φράσω, καθ' ἕκαστον
τούτων διεξιὼν χωρίς. ξένους μὲν λέγω—καὶ ὅπως μὴ
ποιήσεθ' ὃ πολλάκις ὑμᾶς ἔβλαψεν· πάντ' ἐλάττω νομί-
ζοντες εἶναι τοῦ δέοντος, καὶ τὰ μέγιστ' ἐν τοῖς ψηφί-
σμασιν αἱρούμενοι, ἐπὶ τῷ πράττειν οὐδὲ τὰ μικρὰ
10 ποιεῖτε· ἀλλὰ τὰ μικρὰ ποιήσαντες καὶ πορίσαντες τούτοις
προστίθετε, ἂν ἐλάττω φαίνηται. λέγω δὴ τοὺς πάντας 21
στρατιώτας δισχιλίους, τούτων δ' Ἀθηναίους φημὶ δεῖν
εἶναι πεντακοσίους, ἐξ ἧς ἄν τινος ὑμῖν ἡλικίας καλῶς
ἔχειν δοκῇ, χρόνον τακτὸν στρατευομένους, μὴ μακρὸν
46 τοῦτον, ἀλλ' ὅσον ἂν δοκῇ καλῶς | ἔχειν, ἐκ διαδοχῆς
15 ἀλλήλοις· τοὺς δ' ἄλλους ξένους εἶναι κελεύω. καὶ μετὰ
τούτων ἱππέας διακοσίους, καὶ τούτων πεντήκοντ' Ἀθη-
ναίους τοὐλάχιστον, ὥσπερ τοὺς πεζούς, τὸν αὐτὸν τρό-
πον στρατευομένους· καὶ ἱππαγωγοὺς τούτοις. εἶεν· τί 22
20 πρὸς τούτοις ἔτι; ταχείας τριήρεις δέκα· δεῖ γάρ, ἔχοντος
ἐκείνου ναυτικόν, καὶ ταχειῶν τριήρων ἡμῖν, ὅπως ἀσφα-
λῶς ἡ δύναμις πλέῃ. πόθεν δὴ τούτοις ἡ τροφὴ γενή-
σεται; ἐγὼ καὶ τοῦτο φράσω καὶ δείξω, ἐπειδάν, δι' ὅτι
τηλικαύτην ἀποχρῆν οἶμαι τὴν δύναμιν καὶ πολίτας τοὺς
25 στρατευομένους εἶναι κελεύω, διδάξω.

1 *τινοῦν* S 3 *αὐτὴ* U 5 *ἐθελήσετε* FU 7 *ποιήσετε* Bekker: *ποιήσητε* S *ποιήσητε τοῦθ'* FU | *ἅπαντα γρ.* FU 10 *καὶ πορίσαντες* add. F[1] s.v.; alterum participium suspectabat L. Spengel 17 *τούτων εἶναι* F 19 *τί* om. F text. *γρ. τί* F mg. 24 *τοὺς συστρατευσομένους* Dobree (-*σαμένους* typothetae error videtur) cf. § 23 *συστρατευομένους* sine art. Voemel

23 *Τοσαύτην μὲν ὦ ἄνδρες Ἀθηναῖοι διὰ ταῦτα, ὅτι οὐκ ἔνι νῦν ἡμῖν πορίσασθαι δύναμιν τὴν ἐκείνῳ παραταξομένην, ἀλλὰ λῃστεύειν ἀνάγκη καὶ τούτῳ τῷ τρόπῳ τοῦ πολέμου χρῆσθαι τὴν πρώτην· οὐ τοίνυν ὑπέρογκον αὐτήν (οὐ γὰρ ἔστι μισθὸς οὐδὲ τροφή), οὐδὲ παντελῶς* 5 *ταπεινὴν εἶναι δεῖ. πολίτας δὲ παρεῖναι καὶ συμπλεῖν διὰ ταῦτα κελεύω, ὅτι καὶ πρότερόν ποτ' ἀκούω ξενικὸν τρέφειν ἐν Κορίνθῳ τὴν πόλιν, οὗ Πολύστρατος ἡγεῖτο καὶ Ἰφικράτης καὶ Χαβρίας καὶ ἄλλοι τινές, καὶ αὐτοὺς ὑμᾶς συστρατεύεσθαι· καὶ οἶδ' ἀκούων ὅτι Λακεδαιμο-* 10 *νίους παραταττόμενοι μεθ' ὑμῶν ἐνίκων οὗτοι οἱ ξένοι* 24 *καὶ ὑμεῖς μετ' ἐκείνων. ἐξ οὗ δ' αὐτὰ καθ' αὑτὰ τὰ ξενικὰ ὑμῖν στρατεύεται, τοὺς φίλους νικᾷ καὶ τοὺς συμμάχους, οἱ δ' ἐχθροὶ μείζους τοῦ δέοντος γεγόνασι. καὶ παρακύψαντ' ἐπὶ τὸν τῆς πόλεως πόλεμον, πρὸς Ἀρτά-* 15 *βαζον καὶ πανταχοῖ μᾶλλον οἴχεται πλέοντα, ὁ δὲ στρατηγὸς* | *ἀκολουθεῖ, εἰκότως· οὐ γὰρ ἔστ' ἄρχειν μὴ δι-* 47 25 *δόντα μισθόν. τί οὖν κελεύω; τὰς προφάσεις ἀφελεῖν καὶ τοῦ στρατηγοῦ καὶ τῶν στρατιωτῶν, μισθὸν πορίσαντας καὶ στρατιώτας οἰκείους ὥσπερ ἐπόπτας τῶν* 20 *στρατηγουμένων παρακαταστήσαντας· ἐπεὶ νῦν γε γέλως ἔσθ' ὡς χρώμεθα τοῖς πράγμασιν. εἰ γὰρ ἔροιτό τις ὑμᾶς· „εἰρήνην ἄγετ' ὦ ἄνδρες Ἀθηναῖοι;" „μὰ Δί' οὐχ* 26 *ἡμεῖς γ'," εἴποιτ' ἄν, „ἀλλὰ Φιλίππῳ πολεμοῦμεν." οὐκ*

2 ἡμῖν (ὑ s.v.) F 4 τοίνυν οὔθ' FU 5 οὔτε παντελῶς U 8 πολὺσ στρατὸς S[1] 9 Ἰφικράτης] post ἰφι duae litt. erasae in F 10 ὑμᾶς αὐτοὺς F 11 ἡμῶν F 12 τὰ add. S[1] s. v. 16 πανταχοῦ FU 17 ἔστ'] ἐσ vel. ἐτι F[1] ἔστιν F[2] U 21 στρατηγουμένων] δρωμένων Liban. III 318 R. secutus Blass | παρακαταστήσοντας U 24 γ' om. U | ἂν] ν in ras. F | οὐ καὶ χειροτονεῖτε ut vid. S[1]

ἐχειροτονεῖτε δ' ἐξ ὑμῶν αὐτῶν δέκα ταξιάρχους καὶ
στρατηγοὺς καὶ φυλάρχους καὶ ἱππάρχους δύο; τί οὖν
οὗτοι ποιοῦσι; πλὴν ἑνὸς ἀνδρός, ὃν ἂν ἐκπέμψητ' ἐπὶ
τὸν πόλεμον, οἱ λοιποὶ τὰς πομπὰς πέμπουσιν ὑμῖν μετὰ
5 τῶν ἱεροποιῶν· ὥσπερ γὰρ οἱ πλάττοντες τοὺς πηλίνους,
εἰς τὴν ἀγορὰν χειροτονεῖτε τοὺς ταξιάρχους καὶ τοὺς
φυλάρχους, οὐκ ἐπὶ τὸν πόλεμον. οὐ γὰρ ἐχρῆν ὦ ἄνδρες 27
Ἀθηναῖοι ταξιάρχους παρ' ὑμῶν, ἵππαρχον παρ' ὑμῶν,
ἄρχοντας οἰκείους εἶναι, ἵν' ἦν ὡς ἀληθῶς τῆς πόλεως
10 ἡ δύναμις; ἀλλ' εἰς μὲν Λῆμνον τὸν παρ' ὑμῶν ἵππαρ-
χον δεῖ πλεῖν, τῶν δ' ὑπὲρ τῶν τῆς πόλεως κτημάτων
ἀγωνιζομένων Μενέλαον ἱππαρχεῖν. καὶ οὐ τὸν ἄνδρα
μεμφόμενος ταῦτα λέγω, ἀλλ' ὑφ' ὑμῶν ἔδει κεχειροτονη-
μένον εἶναι τοῦτον, ὅστις ἂν ᾖ.

15 Ἴσως δὲ ταῦτα μὲν ὀρθῶς ἡγεῖσθε λέγεσθαι, τὸ δὲ τῶν 28
χρημάτων, πόσα καὶ πόθεν ἔσται, μάλιστα ποθεῖτ' ἀκοῦ-
σαι. τοῦτο δὴ καὶ περαίνω. χρήματα τοίνυν· ἔστιν μὲν
ἡ τροφή, σιτηρέσιον μόνον, τῇ δυνάμει ταύτῃ τάλαντ'
ἐνενήκοντα καὶ μικρόν τι πρός, δέκα μὲν ναυσὶ ταχείαις
48 τετταρά|κοντα τάλαντα, εἴκοσιν εἰς τὴν ναῦν μναῖ τοῦ
21 μηνὸς ἑκάστου, στρατιώταις δὲ δισχιλίοις τοσαῦθ' ἕτερα,
ἵνα δέκα τοῦ μηνὸς ὁ στρατιώτης δραχμὰς σιτηρέσιον
λαμβάνῃ, τοῖς δ' ἱππεῦσι διακοσίοις οὖσιν, ἐὰν τριά-
κοντα δραχμὰς ἕκαστος λαμβάνῃ τοῦ μηνός, δώδεκα τά-

1 sq. στρατηγοὺς καὶ ταξιάρχους δέκα U[1] 2 ἱππάρχους καὶ φυλάρχους U 3 πέμψητε U schol. Patm. 8 ἱππάρχους F pap. Gen. Hermog. III 285 (303, 23 R. cf. 316, 14 R.) | ἵππαρχον παρ' ὑμῶν om. U 10 ἵππαρχον non omisisse vid. pap. Gen. 11 τῶν ante τῆς om. FU[1] 13 ἡμῶν F 17 περανῶ FU cf. XIV 22 18 σιτηρέσιον τοῖς στρατευομένοις FU ex § 29 20 μνᾶ ut vid. S[1] 21 τοσαῦτ' A[1] 22 δραχμὰς ὁ στρατιώτης pap. Gen. 23 ἐὰν SF: ἂν U ἀνὰ A | s. τριάκοντα hab. ἑκατὸν S rec.

29 λαντα. εἰ δέ τις οἴεται μικρὰν ἀφορμὴν εἶναι, σιτηρέσιον τοῖς στρατευομένοις ὑπάρχειν, οὐκ ὀρθῶς ἔγνωκεν· ἐγὼ γὰρ οἶδα σαφῶς ὅτι, τοῦτ' ἂν γένηται, προσποριεῖ τὰ λοίπ' αὐτὸ τὸ στράτευμ' ἀπὸ τοῦ πολέμου, οὐδένα τῶν Ἑλλήνων ἀδικοῦν οὐδὲ τῶν συμμάχων, ὥστ' ἔχειν μι- 5 σθὸν ἐντελῆ. ἐγὼ συμπλέων ἐθελοντὴς πάσχειν ὁτιοῦν ἕτοιμος, ἐὰν μὴ ταῦθ' οὕτως ἔχῃ. πόθεν οὖν ὁ πόρος τῶν χρημάτων, ἃ παρ' ὑμῶν κελεύω γενέσθαι; τοῦτ' ἤδη λέξω.

ΠΟΡΟΥ ΑΠΟΔΕΙΞΙΣ 10

30 Ἃ μὲν ἡμεῖς ὦ ἄνδρες Ἀθηναῖοι δεδυνήμεθ' εὑρεῖν, ταῦτ' ἐστίν· ἐπειδὰν δ' ἐπιχειροτονῆτε τὰς γνώμας, ἂν ὑμῖν ἀρέσκῃ, χειροτονήσετε, ἵνα μὴ μόνον ἐν τοῖς ψηφίσμασι καὶ ταῖς ἐπιστολαῖς πολεμῆτε Φιλίππῳ, ἀλλὰ καὶ ἐν τοῖς ἔργοις. 15

31 Δοκεῖτε δέ μοι πολὺ βέλτιον ἂν περὶ τοῦ πολέμου καὶ ὅλης τῆς παρασκευῆς βουλεύσασθαι, εἰ τὸν τόπον ὦ ἄνδρες Ἀθηναῖοι τῆς χώρας, πρὸς ἣν πολεμεῖτε, ἐνθυμηθείητε, καὶ λογίσαισθ' ὅτι τοῖς πνεύμασι καὶ ταῖς ὥραις τοῦ ἔτους τὰ πολλὰ προλαμβάνων διαπράττεται Φίλιπ- 20 πος, καὶ φυλάξας τοὺς ἐτησίας ἢ τὸν χειμῶν' ἐπιχειρεῖ,
32 ἡνίκ' ἂν ἡμεῖς μὴ δυναίμεθ' ἐκεῖσ' ἀφικέσθαι. δεῖ τοί-

1 εἶναι punctis del. F om. AU 2 τοῖς στρατευομένοις ante σιτηρέσιον pon. AU 3 ἂν τοῦτο AU | 3 sq. τὰ] λοιπὰ πρ[οσπ.. pap. Gen. | προσποριεῖται r Kuesterus 7 ἂν AU 8 ἃ om. A¹ | γενήσεται FAU 12 ἐπιχειροτονεῖτε A¹ ἐπιχειροτονῇ τις coni. Blass coll. XXIV 39. XXI 3 ἐπιχειροτονήσῃ (sc. ὁ πρύτανις) Tournier; at v. XXIV 26 | ἂν Sauppe Dobree: ἃ ἂν SFAU 13 ἀρέσκει U¹ | χειροτονήσετε S¹F¹: χειροτονήσατε S²F²AU | ἐν om. AU 15 ἐν τοῖς S: τοῖς FAU cf. VIII 22 17 τὸν om. S 18 πολεμήσετε AU 19 λογίσασθε F¹ λογίσαισθε (η supra) F² λογίσεσθε AU 21 ἐπιτηρεῖ F 22 μὴ om. A¹ add. A² | δυνώμεθα F²AU

49 νυν ταῦτ' ἐνθυμουμένους | μὴ βοηθείαις πολεμεῖν (ὑστεριοῦμεν γὰρ ἁπάντων), ἀλλὰ παρασκευῇ συνεχεῖ καὶ δυνάμει. ὑπάρχει δ' ὑμῖν χειμαδίῳ μὲν χρῆσθαι τῇ δυνάμει Λήμνῳ καὶ Θάσῳ καὶ Σκιάθῳ καὶ ταῖς ἐν τούτῳ
5 τῷ τόπῳ νήσοις, ἐν αἷς καὶ λιμένες καὶ σῖτος καὶ ἃ χρὴ στρατεύματι πάνθ' ὑπάρχει· τὴν δ' ὥραν τοῦ ἔτους, ὅτε καὶ πρὸς τῇ γῇ γενέσθαι ῥᾴδιον καὶ τὸ τῶν πνευμάτων ἀσφαλές, πρὸς αὐτῇ τῇ χώρᾳ καὶ πρὸς τοῖς τῶν ἐμπορίων στόμασι ῥᾳδίως ἔσται.
10 Ἃ μὲν οὖν χρήσεται καὶ πότε τῇ δυνάμει, παρὰ τὸν 33 καιρὸν ὁ τούτων κύριος καταστὰς ὑφ' ὑμῶν βουλεύσεται· ἃ δ' ὑπάρξαι δεῖ παρ' ὑμῶν, ταῦτ' ἐστὶν ἁγὼ γέγραφα. ἂν ταῦτ' ὦ ἄνδρες Ἀθηναῖοι πορίσητε, τὰ χρήματα πρῶτον λέγω, εἶτα καὶ τἄλλα παρασκευάσαντες,
15 τοὺς στρατιώτας, τὰς τριήρεις, τοὺς ἱππέας, ἐντελῆ πᾶσαν τὴν δύναμιν νόμῳ κατακλείσητ' ἐπὶ τῷ πολέμῳ μένειν, τῶν μὲν χρημάτων αὐτοὶ ταμίαι καὶ πορισταὶ γιγνόμενοι, τῶν δὲ πράξεων παρὰ τοῦ στρατηγοῦ τὸν λόγον ζητοῦντες, παύσεσθ' αἰεὶ περὶ τῶν αὐτῶν βουλευόμενοι
20 καὶ πλέον οὐδὲν ποιοῦντες, καὶ ἔτι πρὸς τούτῳ πρῶτον 34 μὲν ὦ ἄνδρες Ἀθηναῖοι τὸν μέγιστον τῶν ἐκείνου πόρων ἀφαιρήσεσθε. ἔστι δ' οὗτος τίς; ἀπὸ τῶν ὑμετέρων ὑμῖν πολεμεῖ συμμάχων, ἄγων καὶ φέρων τοὺς πλέοντας τὴν θάλατταν. ἔπειτα τί πρὸς τούτῳ; τοῦ πάσχειν αὐτοὶ
25 κακῶς ἔξω γενήσεσθε, οὐχ ὥσπερ τὸν παρελθόντα χρόνον εἰς Λῆμνον καὶ Ἴμβρον ἐμβαλὼν αἰχμαλώτους πολί-

1 ὑμᾶς ante ταῦτ' add. F 4 ταῖς ἄλλαις γρ. FU 9 ἔσται sc. ἡ δύναμις 11 βουλεύεται F 14 ἃ λέγω FAU | τἄλλα πάντα F 17 γενόμενοι A 19 ζητοῦντες] ἀπαιτοῦντες Cobet | αἰεὶ SF[1]: ἀεὶ F[2]AU 20 τούτωι (οις superscr.) ut vid. F τούτοις AU

τας ὑμετέρους ᾤχετ' ἔχων, πρὸς τῷ Γεραστῷ τὰ πλοῖα συλλαβὼν ἀμύθητα χρήματ' ἐξέλεξεν, τὰ τελευταῖ' εἰς Μαραθῶν' | ἀπέβη καὶ τὴν ἱερὰν ἀπὸ τῆς χώρας ᾤχετ' 50 *ἔχων τριήρη, ὑμεῖς δ' οὔτε ταῦτα δύνασθε κωλύειν οὔτ'*
35 *εἰς τοὺς χρόνους, οὓς ἂν προθῆσθε, βοηθεῖν. καίτοι τί* 5 *δήποτ' ὦ ἄνδρες Ἀθηναῖοι νομίζετε τὴν μὲν τῶν Παναθηναίων ἑορτὴν καὶ τὴν τῶν Διονυσίων ἀεὶ τοῦ καθήκοντος χρόνου γίγνεσθαι, ἄν τε δεινοὶ λάχωσιν ἄν τ' ἰδιῶται [οἱ] τούτων ἑκατέρων ἐπιμελούμενοι, εἰς ἃ τοσαῦτ' ἀναλίσκεται χρήματα, ὅσ' οὐδ' εἰς ἕνα τῶν ἀπο-* 10 *στόλων, καὶ τοσοῦτον ὄχλον καὶ παρασκευὴν ὅσην οὐκ οἶδ' εἴ τι τῶν ἁπάντων ἔχει, τοὺς δ' ἀποστόλους πάντας ὑμῖν ὑστερίζειν τῶν καιρῶν, τὸν εἰς Μεθώνην, τὸν εἰς*
36 *Παγασάς, τὸν εἰς Ποτείδαιαν; ὅτι ἐκεῖνα μὲν ἅπαντα νόμῳ τέτακται, καὶ πρόοιδεν ἕκαστος ὑμῶν ἐκ πολλοῦ* 15 *τίς χορηγὸς ἢ γυμνασίαρχος τῆς φυλῆς, πότε καὶ παρὰ τοῦ καὶ τί λαβόντα τί δεῖ ποιεῖν, οὐδὲν ἀνεξέταστον οὐδ' ἀόριστον ἐν τούτοις ἠμέληται· ἐν δὲ τοῖς περὶ τοῦ πολέμου καὶ τῇ τούτου παρασκευῇ ἄτακτα, ἀδιόρθωτα, ἀόρισθ' ἅπαντα. τοιγαροῦν ἅμ' ἀκηκόαμέν τι καὶ τριηρ-* 20 *άρχους καθίσταμεν καὶ τούτοις ἀντιδόσεις ποιούμεθα καὶ περὶ χρημάτων πόρου σκοποῦμεν, καὶ μετὰ ταῦτ' ἐμβαίνειν τοὺς μετοίκους ἔδοξεν καὶ τοὺς χωρὶς οἰκοῦν-*

1 ἔχων SA: ἄγων F γρ. U | καὶ πρὸς FA | γεραιστῶι F 2 τελευταῖα δ' FA 4 ἠδύνασθε F 5 προθῆσθε S: πρόθησθε F πρόσθησθε A προέλησθε γρ. FU 8 τε] ε in ras. F 9 οἱ del. Slameczka | ἐπιμελησόμενοι F γρ. U 10 ἀναλίσκετε F 11 καὶ ante παρασκ. om. S[1] | τοσαύτην παρασκευὴν F 12 τις F 13 sq. τὸν .. τὸν .. τὸν] τῶν .. τῶν .. τῶν S 15 ἡμῶν (ἡ supra ὑ) F 17 τί] τίνα S 19 τῆς .. παρασκευῆς F[1] 19 sq. ἀόριστα ἀδιόρθωτα πάντα F

τας, εἶτ' αὐτοὺς πάλιν, εἶτ' ἀντεμβιβάζειν, εἶτ' ἐν ὅσῳ 37
ταῦτα μέλλεται, προαπόλωλε τὸ ἐφ' ὃ ἂν ἐκπλέωμεν· τὸν
γὰρ τοῦ πράττειν χρόνον εἰς τὸ παρασκευάζεσθαι ἀν-
αλίσκομεν, οἱ δὲ τῶν πραγμάτων οὐ μένουσι καιροὶ τὴν
5 ἡμετέραν βραδυτῆτα καὶ εἰρωνείαν. ἃς δὲ τὸν μεταξὺ
χρόνον δυνάμεις οἰόμεθ' ἡμῖν ὑπάρχειν, οὐδὲν οἷαί τ'
οὖσαι ποιεῖν ἐπ' αὐτῶν τῶν καιρῶν ἐξελέγχονται. ὁ δ' |
51 εἰς τοῦθ' ὕβρεως ἐλήλυθεν, ὥστ' ἐπιστέλλειν Εὐβοεῦσιν
ἤδη τοιαύτας ἐπιστολάς.

10 ΕΠΙΣΤΟΛΗΣ ΑΝΑΓΝΩΣΙΣ

Τούτων ὦ ἄνδρες Ἀθηναῖοι τῶν ἀνεγνωσμένων ἀληθῆ 38
μέν ἐστιν τὰ πολλά, ὡς οὐκ ἔδει, οὐ μὴν ἀλλ' ἴσως οὐχ
ἡδέ' ἀκούειν. ἀλλ' εἰ μέν, ὅσ' ἄν τις ὑπερβῇ τῷ λόγῳ,
ἵνα μὴ λυπήσῃ, καὶ τὰ πράγμαθ' ὑπερβήσεται, δεῖ πρὸς
15 ἡδονὴν δημηγορεῖν· εἰ δ' ἡ τῶν λόγων χάρις, ἂν ᾖ μὴ
προσήκουσα, ἔργῳ ζημία γίγνεται, αἰσχρόν ἐστι φενακί-
ζειν ἑαυτούς, καὶ ἅπαντ' ἀναβαλλομένους ἃ ἂν ᾖ δυσχερῆ
πάντων ὑστερεῖν τῶν ἔργων, καὶ μηδὲ τοῦτο δύνασθαι 39
μαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους οὐκ ἀκολου-
20 θεῖν τοῖς πράγμασιν, ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι τῶν
πραγμάτων, καὶ τὸν αὐτὸν τρόπον ὥσπερ τῶν στρατευ-

1 αὐτὸς A[1] | εἶτ' post πάλιν om. FA 2 μέλλεται S: μέλλετε FAU | τὸ ἐφ' ὃ S: ἐφ' ἃ FAU 4 οὐ μένουσι καιροὶ S: καιροὶ οὐ μένουσι F καιροὶ οὐκ ἀναμένουσι γρ. FAU 5 ὑμετέραν FA | εἰρωνείαν SF: ῥαιθυμίαν γρ. FAU | δὲ S: δ' εἰς FAU 10 ἘΠΙΣΤΟΛΗΣ ἈΝΑΓΝΩΣΙΣ S: ἘΠΙΣΤΟΛΗ FA

ὑπ (= ὑπόθεσις) τοῦ λόγου τοῦ πρὸς τὴν φιλίππου ἐπιστολήν sequitur argumentum orat. XI partim erasum ἐπιστολή U 11 οὖν post τούτων add. F rec. s. v. U 16 ἐστι SA[1]: ἐστιν ὦ ἄνδρες ἀθηναῖοι FA[2] 17 πάντ' A | ἃ S: ὅσα FA 18 ὑστερίζειν FA (υστε in ras.)

μάτων ἀξιώσειέ τις ἂν τὸν στρατηγὸν ἡγεῖσθαι, οὕτω καὶ
τῶν πραγμάτων τοὺς βουλευομένους, ἵν' ἃ ἂν ἐκείνοις
δοκῇ, ταῦτα πράττηται καὶ μὴ τὰ συμβάντ' ἀναγκάζωνται
40 διώκειν. ὑμεῖς δ' ὦ ἄνδρες Ἀθηναῖοι πλείστην δύναμιν
ἁπάντων ἔχοντες, τριήρεις, ὁπλίτας, ἱππέας, χρημάτων 5
πρόσοδον, τούτων μὲν μέχρι τῆς τήμερον ἡμέρας οὐδενὶ
πώποτ' εἰς δέον τι κέχρησθε, οὐδὲν δ' ἀπολείπετε, ὥσ-
περ οἱ βάρβαροι πυκτεύουσιν, οὕτω πολεμεῖν Φιλίππῳ.
καὶ γὰρ ἐκείνων ὁ πληγεὶς αἰεὶ τῆς πληγῆς ἔχεται, κἂν
ἑτέρωσε πατάξῃς, ἐκεῖσ' εἰσὶν αἱ χεῖρες· προβάλλεσθαι 10
41 δ' ἢ βλέπειν ἐναντίον οὔτ' οἶδεν οὔτ' ἐθέλει. καὶ ὑμεῖς,
ἂν ἐν Χερρονήσῳ πύθησθε Φίλιππον, ἐκεῖσε βοηθεῖν |
ψηφίζεσθε, ἐὰν ἐν Πύλαις, ἐκεῖσε, ἐὰν ἄλλοθί που, συμ- 52
παραθεῖτ' ἄνω κάτω, καὶ στρατηγεῖσθ' ὑπ' ἐκείνου, βε-
βούλευσθε δ' οὐδὲν αὐτοὶ συμφέρον περὶ τοῦ πολέμου, 15
οὐδὲ πρὸ τῶν πραγμάτων προορᾶτ' οὐδέν, πρὶν ἂν ἢ
γεγενημένον ἢ γιγνόμενόν τι πύθησθε. ταῦτα δ' ἴσως
πρότερον μὲν ἐνῆν· νῦν δ' ἐπ' αὐτὴν ἥκει τὴν ἀκμήν,
42 ὥστ' οὐκέτ' ἐγχωρεῖ. δοκεῖ δέ μοι θεῶν τις ὦ ἄνδρες
Ἀθηναῖοι τοῖς γιγνομένοις ὑπὲρ τῆς πόλεως αἰσχυνόμε- 20
νος τὴν φιλοπραγμοσύνην ταύτην ἐμβαλεῖν Φιλίππῳ. εἰ

1 ἀξιώσειεν ἄν τις F | ἡγεῖσθαι χρὴ ἵν' (χρὴ in fin. vers. in mg.) F[1] ἡγεῖσθαι· οὕτω 2 vel 3 litt. eras. τῶν πραγμάτων τοὺς εὖ βουλευομένους F rec. mg. | καὶ punctis del. S 2 βουλευομένους S: εὖ βουλευομένους ἡγεῖσθαι χρὴ A | ἵν' ἃ ἂν S A: ἵν' F[1] ἵν' αν F corr. αν add. in ras. 1 litt. 3 συμβαίνοντα γρ. FA 5 ἱππέας ὁπλίτας A 7 εἰς δέον τι SF: ἐν δέοντι A | οὐδὲν Dobree: οὐδενὸς SFA | ἀπολείπετε S[1]: ἀπολείπεσθε S[2]F[2] (ἀπολίπετε ut vid. F[1]) A 8 δὲ ante οἱ add. S rec. F s. v. A | πολεμεῖν S[1]F[1] (ut vid.): πολεμεῖτε S rec. F corr. A 9 ἀεὶ FA 10 πατάξῃ τις FA cf. XXI 33 | προβαλέσθαι A 12 ἐὰν F 13 ποι S A 14 καὶ κάτω FA | στρατηγεῖσθε μὲν FA 15 αὐτοὶ SA: αὐτοῖς F 16 πρὸ] περὶ F 17 γιγνόμενον ἢ γεγενημένον A 18 ἐνῆν] ἦν ποιεῖν F

γὰρ ἔχων ἃ κατέστραπται καὶ προείληφεν ἡσυχίαν ἔχειν
ἤθελεν καὶ μηδὲν ἔπραττεν ἔτι, ἀποχρῆν ἐνίοις ὑμῶν ἂν
μοι δοκεῖ, ἐξ ὧν αἰσχύνην καὶ ἀνανδρίαν καὶ πάντα τὰ αἴ-
σχιστ' ὠφληκότες ἂν ἦμεν δημοσίᾳ· νῦν δ' ἐπιχειρῶν αἰεί
5 *τινι καὶ τοῦ πλείονος ὀρεγόμενος ἴσως ἂν ἐκκαλέσαιθ'*
ὑμᾶς, εἴπερ μὴ παντάπασιν ἀπεγνώκατε. θαυμάζω δ' 43
ἔγωγε, εἰ μηδεὶς ὑμῶν μήτ' ἐνθυμεῖται μήτ' ὀργίζεται,
ὁρῶν ὦ ἄνδρες Ἀθηναῖοι τὴν μὲν ἀρχὴν τοῦ πολέμου
γεγενημένην περὶ τοῦ τιμωρήσασθαι Φίλιππον, τὴν δὲ
10 *τελευτὴν οὖσαν ἤδη ὑπὲρ τοῦ μὴ παθεῖν κακῶς ὑπὸ*
Φιλίππου. ἀλλὰ μὴν ὅτι γ' οὐ στήσεται, δῆλον, εἰ μή τις
κωλύσει. εἶτα τοῦτ' ἀναμενοῦμεν; καὶ τριήρεις κενὰς καὶ
τὰς παρὰ τοῦ δεῖνος ἐλπίδας ἂν ἀποστείλητε, πάντ' ἔχειν
οἴεσθε καλῶς; οὐκ ἐμβησόμεθα; οὐκ ἔξιμεν αὐτοὶ μέρει 44
15 *γέ τινι στρατιωτῶν οἰκείων νῦν, εἰ καὶ μὴ πρότερον;*
οὐκ ἐπὶ τὴν ἐκείνου πλευσόμεθα; „ποῖ οὖν προσορμιού-
53 *μεθα;“ ἤρετό τις. εὑρήσει τὰ σαθρὰ ὦ ἄν|δρες Ἀθηναῖοι*
τῶν ἐκείνου πραγμάτων αὐτὸς ὁ πόλεμος, ἂν ἐπιχειρῶ-
μεν· ἂν μέντοι καθώμεθ' οἴκοι, λοιδορουμένων ἀκούοντες
20 *καὶ αἰτιωμένων ἀλλήλους τῶν λεγόντων, οὐδέποτ' οὐδὲν*

1 *προσείληφεν* A[2] 2 *ἀποχρῆν ἂν* A | *ἐνίους* A[1] 3 *δοκεῖ* Pal. 113: *δοκῆι* SFA 4 *ἀεὶ* FA 5 *τινι* SA[1]: *τι* FA corr. 6 ante *ὑμᾶς ει* (ut vid.) eras. A | *ταπασιν* F[1] corr. ead. m. in mg. | *αὐτῶν ἀπεγνώκατε* FA 7 *μήτ' ὀργίζεται* SA: *μήτε λογίζεται* F 9 *περὶ*] *ὑπὲρ* A[1] 10 *αὐτοὶ κακῶς* FA[2] mg. 11 *τις αὐτὸν* FA 12 *κωλύσει* Y suppl.: *κωλύσηι* SFA | ad *κενὰς* schol. in mg. adscr. *πολιτικῆς δυνάμεως* F 13 *παρὰ* S: *παρὰ* (*ἀπὸ* superscr.) F *ἀπο* A | *ἐὰν* F 14 *καλῶς* del. Wecklein | *ἐκβησόμεθα* F Hermog. III 238 (259, 14 R.) c. Pc Ac Ba 16 *πλευσόμεθα* S[1]: *πλευσούμεθα* S corr. FA Hermog. cf. XIX 250 | *οὖν* S: *δὴ* FA auctor *π. ὕψους* 18, 1. Hermog. III 341 (356, 21 R.) 19 *καθώμεθα* SA[1]: *καθήμεθα* (*ω* superscr.) F *καθήμεθα* A[2]

45 ἡμῖν μὴ γένηται τῶν δεόντων. ὅποι μὲν γὰρ ἂν οἶμαι μέρος τι τῆς πόλεως συναποσταλῇ, κἂν μὴ πᾶσα, καὶ τὸ τῶν θεῶν εὐμενὲς καὶ τὸ τῆς τύχης συναγωνίζεται· ὅποι δ' ἂν στρατηγὸν καὶ ψήφισμα κενὸν καὶ τὰς ἀπὸ τοῦ βήματος ἐλπίδας ἐκπέμψητε, οὐδὲν ὑμῖν τῶν δεόντων 5 γίγνεται, ἀλλ' οἱ μὲν ἐχθροὶ καταγελῶσιν, οἱ δὲ σύμμαχοι
46 τεθνᾶσι τῷ δέει τοὺς τοιούτους ἀποστόλους. οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἕν' ἄνδρα δυνηθῆναί ποτε ταῦθ' ὑμῖν πρᾶξαι πάνθ' ὅσα βούλεσθε· ὑποσχέσθαι μέντοι καὶ φῆσαι καὶ τὸν δεῖν' αἰτιάσασθαι καὶ τὸν δεῖν' ἔστιν, τὰ 10 δὲ πράγματ' ἐκ τούτων ἀπόλωλεν· ὅταν γὰρ ἡγῆται μὲν ὁ στρατηγὸς ἀθλίων ἀπομίσθων ξένων, οἱ δ' ὑπὲρ ὧν ἂν ἐκεῖνος πράξῃ πρὸς ὑμᾶς ψευδόμενοι ῥᾳδίως ἐνθάδ' ὦσιν, ὑμεῖς δ' ἐξ ὧν ἂν ἀκούσηθ' ὅ τι ἂν τύχητε ψηφίζησθε, τί καὶ χρὴ προσδοκᾶν; 15

47 Πῶς οὖν ταῦτα παύσεται; ὅταν ὑμεῖς ὦ ἄνδρες Ἀθηναῖοι τοὺς αὐτοὺς ἀποδείξητε στρατιώτας καὶ μάρτυρας τῶν στρατηγουμένων καὶ δικαστὰς οἴκαδ' ἐλθόντας τῶν εὐθυνῶν, ὥστε μὴ ἀκούειν μόνον ὑμᾶς τὰ ὑμέτερ' αὐτῶν, ἀλλὰ καὶ παρόντας ὁρᾶν. νῦν δ' εἰς τοῦθ' ἥκει τὰ 20 πράγματ' αἰσχύνης, ὥστε τῶν στρατηγῶν ἕκαστος δὶς καὶ τρὶς κρίνεται παρ' ὑμῖν περὶ θανάτου, πρὸς δὲ τοὺς ἐχθροὺς οὐδεὶς οὐδ' ἅπαξ αὐτῶν ἀγωνίσασθαι περὶ θα-

1 μὴ S[1]A[1] (s. v.): οὐ μὴ S corr. F 2 πᾶσα παρῆι F A 3 τύχης ἡμῖν F τύχης ὑμῖν A 5 ἡμῖν S[1] 8 ἄνδρα αὖ F 9 ἅπανθ' F A 10 αἰτιᾶσθαι (ut vid.) F[1] 11 ἡγῆται S γρ. F mg. A: ἡττῆται (γ s. v.) F text. 12 ἀθλίων ἀπομίσθων litt. β α transp. F | ἀπομίσθων] ἀπο in ras. A 13 post ἐκεῖνος add. ἐκεῖ A 14 prius ἂν om. S | τύχηι F τύχηι ῥαιδίως A | ψηφίζεσθε (η s. v.) F 15 καὶ om. A 19 ὥστε μὴ S F: οὐ γὰρ γρ. F A | ὑμᾶς μόνον A | ἡμέτερα F 20 ὁρᾶν δεῖ γρ. F A | τοῦτ' A[1] 23 αὐτῶν om. F[1] add. rec. s. v.

νάτου τολμᾷ, ἀλλὰ τὸν τῶν ἀνδραποδιστῶν καὶ λωποδυ-
54 τῶν θάνατον μᾶλλον αἱροῦνται | τοῦ προσήκοντος· κα-
κούργου μὲν γάρ ἐστι κριθέντ' ἀποθανεῖν, στρατηγοῦ
δὲ μαχόμενον τοῖς πολεμίοις. ἡμῶν δ' οἱ μὲν περιόντες 48
5 μετὰ Λακεδαιμονίων φασὶ Φίλιππον πράττειν τὴν Θη-
βαίων κατάλυσιν καὶ τὰς πολιτείας διασπᾶν, οἱ δ' ὡς
πρέσβεις πέπομφεν ὡς βασιλέα, οἱ δ' ἐν Ἰλλυριοῖς πό-
λεις τειχίζειν, οἱ δὲ — λόγους πλάττοντες ἕκαστος περι-
ερχόμεθα. ἐγὼ δ' οἶμαι μὲν ὦ ἄνδρες Ἀθηναῖοι νὴ 49
10 τοὺς θεοὺς ἐκεῖνον μεθύειν τῷ μεγέθει τῶν πεπραγμέ-
νων καὶ πολλὰ τοιαῦτ' ὀνειροπολεῖν ἐν τῇ γνώμῃ, τήν
τ' ἐρημίαν τῶν κωλυσόντων ὁρῶντα καὶ τοῖς πεπραγμέ-
νοις ἐπηρμένον, οὐ μέντοι γε μὰ Δί' οὕτω προαιρεῖσθαι
πράττειν, ὥστε τοὺς ἀνοητοτάτους τῶν παρ' ἡμῖν εἰδέναι
15 τί μέλλει ποιεῖν ἐκεῖνος· ἀνοητότατοι γάρ εἰσιν οἱ λογο-
ποιοῦντες. ἀλλ' ἂν ἀφέντες ταῦτ' ἐκεῖν' εἰδῶμεν, ὅτι 50
ἐχθρὸς ἅνθρωπος καὶ τὰ ἡμέτερ' ἡμᾶς ἀποστερεῖ καὶ
χρόνον πολὺν ὕβρικεν, καὶ ἅπανθ' ὅσα πώποτ' ἠλπίσα-
μέν τινα πράξειν ὑπὲρ ἡμῶν καθ' ἡμῶν ηὕρηται, καὶ τὰ
20 λοιπὰ ἐν αὐτοῖς ἡμῖν ἐστίν, κἂν μὴ νῦν ἐθέλωμεν ἐκεῖ
πολεμεῖν αὐτῷ, ἐνθάδ' ἴσως ἀναγκασθησόμεθα τοῦτο
ποιεῖν, ἂν ταῦτ' εἰδῶμεν, καὶ τὰ δέοντ' ἐσόμεθ' ἐγνω-
κότες καὶ λόγων ματαίων ἀπηλλαγμένοι· οὐ γὰρ ἅττα
ποτ' ἔσται δεῖ σκοπεῖν, ἀλλ' ὅτι φαῦλα, ἐὰν μὴ προσ-

4 ἡμῶν (ὑ superscr.) F ὑμῶν A 5 φίλιππόν φασι A 7 ὡς πρὸς βασιλέα F 8 ἕκαστοι A 9 οἴομαι A 13 γε om. A post οὕτω ponit Cobet cf. XXXVII 53 | οὐ μὰ F | οὕτω] οὑτῶι S[1]A 16 ἐὰν FA | ἐκεῖνο S F: ἐκεῖνα A | ἰδῶμεν F[1] ἴδωμεν A 17 ἅνθρωπος Bekker: ανθρωπος S ἄνθρωπος F A 18 πάνθ' A 20 ἡμῖν αὑτοῖς F A 21 quid S rec. super πολεμεῖν habeat non perspicio, o litt. esse dicit Voemel 24 ἂν A | προσέχητε τοῖς πράγμασι(ν) F A

ἔχητε τὸν νοῦν καὶ τὰ προσήκοντα ποιεῖν ἐθέλητ', εὖ εἰδέναι.

51 Ἐγὼ μὲν οὖν οὔτ' ἄλλοτε πώποτε πρὸς χάριν εἱλόμην λέγειν ὅ τι ἂν μὴ καὶ συνοίσειν πεπεισμένος ὦ, νῦν θ' ἃ γιγνώσκω πάνθ' ἁπλῶς, οὐδὲν ὑποστειλάμενος, πεπαρ- 5 ρησίασμαι. ἐβουλόμην δ' ἄν, ὥσπερ | ὅτι ὑμῖν συμφέρει 55 (Prooem. XXIII) τὰ βέλτιστ' ἀκούειν οἶδα, οὕτως εἰδέναι συνοῖσον καὶ τῷ τὰ βέλτιστ' εἰπόντι· πολλῷ γὰρ ἂν ἥδιον εἶχον. νῦν δ' ἐπ' ἀδήλοις οὖσιν τοῖς ἀπὸ τούτων ἐμαυτῷ γενησομένοις, ὅμως ἐπὶ τῷ συνοίσειν ὑμῖν, ἂν πράξητε, ταῦτα 10 πεπεῖσθαι λέγειν αἱροῦμαι. νικῴη δ' ὅ τι πᾶσιν μέλλει συνοίσειν.

1 ποιεῖν om. F | ἐθέλητε] τ in ras. 2 litt. F 3 οὖν om. F[1] add. s. v. rec. 4 συνοίσειν ὑμῖν F A | θ'] δ' A 6 ὅτι om. A | συμφέρει SFA corr. pr. m.: συμφέρον A[1] 7 τὸ τὰ FA | συνοίσων S[1] συνοῖσον S corr. 8 εἶχον S: εἶπον γρ. S rec. F A εἶχε prooem. XXIII 10 τῷ corr. A[1] ex τὸ, ἐπεὶ τὸ A rec. s. v. | ἐὰν F 11 πέπεισμαι A | πᾶσιν ὑμῖν FA

Subscriptum est in S (a manu correctoris) et F

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Α̅ (om S)

Η̅ Η̅ Η̅ Η̅ [Δ] Δ̅

in A ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Α̅

V

ΠΕΡΙ ΤΗΣ ΕΙΡΗΝΗΣ

ΥΠΟΘΕΣΙΣ

Μηκυνομένου τοῦ πολέμου τοῦ περὶ Ἀμφιπόλεως εἰρήνης ἐπεθύμησαν ὅ τε Φίλιππος καὶ οἱ Ἀθηναῖοι, οἱ μὲν Ἀθηναῖοι κακῶς ἐν τῷ πολέμῳ φερόμενοι, ὁ δὲ Φίλιππος βουλόμενος ἃ ὑπέσχετο Θετταλοῖς τε καὶ Θηβαίοις ἐπιτελέσαι. ὑπέσχετο δὲ 5 *τοῖς μὲν Θηβαίοις Ὀρχομενὸν παραδώσειν καὶ Κορώνειαν, πόλεις Βοιωτίας, ἀμφοτέροις δὲ τὸν Φωκικὸν καταλύσειν πόλεμον. τοῦτο δ' ἦν ἀδύνατον αὐτῷ πολεμίων ὄντων Ἀθηναίων· καὶ γὰρ πρότερον βουληθεὶς εἰσβαλεῖν εἰς τὴν Φωκίδα, τῶν Ἀθηναίων περιπλευσάντων ταῖς ναυσὶν εἰς τὰς καλουμένας Πύλας,* 10 *ὑπ' ἐνίων δὲ Θερμοπύλας, ἀπεκρούσθη τῆς εἰσόδου. νῦν τοίνυν* 2 *εἰρήνην ποιησάμενος πρὸς τοὺς Ἀθηναίους, μηδενὸς κωλύσαντος παρελθὼν εἴσω Πυλῶν, τὸ Φωκέων ἔθνος ἀνάστατον πεποίηκε, καὶ τὴν Φωκέων ἐν τοῖς Ἀμφικτύοσι χώραν καὶ τὰς* 56 *ἐκείνων ἐν τῷ συνεδρίῳ ψήφους παρὰ τῶν ἄλλων Ἑλ|λήνων* 15 *εἴληφεν. πέπομφε δὲ καὶ πρὸς Ἀθηναίους πρέσβεις, ἀξιῶν καὶ αὐτοὺς ταῦτα συγχωρεῖν. καὶ ὁ Δημοσθένης παραινεῖ συγχωρεῖν, οὐ τῷ πράγματι συνιστάμενος ὡς ὀρθῶς ἔχοντι, οὐδὲ*

2 *οἱ μὲν Ἀθηναῖοι* om. F 4 *ὑπέθετο* F 5 *παραδώσειν* om. m 6 post *Βοιωτίας* intercidisse videtur ⟨*τοῖς δὲ Θετταλοῖς τὴν πυλαίαν ἀποδώσειν καὶ Μαγνησίαν*⟩ 7 *ταῦτα* m 10 *ὑπ' .. Θερμοπύλας* om. m | *ἀπεκωλύθη* F m 11 *κωλύοντος* Y 12 *τὸ*] *τῶν* F | *ἐποίησε* m 17 *οὐ* om. F (etiam B!)

δίκαιον εἶναι λέγων μετέχειν Ἑλληνικοῦ συνεδρίου τὸν Μακεδόνα, ἀλλὰ δεδιέναι φάσκων μὴ καταναγκασθῶσι κοινὸν πόλεμον πρὸς ἅπαντας τοὺς Ἕλληνας ἔχειν. προσκεκρουκέναι γὰρ λέγει τοῖς Ἀθηναίοις ἄλλους δι' ἄλλας τινὰς αἰτίας· τούτους δὴ κοινῇ πολεμήσειν αὐτοῖς, εἰ δώσομεν, φησί, κοινὴν αἰτίαν 5 ταύτην καθ' ἡμῶν, ὅτι μόνοι τοῖς τῶν Ἀμφικτυόνων ἐνιστάμεθα δόγμασιν· ὥστε κάλλιον τὴν εἰρήνην τηρεῖν, καὶ ταῦτα Φιλίππου παρεληλυθότος εἴσω Πυλῶν καὶ ἐπελθεῖν δυναμένου τῇ Ἀττικῇ, ἢ περὶ μικροῦ τηλικοῦτον κίνδυνον ἄρασθαι.

3 Οὗτος δ' ὁ λόγος παρεσκευάσθαι μέν, οὐ μὴν εἰρῆσθαί μοι 10
XIX 113 δοκεῖ. κατηγορῶν γὰρ ὁ ῥήτωρ Αἰσχίνου καὶ τοῦτο μετὰ τῶν ἄλλων αὐτοῦ διαβάλλει, ὅτι συνεβούλευε Φίλιππον Ἀμφικτύον' εἶναι ψηφίσασθαι, μηδενὸς ἄλλου τολμῶντος τοῦτ' εἰσηγήσασθαι, μηδὲ Φιλοκράτους τοῦ πάντων ἀναιδεστάτου. οὐκ ἂν οὖν αὐτὸς περὶ τούτων συμβεβουλευκὼς τὸν Αἰσχίνην ἐπ' αὐτοῖς 15 διέβαλλεν, ἀλλὰ δηλονότι τὴν ὑπόνοιαν ἔδεισε, μὴ δόξῃ φιλιππίζειν καὶ χρήμασιν ὑπὸ τοῦ βασιλέως πεισθεὶς τοιαύτην γνώμην ἀποφήνασθαι, ἐπεὶ καὶ ἐν τῷ λόγῳ πρὸς τοιαύτην τιν' ὑπόνοιαν ἱστάμενος φαίνεται, συνιστὰς ἑαυτὸν ὡς εὔνουν τῇ πόλει καὶ ἀδωροδόκητον. 20

Ὁρῶ μὲν ὦ ἄνδρες Ἀθηναῖοι τὰ παρόντα πράγματα 57 πολλὴν δυσκολίαν ἔχοντα καὶ ταραχὴν οὐ μόνον τῷ πολλὰ προεῖσθαι καὶ μηδὲν εἶναι προὔργου περὶ αὐτῶν εὖ λέγειν, ἀλλὰ καὶ περὶ τῶν ὑπολοίπων κατὰ ταὐτὰ μηδὲ καθ' ἓν τὸ συμφέρον πάντας ἡγεῖσθαι, ἀλλὰ τοῖς μὲν ὡδί, 25
2 τοῖς δ' ἑτέρως δοκεῖν. δυσκόλου δ' ὄντος φύσει καὶ χα-

1 ἀντέχειν F 5 δὴ] δὲ F | αὐτοῖς H. Wolf: αὐτοὺς FY m | εἰ om. FY 9 τὴν ἀττικὴν F | ἢ om. FY[1] | τηλικούτου τὸν F 10 παρεσκευάσθαι Phot. bibl. p. 492a 15: παρεκευάσθη FYm 15 αὐτὸν^ς ὁ Y 16 ἔδεισε Y m: ἐδήλωσεν F 23 προέσθαι S[1] | εὐλογεῖν A 24 τῶι περὶ F | ταῦτα S[1] 25 ἅπαντας A 26 ἑτέρωσε F

λεποῦ τοῦ βουλεύεσθαι, ἔτι πολλῷ χαλεπώτερον ὑμεῖς
αὐτὸ πεποιήκατ' ὦ ἄνδρες Ἀθηναῖοι· οἱ μὲν γὰρ ἄλλοι
πάντες ἄνθρωποι πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι
τῷ βουλεύεσθαι, ὑμεῖς δὲ μετὰ τὰ πράγματα. ἐκ δὲ τού-
5 του συμβαίνει παρὰ πάντα τὸν χρόνον ὃν οἶδ' ἐγώ, τὸν
μὲν οἷς ἂν ἁμάρτητ' ἐπιτιμῶντ' εὐδοκιμεῖν καὶ δοκεῖν
εὖ λέγειν, τὰ δὲ πράγματα καὶ περὶ ὧν βουλεύεσθ' ἐκ-
φεύγειν ὑμᾶς. οὐ μὴν ἀλλὰ καίπερ τούτων οὕτως ἐχόν- 3
των οἴομαι καὶ πεπεικὼς ἐμαυτὸν ἀνέστηκα, ἂν ἐθελήσητε
10 τοῦ θορυβεῖν καὶ φιλονικεῖν ἀποστάντες ἀκούειν, ὡς
ὑπὲρ πόλεως βουλευομένοις καὶ τηλικούτων πραγμάτων
προσήκει, ἕξειν καὶ λέγειν καὶ συμβουλεύειν δι' ὧν καὶ
τὰ παρόντ' ἔσται βελτίω καὶ τὰ προκείμενα σωθήσεται.
Ἀκριβῶς δ' εἰδὼς ὦ ἄνδρες Ἀθηναῖοι τὸ λέγειν περὶ 4
15 ὧν αὐτὸς εἶπέν τις καὶ περὶ αὐτοῦ παρ' ὑμῖν αἰεὶ τῶν
πάνυ λυσιτελούντων τοῖς τολμῶσιν ὄν, οὕτως ἡγοῦμαι
φορτικὸν καὶ ἐπαχθές, ὥστ' ἀνάγκην οὖσαν ὁρῶν ὅμως
58 ἀποκνῶ. | νομίζω δ' ἄμεινον ἂν ὑμᾶς περὶ ὧν νῦν ἐρῶ κρῖ-
ναι, μικρὰ τῶν πρότερόν ποτε ῥηθέντων ὑπ' ἐμοῦ μνη-
20 μονεύσαντας. ἐγὼ γὰρ ὦ ἄνδρες Ἀθηναῖοι πρῶτον μέν, 5
ἡνίκ' ἔπειθον [τινες] ὑμᾶς, τῶν ἐν Εὐβοίᾳ πραγμάτων
ταραττομένων, βοηθεῖν Πλουτάρχῳ καὶ πόλεμον καὶ ἄδο-
ξον καὶ δαπανηρὸν ἄρασθαι, πρῶτος καὶ μόνος παρελ-

4 μετὰ s. v. F 6 ἂν om. S 7 εὖ λέγειν] εὐλογεῖν S¹ | βου-
ή
λεύεσθαι A¹ 8 ἡμᾶς S¹ ὑμᾶς F | καίπερ] καιπερι S¹ 9 οἶμαι FA
12 ἕξειν] ἐξεῖναι S corr. | δι'] ἐξ A 13 προκείμενα S¹ (teste Rabe)
coni. R. Schneider: προειρημένα S corr. προειμένα FA 15 ἀεὶ
FA 18 νῦν om. A 21 ἔπιθον S | τινες om. S¹ add. rec. cf.
VIII 6 21 sq. ταραττομένων πραγμάτων F | καὶ ante ἄδοξον punc-
tis del. S om. A 23 ἄρασθαι] αἱρεῖσθαι S¹ habuisse videtur cf.
XIV 3 | πρῶτος] μόνος S¹ corr. rec. | παρελθὼν] παρελθ in ras. S¹

θὼν ἀντεῖπον, καὶ μόνον οὐ διεσπάσθην ὑπὸ τῶν ἐπὶ
μικροῖς λήμμασι πολλὰ καὶ μεγάλ' ὑμᾶς ἁμαρτάνειν πει-
σάντων· καὶ χρόνου βραχέος διελθόντος, μετὰ τοῦ προσ-
οφλεῖν αἰσχύνην καὶ παθεῖν οἷα τῶν ὄντων ἀνθρώπων οὐ-
δένες πώποτε πεπόνθασιν ὑπὸ τούτων οἷς ἐβοήθησαν, 5
πάντες ὑμεῖς ἔγνωτε τήν τε τῶν τότε ταῦτα πεισάντων
6 κακίαν καὶ τὰ βέλτιστ' εἰρηκότ' ἐμέ. πάλιν τοίνυν ὦ
ἄνδρες Ἀθηναῖοι κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτὴν
τῷ μὲν τῆς τέχνης προσχήματι τυγχάνοντ' ἀδείας, κακὰ
δ' ἐργαζόμενον τὰ μέγιστα τὴν πόλιν καὶ τὰ παρ' ὑμῶν 10
διοικοῦντα Φιλίππῳ καὶ πρυτανεύοντα, παρελθὼν εἶπον
εἰς ὑμᾶς, οὐδεμιᾶς ἰδίας οὔτ' ἔχθρας οὔτε συκοφαντίας
7 ἕνεκα, ὡς ἐκ τῶν μετὰ ταῦτ' ἔργων γέγονε δῆλον. καὶ
οὐκέτ' ἐν τούτοις αἰτιάσομαι τοὺς ὑπὲρ Νεοπτολέμου λέ-
γοντας (οὐδὲ εἷς γὰρ ἦν), ἀλλ' αὐτοὺς ὑμᾶς· εἰ γὰρ ἐν 15
Διονύσου τραγῳδοὺς ἐθεάσασθε, ἀλλὰ μὴ περὶ σωτηρίας
καὶ κοινῶν πραγμάτων ἦν ὁ λόγος, οὐκ ἂν οὕτως οὔτ'
ἐκείνου πρὸς χάριν οὔτ' ἐμοῦ πρὸς ἀπέχθειαν ἠκούσατε.
8 καίτοι τοῦτό γ' ὑμᾶς οἶμαι νῦν ἅπαντας ᾐσθῆσθαι, ὅτι
τὴν τότ' ἄφιξιν εἰς τοὺς πολεμίους ποιησάμενος ὑπὲρ 20
τοῦ τἀκεῖ χρήματ' ὀφειλόμεν', ὡς | ἔφη, κομίσας δεῦρο 59
λητουργεῖν, καὶ τούτῳ τῷ λόγῳ πλείστῳ χρησάμενος, ὡς
δεινὸν εἴ τις ἐγκαλεῖ τοῖς ἐκεῖθεν ἐνθάδε τὰς εὐπορίας
ἄγουσιν, ἐπειδὴ διὰ τὴν εἰρήνην ἀδείας ἔτυχεν, ἣν ἐν-

2 ἁμαρτάνειν ὑμᾶς S^1 6 ἐγνώκατε A | τότε om. FA 7 τὸν τὰ FA 10 $\overset{\omega}{\text{ὑμῖν}}$ F ὑμῖν A 12 ἰδίας ... ἕνεκεν S: ἕνεκα ... ἰδίας F (sed utrumque verbum in ras.) A 15 οὐδεὶς A | ὑμᾶς αὐτοὺς A 16 ἐθεάσασθε S^1F: ἐθεᾶσθε S corr. A 17 verba ὁ λόγος suspecta cf. XXIV 5 18 $\overset{\sigma\alpha}{\text{ἠκούετε}}$ F 19 καὶ A^1 τοι add. alt. s. v. | νῦν ἅπαντας ᾐσθῆσθαι SF: γινώσκειν A 20 ποιησάμενος Tournier: ἐποιήσατο S rec. FA om. S^1 22 λητουργεῖν] ν ab al. m. add. vid. S

θάδ' ἐκέκτητ' οὐσίαν φανεράν, ταύτην ἐξαργυρίσας πρὸς
ἐκεῖνον ἀπάγων οἴχεται. δύο μὲν δὴ ταῦθ' ὧν προεῖπον 9
ἐγὼ μαρτυρεῖ τοῖς γεγενημένοις λόγοις ὀρθῶς καὶ δικαίως,
οἷά περ ἦν, ἀποφανθένθ' ὑπ' ἐμοῦ· τὸ τρίτον δ' ὦ ἄν-
5 δρες Ἀθηναῖοι (καὶ μόνον ἓν τοῦτ' εἰπὼν ἔτι καὶ δὴ περὶ
ὧν παρελήλυθ' ἐρῶ), ἡνίκα τοὺς ὅρκους τοὺς περὶ τῆς
εἰρήνης ἀπειληφότες ἥκομεν οἱ πρέσβεις, τότε Θεσπιάς 10
τινων καὶ Πλαταιὰς ὑπισχνουμένων οἰκισθήσεσθαι, καὶ
τοὺς μὲν Φωκέας τὸν Φίλιππον, ἂν γένηται κύριος, σώ-
10 σειν, τὴν δὲ Θηβαίων πόλιν διοικιεῖν, καὶ τὸν Ὠρωπὸν
ὑμῖν ὑπάρξειν, καὶ τὴν Εὔβοιαν ἀντ' Ἀμφιπόλεως ἀπο-
δοθήσεσθαι, καὶ τοιαύτας ἐλπίδας καὶ φενακισμούς, οἷς
ὑπαχθέντες ὑμεῖς οὔτε συμφόρως οὔτ' ἴσως καλῶς προ-
εῖσθε Φωκέας, οὐδὲν τούτων οὔτ' ἐξαπατήσας οὔτε σι-
15 γήσας ἐγὼ φανήσομαι, ἀλλὰ προειπὼν ὑμῖν, ὡς οἶδ' ὅτι
μνημονεύετε, ὅτι ταῦτ' οὔτ' οἶδ' οὔτε προσδοκῶ, νομίζω
δὲ τὸν λέγοντα ληρεῖν.

Ταῦτα τοίνυν ἅπανθ', ὅσα φαίνομαι βέλτιον τῶν ἄλ- 11
λων προορῶν, οὐδ' εἰς μίαν ὦ ἄνδρες Ἀθηναῖοι οὔτε
20 δεινότητ' οὔτ' ἀλαζονείαν ἐπανοίσω, οὐδὲ προσποιήσομαι
δι' οὐδὲν ἄλλο γιγνώσκειν καὶ προαισθάνεσθαι πλὴν δι'
ἃ ἂν ὑμῖν εἴπω, δύο· ἓν μὲν ὦ ἄνδρες Ἀθηναῖοι δι'
εὐτυχίαν, ἣν συμπάσης ἐγὼ τῆς ἐν ἀνθρώποις οὔσης |

2 οἴχεται S F[1]: ᾤχετο (sic) S rec. mg. F s. v. A 3 τοῖς τότε S rec. γρ. FA | προγεγενημένοις F 4 τὸ om. FA 5 ἔτι om. F[1] | δὴ καὶ F[1] (καὶ punctis del.) 8 και τινων S[1] 10 διοικεῖν SF 13 ἐπαχθέντες S | συμφόρως S: συμφερόντως S rec. FA fortasse recte cf. XIX 246. XXI 9. XIX 186 | οὔτε καλῶς S rec. FA cf. Berl. Phil. Woch. 1902, p. 1125 | προιεσθε S[1] 15 προ-εῖπον S corr. | εὖ οἶδ' FA 16 οὔτε ante οἶδα om. S[1], sed duae (vel tres) litt. erasae et ι ex alia litt. (υ?) mutatum („non fuit σύνοιδα“ Rabe) 18 πάντα τοίνυν F 20 οὐδὲ] οὔτε S

12 δεινότητος καὶ σοφίας ὁρῶ κρατοῦσαν· ἕτερον δέ, προῖκα 60
τὰ πράγματα κρίνω καὶ λογίζομαι, καὶ οὐδὲν λῆμμ' ἂν
οὐδεὶς ἔχοι πρὸς οἷς ἐγὼ πεπολίτευμαι καὶ λέγω δεῖξαι
προσηρτημένον. ὀρθὸν οὖν, ὅ τι ἄν ποτ' ἀπ' αὐτῶν
ὑπάρχῃ τῶν πραγμάτων, τὸ συμφέρον φαίνεταί μοι. 5
ὅταν δ' ἐπὶ θάτερ' ὥσπερ εἰς τρυτάνην ἀργύριον προσ-
ενέγκῃς, οἴχεται φέρον καὶ καθείλκυκε τὸν λογισμὸν ἐφ'
αὑτό, καὶ οὐκ ἂν ἔτ' ὀρθῶς οὐδ' ὑγιῶς ὁ τοῦτο ποιήσας
περὶ οὐδενὸς λογίσαιτο.

13 Ἓν μὲν οὖν ἔγωγε πρῶτον ὑπάρχειν φημὶ δεῖν, ὅπως, 10
εἴτε συμμάχους εἴτε σύνταξιν εἴτ' ἄλλο βούλεταί τις κα-
τασκευάζειν τῇ πόλει, τὴν ὑπάρχουσαν εἰρήνην μὴ λύων
τοῦτο ποιήσει, οὐχ ὡς θαυμαστὴν οὐδ' ὡς ἀξίαν οὖσαν
ὑμῶν· ἀλλ' ὁποία τίς ποτ' ἐστὶν αὕτη, μὴ γενέσθαι μᾶλ-
λον εἶχε τοῖς πράγμασι καιρὸν ἢ γεγενημένη νῦν δι' 15
ἡμᾶς λυθῆναι· πολλὰ γὰρ προείμεθα, ὧν ὑπαρχόντων
τότ' ἂν ἢ νῦν ἀσφαλέστερος καὶ ῥᾴων ἦν ἡμῖν ὁ πόλε-
14 μος. δεύτερον δ', ὁρᾶν ὅπως μὴ προαξόμεθ' ὦ ἄνδρες
Ἀθηναῖοι τοὺς συνεληλυθότας τούτους καὶ φάσκοντας
Ἀμφικτύονας νῦν εἶναι εἰς ἀνάγκην καὶ πρόφασιν κοι- 20
νοῦ πολέμου πρὸς ἡμᾶς. ἐγὼ γάρ, εἰ γένοιθ' ἡμῖν πρὸς
Φίλιππον πάλιν πόλεμος δι' Ἀμφίπολιν ἤ τι τοιοῦτ' ἔγ-
κλημ' ἴδιον, οὗ μὴ μετέχουσι Θετταλοὶ μηδ' Ἀργεῖοι μηδὲ
Θηβαῖοι, οὐκ ἂν ἡμῖν οἴομαι τούτων οὐδένας πολεμῆσαι,

1 ὅτι προῖκα FA 2 sq. ἂν οὐδεὶς S: οὐδεὶς ἂν FA 3 οἷς] οὓς S rec. 4 ὅ τι] ὅτ' A 7 φέρον] ῥέπον Naber | καθείλκυσε A | ἐπ' αὐτὸ S corr. A 8 οὐκέτ' ἂν FA 9 οὐδενὸς ἂν A 11 σύνταξιν εἴτε συμμάχους F | ἄλλο τι F 13 ποιήσει SA: ποιήσῃ F corr. 14 τίς om. FA 15 γεγενημένην Pal. 113 Vind. 1 coni. Reiske 16 ὑμᾶς A | προιέμεθα S 18 προαξόμεθα S corr. A corr.: προαξώμεθα S[1]FA[1] 21 ὑμᾶς F 22 τοιοῦτον FA 24 ὑμῖν S | οὐδένας Herwerden: οὐδένα SFA

καὶ πάντων ἥκιστα (καί μοι μὴ θορυβήσῃ μηδεὶς πρὶν 15
ἀκοῦσαι) Θηβαίους, οὐχ ὡς ἡδέως ἔχουσιν ἡμῖν, οὐδ' ὡς οὐκ
ἂν χαρίζοιντο Φιλίππῳ, ἀλλ' ἴσασιν ἀκριβῶς, εἰ καὶ πάνυ
61 *φησίν | τις αὐτοὺς ἀναισθήτους εἶναι, ὅτι, εἰ γενήσεται*
5 *πόλεμος πρὸς ὑμᾶς αὐτοῖς, τὰ μὲν κακὰ πάνθ' ἕξουσιν*
αὐτοί, τοῖς δ' ἀγαθοῖς ἐφεδρεύων ἕτερος καθεδεῖται.
οὔκουν πρόοιντ' ἂν αὐτοὺς εἰς τοῦτο, μὴ κοινῆς τῆς ἀρ-
χῆς καὶ τῆς αἰτίας οὔσης τοῦ πολέμου. οὐδέ γ' εἰ πάλιν 16
πρὸς τοὺς Θηβαίους πολεμήσαιμεν δι' Ὠρωπὸν ἤ τι τῶν
10 *ἰδίων, οὐδὲν ἂν ἡμᾶς παθεῖν ἡγοῦμαι· καὶ γὰρ ἡμῖν*
κἀκείνοις τοὺς βοηθοῦντας ἂν οἶμαι, εἰς τὴν οἰκείαν εἴ
τις ἐμβάλοι, βοηθεῖν, οὐ συνεπιστρατεύσειν οὐδετέροις.
καὶ γὰρ αἱ συμμαχίαι τοῦτον ἔχουσι τὸν τρόπον, ὧν καὶ
φροντίσειεν ἄν τις, καὶ τὸ πρᾶγμα φύσει τοιοῦτόν ἐστιν·
15 *οὐκ ἄχρι τῆς ἴσης ἕκαστός ἐστιν εὔνους οὔθ' ἡμῖν οὔτε* 17
Θηβαίοις, σῶς τ' εἶναι καὶ κρατεῖν τῶν ἄλλων, ἀλλὰ σῶς
μὲν εἶναι πάντες ἂν βούλοινθ' ἕνεχ' αὑτῶν, κρατήσαντας
δὲ τοὺς ἑτέρους δεσπότας ὑπάρχειν αὐτῶν οὐδὲ εἷς. τί
οὖν ἡγοῦμαι φοβερὸν καὶ τί φυλάξασθαι δεῖν ἡμᾶς; μὴ
20 *κοινὴν πρόφασιν καὶ κοινὸν ἔγκλημ' ὁ μέλλων πόλεμος*
πρὸς ἅπαντας λάβῃ. εἰ γὰρ Ἀργεῖοι μὲν καὶ Μεσσήνιοι 18
καὶ Μεγαλοπολῖται καί τινες τῶν λοιπῶν Πελοποννη-

1 *θορυβῆσαι* A 2 *ἀκοῦσαι* SA: *ἂν ἀκούσηι* F | *οὐκ* om. S[1] *οὐ* add. S rec. 3 *ἂν χαρίζοιντ' ἂν* F 4 *φησίν* S: *φήσει* A *φήσειέ* F 5 *ἡμᾶς* A[1] corr. A[2] | *αὐτοῖς γρ.* S rec. mg. A: *αὐτοὺς* S[1] F 7 *οὔκουν* ... 8 *πολέμου* om. A[1] add. mg. | *ἑαυτοὺς* F 11 *βοηθοῦντας* S: *βοηθήσοντας* FA 13 *ὧν κτλ.* imitatur Dion. Hal. Ant. II 30, 1 16 *σῶς τ' γρ.* Ald. Ven. Reiske: *ὥστ(ε)* SFA | *ἀλλας* ¦ *ὡς* S[1] *ἀλλα*|*σῶς* S corr. | *σώιους* F *σῶς γρ.* F mg. 17 *ἅπαν-τες* F | *βούλοινθ'*] *ν* in ras. F | *ἕνεκα ἑαυτῶν* F *ἕνεκά γε αυτῶν* A 18 *οὐδεὶς* A 19 post *φυλάξασθαι* add. *φημι* S rec. mg. FA | *ἡμᾶς* (*ή* supra) SA[1]: *ὑμᾶς* F *ὑμᾶς* A[2] | *ὅπως μὴ* FA

σίων, ὅσοι ταὐτὰ τούτοις φρονοῦσιν, διὰ τὴν πρὸς Λακε-
δαιμονίους ἡμῖν ἐπικηρυκείαν ἐχθρῶς σχήσουσιν καὶ τὸ
δοκεῖν ἐκδέχεσθαί τι τῶν ἐκείνοις πεπραγμένων, Θηβαῖοι
δ' ἔχουσι μέν, ὡς λέγουσιν, ἀπεχθῶς, ἔτι δ' ἐχθροτέρως
σχήσουσιν, ὅτι τοὺς παρ' ἐκείνων φεύγοντας σῴζομεν καὶ 5
19 πάντα τρόπον τὴν δυσμένειαν ἐνδεικνύμεθ' αὐτοῖς, Θετ-
ταλοὶ δ', ὅτι τοὺς Φωκέων φυγάδας σῴζομεν, Φίλιππος
δ', ὅτι κωλύομεν αὐτὸν | κοινωνεῖν τῆς ἀμφικτυονίας, 62
φοβοῦμαι μὴ πάντες περὶ τῶν ἰδίων ἕκαστος ὀργιζόμενος
κοινὸν ἐφ' ἡμᾶς ἀγάγωσι τὸν πόλεμον, τὰ τῶν Ἀμφι- 10
κτυόνων δόγματα προστησάμενοι, εἶτ' ἐπισπασθῶσιν ἕκα-
στοι πέρα τοῦ συμφέροντος ἑαυτοῖς ἡμῖν πολεμῆσαι, ὥσ-
20 περ καὶ περὶ Φωκέας. ἴστε γὰρ δήπου τοῦθ', ὅτι νῦν
Θηβαῖοι καὶ Φίλιππος καὶ Θετταλοί, οὐχὶ ταὔθ' ἕκαστοι
μάλιστ' ἐσπουδακότες, ταὐτὰ πάντες ἔπραξαν· οἷον Θη- 15
βαῖοι τὸν μὲν Φίλιππον παρελθεῖν καὶ λαβεῖν τὰς παρ-
όδους οὐκ ἐδύναντο κωλῦσαι, οὐδέ γε τῶν αὐτοῖς πεπονη-
21 μένων ὕστατον ἐλθόντα τὴν δόξαν ἔχειν· νυνὶ γὰρ Θη-
βαίοις πρὸς μὲν τὸ τὴν χώραν κεκομίσθαι πέπρακταί τι,
πρὸς δὲ τιμὴν καὶ δόξαν αἴσχιστα· εἰ γὰρ μὴ παρῆλθε 20
Φίλιππος, οὐδὲν ἂν αὐτοῖς κέρδος ἦν. ταῦτα δ' οὐκ ἠβού-
λοντο, ἀλλὰ τῷ τὸν Ὀρχομενὸν καὶ τὴν Κορώνειαν λαβεῖν
22 ἐπιθυμεῖν, μὴ δύνασθαι δέ, πάντα ταῦθ' ὑπέμειναν. Φί-

9 οριζομενος S[1] ὀργιζόμενοι A 11 προστησάμενοι δόγματα A | προσστησάμενοι S[1] 12 πέρα] περὶ F | αυτοῖς A | ἡμῖν πολεμῆσαι del. Blass coll. schol. p. 164 sq. 14 ταῦτα A 14 sq. μάλιστα ἕκαστοι F 15 ταῦτα A[1] 17 ἠδύναντο (ε supra) F 19 post τὸ 1 litt. erasa F | χώραν ἔχειν καὶ F | πέπρακταί τι S: κάλλιστα πέπρακται FA 21 κέρ[δος ἦν] pap. Oxyrh.: ἐδόκει εἶναι SFA (δοκεῖ Sauppe, πλέον εἶναι Reiske δοκεῖ περιεῖναι Slameczka) | ἐβούλοντο F (idem p. 71, 8. 14) pap. 23 ταῦτα πάντα F

λιππον τοίνυν τινὲς μὲν δήπου τολμῶσι λέγειν ὡς οὐδ'
ἐβούλετο Θηβαίοις Ὀρχομενὸν καὶ Κορώνειαν παραδοῦ-
ναι, ἀλλ' ἠναγκάσθη· ἐγὼ δὲ τούτοις μὲν ἐρρῶσθαι λέ-
γω, ἐκεῖνο δ' οἶδ', ὅτι οὐ μᾶλλόν γε ταῦτ' ἔμελεν αὐτῷ,
5 ἢ τὰς παρόδους λαβεῖν ἐβούλετο καὶ τὴν δόξαν τοῦ πο-
λέμου τοῦ δοκεῖν δι' αὐτὸν κρίσιν εἰληφέναι, καὶ τὰ
Πύθια θεῖναι δι' αὐτοῦ, καὶ ταῦτ' ἦν ὧν μάλιστ' ἐγλί-
χετο. Θετταλοὶ δέ γ' οὐδέτερ' ἠβούλοντο τούτων, οὔτε 23
Θηβαίους οὔτε τὸν Φίλιππον μέγαν γίγνεσθαι (ταῦτα
10 γὰρ πάντ' ἐφ' ἑαυτοὺς ἡγοῦντο), τῆς πυλαίας δ' ἐπεθύ-
63 μουν καὶ τῶν ἐν Δελφοῖς, πλεονεκτημάτων | δυοῖν, κύριοι
γενέσθαι· τῷ δὲ τούτων γλίχεσθαι τάδε συγκατέπραξαν.
τῶν τοίνυν ἰδίων ἕνεχ' εὑρήσεθ' ἕκαστον πολλὰ προηγ-
μένον ὧν οὐδὲν ἠβούλετο πρᾶξαι. τοῦτο μέντοι, τοῦτ'
15 ἔστιν φυλακτέον ἡμῖν.

„Τὰ κελευόμεν' ἡμᾶς ἄρα δεῖ ποιεῖν ταῦτα φοβουμέ- 24
νους; καὶ σὺ ταῦτα κελεύεις;" πολλοῦ γε καὶ δέω. ἀλλ'
ὡς οὔτε πράξομεν οὐδὲν ἀνάξιον ἡμῶν αὐτῶν οὔτ' ἔσται
πόλεμος, νοῦν δὲ δόξομεν πᾶσιν ἔχειν καὶ τὰ δίκαια λέ-
20 γειν, τοῦτ' οἶμαι δεῖν ποιεῖν. πρὸς δὲ τοὺς θρασέως ὁτι-
οῦν οἰομένους ὑπομεῖναι δεῖν καὶ μὴ προορωμένους τὸν
πόλεμον, ἐκεῖνα βούλομαι λογίσασθαι. ἡμεῖς Θηβαίους

1 οὐδ' SF: οὐκ A 4 ἔμελεν SA: ἔμελλεν F post ἢ hab. το F s. v. 5 ἠβούλετο A 6 το δοκεῖν A[1], Blass coll. XXII 74 | ἑαυτὸν F 7 ἑαυτοῦ F 9 τὸν om. F 9 sq. πάντα γὰρ ταῦτα F 10 αυτους pap. | ἡγοῦντο S pap.: ἡγοῦντο εἶναι FA 12 συγκατέταξαν S[1] mg. 13 ἕκαστον εὑρήσετε F | ἐς τα ante πολλὰ add. S rec. mg., εἰς F 14 μέντοι Rehdantz: μέντοι ὅτι S[1]F μὲν τοίνυν ὅτι S rec. A | τοῦτ' S: τοιοῦτόν FA 15 ὑμῖν A 18 οὔτ'] οὐκ A 19 δὲ S: τε FA 20 δεῖν ποιεῖν S γρ. F: δείξειν FA | post πρὸς δὲ interpunxit H. Wolf | ante ὁτιοῦν add. οὐδ' Cobet; debebat μήδ'; at v. VI 11. XIX 54. Isocr. VI 93. VII 64. XII 133 21 ὑπομένειν F 22 ἐκεῖνο A[1]

ἐῶμεν ἔχειν Ὠρωπόν· καὶ εἴ τις ἔροιθ' ἡμᾶς, κελεύσας
25 *εἰπεῖν τἀληθῆ, διὰ τί; ἵνα μὴ πολεμῶμεν, φαῖμεν ἄν. καὶ Φιλίππῳ νυνὶ κατὰ τὰς συνθήκας Ἀμφιπόλεως παρακεχωρήκαμεν, καὶ Καρδιανοὺς ἐῶμεν ἔξω Χερρονησιτῶν τῶν ἄλλων τετάχθαι, καὶ τὸν Κᾶρα τὰς νήσους καταλαμ-* 5 *βάνειν, Χίον καὶ Κῶν καὶ Ῥόδον, καὶ Βυζαντίους κατάγειν τὰ πλοῖα, δῆλον ὅτι τὴν ἀπὸ τῆς εἰρήνης ἡσυχίαν πλειόνων ἀγαθῶν αἰτίαν εἶναι νομίζοντες ἢ τὸ προσκρούειν καὶ φιλονικεῖν περὶ τούτων. οὐκοῦν εὔηθες καὶ κομιδῇ σχέτλιον, πρὸς ἑκάστους καθ' ἕν' οὕτω προσενη-* 10 *νεγμένους περὶ τῶν οἰκείων καὶ ἀναγκαιοτάτων, πρὸς πάντας περὶ τῆς ἐν Δελφοῖς σκιᾶς νυνὶ πολεμῆσαι.*

2 *φαίημεν* FA 3 *νῦν* F | *τὰς* om. SA[1], add. s. v. pr. m. 4 *χερρονησιωτῶν* S 9 *καὶ τὸ φιλ.* F 10 *οὕτως ἤδη* F *οὑτωσὶ* A 12 *ἅπαντας* FA

In SF subscriptum est

ΠΕΡῚ ΤΗ͂Σ ΕΙΡΉΝΗΣ

Η̄ Η̄ Π̄Ι̅

in A ΠΕΡῚ ΤΗ͂Σ ΕΙΡΉΝΗΣ

(om. articulum in inscriptione)

VI

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Β

ΥΠΟΘΕΣΙΣ

64 *Παραινεῖ διὰ τούτου τοῦ λόγου τοῖς Ἀθηναίοις ὁ ῥήτωρ πολέμιον ὑποπτεύειν τὸν Φίλιππον καὶ τῇ εἰρήνῃ μὴ πάνυ πιστεύειν, ἀλλ' ἐγείρεσθαι καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασιν καὶ εὐτρεπίζεσθαι πρὸς πόλεμον· ἐπιβουλεύειν γὰρ αἰ-*
5 *τιᾶται καὶ τοῖς Ἀθηναίοις καὶ πᾶσι τοῖς Ἕλλησι τὸν Φίλιππον, καὶ τοῦτ' αὐτοῦ καταμαρτυρεῖν τὰς πράξεις φησίν. ἐπαγγέλλεται δὲ καὶ ἀποκρίσεις δώσειν πρός τινας πρέσβεις ἥκοντας, ἀπορούντων τῶν Ἀθηναίων ὅ τί ποτ' ἀποκρίνασθαι δεῖ. πόθεν* 2 *δ' οὗτοι καὶ περὶ τίνων ἥκουσιν, ἐν τῷ λόγῳ μὲν οὐ δηλοῦται,*
10 *ἐκ δὲ τῶν Φιλιππικῶν ἱστοριῶν μαθεῖν δυνατόν. κατὰ γὰρ τοῦτον τὸν καιρὸν ἔπεμψε πρέσβεις ὁ Φίλιππος πρὸς τοὺς Ἀθηναίους, αἰτιώμενος ὅτι διαβάλλουσιν αὐτὸν μάτην πρὸς τοὺς Ἕλληνας, ὡς ἐπαγγειλάμενον αὐτοῖς πολλὰ καὶ μεγάλα, ψευσάμενον δέ· οὐδὲν γὰρ ὑπεσχῆσθαί φησιν οὐδ' ἐψεῦσθαι,*
15 *καὶ περὶ τούτων ἐλέγχους ἀπαιτεῖ. ἔπεμψαν δὲ μετὰ Φιλίππου*

Titulus in F *ὑπόθεσις λόγου οὗ ἡ ἀρχή ὅταν ὦ ἄνδρες ἀθηναῖοι λόγοι γένωνται* 4 *πρὸς* Y: *εἰς* F *τὸν* m 5 *τὸν Φίλιππον* om. m 6 *καταμαρτυρεῖν τὰς πράξεις* H. Wolf: *καταμαρτυροῦντος πράξειν* FYm 7 *ἥκοντας* .. 9 *οὗτοι* om. F 8 *ὅ τί ποτ'* Ald. Voem. Schaefer: *ὁπότε* Ym 9 *περὶ* F Y² mg. m: *παρὰ* Y¹ 13 sq. *ἐπαγγειλάμενον* .. *ψευσάμενον* (m) . *ὑπεσχῆσθαι* Y: *ἐπαγγελλόμενον* (*ἐπαγγείλας καὶ* m) .. *ψευδόμενον* .. *ὑπισχνεῖσθαι* Fm 13 *πολλὰ μὲν* m

καὶ Ἀργεῖοι καὶ Μεσσήνιοι πρέσβεις εἰς Ἀθήνας, αἰτιώμενοι καὶ οὗτοι τὸν δῆμον ὅτι Λακεδαιμονίοις καταδουλουμένοις τὴν Πελοπόννησον εὔνους τ' ἐστὶν καὶ συγκροτεῖ, αὐτοῖς δὲ περὶ
3 *ἐλευθερίας πολεμοῦσιν ἐναντιοῦται. ἀποροῦσιν οὖν οἱ Ἀθηναῖοι καὶ πρὸς τὸν Φίλιππον ἀποκρίσεως καὶ πρὸς τὰς πόλεις·* 5
⟨πρὸς μὲν τὰς πόλεις⟩, ὅτι εὖνοι μέν εἰσι Λακεδαιμονίοις καὶ τὴν τῶν Ἀργείων καὶ Μεσσηνίων μετὰ Φιλίππου σύστασιν καὶ μισοῦσι καὶ ὑποπτεύουσιν, οὐ μὴν ἀπο|φήνασθαι δύνανται 65
δίκαια πράττειν τοὺς Λακεδαιμονίους· πρὸς δὲ τὸν Φίλιππον, ⟨ὅτι⟩ διημαρτήκασι μὲν ὧν ἤλπισαν, οὐ μὴν ὑπ' ἐκείνου γ' 10
αὐτοῦ δοκοῦσιν ἐξηπατῆσθαι· οὔτε γὰρ ταῖς ἐπιστολαῖς ἐνέγραψεν ὁ Φίλιππος ἐπαγγελίαν οὐδεμίαν, οὔτε διὰ τῶν ἰδίων πρέσβεων ἐποιήσατό τιν' ὑπόσχεσιν, ἀλλ' Ἀθηναίων τινὲς ἦσαν οἱ τὸν δῆμον εἰς ἐλπίδα καταστήσαντες ὡς Φίλιππος Φωκέας
4 *σώσει καὶ τὴν Θηβαίων ὕβριν καταλύσει. διὰ τοῦθ' ὁ Δημο-* 15
σθένης τῶν ἀποκρίσεων μνησθεὶς ἐπαγγέλλεται μὲν αὐτὰς δώσειν, φησὶ δ' ὅτι δίκαιον ἦν τοὺς τὴν δυσχέρειαν πεποιηκότας, ἐκείνους καὶ τὰς ἀποκρίσεις ἀπαιτεῖσθαι, τοὺς ἀπατήσαντας, φησί, τὸν δῆμον καὶ ἀνοίξαντας Φιλίππῳ Πύλας. ταῦτα δ' εἰς τὸν Αἰσχίνην αἰνίττεται, προκατασκευαζόμενος, ὥς φασι, τὴν 20
κατ' αὐτοῦ κατηγορίαν τῆς παραπρεσβείας, ἣν ὕστερον ἐνεστήσατο, καὶ προδιαβάλλων αὐτὸν πρὸς τοὺς Ἀθηναίους.

Ὅταν ὦ ἄνδρες Ἀθηναῖοι λόγοι γίγνωνται περὶ ὧν Φίλιππος πράττει καὶ βιάζεται παρὰ τὴν εἰρήνην, ἀεὶ τοὺς ὑπὲρ ἡμῶν λόγους καὶ δικαίους καὶ φιλανθρώπους 25
ὁρῶ φαινομένους, καὶ λέγειν μὲν ἅπαντας ἀεὶ τὰ δέοντα δοκοῦντας τοὺς κατηγοροῦντας Φιλίππου, γιγνόμενον

1 *πρὸς ἀθηναίους* m 6 *πρὸς .. πόλεις* et 10 *ὅτι* add. Ald. Less. 12 *οὔτε δὲ διὰ* Y 13 *πρεσβειῶν* F 15 *σώζει* m | *Θηβαίων*] *ἀθηναίων* F | *καταστήσει* F 18 *αἰτεῖσθαι* m 21 *τῆς*] *τὴν* Y *τὴν τῆς* m (ἡ superscr.) 22 *προδιαβαλὼν* F 25 *ὑμῶν* F

δ' οὐδὲν ὡς ἔπος εἰπεῖν τῶν δεόντων, οὐδ' ὧν ἕνεκα
66 *ταῦτ' ἀκούειν ἄξιον· ἀλλ' | εἰς τοῦτ' ἤδη προηγμένα τυγ-* 2
χάνει πάντα τὰ πράγματα τῇ πόλει, ὥσθ' ὅσῳ τις ἂν
μᾶλλον καὶ φανερώτερον ἐξελέγχῃ Φίλιππον καὶ τὴν
5 *πρὸς ὑμᾶς εἰρήνην παραβαίνοντα καὶ πᾶσι τοῖς Ἕλλησιν*
ἐπιβουλεύοντα, τοσούτῳ τὸ τί χρὴ ποιεῖν συμβουλεῦσαι
χαλεπώτερον. αἴτιον δὲ τούτων, ὅτι πάντας ὦ ἄνδρες 3
Ἀθηναῖοι τοὺς πλεονεκτεῖν ζητοῦντας ἔργῳ κωλύειν καὶ
πράξεσιν, οὐχὶ λόγοις δέον, πρῶτον μὲν ἡμεῖς οἱ παρ-
10 *ιόντες τούτων μὲν ἀφέσταμεν καὶ γράφειν καὶ συμβου-*
λεύειν, τὴν πρὸς ὑμᾶς ἀπέχθειαν ὀκνοῦντες, οἷα ποιεῖ
δ', ὡς δεινά, καὶ τοιαῦτα διεξερχόμεθα· ἔπειθ' ὑμεῖς οἱ
καθήμενοι, ὡς μὲν ἂν εἴποιτε δικαίους λόγους καὶ λέ-
γοντος ἄλλου συνείητε, ἄμεινον Φιλίππου παρεσκεύασθε,
15 *ὡς δὲ κωλύσαιτ' ἂν ἐκεῖνον πράττειν ταῦτ' ἐφ' ὧν ἐστι*
νῦν, παντελῶς ἀργῶς ἔχετε. συμβαίνει δὴ πρᾶγμ' ἀναγ- 4
καῖον οἶμαι καὶ ἴσως εἰκός· ἐν οἷς ἑκάτεροι διατρίβετε
καὶ περὶ ἃ σπουδάζετε, ταῦτ' ἄμεινον ἑκατέροις ἔχει,
ἐκείνῳ μὲν αἱ πράξεις, ὑμῖν δ' οἱ λόγοι. εἰ μὲν οὖν καὶ
20 *νῦν λέγειν δικαιότερ' ὑμῖν ἐξαρκεῖ, ῥᾴδιον, καὶ πόνος*
οὐδεὶς πρόσεστι τῷ πράγματι· εἰ δ' ὅπως τὰ παρόντ' 5
ἐπανορθωθήσεται δεῖ σκοπεῖν καὶ μὴ προελθόντ' ἔτι

1 *εἰπεῖν* om. S | *εἵνεκα* F 2 *προηγμένα*] post *η* in fin. vers. litt. (*γ*) erasa in S 4 *ἐξελέγχηι* F (*ηι* in ras.), superscr. rec. *ξ*, *ἐξελέγξει* A 7 post *χαλεπώτερον* add. *εἶναι* S rec. F A *ὄν* Madvig | *πάντας* S rec. F: *πάντες* S^{1}A 9 *οὐχὶ λόγοις*] *χι* et *ο* post *λ* in ras. S (*ουκ ολιγοις* S^{1} iure putat Rehdantz) 11 *διὰ τὴν* S rec. s. v. (postea *διὰ* erasum) FA 12 *καὶ τοιαῦτα* S^{1}: *καὶ χαλεπὰ ταῦτα* S corr. F post *χαλεπὰ* add. *καὶ τοι* ab alia m. S *καὶ χαλεπὰ καὶ τοιαῦτα γρ.* FA | *ἡμεῖς* F^{1} 14 *συνείητε* A^{1}: *συνιῆτε* S^{1} *συνίητε* S corr. FA corr. 15 *κωλύσετ'* A 18 *ἔχει* Y suppl. (?) Vind. 1: *ἔχειν* SFA 19 *ἡμῖν* F 20 *δικαιότερον* ut videtur S^{1}

πορρωτέρω λήσει πάνθ' ἡμᾶς, μηδ' ἐπιστήσεται μέγεθος
δυνάμεως πρὸς ἣν οὐδ' ἀντᾶραι δυνησόμεθα, οὐχ ὁ αὐ-
τὸς τρόπος ὅσπερ πρότερον τοῦ βουλεύεσθαι, ἀλλὰ καὶ
τοῖς λέγουσιν ἅπασιν καὶ τοῖς ἀκούουσιν ὑμῖν τὰ βέλτιστα
καὶ τὰ σώσοντα τῶν ῥᾴστων καὶ τῶν ἡδίστων προαιρετέον. 5
6 Πρῶτον μέν, εἴ τις ὦ ἄνδρες Ἀθηναῖοι θαρρεῖ, ὁρῶν
ἡλίκος | ἤδη καὶ ὅσων κύριός ἐστι Φίλιππος, καὶ μηδέν' 67
οἴεται κίνδυνον φέρειν τοῦτο τῇ πόλει μηδ' ἐφ' ὑμᾶς
πάντα παρασκευάζεσθαι, θαυμάζω, καὶ δεηθῆναι πάντων
ὁμοίως ὑμῶν βούλομαι τοὺς λογισμοὺς ἀκοῦσαί μου διὰ 10
βραχέων, δι' οὓς τἀναντί' ἐμοὶ παρέστηκε προσδοκᾶν
καὶ δι' ὧν ἐχθρὸν ἡγοῦμαι Φίλιππον· ἵν', ἐὰν μὲν ἐγὼ
δοκῶ βέλτιον προορᾶν, ἐμοὶ πεισθῆτε, ἂν δ' οἱ θαρροῦν-
7 τες καὶ πεπιστευκότες αὐτῷ, τούτοις προσθῆσθε. ἐγὼ
τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι λογίζομαι· τίνων ὁ Φίλιππος 15
κύριος πρῶτον μετὰ τὴν εἰρήνην κατέστη; Πυλῶν καὶ
τῶν ἐν Φωκεῦσι πραγμάτων. τί οὖν; πῶς τούτοις ἐχρή-
σατο; ἃ Θηβαίοις συμφέρει καὶ οὐχ ἃ τῇ πόλει, πράτ-
τειν προείλετο. τί δήποτε; ὅτι πρὸς πλεονεξίαν οἶμαι
καὶ τὸ πάνθ' ὑφ' αὑτῷ ποιήσασθαι τοὺς λογισμοὺς ἐξε- 20
τάζων, καὶ οὐχὶ πρὸς εἰρήνην οὐδ' ἡσυχίαν οὐδὲ δίκαιον
8 οὐδέν, εἶδε τοῦτ' ὀρθῶς, ὅτι τῇ μὲν ἡμετέρᾳ πόλει καὶ
τοῖς ἤθεσι τοῖς ἡμετέροις οὐδὲν ἂν ἐνδείξαιτο τοσοῦτον

1 πάνθ' S[1]A[1]: πάντας S corr. FA[2] 3 βουλεύεσθαι SA: βουλεύσασθαι (ε supra α) F 5 σώσαντα A | ἀντὶ τῶν ῥ. FA 6 μὲν οὖν A 9 πάντα ταῦτα F ταῦτα πάντα A 11 μοι F 13 βέλτιον τῶν ἄλλων S rec. FA | θαρροῦντες καὶ S corr. FA: θαρρούντως S[1] cf. v. 6 14 προσθῆσθε Vind. 1 Bekker: πρόσθησθε FA προσθήσεσθε S 20 πάντ' (?) S[1] | ὑπαυτωι A ὑφ' ἑαυτῶι F 21 οὐχὶ S: οὐ FA 22 εἶδε] ἴδε A 23 ἤθεσι τοῖς ἡμετέροις A: ἤθεσι τοῖς ὑμετέροις S ἡμετέροις ἤθεσιν F | ἐνδεῖξαι S[1] | τοσοῦτον S: τοιοῦτον FA

οὐδὲ ποιήσειεν, ὑφ' οὗ πεισθέντες ὑμεῖς τῆς ἰδίας ἕνεκ' ὠφελείας τῶν ἄλλων τινὰς Ἑλλήνων ἐκείνῳ πρόοισθε, ἀλλὰ καὶ τοῦ δικαίου λόγον ποιούμενοι, καὶ τὴν προσοῦσαν ἀδοξίαν τῷ πράγματι φεύγοντες, καὶ πάνθ' ἃ προσ-
5 ήκει προορώμενοι, ὁμοίως ἐναντιώσεσθε, ἄν τι τοιοῦτον ἐπιχειρῇ πράττειν, ὥσπερ ἂν εἰ πολεμοῦντες τύχοιτε. τοὺς δὲ Θηβαίους ἡγεῖτο (ὅπερ συνέβη) ἀντὶ τῶν ἑαυ- 9 τοῖς γιγνομένων τὰ λοιπὰ ἐάσειν ὅπως βούλεται πράττειν ἑαυτόν, καὶ οὐχ ὅπως ἀντιπράξειν καὶ διακωλύσειν,
68 ἀλλὰ καὶ συστρατεύσειν, ἂν αὐτοὺς | κελεύῃ. καὶ νῦν τοὺς
11 Μεσσηνίους καὶ τοὺς Ἀργείους ταὔθ' ὑπειληφὼς εὖ ποιεῖ. ὃ καὶ μέγιστόν ἐστι καθ' ὑμῶν ἐγκώμιον ὦ ἄνδρες Ἀθηναῖοι· κέκρισθε γὰρ ἐκ τούτων τῶν ἔργων μόνοι τῶν 10 πάντων μηδενὸς ἂν κέρδους τὰ κοινὰ δίκαια τῶν Ἑλλή-
15 νων προέσθαι, μηδ' ἀνταλλάξασθαι μηδεμιᾶς χάριτος μηδ' ὠφελείας τὴν εἰς τοὺς Ἕλληνας εὔνοιαν. καὶ ταῦτ' εἰκότως καὶ περὶ ὑμῶν οὕτως ὑπείληφεν καὶ κατ' Ἀργείων καὶ Θηβαίων ὡς ἑτέρως, οὐ μόνον εἰς τὰ παρόνθ' ὁρῶν, ἀλλὰ καὶ τὰ πρὸ τούτων λογιζόμενος. εὑρίσκει 11
20 γὰρ οἶμαι καὶ ἀκούει τοὺς μὲν ὑμετέρους προγόνους, ἐξὸν αὐτοῖς τῶν λοιπῶν ἄρχειν Ἑλλήνων ὥστ' αὐτοὺς ὑπακούειν βασιλεῖ, οὐ μόνον οὐκ ἀνασχομένους τὸν λόγον τοῦτον, ἡνίκ' ἦλθεν Ἀλέξανδρος ὁ τούτων πρόγονος περὶ τούτων κῆρυξ, ἀλλὰ καὶ τὴν χώραν ἐκλιπεῖν προ-
25 ελομένους καὶ παθεῖν ὁτιοῦν ὑπομείναντας, καὶ μετὰ

1 ὑφ'] υ in ras. A 2 προεισθε S[1] 7 αὐτοῖς A 9 ἑαυτὸν S: ἑαυτῷ S corr. ἑαυτῶι F αὐτὸν γρ. F A 10 συστρατεύειν A 11 ταυτὰ Vind. 1: ταὖθ' S ταῦτα FA | ἐποίει S 12 καθ'] καιθ A[1] 14 ἁπάντων A 21 αὐτοῖς] αὐτοὺς S | λοιπῶν S γρ. FA: ἄλλων F 24 χώραν] πόλιν γρ. FA cf. XVIII 204 | ἐκλείπειν A

ταῦτα πράξαντας ταῦθ' ἃ πάντες αἰεὶ γλίχονται λέγειν, ἀξίως δ' οὐδεὶς εἰπεῖν δεδύνηται, διόπερ κἀγὼ παραλείψω δικαίως (ἔστι γὰρ μείζονα τἀκείνων ἔργα ἢ ὡς τῷ λόγῳ τις ἂν εἴποι), τοὺς δὲ Θηβαίων καὶ Ἀργείων προγόνους τοὺς μὲν συστρατεύσαντας τῷ βαρβάρῳ, τοὺς 5
12 δ' οὐκ ἐναντιωθέντας. οἶδεν οὖν ἀμφοτέρους ἰδίᾳ τὸ λυσιτελοῦν ἀγαπήσοντας, οὐχ ὅ τι συνοίσει κοινῇ τοῖς Ἕλλησι σκεψομένους. ἡγεῖτ' οὖν, εἰ μὲν ὑμᾶς ἕλοιτο, φίλους ἐπὶ τοῖς δικαίοις αἱρήσεσθαι, εἰ δ' ἐκείνοις πρόσθοιτο, συνεργοὺς ἕξειν τῆς ἑαυτοῦ πλεονεξίας. διὰ ταῦτ' 10 ἐκείνους ἀνθ' ὑμῶν καὶ τότε καὶ νῦν αἱρεῖται. οὐ γὰρ δὴ τριήρεις γ' ὁρᾷ πλείους αὐτοῖς | ἢ ὑμῖν οὔσας· οὐδ' ἐν 69 τῇ μεσογείᾳ τιν' ἀρχὴν ηὕρηκεν, τῆς δ' ἐπὶ τῇ θαλάττῃ καὶ τῶν ἐμπορίων ἀφέστηκεν· οὐδ' ἀμνημονεῖ τοὺς λόγους οὐδὲ τὰς ὑποσχέσεις, ἐφ' αἷς τῆς εἰρήνης ἔτυχεν. 15

13 Ἀλλὰ νὴ Δί', εἴποι τις ἂν ὡς πάντα ταῦτ' εἰδώς, οὐ πλεονεξίας ἕνεκ' οὐδ' ὧν ἐγὼ κατηγορῶ τότε ταῦτ' ἔπραξεν, ἀλλὰ τῷ δικαιότερα τοὺς Θηβαίους ἢ ὑμᾶς ἀξιοῦν. ἀλλὰ τοῦτον καὶ μόνον πάντων τῶν λόγων οὐκ ἔνεστιν αὐτῷ νῦν εἰπεῖν· ὁ γὰρ Μεσσήνην Λακεδαιμονίους ἀφιέ- 20 ναι κελεύων πῶς ἂν Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδοὺς τῷ δίκαια νομίζειν ταῦτ' εἶναι πεποιηκέναι σκήψαιτο;

14 Ἀλλ' ἐβιάσθη νὴ Δία (τοῦτο γάρ ἐσθ' ὑπόλοιπον) καὶ παρὰ γνώμην, τῶν Θετταλῶν ἱππέων καὶ τῶν Θηβαίων 25

1 πάντες μὲν FA | ἀεὶ FA 2 εἰπεῖν οὐδεὶς F 3 μείζω FA cf. XIX 142. XX 28. XXIII 129 8 ἕλοιτο, φίλους Rehdantz: ἕλοιτο φίλους SFA 9 προσθεῖτο S 10 αὐτοῦ F αυτοῦ A 12 ἐνούσας FA | ἐν μὲν FA 16 ἂν om. A 17 ἕνεκεν SA 18 δικαιότερα .. ὑμᾶς ἀξιοῦν S: δικαιότερ' ἀξιοῦν .. ὑμᾶς FA 19 τῶν λόγων πάντων F 20 ἀφεῖναι Hermog. III 300 W. (317, 21 R.) et III 361 (375, 21) cl. V

ὁπλιτῶν ἐν μέσῳ ληφθείς, συνεχώρησε ταῦτα. καλῶς.
οὐκοῦν φασὶν μὲν μέλλειν πρὸς τοὺς Θηβαίους αὐτὸν
ὑπόπτως ἔχειν, καὶ λογοποιοῦσι περιόντες τινὲς ὡς Ἐλά-
τειαν τειχιεῖ. ὁ δὲ ταῦτα μὲν μέλλει καὶ μελλήσει γ', ὡς 15
5 ἐγὼ κρίνω, τοῖς Μεσσηνίοις δὲ καὶ τοῖς Ἀργείοις ἐπὶ
τοὺς Λακεδαιμονίους συλλαμβάνειν οὐ μέλλει, ἀλλὰ καὶ
ξένους εἰσπέμπει καὶ χρήματ' ἀποστέλλει καὶ δύναμιν
μεγάλην ἔχων αὐτός ἐστι προσδόκιμος. τοὺς μὲν ὄντας
ἐχθροὺς Θηβαίων Λακεδαιμονίους ἀναιρεῖ, οὓς δ' ἀπώ-
10 λεσεν αὐτὸς πρότερον Φωκέας νῦν σῴζει; καὶ τίς ἂν 16
ταῦτα πιστεύσειεν; ἐγὼ μὲν γὰρ οὐκ ἂν ἡγοῦμαι Φίλιπ-
πον, οὔτ' εἰ τὰ πρῶτα βιασθεὶς ἄκων ἔπραξεν, οὔτ' ἂν
εἰ νῦν ἀπεγίγνωσκεν Θηβαίους, τοῖς ἐκείνων ἐχθροῖς
70 συνεχῶς ἐναντιοῦσθαι, ἀλλ' ἀφ' ὧν νῦν ποιεῖ, | κἀκεῖν'
15 ἐκ προαιρέσεως δῆλός ἐστι ποιήσας, ἐκ πάντων δ', ἄν
τις ὀρθῶς θεωρῇ, πάνθ' ἃ πραγματεύεται κατὰ τῆς πό-
λεως συντάττων. καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τιν' αὐτῷ 17
νῦν γε δὴ συμβαίνει. λογίζεσθε γάρ. ἄρχειν βούλεται,
τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς. ἀδικεῖ
20 πολὺν ἤδη χρόνον, καὶ τοῦτ' αὐτὸς ἄριστα σύνοιδεν αὑ-
τῷ· οἷς γὰρ οὖσιν ὑμετέροις ἔχει, τούτοις πάντα τἄλλ'
ἀσφαλῶς κέκτηται· εἰ γὰρ Ἀμφίπολιν καὶ Ποτείδαιαν
προεῖτο, οὐδ' ἂν οἴκοι μένειν βεβαίως ἡγεῖται. ἀμφότερ' 18

2 τοὺς om. A 3 τινες περιόντες F 4 τειχιεῖ] sec. ι in ras. A | γ' om. S 6 συλλαμβάνειν Weil (schol. Aristoph. Ach. 205 cont. Blass): συμβάλλειν SA συνεισβάλλειν F 8 μὲν οὖν FA 11 οὐκ ἂν ἡγοῦμαι Reiske: οὐδ' ἂν ἡγοῦμαι S γρ. FA (οὐ δᾶν = οὐ δὴ ἂν Schanz) ἡγοῦμαι οὐκ ἂν F ἡγοῦμαι Priscian. II 282, 11. 301, 13 16 θεωρῆι A: θεωρεῖ S θεωροίη F | πάνθ' ἃ Foertsch coll. VIII 43: πάντα S ὅτι πάντα FA 20 ἑαυτῶι F 21 ἡμετέροις F | ἔχει S: ἔχει χρῆσθαι S rec. mg. A ἔχει χρήσασθαι F ex X 12 23 ἡγεῖται Cobet: ἡγεῖτο SFA

οὖν οἶδεν, καὶ αὐτὸν ὑμῖν ἐπιβουλεύοντα καὶ ὑμᾶς αἰσθανομένους· εὖ φρονεῖν δ' ὑμᾶς ὑπολαμβάνων, δικαίως αὐτὸν μισεῖν νομίζει, καὶ παρώξυνται, πείσεσθαί τι προσδοκῶν, ἂν καιρὸν λάβητε, ἂν μὴ φθάσῃ ποιήσας πρό-

19 τερος. διὰ ταῦτ' ἐγρήγορεν, ἐφέστηκεν, ἐπὶ τῇ πόλει θε- 5 ραπεύει τινάς, Θηβαίους καὶ Πελοποννησίων τοὺς ταὐτὰ βουλομένους τούτοις, οὓς διὰ μὲν πλεονεξίαν τὰ παρόντ' ἀγαπήσειν οἴεται, διὰ δὲ σκαιότητα τρόπων τῶν μετὰ ταῦτ' οὐδὲν προόψεσθαι. καίτοι σωφρονοῦσί γε καὶ μετρίως ἐναργῆ παραδείγματ' ἔστιν ἰδεῖν, ἃ καὶ πρὸς Μεσ- 10 σηνίους καὶ πρὸς Ἀργείους ἔμοιγ' εἰπεῖν συνέβη, βέλτιον δ' ἴσως καὶ πρὸς ὑμᾶς ἐστιν εἰρῆσθαι.

20 „Πῶς γὰρ οἴεσθ'“, ἔφην, „ὦ ἄνδρες Μεσσήνιοι δυσχερῶς ἀκούειν Ὀλυνθίους, εἴ τίς τι λέγοι κατὰ Φιλίππου κατ' ἐκείνους τοὺς χρόνους, ὅτ' Ἀνθεμοῦντα μὲν αὐτοῖς 15 ἀφίει, ἧς πάντες οἱ πρότερον Μακεδονίας βασιλεῖς ἀντεποιοῦντο, Ποτείδαιαν δ' ἐδίδου τοὺς Ἀθηναίων ἀποίκους | ἐκβάλλων, καὶ τὴν μὲν ἔχθραν τὴν πρὸς ἡμᾶς 71 αὐτὸς ἀνῄρητο, τὴν χώραν δ' ἐκείνοις ἐδεδώκει καρποῦσθαι; ἆρα προσδοκᾶν αὐτοὺς τοιαῦτα πείσεσθαι, ἢ 20

21 λέγοντος ἄν τινος πιστεῦσαι [οἴεσθε]; ἀλλ' ὅμως“, ἔφην ἐγώ, „μικρὸν χρόνον τὴν ἀλλοτρίαν καρπωσάμενοι πολὺν

1 ἑαυτὸν F 2 δικαίως A: δικαίως ἂν SF 3 νομίζει F[1]: νομίζοι SF rec. A | τι SA[1]: τι κακὸν FA[2]mg. 4 ἐὰν F | ἐὰν μὴ FA | πρότερος φθάσηι ποιήσας F | πρότερον A 5 post ἐφέστηκεν interpunxit Reiske 6 θηβαίων FA | ταῦτα S[1]A 7 βουλευομένους A | τούτωι F s. v. rec. 11 πρὸς om. F 12 ἐστὶν καὶ πρὸς ὑμᾶς (ή s. v.) F 13 ἔφη S[1] 14 εἴ τίς τι S γρ. F: εἴ τις FA 16 ἀφίει F ἠφίει A | ἧς SF rec.: οὗ F[1]A 17 ἐποίκους F[1] 18 ἐκβάλλων S γρ. F: ἐκβαλὼν FA | ὑμας (η s. v.) F 19 ἀνείρητο S[1] 21 οἴεσθε S, post Benselerum del. Weil οὐκ οἴεσθέ γε F (sed οὐκ add. s. v. rec.) A

τῆς αὐτῶν ὑπ' ἐκείνου στέρονται, αἰσχρῶς ἐκπεσόντες, οὐ
κρατηθέντες μόνον, ἀλλὰ καὶ προδοθέντες ὑπ' ἀλλήλων
καὶ πραθέντες· οὐ γὰρ ἀσφαλεῖς ταῖς πολιτείαις αἱ πρὸς
τοὺς τυράννους αὗται λίαν ὁμιλίαι. τί δ' οἱ Θετταλοί; ἆρ' 22
5 οἴεσθ'," ἔφην, „ὅτ' αὐτοῖς τοὺς τυράννους ἐξέβαλε καὶ
πάλιν Νίκαιαν καὶ Μαγνησίαν ἐδίδου, προσδοκᾶν τὴν
καθεστῶσαν νῦν δεκαδαρχίαν ἔσεσθαι παρ' αὐτοῖς; ἢ τὸν
τὴν πυλαίαν ἀποδόντα, τοῦτον τὰς ἰδίας αὐτῶν προσόδους
παραιρήσεσθαι; οὐκ ἔστι ταῦτα. ἀλλὰ μὴν γέγονε ταῦτα
10 καὶ πᾶσιν ἔστιν εἰδέναι. ὑμεῖς δ'", ἔφην ἐγώ, „διδόντα μὲν 23
καὶ ὑπισχνούμενον θεωρεῖτε Φίλιππον, ἐξηπατηκότα δ'
ἤδη καὶ παρακεκρουμένον ἀπεύχεσθε, εἰ σωφρονεῖτε δή,
ἰδεῖν. ἔστι τοίνυν νὴ Δία", ἔφην ἐγώ, „παντοδαπὰ ηὑρη-
μένα ταῖς πόλεσι πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χα-
15 ρακώματα καὶ τείχη καὶ τάφροι καὶ τἄλλ' ὅσα τοιαῦτα.
καὶ ταῦτα μέν ἐστιν ἅπαντα χειροποίητα καὶ δαπάνης 24
προσδεῖται· ἓν δέ τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων
ἐν αὑτῇ κέκτηται φυλακτήριον, ὃ πᾶσι μέν ἐστ' ἀγαθὸν
καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράν-
20 νους. τί οὖν ἐστι τοῦτο; ἀπιστία. ταύτην φυλάττετε,
ταύτης ἀντέχεσθε· ἂν ταύτην σῴζητε, οὐδὲν μὴ δεινὸν
πάθητε. τί ζητεῖτε;" ἔφην. „ἐλευθερίαν. εἶτ' οὐχ ὁρᾶτε 25
72 Φίλιπ|πον ἀλλοτριωτάτας ταύτῃ καὶ τὰς προσηγορίας

1 ἑαυτῶν F 4 αὗται om. F 5 αὐτοῖς] αὐτῶν F | ἐξέβαλε(ν) SF corr.: ἐξέβαλλεν F[1] A 7 τετραρχίαν (ΔΑΡΧΙΑΝ) Reiske cf. IX 26 Harpocr. s. v. δεκαδ. 8 τούτων F[1] 12 παρακεκρουσμένον S rec. FA (παρακέκρουσται XXIV 37) | ἀπεύξασθε F[2]A | εἰ σωφρονεῖτε δή S: ἂν σωφρονῆτ' FA | δὴ del. Blass; num. μὴ (sic r teste May)? cf. Berl. Philol. Wochenschr. 1902, p. 1125 sq. 16 δαπάνης πολλῆς FA ex VIII 48 18 ἐν om. S cf. § 36; possis αὐτὴ cf. VIII 72 | ἑαυτῆι F 21 ἐὰν F | δεινὸν μὴ FA 22 τί οὖν F | ἐλευθερίαν; A rec., Ruediger

ἔχοντα; βασιλεὺς γὰρ καὶ τύραννος ἅπας ἐχθρὸς ἐλευθερίᾳ καὶ νόμοις ἐναντίος. οὐ φυλάξεσθ' ὅπως", ἔφην, „μὴ πολέμου ζητοῦντες ἀπαλλαγῆναι δεσπότην εὕρητε;"

26 Ταῦτ' ἀκούσαντες ἐκεῖνοι, καὶ θορυβοῦντες ὡς ὀρθῶς λέγεται, καὶ πολλοὺς ἑτέρους λόγους παρὰ τῶν πρέσβεων 5 καὶ παρόντος ἐμοῦ καὶ πάλιν ὕστερον, ὡς ἔοικεν, οὐδὲν μᾶλλον ἀποσχήσονται τῆς Φιλίππου φιλίας οὐδ' ὧν ἐπαγγέλλεται. καὶ οὐ τοῦτ' ἔστ' ἄτοπον, εἰ Μεσσήνιοι καὶ Πελοποννησίων τινὲς παρ' ἃ τῷ λογισμῷ βέλτισθ' ὁρῶσίν 27 τι πράξουσιν, ἀλλ' ὑμεῖς οἱ καὶ συνιέντες αὐτοὶ καὶ τῶν 10 λεγόντων ἀκούοντες ἡμῶν, ὡς ἐπιβουλεύεσθε, ὡς περιτειχίζεσθε, ὥστε μηδὲν ἤδη ποιῆσαι λήσεθ', ὡς ἐμοὶ δοκεῖ, πάνθ' ὑπομείναντες· οὕτως ἡ παραυτίχ' ἡδονὴ καὶ ῥᾳστώνη μεῖζον ἰσχύει τοῦ ποθ' ὕστερον συνοίσειν μέλλοντος. 15

28 Περὶ μὲν δὴ τῶν ὑμῖν πρακτέων καθ' ὑμᾶς αὐτοὺς ὕστερον βουλεύσεσθε, ἂν σωφρονῆτε· ἃ δὲ νῦν ἀποκρινάμενοι τὰ δέοντ' ἂν εἴητ' ἐψηφισμένοι, ταῦτα δὴ λέξω.

Ἦν μὲν οὖν δίκαιον ὦ ἄνδρες Ἀθηναῖοι τοὺς ἐνεγκόντας τὰς ὑποσχέσεις, ἐφ' αἷς ἐπείσθητε ποιήσασθαι τὴν 20 29 εἰρήνην, καλεῖν· οὔτε γὰρ αὐτὸς ἄν ποθ' ὑπέμεινα πρεσβεύειν, οὔτ' ἂν ὑμεῖς οἶδ' ὅτι ἐπαύσασθε πολεμοῦντες,

1 ἅπας καὶ τύραννος A 2 ἐναντίον A | ἔφην ὅπως A 3 ἀπαλλαγὴν Cobet, at v. Dion. Hal. Ant. IV 28, 4 5 καὶ παρὰ A 6 ὕστερον ἀκούσαντες F 8 ἔστιν SF 10 τι om. A | αὐτοὶ post ὑμεῖς ponit F | post οἱ ras. 3 vel 4 litt. quarum ultima ι S 11 περιτειχίζεσθε S^1 et S s. v. rec. F: περιτοιχίζεσθε S corr. περιστοιχίζεσθε γρ. S rec. A ex IV 9 12 ὥστε S^1F^1: ὡς ἐκ τοῦ S rec. F corr. A ἐκ τοῦ Y suppl. | ποιῆσαι S^1F: ποιεῖν S corr. γρ. FA | λήσεθ' γρ. FA: λήσεσθ(ε) SF 13 πάντα ταῦθ' F 17 ἀποκρινόμενοι A 18 ταῦτ' ἤδη FA 19 ΑΠΟΚΡΙΣΙΣ add. Olivetus Dobree 20 τὰς om. SA | ποιῆσαι F 22 εὖ οἶδ' F

εἰ τοιαῦτα πράξειν τυχόντ' εἰρήνης Φίλιππον ᾤεσθε·
ἀλλ' ἦν πολὺ τούτων ἀφεστηκότα τὰ τότε λεγόμενα. καὶ
πάλιν γ' ἑτέρους καλεῖν. τίνας; τοὺς ὅτ' ἐγὼ γεγονυίας
ἤδη τῆς εἰρήνης ἀπὸ τῆς ὑστέρας ἥκων πρεσβείας τῆς
73 ἐπὶ | τοὺς ὅρκους, αἰσθόμενος φενακιζομένην τὴν πόλιν,
5 προὔλεγον καὶ διεμαρτυρόμην καὶ οὐκ εἴων προέσθαι
Πύλας οὐδὲ Φωκέας, λέγοντας, ὡς ἐγὼ μὲν ὕδωρ πίνων 30
εἰκότως δύστροπος καὶ δύσκολός εἰμί τις ἄνθρωπος, Φί-
λιππος δ', ἅπερ εὔξαισθ' ἂν ὑμεῖς, ἐὰν παρέλθῃ, πράξει,
10 καὶ Θεσπιὰς μὲν καὶ Πλαταιὰς τειχιεῖ, Θηβαίους δὲ παύ-
σει τῆς ὕβρεως, Χερρόνησον δὲ τοῖς αὑτοῦ τέλεσι διο-
ρύξει, Εὔβοιαν δὲ καὶ τὸν Ὠρωπὸν ἀντ' Ἀμφιπόλεως
ὑμῖν ἀποδώσει· ταῦτα γὰρ ἅπαντ' ἐπὶ τοῦ βήματος
ἐνταῦθα μνημονεύετ' οἶδ' ὅτι ῥηθέντα, καίπερ ὄντες οὐ
15 δεινοὶ τοὺς ἀδικοῦντας μεμνῆσθαι. καὶ τὸ πάντων αἴσχι- 31
στον, καὶ τοῖς ἐκγόνοις πρὸς τὰς ἐλπίδας τὴν αὐτὴν εἰρή-
νην εἶναι ταύτην ἐψηφίσασθε· οὕτω τελέως ὑπήχθητε.
τί δὴ ταῦτα νῦν λέγω καὶ καλεῖν φημὶ δεῖν τούτους;
ἐγὼ νὴ τοὺς θεοὺς τἀληθῆ μετὰ παρρησίας ἐρῶ πρὸς
20 ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι· οὐχ ἵν' εἰς λοιδορίαν ἐμπεσὼν 32
ἐμαυτῷ μὲν ἐξ ἴσου λόγον παρ' ὑμῖν ποιήσω, τοῖς δ' ἐμοὶ
προσκρούσασιν ἐξ ἀρχῆς καὶ νῦν παράσχω πρόφασιν τοῦ
πάλιν τι λαβεῖν παρὰ Φιλίππου, οὐδ' ἵν' ὡς ἄλλως ἀδο-
λεσχῶ· ἀλλ' οἴομαί ποθ' ὑμᾶς λυπήσειν ἃ Φίλιππος πράτ-

1 τοσαῦτα S | οἴεσθε A rec. mg. 2 πολὺ s. v. add. A[1] 3 καλεῖν·
τινὰς S[1]A 8 δύσκολος καὶ δύστροπος FA 9 ὅπερ SF rec. |
εὔξεσθ' F | πράξῃι A 11 τέλεσιν A[1] 13 πάντ' F 14 ἐν-
ταυθοῖ FA ἐνταυθὶ Bekker 16 ἐγγόνοις F 17 εἶναι] αι s.
v. F | προσεψηφίσασθε F 22 καὶ νῦν παράσχω πρ. SA: πα-
ράσχω πρ. καὶ νῦν F 23 ὡς SF: τὴν A 24 οἶμαι FA

33 τει μᾶλλον ἢ τὰ νυνί· τὸ γὰρ πρᾶγμ' ὁρῶ προβαῖνον,
καὶ οὐχὶ βουλοίμην ἂν εἰκάζειν ὀρθῶς, φοβοῦμαι δὲ μὴ
λίαν ἐγγὺς ᾖ τοῦτ' ἤδη. ὅταν οὖν μηκέθ' ὑμῖν ἀμελεῖν
ἐξουσία γίγνηται τῶν συμβαινόντων, μηδ' ἀκούηθ' ὅτι
ταῦτ' ἐφ' ὑμᾶς ἐστιν ἐμοῦ μηδὲ τοῦ δεῖνος, ἀλλ' αὐτοὶ 5
πάντες ὁρᾶτε καὶ εὖ εἰδῆτε, ὀργίλους καὶ τραχεῖς ὑμᾶς
34 ἔσεσθαι νομίζω. φοβοῦμαι δὴ μή, τῶν | πρέσβεων σεσιω- 74
πηκότων ἐφ' οἷς αὐτοῖς συνίσασι δεδωροδοκηκότες, τοῖς
ἐπανορθοῦν τι πειρωμένοις τῶν διὰ τούτους ἀπολωλό-
των τῇ παρ' ὑμῶν ὀργῇ περιπεσεῖν συμβῇ· ὁρῶ γὰρ ὡς 10
116 τὰ πόλλ' ἐνίους οὐκ εἰς τοὺς αἰτίους, ἀλλ' εἰς τοὺς ὑπὸ
35 χεῖρα μάλιστα τὴν ὀργὴν ἀφιέντας. ἕως οὖν ἔτι μέλλει
καὶ συνίσταται τὰ πράγματα καὶ κατακούομεν ἀλλήλων,
ἕκαστον ὑμῶν καίπερ ἀκριβῶς εἰδόθ' ὅμως ἐπαναμνῆσαι
βούλομαι, τίς ὁ Φωκέας πείσας καὶ Πύλας προέσθαι, ὧν 15
καταστὰς ἐκεῖνος κύριος τῆς ἐπὶ τὴν Ἀττικὴν ὁδοῦ καὶ
τῆς εἰς Πελοπόννησον κύριος γέγονεν, καὶ πεποίηχ' ὑμῖν
μὴ περὶ τῶν δικαίων μηδ' ὑπὲρ τῶν ἔξω πραγμάτων
εἶναι τὴν βουλήν, ἀλλ' ὑπὲρ τῶν ἐν τῇ χώρᾳ καὶ τοῦ
πρὸς τὴν Ἀττικὴν πολέμου, ὃς λυπήσει μὲν ἕκαστον, 20
36 ἐπειδὰν παρῇ, γέγονεν δ' ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. εἰ γὰρ
μὴ παρεκρούσθητε τόθ' ὑμεῖς, οὐδὲν ἂν ἦν τῇ πόλει

1 νῦν F | τὰ γὰρ πράγματα ὁρῶ προβαίνοντα F 2 βουλοί-
μην μὲν FA | βούλομαι F (ex v. antecedente) φοβ..ῦμαι φόβον A[1] 6 πάνθ' A
7 πρέσβεων SF: αἰτίων A 8 δεδωροδοκηκότες S: δεδωροδο-
κηκόσι(ν) FA corr. δεδωροδοκήκασι A[1] 11 αἰτίους SF: πολ-
λοὺς γρ FA | ἀλλ' εἰς τοὺς iteratum in A, prius punctis deletum
14 ἐπαναμιμνήσκεσθαι S 15 φωκέας πείσας καὶ πύλας A:
φωκέας πείσας καὶ πύλας ποιήσας S φωκέας καὶ πύλας σώσας
(πει s. v. rec.) ὑμᾶς F 18 μὴ S: μήτε F μηκέτι A | ἔξω om. S[1]
add. rec. in fine col. 21 ἐν S γρ. FA: om. F

πρᾶγμα· οὔτε γὰρ ναυσὶ δήπου κρατήσας εἰς τὴν Ἀττικὴν XIX 158
ἦλθεν ἄν ποτε στόλῳ Φίλιππος, οὔτε πεζῇ βαδίζων ὑπὲρ
τὰς Πύλας καὶ Φωκέας, ἀλλ' ἢ τὰ δίκαι' ἂν ἐποίει καὶ
τὴν εἰρήνην ἄγων ἡσυχίαν εἶχεν, ἢ παραχρῆμ' ἂν ἦν ἐν
5 *ὁμοίῳ πολέμῳ δι' ὃν τότε τῆς εἰρήνης ἐπεθύμησεν. ταῦτ'* 37
οὖν ὡς μὲν ὑπομνῆσαι νῦν ἱκανῶς εἴρηται, ὡς δ' ἂν
ἐξετασθείη μάλιστ' ἀκριβῶς, μὴ γένοιτ' ὦ πάντες θεοί·
οὐδένα γὰρ βουλοίμην ἔγωγ' ἄν, οὐδ' εἰ δίκαιός ἐστ'
ἀπολωλέναι, μετὰ τοῦ πάντων κινδύνου καὶ τῆς ζημίας
10 *δίκην ὑποσχεῖν.*

4 *ἐν* om. S[1]   5 *τότε* SF: *πρότερον γρ.* FA   8 *ἂν ἔγωγε* FA
In S F subscriptum est

ΚΑΤᾺ ΦΙΛΊΠΠΟΥ Β̄
Η̄ Η̄ Π̄ Δ̄ Δ̄ Δ̄ Δ̄

in A ΚΑΤᾺ ΦΙΛΊΠΠΟΥ Β̄

VII

ΠΕΡΙ ΑΛΟΝΝΗΣΟΥ 75

ΥΠΟΘΕΣΙΣ

Οὗτος ὁ λόγος ἐπιγράφεται μὲν περὶ Ἁλοννήσου, τάχα δ' ὀρθότερον ἐπιγράφειν ʻπρὸς τὴν ἐπιστολὴν τὴν Φιλίππουʼ. πέπομφε γὰρ πρὸς τοὺς Ἀθηναίους ἐπιστολὴν περὶ πολλῶν δια-
2 λεγόμενος, ὧν ἕν ἐστι καὶ τὸ κατὰ τὴν Ἁλόννησον, ἥτις ἦν μὲν τῶν Ἀθηναίων ἀρχαῖον κτῆμα, κατὰ δὲ τοὺς Φιλίππου 5 *καιροὺς ὑπὸ λῃστῶν κατείχετο, οὓς ἐκβαλὼν ὁ Φίλιππος ἀπαιτοῦσι μὲν τοῖς Ἀθηναίοις τὴν νῆσον οὐκ ἀποδίδωσιν (ἑαυτοῦ γὰρ εἶναί φησιν), αἰτοῦσι δ' ὑπισχνεῖται δώσειν. ὁ δὲ λόγος οὐ δοκεῖ μοι Δημοσθένους εἶναι. δηλοῖ δ' ἡ φράσις καὶ ἡ τῆς συνθέσεως ἁρμονία, πολὺ τὸν Δημοσθενικὸν πεφευγυῖα τύπον,* 10 *ἀνειμένη τε καὶ διαλελυμένη παρὰ τὴν ἰδέαν τούτου τοῦ ῥήτορος. καὶ μὴν καὶ τὸ ἐπὶ τέλει ῥηθὲν οὐ μικρὸν μαρτύριον τοῦ νόθον εἶναι τὸν λόγον, „εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε“.*
3 ὁ μὲν γὰρ Δημοσθένης εἴωθεν παρρησίᾳ χρῆσθαι, τοῦτο δ' 15 *ὕβρις ἐστὶ καὶ λοιδορία μέτρον οὐκ ἔχουσα, εὐτέλειά τ' αὐτῷ δεινὴ πρόσεστι κατὰ τὴν ἑρμηνείαν· πρὸς δὲ τούτοις καὶ εὔ-*

ὑπόθεσις λόγου οὗ ἡ ἀρχή· ὦ ἄνδρες Ἀθηναῖοι οὐκ ἔστιν ὅπως αἱ αἰτίαι F 2 cf. Dion. Hal. de Demosth. p. 994 4 *ὧν ἕν ἐστι καὶ τὸ* Y: *τῶν* F | *ἀλλόνησον* F' 8 *αἰτοῦσι*] *ἀποῦσι* F 11 *ἀνειμένον τε καὶ διαλελυμένον* F | cf. Phot. cod. 265 p. 491a 8 sqq. | *τούτου* del. videtur

ηθες τὸ νομίζειν ἐν τοῖς κροτάφοις ἔχειν τοὺς ἀνθρώπους τὸν ἐγκέφαλον. ὑπώπτευσαν δὲ καὶ οἱ πρεσβύτεροι τὸν λόγον ὡς οὐ τοῦ ῥήτορος, καὶ πεφωράκασί γέ τινες ὅνθ' Ἡγησίππου καὶ ἀπὸ τῆς ἰδέας τῶν λόγων (τοιαύτῃ γὰρ κέχρηται) καὶ ἀπὸ
76 τῶν | πραγμάτων· κατὰ Καλλίππου γὰρ τοῦ Παιανιέως φησὶν
6 ὁ τὸν λόγον γεγραφὼς ἀπενηνοχέναι γραφὴν παρανόμων, φαίνεται δ' οὐχ ὁ Δημοσθένης, ἀλλ' ὁ Ἡγήσιππος τὴν κατὰ τοῦ Καλλίππου γραφὴν ἐνστησάμενος. νὴ Δία, ἀλλ' ὁ λόγος συμ- 4 βουλεύει περὶ τῆς Ἁλοννήσου τοῖς Ἀθηναίοις μὴ λαμβάνειν
10 αὐτήν, ἀλλ' ἀπολαμβάνειν, καὶ διαφέρεται περὶ τῶν ὀνομάτων, ταῦτα δ' Αἰσχίνης φησὶ τὸν Δημοσθένη συμβεβουλευκέναι τοῖς III 88 Ἀθηναίοις. εἶτα τί τοῦτο; δύναται γὰρ τὴν αὐτὴν πεποιῆσθαι συμβουλὴν καὶ Δημοσθένης καὶ Ἡγήσιππος, ἐπεὶ καὶ τἆλλα τῆς αὐτῆς ἦσαν ἐν τῇ πολιτείᾳ προαιρέσεως καὶ τοῖς φιλιππί-
15 ζουσι τῶν ῥητόρων ἀντέλεγον, καὶ μέμνηται καὶ ὁ Δημοσθένης IX 72 τοῦ Ἡγησίππου ὡς καὶ πρεσβεύσαντος μεθ' ἑαυτοῦ καὶ ἀντιταχθέντος τῷ Μακεδόνι. δῆλον οὖν ὅτι ὁ μὲν τοῦ Δημοσθέ- 5 νους λόγος ὁ περὶ τῆς Ἁλοννήσου ῥηθεὶς οὐ σῴζεται, ἐκείνου δ' οὐκ ὄντος τὸν εὑρεθέντα προσέθεσαν αὐτῷ, ἀφορμὴν ἔχοντες
20 τὸ περὶ Ἁλοννήσου λόγον εἰρῆσθαι τῷ ῥήτορι, οὐκέτι δ' ἐξετάζοντες εἰ τοῦτον εἰκὸς εἶναι τὸν ἐκείνου.

Ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ ἔστιν ὅπως αἱ αἰτίαι, ἃς Φίλιππος αἰτιᾶται τοὺς ὑπὲρ τῶν δικαίων πρὸς ὑμᾶς λέγοντας, κωλύσουσι συμβούλους ἡμᾶς γίγνεσθαι ὑπὲρ
77 τῶν ὑμῖν συμφερόντων· δεινὸν γὰρ ἂν | εἴη, εἰ τὴν ἐπὶ
26 τοῦ βήματος παρρησίαν αἱ παρ' ἐκείνου πεμπόμεναι ἐπιστολαὶ ἀνέλοιεν. ἐγὼ δ' ὑμῖν ὦ ἄνδρες Ἀθηναῖοι

1 τὸ νομίζειν Y: τι νομίζεται τὸ F 5. 8 καλίππου Y 11 ταῦτα Y: τούτοις F | δημοσθένην Y 13 ἐπὶ F[1] 16 μετ' αὐτοῦ Y 20 τὸ O[2]: τὸν FY 22 ὦ S Dion. Hal. de Dem. 994 ad Amm. 737, F argum.: om FA 26 πεμπόμεναι del. Cobet

βούλομαι πρῶτον μὲν περὶ ὧν Φίλιππος ἐπέσταλκεν, περὶ τούτων διεξελθεῖν· ὕστερον δέ, περὶ ὧν οἱ πρέσβεις λέγουσι, καὶ ἡμεῖς λέξομεν.

2 Φίλιππος γὰρ ἄρχεται μὲν περὶ Ἁλοννήσου λέγων ὡς ὑμῖν δίδωσιν ἑαυτοῦ οὖσαν, ὑμᾶς δ' οὔ φησιν δικαίως 5 αὐτὸν ἀπαιτεῖν· οὐ γὰρ ὑμετέραν οὖσαν οὔτε λαβεῖν οὔτε νῦν ἔχειν. ἔλεγεν δὲ καὶ πρὸς ἡμᾶς τοιούτους λόγους, ὅτε πρὸς αὐτὸν ἐπρεσβεύσαμεν, ὡς λῃστὰς ἀφελόμενος ταύτην τὴν νῆσον κτήσαιτο, καὶ προσήκειν 3 αὐτὴν ἑαυτοῦ εἶναι. τοῦτον δὲ τὸν λόγον, ὡς οὐκ ἔστι 10 δίκαιος, οὐ χαλεπόν ἐστιν αὐτοῦ ἀφελέσθαι. ἅπαντες γὰρ οἱ λῃσταὶ τοὺς ἀλλοτρίους τόπους καταλαμβάνοντες καὶ τούτους ἐχυροὺς ποιούμενοι, ἐντεῦθεν τοὺς ἄλλους κακῶς ποιοῦσιν. ὁ δὴ τοὺς λῃστὰς τιμωρησάμενος καὶ κρατήσας οὐκ ἂν δήπου εἰκότα λέγοι, εἰ φαίη, ἃ ἐκεῖνοι 15 4 ἀδίκως καὶ ἀλλότρια εἶχον, ταῦθ' ἑαυτοῦ γίγνεσθαι. εἰ γὰρ ταῦτα συγχωρήσετε, τί κωλύει, καὶ εἴ τινα τῆς Ἀττικῆς λῃσταὶ τόπον καταλάβοιεν ἢ Λήμνου ἢ Ἴμβρου ἢ Σκύρου, καί τινες τούτους τοὺς λῃστὰς ἐκκόψαιεν, εὐθὺς καὶ τὸν τόπον τοῦτον, οὗ ἦσαν οἱ λῃσταί, τὸν ὄντα ἡμέτερον, 20 5 τῶν τιμωρησαμένων τοὺς λῃστὰς γίγνεσθαι; Φίλιππος δ' οὐκ ἀγνοεῖ ταῦτ' οὐ δίκαια λέγων, ἀλλ' εἰ καί τις ἄλλος ἐπιστάμενος παρακρουσθῆναι ἂν ὑμᾶς οἴεται ὑπὸ τῶν τἀνταῦθα διοικήσειν, ὡς ἂν αὐτὸς ἐκεῖνος βούληται,

1 ἀπέσταλκεν (ε s. v.) F 8 ἐπρεσβεύομεν A[1] (Hermog. III 110 W = 136,6 R.) corr. pr. m. 9 προσήκει Hermog. 10 αὐτοῦ A 13 ἐχυροὺς S[1] (ε in ο ras. mutatum) A Hermog.: ὀχυροὺς (ε s. v.) F 16 ἐᾶν ἑαυτοῦ (τοὺς s. v.) Hermog. 20 τῶν τόπων τούτων οὗς A[1] | ὑμέτερον A[1] 21 πρὸς λῃστὰς F 22 ἀλλ' εἰ καὶ ... 89,1 πραττόντων om. S 24 ἐνταῦθα F | μελλόντων post διοικήσειν add. FA mg. et A rec. s. v. | βούλεται A

καὶ πρὶν ὑπεσχημένων καὶ νῦν δὲ πραττόντων. ἀλλὰ
78 μὴν | οὐδ' ἐκεῖνό γε λανθάνει αὐτόν, ὅτι δι' ἀμφοτέρων
τῶν ὀνομάτων, ὁποτέρῳ ἂν χρῆσθε, ὑμεῖς ἕξετε τὴν
νῆσον, ἄν τε λάβητε ἄν τ' ἀπολάβητε. τί οὖν αὐτῷ δια- 6
5 φέρει, μὴ τῷ δικαίῳ ὀνόματι χρησάμενον ἀποδοῦναι
ὑμῖν, ἀλλὰ δωρειὰν δεδωκέναι, τῷ ἀδίκῳ; οὐχ ἵν' εὐερ-
γέτημά τι καταλογίσηται πρὸς ὑμᾶς (γέλοιον γὰρ ἂν
εἴη τοῦτό γ' εὐεργέτημα), ἀλλ' ἵν' ἐνδείξηται ἅπασι τοῖς
Ἕλλησιν, ὅτι Ἀθηναῖοι τὰ ἐν τῇ θαλάττῃ χωρία ἀγαπῶσι
10 παρὰ τοῦ Μακεδόνος λαμβάνοντες. τοῦτο δ' ὑμῖν οὐ
ποιητέον ἐστὶν ὦ ἄνδρες Ἀθηναῖοι.

Ὅταν δὲ λέγῃ περὶ τούτων ὡς ἐθέλει διαδικάσασθαι, 7
οὐδὲν ἀλλ' ἢ χλευάζει ὑμᾶς, πρῶτον μὲν ἀξιῶν Ἀθηναίους
ὄντας πρὸς τὸν ἐκ Πέλλης ὁρμώμενον περὶ τῶν νήσων
15 διαδικάζεσθαι, πότερ' ὑμέτεραι ἢ ἐκείνου εἰσίν. ὁπότε
γὰρ ἡ μὲν δύναμις ἡ ὑμετέρα, ἡ ἐλευθερώσασα τοὺς
Ἕλληνας, μὴ δύναται ὑμῖν τὰ ἐν τῇ θαλάττῃ χωρία
σῴζειν, οἱ δὲ δικασταί, οἷς ἂν ἐπιτρέψητε, οἱ κύριοι τῆς
ψήφου, οὗτοι ὑμῖν σώσουσιν, ἐὰν μὴ Φίλιππος αὐτοὺς
20 πρίηται, πῶς ὑμεῖς οὐχ ὁμολογουμένως, ὅταν ταῦτα δια- 8
πράττησθε, τῶν ἐν τῇ ἠπείρῳ ἁπάντων ἀφεστήκατε καὶ
ἐπιδείκνυτε ἅπασιν ἀνθρώποις, ὅτι οὐδὲ περὶ ἑνὸς αὐτῶν

3 ὁποτέρων S[1] 4 ἐάν bis A 7 γέλοιον S[1]A[1]: γελοῖον S corr. FA corr. 8 τοῦτό γε Vind. 1: τοῦτο τὸ S τοῦτό γε τὸ FA | ἐνδείξητε A[1] | πᾶσι F 12 διαδικάζεσθαι (σα supra) F 13 χλευάζει] χλευ in ras. A[2] 15 πότερον F 16 ἡμετέρα (υ supra) F 17 δύνηται (α supra) F | τὰ χωρία τὰ ἐν τῆι θαλάττηι F 18 διασώιζειν FA 19 σώιζουσιν (ω supra) F σώζουσιν A 20 ἡμεῖς οὐχ ὁμολογουμενως S 21 πάντων A | ἐφεστήκατε A[1] 22 ἐπιδείκνυτε S rec. s. v.: ἐπιδείκνυται S[1]FA | πᾶσιν A | ἑνὸς ἂν FA | αὐτῶν S: αὐτῶι FA

διαγωνιεῖσθε, εἴγε περὶ τῶν ἐν τῇ θαλάττῃ, οὗ φατὲ ἰσχύειν, μὴ διαγωνιεῖσθε, ἀλλὰ δικάσεσθε;

9 *Ἔτι περὶ συμβόλων φησὶ πεπομφέναι πρὸς ὑμᾶς τοὺς ποιησομένους, ταῦτα δὲ κύρια ἔσεσθαι, οὐκ ἐπειδὰν ἐν τῷ δικαστηρίῳ τῷ παρ' ὑμῖν κυρωθῇ, ὥσπερ ὁ νόμος* 5 *κελεύει, ἀλλ' ἐπειδὰν ὡς ἑαυτὸν ἐπανενεχθῇ, ἐφέσιμον τὴν παρ' ὑμῶν γενο|μένην γνῶσιν ὡς ἑαυτὸν ποιούμενος.* 79 *βούλεται γὰρ ὑμῶν τοῦτο προλαβεῖν καὶ ὁμολογούμενον ἐν τοῖς συμβόλοις καταστῆσαι, ὅτι τῶν περὶ Ποτείδαιαν γεγενημένων ἀδικημάτων οὐδὲν ἐγκαλεῖτε αὐτῷ ὡς ἀδι-* 10 *κούμενοι, ἀλλὰ βεβαιοῦτε δικαίως αὐτὴν ἐκεῖνον καὶ*
10 *λαβεῖν καὶ κεκτῆσθαι. καίτοι Ἀθηναίων οἱ ἐν Ποτειδαίᾳ κατοικοῦντες, οὐκ ὄντος αὐτοῖς πολέμου πρὸς Φίλιππον, ἀλλὰ συμμαχίας, καὶ ὅρκων ὀμωμοσμένων, οὓς Φίλιππος τοῖς οἰκοῦσιν ἐν Ποτειδαίᾳ ὤμοσεν, ἀφῃρέ-* 15 *θησαν ὑπ' αὐτοῦ τὰ κτήματα. ταῦτα δὴ βούλεται τἀδικήματα πολλάκις πανταχόσε παρ' ὑμῖν βεβαιώσασθαι,*
11 *ὅτι οὔτ' ἐγκαλεῖτε οὔτε ἡγεῖσθε ἀδικεῖσθαι· ἐπεὶ ὅτι γε συμβόλων οὐδὲν δέονται Μακεδόνες πρὸς Ἀθηναίους, ὁ παρεληλυθὼς ὑμῖν χρόνος τεκμήριον γενέσθω· οὔτε* 20 *γὰρ Ἀμύντας ὁ πατὴρ ὁ Φιλίππου οὔτε οἱ ἄλλοι βασιλεῖς οὐδεπώποτε σύμβολα ἐποιήσαντο πρὸς τὴν πόλιν*
12 *τὴν ἡμετέραν. καίτοι πλείους γε ἦσαν αἱ ἐπιμειξίαι τότε*

1 *διαγωνιεῖσθε* S F rec.: *διαγωνίζεσθε* F[1] *διαγωνίσεσθε* A | *εἰ ὑπὲρ* F 2 *δικάσεσθε* S: *διαδικά[σ]ζεσθε* F *διαδικάσεσθε* A 3 *ἡμᾶς* A 5 *ὥσπερ*] *ὡς* F 6 *αὐτὸν ἐπαναχθῆι* A 7 *ὑμῖν* A | *αὐτὸν* A 11 *ἐκείνωι* ut videtur A[1] 17 *πολλάκις πανταχόσε* S: *πανταχῶς* FA 18 *ἐγκαλεῖτε αὐτῶι γρ.* FA 20 *ἡ[υ]μῖν* F | *χρόνος*] *ος* s. v. F 21 *ὁ* ante *Φιλίππου* om. F[1] add. s. v. eadem m. | *μακεδονίας βασιλεῖς* F 23 *καίτοι γε πλείους γε* S

πρὸς ἀλλήλους ἢ νῦν εἰσίν· ἐφ' ἡμῖν γὰρ ἦν ἡ Μακεδονία καὶ φόρους ἡμῖν ἔφερον, καὶ τοῖς ἐμπορίοις τότε μᾶλλον ἢ νῦν ἡμεῖς τοῖς ἐκεῖ κἀκεῖνοι τοῖς παρ' ἡμῖν ἐχρῶντο, καὶ ἐμπορικαὶ δίκαι οὐκ ἦσαν, ὥσπερ
5 *νῦν, ἀκριβεῖς, αἱ κατὰ μῆνα, ποιοῦσαι μηδὲν δεῖσθαι συμβόλων τοὺς τοσοῦτον ἀλλήλων ἀπέχοντας. ἀλλ' ὅμως* 13 *οὐδενὸς τοιούτου ὄντος τότε, οὐκ ἐλυσιτέλει σύμβολα ποιησαμένοις οὔτ' ἐκ Μακεδονίας πλεῖν Ἀθήναζε δίκας ληψομένοις, οὔθ' ἡμῖν εἰς Μακεδονίαν, ἀλλ' ἡμεῖς τε*
10 *τοῖς ἐκεῖ νομίμοις ἐκεῖνοί τε τοῖς παρ' ἡμῖν τὰς δίκας*
80 *ἐλάμβανον. μὴ οὖν ἀγνοεῖτε | ὅτι τὰ σύμβολα ταῦτα γίγνεται εἰς ὑποδοχὴν τοῦ μηδ' ἀμφισβητῆσαι εὐλόγως ὑμᾶς ἔτι Ποτειδαίας.*

Περὶ δὲ τῶν λῃστῶν δίκαιόν φησιν εἶναι κοινῇ φυλάτ- 14
15 *τειν τοὺς ἐν τῇ θαλάττῃ κακουργοῦντας ὑμᾶς τε καὶ αὐτόν, οὐδὲν ἀλλ' ἢ τοῦτ' ἀξιῶν, ὑφ' ὑμῶν εἰς τὴν θάλατταν κατασταθῆναι, καὶ ὁμολογῆσαι ὑμᾶς ὡς ἄνευ Φιλίππου οὐδὲ τὴν ἐν τῇ θαλάττῃ φυλακὴν δυνατοί ἐστε φυλάττειν, ἔτι δὲ καὶ δοθῆναι αὐτῷ ταύτην τὴν ἄδειαν,* 15
20 *περιπλέοντι καὶ ὁρμιζομένῳ εἰς τὰς νήσους ἐπὶ προφάσει τῇ τῶν λῃστῶν φυλακῇ διαφθείρειν τοὺς νησιώτας καὶ ἀφιστάναι ὑμῶν, καὶ μὴ μόνον τοὺς φυγάδας τοὺς παρ' ἑαυτοῦ εἰς Θάσον κεκομικέναι διὰ τῶν ὑμετέρων στρατηγῶν, ἀλλὰ καὶ τὰς ἄλλας νήσους οἰκειώσασθαι, συμ-*

ή

1 ὑφ' Cobet 2 ὑμῖν F | ἔφερε FA 3 ἡμεῖς τε F rec. A 6 τοσούτων A 7 ὄντος τοιούτου A 8 ποιησαμένοις Benseler: ποιησαμένους SFA 9 ληψομένους FA | τε om. F[1] 10 ἐκεῖ γὲ F | νόμοις A 12 μηδ'] μὴ A | εὐλόγως ὑμᾶς SF[1]: ὑμᾶς εὐλόγως F corr. A 13 ἔτι περὶ S rec. F rec. A 16 αὐτὸν F: αὑτὸν SA | ἡμῶν SF 22 ἀφ' ὑμῶν F | παραυτοῦ A 23 διακεκομικέναι F 24 ἀλλὰ .. p. 92, 1 στρατηγῶν om. A, add. A[1] mg.

πέμπων τοὺς πλευσομένους μετὰ τῶν ὑμετέρων στρατη-
γῶν ὡς κοινωνήσοντας τῆς κατὰ θάλατταν φυλακῆς.
καίτοι οὔ φασίν τινες αὐτὸν προσδεῖσθαι τῆς θαλάττης.
16 ὁ δ' οὐδὲν δεόμενος τριήρεις κατασκευάζεται καὶ νεωσ-
οίκους οἰκοδομεῖται καὶ ἀποστόλους ἀποστέλλειν βού- 5
λεται καὶ δαπάνας οὐ μικρὰς δαπανᾶν εἰς τοὺς κατὰ
17 θάλατταν κινδύνους, ὧν οὐδὲν προτιμᾷ. ταῦτ' οἴεσθ'
ἂν ὦ ἄνδρες Ἀθηναῖοι Φίλιππον ἀξιῶσαι ὑμᾶς συγχω-
ρῆσαι αὐτῷ, εἰ μὴ ὑμῶν μὲν κατεφρόνει, οὓς δ' ἐνθάδε
προήρηται φίλους κεκτῆσθαι, τούτοις διεπίστευεν; οἳ οὐκ 10
αἰσχύνονται Φιλίππῳ ζῶντες καὶ οὐ τῇ αὑτῶν πατρίδι,
καὶ τὰς παρ' ἐκείνου δωρειὰς λαμβάνοντες οἴονται οἴκαδε
λαμβάνειν, τὰ οἴκοι πωλοῦντες.

18 Περὶ δὲ τῆς ἐπανορθώσεως τῆς εἰρή|νης, ἣν ἔδοσαν 81
ἡμῖν οἱ πρέσβεις οἱ παρ' ἐκείνου πεμφθέντες ἐπανορ- 15
θώσασθαι, ὅτι ἐπηνωρθωσάμεθα, ὃ παρὰ πᾶσιν ἀνθρώ-
ποις ὁμολογεῖται δίκαιον εἶναι, ἑκατέρους ἔχειν τὰ ἑαυ-
τῶν, ἀμφισβητε μὴ δεδωκέναι μηδὲ τοὺς πρέσβεις ταῦτ'
εἰρηκέναι πρὸς ὑμᾶς, οὐδὲν ἀλλ' ἢ πεπεισμένος ὑπὸ
τούτων, οἷς χρῆται φίλοις, ὡς ὑμεῖς οὐ μνημονεύετε τὰ 20
19 ἐν τῷ δήμῳ εἰρημένα. μόνον δὲ τοῦτο οὐχ οἷόν τε ὑμῖν
ἐστιν ἀμνημονῆσαι· ἐν γὰρ τῇ αὐτῇ ἐκκλησίᾳ καὶ οἱ
πρέσβεις οἱ παρ' ἐκείνου ἥκοντες ὑμῖν διελέγοντο καὶ

1 συμπλευσομένους A | ὑμετέρων στρατηγῶν Y suppl.: ἡμετέρων στρατηγῶν S (in A prima pronominis syllaba resecta est): στρατη-γῶν τῶν ὑμετέρων (η supra υ) F 2 κοινωνήσαντας A 7 ταῦτα οὖν FA 8 ἂν post οἴεσθε SA: post ἀξιῶσαι F 10 διεπίστευεν] δ' ἐπί-στευεν Aug. 2, Cobet | οἳ add. s. v. A[2] 11 ἑαυτῶν FA 14 τῆς ἐπανορθώσεως om. S 16 παράπασιν (= παρ' ἅπασιν) A cf. § 29 17 τὰ ἑαυτῶν ἔχειν F 21 sq. ἐστιν ὑμῖν F 23 ὑμῖν post πρέσβεις F

τὸ ψήφισμα ἐγράφη, ὥστ᾽ οὐχ οἷόν τε, παραχρῆμα τῶν
λόγων εἰρημένων καὶ εὐθὺς τοῦ ψηφίσματος ἐπανα-
γιγνωσκομένου, τὴν καταψευδομένην γνώμην τῶν πρέ-
σβεων, ταύτην ὑμᾶς χειροτονῆσαι. ὥστε τοῦτο μὲν οὐ
5 κατ᾽ ἐμοῦ, ἀλλὰ καθ᾽ ὑμῶν ἐπέσταλκεν, ὡς ὑμεῖς περὶ
ὧν οὐκ ἠκούσατε, περὶ τούτων ἀποκρινάμενοι τὴν γνώ-
μην ἀπεστείλατε. καὶ οἱ μὲν πρέσβεις αὐτοί, ὧν κατ- 20
εψεύδετο τὸ ψήφισμα, ὅτ᾽ ἀπεκρίνεσθε αὐτοῖς ἀναγιγνώ-
σκοντες καὶ ἐπὶ ξένια αὐτοὺς ἐκαλεῖτε, οὐκ ἐτόλμησαν
10 παρελθεῖν οὐδ᾽ εἰπεῖν ὅτι „καταψεύδεσθε ἡμῶν ὦ
ἄνδρες Ἀθηναῖοι καὶ φατὲ ἡμᾶς εἰρηκέναι ἃ οὐκ εἰρή-
καμεν", ἀλλὰ σιωπῇ ἀπιόντες ᾤχοντο. βούλομαι δ᾽ ὑμᾶς
ὦ ἄνδρες Ἀθηναῖοι (καὶ γὰρ ηὐδοκίμησεν ὁ Πύθων παρ᾽
ὑμῖν ἐν τῇ δημηγορίᾳ, ὁ τότε πρεσβεύων) αὐτοὺς τοὺς
15 λόγους οὓς ἔλεγεν ὑπομνῆσαι (οἶδα γὰρ ὅτι μέμνησθε)·
παραπλήσιοι δ᾽ ἦσαν οἷς καὶ νῦν ἐπέσταλκε Φίλιππος· 21
ἐγκαλῶν γὰρ ἡμῖν τοῖς διαβάλλουσι τὸν Φίλιππον καὶ
ὑμῖν ἐμέμφετο, ὅτι ὡρμηκότος αὐτοῦ εὖ ποιεῖν ὑμᾶς
82 καὶ | προῃρημένου μάλιστα τῶν Ἑλλήνων φίλους κεκτῆ-
20 σθαι αὐτοὶ κωλύετε, ἀποδεχόμενοι τῶν συκοφαντούν-
των καὶ χρήματα ἐκεῖνον αἰτούντων καὶ διαβαλλόντων·
τοὺς γὰρ τοιούτους λόγους, ὅταν ἀπαγγελλόντων ἀκούῃ,
ὅτι κακῶς ἤκουεν, ὑμεῖς δ᾽ ἀπεδέχεσθε, μεταβάλλειν

1 τέ ἐστι (ἐστιν F[1]) FA 2 ἐπαναγιγνωσκομένου] inc. antiqua manus cod. Y ἀναγιγνωσκομένου F 4 ἡμᾶς S 7 ἀπεστάλκατε Y 8 ἀπεκρίνεσθε S γρ. Y: ἀπεκρίνασθε FAY[1] 9 ἐπὶ ξένια AY corr. (ξένι Y[1]): ἐπιξενίαι S[1]F ἐπὶ ξενίαν S corr. 13 sq. παρ᾽ ὑμῖν ὁ πύθων AY 14 ἡμῖν SF[1] ὁ τότε] οτε A (τε s. v. in ras. pr. m.) 15 μνησθήσεσθε FAY 17 τὸν add. F s. v. 20 οὗτοι superscr. αὐτοὶ F | ante τῶν add. τοὺς λόγους S rec. FAY 21 ἐκείνων A[1] corr. A[2] 23 κακῶι A[1] | ἀπεδέχεσθε F | μεταβάλλει S[1] μεταβαλεῖν A[1] corr. A[2]

αὐτοῦ τὴν γνώμην, ὅταν ἄπιστος φαίνηται τούτοις ὧν
22 προήρηται εὐεργέτης εἶναι. ἐκέλευεν οὖν τοὺς λέγοντας
ἐν τῷ δήμῳ τῇ μὲν εἰρήνῃ μὴ ἐπιτιμᾶν· οὐ γὰρ ἄξιον εἶναι
εἰρήνην λύειν· εἰ δέ τι μὴ καλῶς γέγραπται ἐν τῇ
εἰρήνῃ, τοῦτ' ἐπανορθώσασθαι, ὡς ἅπαντα Φίλιππον 5
ποιήσοντα ὅσ' ἂν ὑμεῖς ψηφίσησθε. ἂν δὲ διαβάλλωσι
μέν, αὐτοὶ δὲ μηδὲν γράφωσι δι' οὗ ἡ μὲν εἰρήνη ἔσται,
παύσεται δ' ἀπιστούμενος ὁ Φίλιππος, μὴ προσέχειν τὸν
23 νοῦν τοῖς τοιούτοις ἀνθρώποις. καὶ τούτους τοὺς λόγους
ὑμεῖς ἀκούοντες ἀπεδέχεσθε, καὶ δίκαια ἔφατε τὸν Πύ- 10
θωνα λέγειν· καὶ ἦν δίκαια. ἔλεγεν δὲ τούτους τοὺς
λόγους, οὐχ ὅπως λυθείη ἐκ τῆς εἰρήνης ἃ ἦν ἐκείνῳ συμ-
φέροντα καὶ ὧν πολλὰ χρήματα ἀνηλώκει ὥστε γενέσθαι,
ἀλλ' ὑπὸ τῶν ἐνθάδε διδασκάλων προδεδιδαγμένος, οἳ
οὐκ ᾤοντο εἶναι τὸν γράψοντα ἐναντία τῷ Φιλοκράτους 15
24 ψηφίσματι, τῷ ἀπολλύντι Ἀμφίπολιν. ἐγὼ δ' ὦ ἄνδρες
Ἀθηναῖοι παράνομον μὲν οὐδὲν ἐτόλμησα γράψαι, τῷ
δὲ Φιλοκράτους ψηφίσματι οὐκ ἦν παράνομον τἀναντία
γράφειν, ὡς ἐγὼ ἐπιδείξω· τὸ γὰρ ψήφισμα τὸ Φιλο-
κράτους, καθ' ὃ ὑμεῖς ἀπώλλυτε Ἀμφίπολιν, ἐναντίον 20
ἦν τοῖς προτέροις ψηφίσμασι, καθ' ἃ ὑμεῖς ἐκτήσασθε
25 ταύτην τὴν χώ|ραν. τοῦτο μὲν οὖν παράνομον ἦν τὸ 83
ψήφισμα, τὸ τοῦ Φιλοκράτους, καὶ οὐχ οἷόν τ' ἦν τὸν τὰ ἐν-

1 αὐτοῦ S 2 προείρηται (ηι superscr.) F | ἐκέλευσεν Y 5 ἐπανορθώσασθε S[1] 6 ὅσ' superscr. α F | ἐὰν δὲ FAY 8 ὁ om. FAY 10 καὶ] αι compendio scriptum in ras. S 11 δὲ om. Y[1] (add. pr. m. mg. et corr. ex ν rec.) | τοὺς λόγους τούτους F 15 γράψοντα (φ superscr.) F γράφοντα AY 17 Ἀθηναῖοι] δικασταὶ S 18 sq. οὐκ ἦν .. γράφειν SA[1]: ὃ ἦν .. ἔγραψα FA[2]Y 19 τὸ τοῦ φιλοκρ. F[2]Y[1] 20 ἀπώλλυτε S[1]AY corr.: ἀπόλλυτε S corr. FY[1] (sed post υ litt. erasa vid.) 21 ἦν add. s. v. A[2]

νομα γράφοντα ταὐτὰ τῷ παρανόμῳ ψηφίσματι γράφειν.
ἐκείνοις δὲ τοῖς προτέροις ψηφίσμασι, τοῖς οὖσιν ἐννόμοις
καὶ σῴζουσι τὴν ὑμετέραν χώραν, ταὐτὰ γράφων ἔννομά
τ' ἔγραψα καὶ ἐξήλεγχον τὸν Φίλιππον, ὅτι ἐξηπάτα
5 ὑμᾶς καὶ οὐκ ἐπανορθώσασθαι ἐβούλετο τὴν εἰρήνην,
ἀλλὰ τοὺς ὑπὲρ ὑμῶν λέγοντας ἀπίστους καταστῆσαι.
καὶ ὅτι μὲν δοὺς τὴν ἐπανόρθωσιν νῦν ἔξαρνός ἐστιν, 26
ἅπαντες ἴστε. φησὶν δ' Ἀμφίπολιν ἑαυτοῦ εἶναι· ὑμᾶς
γὰρ ψηφίσασθαι ἐκείνου εἶναι, ὅτ' ἐψηφίσασθε ἔχειν αὐτὸν
10 ἃ εἶχεν. ὑμεῖς δὲ τὸ μὲν ψήφισμα τοῦτ' ἐψηφίσασθε,
οὐ μέντοι γ' ἐκείνου εἶναι Ἀμφίπολιν. ἔστιν γὰρ ἔχειν
καὶ τὰ ἀλλότρια, καὶ οὐχ ἅπαντες οἱ ἔχοντες τὰ αὑτῶν
ἔχουσιν, ἀλλὰ πολλοὶ καὶ ἀλλότρια κέκτηνται· ὥστε
τοῦτό γε τὸ σοφὸν αὐτοῦ ἠλίθιόν ἐστιν. καὶ τοῦ μὲν 27
15 Φιλοκράτους ψηφίσματος μέμνηται, τῆς δ' ἐπιστολῆς,
ἣν πρὸς ὑμᾶς ἔπεμψεν ὅτ' Ἀμφίπολιν ἐπολιόρκει, ἐπι-
λέλησται, ἐν ᾗ ὡμολόγει τὴν Ἀμφίπολιν ὑμετέραν εἶναι·
ἔφη γὰρ ἐκπολιορκήσας ὑμῖν ἀποδώσειν, ὡς οὖσαν ὑμε-
τέραν καὶ οὐ τῶν ἐχόντων. καὶ ἐκεῖνοι μέν, ὡς ἔοικεν, οἱ 28
20 πρότερον ἐν Ἀμφιπόλει οἰκοῦντες πρὶν Φίλιππον λαβεῖν,
τὴν Ἀθηναίων χώραν εἶχον, ἐπειδὴ δὲ Φίλιππος αὐτὴν
εἴληφεν, οὐ τὴν Ἀθηναίων χώραν ἀλλὰ τὴν ἑαυτοῦ ἔχει·
οὐδ' Ὄλυνθόν γε οὐδ' Ἀπολλωνίαν οὐδὲ Παλλήνην,

1 αὐτὰ A[1] 2 πρότερον (οις supra) F 3 ἡμετέραν A 4 ἔγραψα SAY: ἔγραφον (ψα supra) F | ἐξήλεγχον S: ἐξήλεγχον (ξα supra) F ἐξήλεγξα AY 5 ἡμᾶς S[1] 6 ἡμῶν AY 9 ὅτε] τε Y[1] corr ead. m. | ἐψηφίσασθε SA: ἐψηφίζεσθε (σα supra) F ἐψηφίζεσθε Y 12 ἑαυτῶν FY corr. (αυτῶν Y[1]) 13 τἀλλότρια FAY 14 αὐτοῦ FY: αὐτῶν S αὐτῶι A 15 ψηφίσματος om. Y[1] add. ead. m. | μέμνημαι A cum puncto, mg. ται 16 ἡμᾶς SAY

29 οὐκ ἀλλοτρίας ἀλλὰ τὰς ἑαυτοῦ χώρας κέκτηται. ἆρ' ὑμῖν
δοκεῖ πεφυλαγμένως ἅπαντα πρὸς ὑμᾶς ἐπιστέλλειν, ὅπως
ἂν φαίνηται καὶ λέγων καὶ πράττων | ἃ παρὰ πᾶσιν ἀν- 84
θρώποις ὁμολογεῖται δίκαια εἶναι, ἀλλ' οὐ σφόδρα κατα-
πεφρονηκέναι, ὃς τὴν χώραν, ἣν οἱ Ἕλληνες καὶ βασιλεὺς 5
ὁ Περσῶν ἐψηφίσαντο καὶ ὡμολογήκασιν ὑμετέραν εἶναι,
ταύτην φησὶν ἑαυτοῦ καὶ οὐχ ὑμετέραν εἶναι;

30 Περὶ δὲ τοῦ ἑτέρου ἐπανορθώματος, ὃ ὑμεῖς ἐν τῇ
εἰρήνῃ ἐπανορθοῦσθε, τοὺς ἄλλους Ἕλληνας, ὅσοι μὴ
κοινωνοῦσι τῆς εἰρήνης, ἐλευθέρους καὶ αὐτονόμους 10
εἶναι, καὶ ἐάν τις ἐπ' αὐτοὺς στρατεύῃ, βοηθεῖν τοὺς
κοινωνοῦντας τῆς εἰρήνης, ἡγούμενοι καὶ δίκαιον τοῦτο
31 καὶ φιλάνθρωπον, μὴ μόνον ἡμᾶς καὶ τοὺς συμμάχους
τοὺς ἡμετέρους καὶ Φίλιππον καὶ τοὺς συμμάχους τοὺς
ἐκείνου ἄγειν τὴν εἰρήνην, τοὺς δὲ μήτε ἡμετέρους ὄντας 15
μήτε Φιλίππου συμμάχους ἐν μέσῳ κεῖσθαι καὶ ὑπὸ τῶν
κρειττόνων ἀπόλλυσθαι, ἀλλὰ καὶ τούτοις διὰ τὴν ὑμε-
τέραν εἰρήνην ὑπάρχειν σωτηρίαν, καὶ τῷ ὄντι εἰρήνην
32 ἄγειν ἡμᾶς καταθεμένους τὰ ὅπλα, τοῦτο δὲ τὸ ἐπανόρ-
θωμα ὁμολογῶν ἐν τῇ ἐπιστολῇ, ὡς ἀκούετε, δίκαιόν 20
τ' εἶναι καὶ δέχεσθαι, Φεραίων μὲν ἀφῄρηται τὴν πόλιν
καὶ φρουρὰν ἐν τῇ ἀκροπόλει κατέστησεν, ἵνα δὴ αὐτό-
νομοι ὦσιν, ἐπὶ δ' Ἀμβρακίαν στρατεύεται, τὰς δ' ἐν
Κασσωπίᾳ τρεῖς πόλεις, Πανδοσίαν καὶ Βούχετα καὶ

1 οὐκ del. Franke, defendit Blass coll. IX 31. XXIII 191. XXVII 65
3 παράπασιν A cf. § 18 5 ὁ βασιλεὺς Y[1] 9 ἐπηνωρθωσασθε
FAY 12 δίκαιον εἶναι FAY 13 καὶ τοὺς συμμ. .. 14 Φίλιππον
om. A[1] in mg. add. A[2] | ξυμμάχους (etiam v. 16) F 14 ὑμετέ-
ρους FA 15 μήτε] μήθ' (μεθ' A) A 19 ἡμᾶς ἄγειν FAY | δὲ
om. AY 20 ὁμολογῶ A[1] 22 δὴ] η in ras. A[2] 23 ἀμπρακίαν A[1]
24 κασσωπείαι AY corr. | Βούχετα Dindorf sec. Harpocration.:
βουχεταν SFAY

Ἐλάτειαν, Ἠλείων ἀποικίας, κατακαύσας τὴν χώραν καὶ εἰς τὰς πόλεις βιασάμενος παρέδωκεν Ἀλεξάνδρῳ τῷ κηδεστῇ τῷ ἑαυτοῦ δουλεύειν. σφόδρα γε βούλεται τοὺς Ἕλληνας ἐλευθέρους εἶναι καὶ αὐτονόμους, ὡς δηλοῖ τὰ
5 *ἔργα.*

Περὶ δὲ τῶν ὑποσχέσεων ὧν ὑμῖν διατελεῖ ὑπισχνού- 33
85 *μενος ὡς μεγάλα ὑμᾶς εὐεργετήσων, καταψεύδεσθαί | μέ φησιν αὐτοῦ διαβάλλοντα πρὸς τοὺς Ἕλληνας· οὐδὲν γὰρ ὑμῖν πώποτέ φησιν ὑπεσχῆσθαι. οὕτως ἀναιδής*
10 *ἐστιν ὁ ἐν ἐπιστολῇ γεγραφώς, ἥ ἐστι νῦν ἐν τῷ βουλευτηρίῳ, ὅσ᾽ ἐπιστομιεῖν ἡμᾶς, ἔφη, τοὺς αὐτῷ ἀντιλέγοντας, ἐὰν ἡ εἰρήνη γένηται, τοσαῦτα ὑμᾶς ἀγαθὰ ποιήσειν· ἃ γράφειν ἂν ἤδη, εἰ ᾔδει τὴν εἰρήνην ἐσομένην, δῆλον ὡς προκεχειρισμένων καὶ ἑτοίμων ὄντων τῶν ἀγαθῶν,*
15 *ἃ ἐμέλλομεν πείσεσθαι τῆς εἰρήνης γενομένης. γενομένης* 34 *δὲ τῆς εἰρήνης, ἃ μὲν ἡμεῖς ἐμέλλομεν ἀγαθὰ πείσεσθαι, ἐκποδών ἐστιν, φθορὰ δὲ τῶν Ἑλλήνων τοσαύτη γέγονεν ὅσην ὑμεῖς ἴστε. ὑμῖν δ᾽ ἐν τῇ νῦν ἐπιστολῇ ὑπισχνεῖται, ἐὰν τοῖς μὲν αὐτοῦ φίλοις καὶ ὑπὲρ αὐτοῦ λέγουσιν*
20 *πιστεύητε, ἡμᾶς δὲ τοὺς διαβάλλοντας αὐτὸν πρὸς ὑμᾶς τιμωρήσησθε, ὡς μεγάλα εὐεργετήσει. τὰ μέντοι εὐεργε-* 35 *τήματα τοιαῦτα ἔσται· οὔτε τὰ ὑμέτερα ὑμῖν ἀποδώσει (αὐτοῦ γάρ φησιν εἶναι), οὔτ᾽ ἐν τῇ οἰκουμένῃ αἱ δωρειαὶ*

1 *Ἐλάτειαν*] *βέλτιον ἐν ἐνίοις γέγραπται διὰ τοῦ ρ „Ἐλάτρεια“* Harpocrat. 3 *τῶι ἑαυτοῦ κηδεστῆι* AY 7 *μέν* S[1] 9 *ἡμῖν* FAY 10 *ἐν τῆι ἐπ.* A 11 *ὅσ᾽* Tournier: *ὅτ᾽* SFAY | *ἐπιστομεῖν* S[1] | *ἑαυτῶι* SF *αὐτοὺς?* Y[1] 12 *ἡ* om. FY | *ἀγαθὰ ἡμᾶς* F 13 *ἐσομένην*] *ἐπομένην* A cf. § 35 15 *ἐσομένης* loco prioris *γενομένης* FY 16 *μέλλομεν* S 18 *νυνὶ* S cf. § 41 19 *ἑαυτοῦ* S 20 *πιστεύηται* A[1] corr. A[2] 21 *τιμωρήσησθε* F[2]Y: *τιμωρήσεσθε* SF[1] *τιμωρήσασθε* A | *μεγάλα ὑμᾶς* AY | *εὐεργετήσειν* FAY 22 *ἀποδώσειν* Y[1] 23 *ἑαυτοῦ* F

ἔσονται, ἵνα μὴ διαβληθῇ πρὸς τοὺς Ἕλληνας, ἀλλ' ἄλλη τις χώρα καὶ ἄλλος, ὡς ἔοικε, τόπος φανήσεται, οὗ ὑμῖν αἱ δωρειαὶ δοθήσονται.

36 Περὶ δ' ὧν ἐν τῇ εἰρήνῃ εἴληφε χωρίων, ὑμῶν ἐχόντων, παρασπονδῶν καὶ λύων τὴν εἰρήνην, ἐπειδὴ οὐκ ἔχει ὅ 5 τι εἴπῃ, ἀλλ' ἀδικῶν φανερῶς ἐξελέγχεται, ἐπιτρέπειν φησὶν περὶ τούτων ἕτοιμος εἶναι ἴσῳ καὶ κοινῷ δικαστηρίῳ· περὶ ὧν μόνων οὐδὲν δεῖ ἐπιτροπῆς, ἀλλ' ἀριθμὸς ἡμερῶν ἐστιν ὁ κρίνων. ἅπαντες γὰρ ἴσμεν τίνι

37 μηνὶ καὶ τίνι ἡμέρᾳ ἡ εἰρήνη ἐγένετο. ὥσπερ δὲ ταῦτα 10 ἴσμεν, κἀκεῖνα ἴσμεν, τίνι μηνὶ καὶ τίνι ἡμέρᾳ Σέρρειον τεῖχος καὶ Ἐργίσκη καὶ Ἱερὸν ὄρος ἑάλω. οὐ δὴ ἀφα|νῆ 86 ἐστιν τὰ οὕτω πραχθέντα, οὐδὲ κρίσεως δεόμενα, ἀλλὰ πᾶσι γνώριμα, πότερος πρότερος ὁ μήν ἐστιν, ἐν ᾧ ἡ εἰρήνη ἐγένετο ἢ ἐν ᾧ τὰ χωρία ἑάλω. 15

38 Φησὶν δὲ καὶ τοὺς αἰχμαλώτους ἡμῶν, ὅσοι ἐν τῷ πολέμῳ ἑάλωσαν, ἀποδεδωκέναι· ὃς τὸν μὲν Καρύστιον, τὸν πρόξενον τῆς ἡμετέρας πόλεως, ὑπὲρ οὗ ὑμεῖς τρεῖς πρέσβεις ἐπέμψατε ἀπαιτοῦντες, τοῦτον τὸν ἄνδρα ἐκεῖνος οὕτω σφόδρα ὑμῖν ἐβούλετο χαρίσασθαι, ὥστ' ἀπέ- 20 κτεινε καὶ οὐδ' ἀναίρεσιν ἔδωκεν, ἵνα ταφῇ.

39 Περὶ δὲ Χερρονήσου, ἅ τ' ἐπιστέλλει πρὸς ὑμᾶς ἄξιόν ἐστιν ἐξετάσαι, ἔτι δὲ καὶ ἃ πράττει, καὶ ταῦτ' εἰδέναι. τὸν μὲν γὰρ τόπον ἅπαντα τὸν ἔξω Ἀγορᾶς ὡς ἑαυτοῦ

1 ἔσονται] ἕπονται A 2 ἄλλος τις FA²Y | οὗ] οὐχ S¹ corr. ead. m. 6 εἴπει A 8 μόνον S 10 τίνι] ποίαι γρ. FAY 10 sq. ἴσμεν ταῦτα Y 11 καὶ τίνι SFY corr.: καὶ ποίαι γρ. FAY¹ | σέρρειον F (superscr. ι et ϊ in mg.): σέρριον SAY 12 δὴ] η corr. ex ι S² (non A) 13 τὰ] ταῦτα FY ταῦθ' A 14 πότερον S corr. ex πότερος | ὁ om. FAY cf. XVI 9 18 τρεῖς om. A¹ add. pr. m 19 πρεσβείας FY | τοῦτον ἀπαιτοῦντες F 20 οὕτως FY 21 ἂν αἵρεσιν AY¹ | δέδωκεν Y 22 ἡμᾶς F

ὄντα καὶ ὑμῖν οὐδὲν προσήκοντα δέδωκεν καρποῦσθαι Ἀπολλωνίδῃ τῷ Καρδιανῷ. καίτοι Χερρονήσου οἱ ὅροι εἰσίν, οὐκ Ἀγορά, ἀλλὰ βωμὸς τοῦ Διὸς τοῦ ὁρίου, ὅς ἐστι μεταξὺ Πτελεοῦ καὶ Λευκῆς ἀκτῆς, ᾗ ἡ διορυχὴ 40
5 ἔμελλε Χερρονήσου ἔσεσθαι, ὥς γε τὸ ἐπίγραμμα τὸ ἐπὶ τοῦ βωμοῦ τοῦ Διὸς τοῦ ὁρίου δηλοῖ. ἔστι δὲ τουτί·

Τόνδε καθιδρύσαντο θεῷ περικαλλέα βωμὸν
Λευκῆς καὶ Πτελεοῦ μέσσον ὅρον θέμενοι
ἐνναέται, χώρης σημήϊον· ἀμμορίης δὲ
10 αὐτὸς ἄναξ μακάρων ἐστὶ μέσος Κρονίδης.

ταύτην μέντοι τὴν χώραν, τοσαύτην οὖσαν ὅσην οἱ πολλοὶ ὑμῶν ἴσασιν, ὡς ἑαυτοῦ οὖσαν τὴν μὲν αὐτὸς καρποῦται, τὴν δ' ἄλλοις δωρειὰν δέδωκεν, καὶ ἅπαντα τὰ κτήματα τὰ ὑμέτερα ὑφ' αὑτῷ ποιεῖται. καὶ οὐ μόνον 41
87 τὴν ἔξω Ἀγορᾶς χώραν σφετερίζεται, | ἀλλὰ καὶ πρὸς
16 Καρδιανούς, οἳ οἰκοῦσιν εἴσω Ἀγορᾶς, ἐπιστέλλει ἐν τῇ νῦν ἐπιστολῇ ὡς δεῖ ὑμᾶς διαδικάζεσθαι, πρὸς Καρδιανοὺς τοὺς κατοικοῦντας ἐν τῇ ὑμετέρᾳ, εἴ τι πρὸς αὐτοὺς διαφέρεσθε. διαφέρονται δὲ πρὸς ὑμᾶς, σκέψασθε εἰ 42
20 περὶ μικροῦ. ἑαυτῶν φασι τὴν χώραν οὖσαν οἰκεῖν καὶ οὐχ ὑμετέραν, καὶ τὰ μὲν ὑμέτερα εἶναι ἐγκτήματα ὡς

3 ἀλλ' ὃ F γρ. Y | ὁρίου S (v. 6 ορίου): ὀρείου FY[1] ὁρείου AY[2] 4 ᾗι S: οὗ FAY | διωρυχὴ FY 5 γε om. FAY 6 τοῦ βωμοῦ om. S titulum ΕΙΠΓΡΑΜΜΑΤΟΣ ΑΝΑΓΝΩΣΙΣ add. SFAY 7 epigramma om. S add. corr. in mg. superiore 8 μέσον (σ superscr.) FS 11 τοσαύτην οὖσαν om. S | ὅσην .. 12 οὖσαν om. A, add. A[2] mg. 14 ἑαυτῶι FA 16 εἴσω AY rec. mg. (ἔν τινι εἴσω): ἔξω S (σ superscr.) FY[1] 17 νυνὶ F | πρὸς Καρδιανοὺς del. Index Lambini, πρὸς Καρδιανοὺς .. ὑμετέρᾳ del. Cobet Καρδιανοὺς secl. Blass 18 οἰκοῦντας F | ἡμετέραι A 19 διεφέρεσθε S 20 μικρῶν A 21 ὑμετέραν εἶναι F | ἐγκλήματα S[1] | φασιν ante ὡς add. FY corr. (φασὶν in ras. et in mg., λέγων? Y[1]) λέγων A

ἐν ἀλλοτρίᾳ, τὰ δὲ ἑαυτῶν κτήμαθ' ὡς ἐν οἰκείᾳ, καὶ
ταῦθ' ὑμέτερον πολίτην γράψαι ἐν ψηφίσματι, Κάλλιππον
43 Παιανιέα. καὶ τοῦτό γ' ἀληθὲς λέγουσιν· ἔγραψε γάρ,
καὶ ἐμοῦ γ' αὐτὸν γραψαμένου παρανόμων γραφὴν ὑμεῖς
ἀπεψηφίσασθε· τοιγάρτοι ἀμφισβητήσιμον ὑμῖν τὴν 5
χώραν κατεσκεύακεν. ὁπότε δὲ περὶ τούτου τολμήσετε
πρὸς Καρδιανοὺς διαδικάζεσθαι, εἴθ' ὑμετέρα ἐστὶν εἴτ'
ἐκείνων ἡ χώρα, διὰ τί οὐ καὶ πρὸς τοὺς ἄλλους Χερρο-
44 νησίτας τὸ αὐτὸ δίκαιον ἔσται; καὶ οὕτως ὑβριστικῶς
ὑμῖν κέχρηται, ὥστε φησίν, ἂν μὴ θέλωσιν διαδικάζεσθαι 10
οἱ Καρδιανοί, αὐτὸς ἀναγκάσειν, ὡς ὑμῶν γ' οὐκ ἂν
δυναμένων οὐδὲν ἀναγκάσαι Καρδιανοὺς ὑμῖν ποιῆσαι·
ἐπειδὴ δ' ὑμεῖς οὐ δύνασθε, αὐτός φησιν τοῦτ' ἀναγκά-
45 σειν αὐτοὺς ποιῆσαι. ἆρ' οὐ μεγάλα φαίνεται ὑμᾶς
εὐεργετῶν; καὶ ταύτην τὴν ἐπιστολήν τινες εὖ ἔφασαν 15
γεγράφθαι, οἳ πολὺ ἂν δικαιότερον ὑφ' ὑμῶν ἢ Φίλιππος
μισοῖντο. ἐκεῖνος μέν γε ἑαυτῷ κτώμενος δόξαν καὶ
μεγάλ' ἀγαθὰ ἅπαντα καθ' ὑμῶν πράττει· ὅσοι δ' Ἀθη-
ναῖοι ὄντες μὴ τῇ πατρίδι, ἀλλὰ Φιλίππῳ εὔνοιαν ἐνδεί-
κνυνται, προσήκει αὐτοὺς ὑφ' ὑμῶν κακοὺς κακῶς 20
ἀπολωλέναι, εἴπερ ὑμεῖς τὸν ἐγ|κέφαλον ἐν τοῖς κρο- 88

1 αὐτῶν FY[1] | κτήματα] ἐγκλήματα Y[1] | ἐν] ἐπ' S (cf. ἐπὶ τῆς οἰκείας Lucian. Dem. enc. 26) 2 κάλλιπον A 3 ἀληθὲς AY: ἀληθῆ S ἀληθῶς F 4 post γραψαμένου 3 litt. erasae Y 5 ὑμῖν S: ὑμῶν (superscr. η ι) F ὑμῶν AY 7 διαδικάζεσθε F 9 ἔστιν (superscr. αι) F 10 ἐὰν FAY 11 ἀναγκάζειν (superscr. σ) F 12 οὐδὲν S: οὐδὲ FAY | ὑμῖν ποιῆσαι S: ὑμῖν ποιῆσαι τὰ δίκαια AY τὰ δίκαια πρὸς ὑμᾶς ποιεῖσθαι F 13 ἀναγκάσει A 14 ὑμᾶς φαίνεται F 17 μισοῖμτο A | μέν γε S: μὲν γὰρ FAY | δόξαν] καὶ δόξαν Y (καὶ punctis deletum) 18 πάντα AY 19 ἀλλὰ s. v. Y 21 cf. Plut. mor. 425 B

τάφοις καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε.

Ὑπόλοιπόν μοί ἐστιν ἔτι πρὸς ταύτην τὴν ἐπιστολὴν 46 τὴν εὖ ἔχουσαν καὶ τοὺς λόγους τῶν πρέσβεων γράψαι 5 τὴν ἀπόκρισιν, ἣν ἡγοῦμαι δικαίαν τ' εἶναι καὶ συμφέρουσαν ὑμῖν.

1 καὶ SF Hermog. III 233 W. (256, 1 R.): ἀλλὰ γρ. FAY | καταπεπατημένον] κατα in ras. S[1] 5 τ' om. F 6 ἡμῖν S

Subscriptum est in S

Η̄ Η̄ Η̄ Δ̄ Δ̄ Δ̄ Δ̄ Π̄

ΤΌΜΟΣ Ᾱ

ΦΙΛΙΠΠΙΚΟῚ ΛΌΓΟΙ Ϛ̄: (or. I—IV. VIII. VII)

Χ̄ Χ̄ Η̄ Η̄ ΓΔ Δ̄ Δ̄ Π̄ (scribendum Χ̄ Χ̄ Η̄ Η̄ [Δ] Δ̄ Δ̄ Π̄, quem numerum in S legi falso Cobet dicit, ultimam litteram Π in Δ mutari post Voemelium iubet Dindorf)

in F Y

ΠΕΡῚ ΑΛΟΝΝΉϹΟΥ

Η̄ Η̄ Η̄ Δ̄ Δ̄ Δ̄

A numerum om.

VIII

ΠΕΡΙ ΤΩΝ ΕΝ ΧΕΡΡΟΝΗΣΩΙ

ΥΠΟΘΕΣΙΣ

Ὁ λόγος οὗτος ὑπὲρ Διοπείθους εἴρηται καὶ ὧν ἐκεῖνος παρ' Ἀθηναίοις κατηγόρητο. ἦν μὲν γὰρ Χερρόνησος ἡ πρὸς Θρᾴκην τῶν Ἀθηναίων κτῆμ' ἀρχαῖον, εἰς δὲ ταύτην ἀπέστειλαν κατὰ τοὺς Φιλίππου καιροὺς κληρούχους ἑαυτῶν. ἔθος δ' ἦν τοῦτο παλαιὸν τοῖς Ἀθηναίοις, ὅσοι πένητες ἦσαν αὐτῶν καὶ ἀκτή- 5
μονες οἶκοι, τούτους πέμπειν ἐποίκους εἰς τὰς ἔξω πόλεις τὰς ἑαυτῶν· καὶ ἐλάμβανον πεμπόμενοι ὅπλα τ' ἐκ τοῦ δημοσίου καὶ ἐφόδιον. καὶ νῦν τοίνυν τοῦτο γέγονεν καὶ πεπόμφασιν ἐποίκους εἰς τὴν Χερρόνησον, στρατηγὸν αὐτοῖς δόντες Διο-
2 πείθη. οἱ μὲν οὖν ἄλλοι Χερρονησῖται τοὺς ἐπελθόντας ἐδέ- 10
ξαντο καὶ μετέδωκαν αὐτοῖς καὶ οἰκιῶν καὶ γῆς, Καρδιανοὶ δ' οὐκ ἐδέξαντο, λέγοντες ἰδίαν χώραν οἰκεῖν καὶ οὐκ Ἀθηναίων. ἐντεῦθεν οὖν Διοπείθης ἐπολέμει Καρδιανοῖς. οἱ δὲ παρὰ Φίλιππον καταφεύγουσι, καὶ ὃς ἐπιστέλλει τοῖς Ἀθηναίοις μὴ βιάζεσθαι Καρδιανοὺς ὡς αὐτῷ προσήκοντας, ἀλλὰ δικάσα- 15
σθαι πρὸς αὐτούς, εἴ | τί φασιν ἠδικῆσθαι. ὡς δ' οὐκ ἤκουον 89

Cf. Gregorius Corinth. VII 1194 W.

2 κατηγόρητο F γρ. Y: κατηγορεῖται Y text. 6 ἔξω F γρ. Y: om. Y text. 9 διοπείθην Greg. 11 καὶ . . 12 ἐδέξαντο om. F[1] add. F[2] mg. 13 ἐπολέμει F γρ. Y: ἐπολέμησε Y text. Greg. 14 καὶ ὃς F γρ. Y: ὃς καὶ Y text. 15 καρδιανοῖς F | διαδικάσασθαι Voemel 16 τι F: γε Y | ἀδικεῖσθαι Y Greg.

τούτων οἱ Ἀθηναῖοι, βοήθειαν τοῖς Καρδιανοῖς ἔπεμψεν. ἐφ' 3
οἷς ἀγανακτήσας ὁ Διοπείθης, τοῦ Φιλίππου περὶ τὴν μεσόγειαν, τὴν ἄνω Θρᾴκην, πολεμοῦντος πρὸς τὸν Ὀδρυσῶν βασιλέα, τὴν παράλιον Θρᾴκην ὑπήκοον οὖσαν τοῦ Μακεδόνος
5 *κατέδραμεν καὶ ἐπόρθησεν καὶ ἔφθη, πρὶν Φίλιππον ἐπανελθεῖν, ἀναχωρήσας εἰς τὴν Χερρόνησον καὶ ἐν ἀσφαλεῖ γενόμενος. διόπερ ὁ Φίλιππος οὐ δυνηθεὶς ὅπλοις αὐτὸν ἀμύνασθαι πέπομφεν ἐπιστολὴν πρὸς τοὺς Ἀθηναίους, κατηγορῶν τοῦ στρατηγοῦ καὶ λέγων αὐτὸν παραβεβηκέναι τὴν εἰρήνην*
10 *ἄντικρυς. καὶ οἱ φιλιππίζοντες τῶν ῥητόρων κατατρέχουσι τοῦ Διοπείθους καὶ κολάζειν ἀξιοῦσιν αὐτόν. πρὸς οὓς ὁ Δημοσθένης ἐναντιούμενος διχῇ ὑπὲρ τοῦ Διοπείθους ἵσταται. οὔτε* 4
γὰρ ἄδικά φησιν αὐτὸν πεποιηκέναι (Φιλίππου γὰρ πολὺ πρότερον παραβάντος τὴν εἰρήνην καὶ ἀδικοῦντος τὴν τῶν Ἀθη-
15 *ναίων πόλιν, εἰκότως καὶ τοῦτον ἔργα πολέμου διαπράττεσθαι) οὔτε συμφέρειν λέγει τοῖς Ἀθηναίοις κολάσαι τὸν στρατηγὸν καὶ διαλῦσαι τὴν ὑπ' ἐκείνῳ δύναμιν, ἥτις νῦν ἀποκρούεται Χερρονήσου Φίλιππον. τὸ δ' ὅλον ἐπὶ πόλεμον παρακαλεῖ, καὶ τοῦ Φιλίππου πολλὴν ποιεῖται κατηγορίαν ὡς ἀδίκου καὶ παρα-*
20 *σπόνδου καὶ τοῖς Ἀθηναίοις καὶ τοῖς Ἕλλησιν ἐπιβουλεύοντος.*

90 *Ἔδει μὲν ὦ ἄνδρες Ἀθηναῖοι τοὺς λέγοντας ἅπαντας μήτε πρὸς ἔχθραν ποιεῖσθαι λόγον μηδένα μήτε πρὸς χάριν, ἀλλ' ὃ βέλτιστον ἕκαστος ἡγεῖτο, τοῦτ' ἀποφαίνεσθαι, ἄλλως τε καὶ περὶ κοινῶν πραγμάτων καὶ μεγάλων*
25 *ὑμῶν βουλευομένων· ἐπειδὴ δ' ἔνιοι τὰ μὲν φιλονικίᾳ, τὰ δ' ἡτινιδήποτ' αἰτίᾳ προάγονται λέγειν, ὑμᾶς ὦ ἄν-*

2 *ὁ* om. Y 3 *πολεμοῦντες* .. 4 *Θρᾴκην* om. F[1] add. F[2] mg. 5 *ἐπόρθησεν καὶ ἔφθη γρ.* F Y: *ἐπόρθησεν αἰφνίδιον* F[1] (*αἰφνίδιον* etiam Greg.) 6 *ἀσφαλείαι* F 12 *τοῦ* om. F Greg. 13 *αὐτὸν φησὶ* Y | *προτέρου* Y 15 *πολεμίου* Y cf. Dem. IX 8 17 *ἐκείνῳ* O: *ἐκεῖνο* FY *ἐκεῖνον* Greg. 21 *ἅπαντας ἐν ὑμῖν* FAY 23 *ταῦτ'* F 25 *ἐπειδὴ* FAY: *ἐπεὶ* S

δρες Ἀθηναῖοι τοὺς πολλοὺς δεῖ πάντα τἄλλ' ἀφελόντας,
ἃ τῇ πόλει νομίζετε συμφέρειν, ταῦτα καὶ ψηφίζεσθαι
καὶ πράττειν. ἡ μὲν οὖν σπουδὴ περὶ τῶν ἐν Χερρονήσῳ
2 πραγμάτων ἐστὶν καὶ τῆς στρατείας, ἣν ἑνδέκατον μῆνα
τουτονὶ Φίλιππος ἐν Θρᾴκῃ ποιεῖται· τῶν δὲ λόγων οἱ 5
πλεῖστοι περὶ ὧν Διοπείθης πράττει καὶ μέλλει ποιεῖν
εἴρηνται. ἐγὼ δ' ὅσα μέν τις αἰτιᾶταί τινα τούτων, οὓς
κατὰ τοὺς νόμους ἐφ' ὑμῖν ἐστιν, ὅταν βούλησθε, κολά-
ζειν, κἂν ἤδη δοκῇ κἂν ἐπισχοῦσι περὶ αὐτῶν σκοπεῖν
ἐγχωρεῖν ἡγοῦμαι, καὶ οὐ πάνυ δεῖ περὶ τούτων οὔτ' ἔμ' 10
3 οὔτ' ἄλλον οὐδέν' ἰσχυρίζεσθαι· ὅσα δ' ἐχθρὸς ὑπάρχων
τῇ πόλει καὶ δυνάμει πολλῇ περὶ Ἑλλήσποντον ὢν πει-
ρᾶται προλαβεῖν, κἂν ἅπαξ ὑστερήσωμεν, οὐκέθ' ἕξομεν
σῶσαι, περὶ τούτων δ' οἴομαι τὴν ταχίστην συμφέρειν
καὶ βεβου|λεῦσθαι καὶ παρεσκευάσθαι, καὶ μὴ τοῖς περὶ 91
τῶν ἄλλων θορύβοις καὶ ταῖς κατηγορίαις ἀπὸ τούτων 15
ἀποδρᾶναι.

4 Πολλὰ δὲ θαυμάζων τῶν εἰωθότων λέγεσθαι παρ'
ὑμῖν, οὐδενὸς ἧττον ὦ ἄνδρες Ἀθηναῖοι τεθαύμακα, ὃ καὶ
πρῴην τινὸς ἤκουσ' εἰπόντος ἐν τῇ βουλῇ, ὡς ἄρα δεῖ 20
τὸν συμβουλεύοντ' ἢ πολεμεῖν ἁπλῶς ἢ τὴν εἰρήνην
5 ἄγειν συμβουλεύειν. ἔστι δέ· εἰ μὲν ἡσυχίαν Φίλιππος

1 ἀφελόντας S (cf. XXIII 20): ἀφέντας F A Y 4 στρατείας S corr. F: στρατιᾶς S[1] (tum στρατείας, ex quo ras. factum est στρατίας, η superscr.) AY 7 τινα om. Y[1] 9 δοκεῖν F δοκεῖ A | κἂν μικρὸν ἐπ. FAY | ἐπισχοῦσι AY corr.: ἐπίσχωσι SFY[1] 10 ἐκχωρεῖν S rec. 11 ἰσχυρίζεσθαι SF corr. Y: διισχυρίζεσθαι F[1]A γρ. Y 12 πόλει φίλιππος FAY 13 ὑστερήσομεν A ὑστερίσωμεν Y corr. cf. IV 38 14 οἶμαι FAY 15 παρασκευάσθαι S[1] cf. IV 19 20 post ἤκουσα ras. 3 litt. F | εἰπόντος om. A[1] add. A[2] mg. 21 sq. ἄγειν τὴν εἰρήνην F | post ἔστι δὲ inserunt ⟨τἀληθὲς οὕτως⟩ Reiske ⟨τόδε⟩ Voemel ⟨τί⟩ Linder; ἔστω δή Dobree

*ἄγει καὶ μήτε τῶν ἡμετέρων ἔχει παρὰ τὴν εἰρήνην μη-
δὲν μήτε συσκευάζεται πάντας ἀνθρώπους ἐφ' ἡμᾶς, οὐκ-
έτι δεῖ λέγειν, ἀλλ' ἁπλῶς εἰρήνην ἀκτέον, καὶ τά γ'
ἀφ' ὑμῶν ἕτοιμ' ὑπάρχονθ' ὁρῶ· εἰ δ' ἃ μὲν ὠμόσαμεν
5 καὶ ἐφ' οἷς τὴν εἰρήνην ἐποιησάμεθα, ἔστιν ἰδεῖν καὶ γε-
γραμμένα κεῖται, φαίνεται δ' ἀπ' ἀρχῆς ὁ Φίλιππος, πρὶν* 6
*Διοπείθην ἐκπλεῦσαι καὶ τοὺς κληρούχους, οὓς νῦν αἰ-
τιῶνται πεποιηκέναι τὸν πόλεμον, πολλὰ μὲν τῶν ἡμετέ-
ρων ἀδίκως εἰληφώς, ὑπὲρ ὧν ψηφίσμαθ' ὑμέτερ' ἐγκα-
10 λοῦντα κύρια ταυτί, πάντα δὲ τὸν χρόνον συνεχῶς τὰ
τῶν ἄλλων Ἑλλήνων καὶ βαρβάρων λαμβάνων καὶ ἐφ'
ἡμᾶς συσκευαζόμενος, τί τοῦτο λέγουσιν, ὡς πολεμεῖν ἢ
ἄγειν εἰρήνην δεῖ; οὐ γὰρ αἵρεσίς ἐστιν ἡμῖν τοῦ πράγ-* 7
*ματος, ἀλλ' ὑπολείπεται τὸ δικαιότατον [καὶ ἀναγκαιό-
15 τατον] τῶν ἔργων, ὃ ὑπερβαίνουσιν ἑκόντες οὗτοι. τί
οὖν ἐστι τοῦτο; ἀμύνεσθαι τὸν πρότερον πολεμοῦνθ'
ἡμῖν. πλὴν εἰ τοῦτο λέγουσι νὴ Δί', ὡς, ἂν ἀπέχηται τῆς
Ἀττικῆς καὶ τοῦ Πειραιῶς Φίλιππος, οὔτ' ἀδικεῖ τὴν πό-
λιν οὔτε ποιεῖ πόλεμον. εἰ δ' ἐκ τούτων τὰ δίκαια τί-* 8
92 *θενται καὶ τὴν εἰρήνην ταύτην ὁρίζονται, | ὅτι μὲν δή-*
21 *πουθεν οὔθ' ὅσι' οὔτ' ἀνεκτὰ λέγουσιν οὔθ' ὑμῖν ἀσφαλῆ,
δῆλόν ἐστιν ἅπασιν, οὐ μὴν ἀλλ' ἐναντία συμβαίνει ταῖς*

2 *ὑμᾶς* SAY *ὑμᾶς* (η supra) F | *οὐκέτι* S: *οὐδὲν* FAY 4 *ἡμεῖς ὠμόσαμεν* F *ὠμόσαμεν ἡμεῖς* AY 10 *χρόνον* S A[1]: *ἄλλον χρόνον* FA[2]Y 12 *ὑμᾶς* AY | *πολεμεῖν* (om. Y[1], add. ead. m.) *ἁπλῶς* AY

15 *καὶ ἀναγκαιότατον* om. S 16 *ἀμύνεσθαι* F *ἀμύνασθαι* AY

17 *ἡμῖν* AY[2]: *ὑμῖν* S *ἡμῖν* (υ supra) F, om. Y[1] | *εἰ* S γρ. Y mg.: *εἰ μὴ* FAY | *λέγουσιν νὴ δί' ὡς* F[1]: *λέγουσιν ἰδίως* S[1] *λέγουσι νὴ δί' ἕως* S rec. F[2]AY 18 *καὶ* om. S[1] add. rec. del. Dindorf | *ὁ φίλιππος* S rec. FAY 19 *τὸν πόλεμον* F 21 *ἡμῖν* AY 22 *ἐστι πᾶσι(ν)* AY

κατηγορίαις ἃς Διοπείθους κατηγοροῦσιν καὶ αὐτὰ ταῦτα λέγειν αὐτούς. τί γὰρ δήποτε τῷ μὲν Φιλίππῳ πάντα τἄλλα ποιεῖν ἐξουσίαν δώσομεν, ἂν τῆς Ἀττικῆς ἀπέχηται, τῷ Διοπείθει δ' οὐδὲ βοηθεῖν τοῖς Θρᾳξὶν ἐξέσται,
9 *ἢ πόλεμον ποιεῖν αὐτὸν φήσομεν; ἀλλὰ νὴ Δία, ταῦτα* 5
μὲν ἐξελέγχονται, δεινὰ ποιοῦσι δ' οἱ ξένοι περικόπτοντες τὰ ἐν Ἑλλησπόντῳ, καὶ Διοπείθης ἀδικεῖ κατάγων τὰ πλοῖα, καὶ δεῖ μὴ ἐπιτρέπειν αὐτῷ. ἔστω, γιγνέσθω ταῦτα,
10 *οὐδὲν ἀντιλέγω. οἶμαι μέντοι δεῖν, εἴπερ ὡς ἀληθῶς ἐπὶ πᾶσι δικαίοις ταῦτα συμβουλεύουσιν, ὥσπερ τὴν ὑπάρ-* 10
χουσαν τῇ πόλει δύναμιν καταλῦσαι ζητοῦσιν, τὸν ἐφεστηκότα καὶ πορίζοντα χρήματα ταύτῃ διαβάλλοντες ἐν ὑμῖν, οὕτω τὴν Φιλίππου δύναμιν δεῖξαι διαλυθησομένην, ἂν ὑμεῖς ταῦτα πεισθῆτε. εἰ δὲ μή, σκοπεῖθ' ὅτι οὐδὲν ἄλλο ποιοῦσιν ἢ καθιστᾶσι τὴν πόλιν εἰς τὸν αὐ- 15
τὸν τρόπον δι' οὗ τὰ παρόντα πράγμαθ' ἅπαντ' ἀπ-
11 *όλωλεν. ἴστε γὰρ δήπου τοῦθ', ὅτι οὐδενὶ τῶν πάντων πλέον κεκράτηκε Φίλιππος ἢ τῷ πρότερος πρὸς τοῖς πράγμασι γίγνεσθαι. ὁ μὲν γὰρ ἔχων δύναμιν συνεστηκυῖαν αἰεὶ περὶ αὐτὸν καὶ προειδὼς ἃ βούλεται πρᾶξαι, ἐξαίφνης* 20
ἐφ' οὓς ἂν αὐτῷ δόξῃ πάρεστιν· ἡμεῖς δ' ἐπειδὰν πυθώμεθά τι γιγνόμενον, τηνικαῦτα θορυβούμεθα καὶ παρα-
12 *σκευαζόμεθα. εἶτ' οἶμαι συμβαίνει τῷ μὲν ἐφ' ἃ ἂν ἔλθῃ, ταῦτ' ἔχειν κατὰ πολλὴν ἡσυχίαν, ἡμῖν δ' ὑστερίζειν,* 24
καὶ ὅσ' ἂν δαπανήσωμεν, ἅπαν|τα μάτην ἀνηλωκέναι, καὶ 98

1 *αἷς* F[1] superscr. *ἃς* rec. 3 *ἐὰν* AY 6 *ποιοῦσι δ'* S: *δὲ ποιοῦσιν* FAY 7 *τὰ* ante *ἐν* om. SY[1] | *κατάγων* om. Y[1] 10 *δικαίως* S[1] 16 *παρόντα* SAY: *παρελθόντα* F del. Dobree | *πράγματα πάντα* A | *ἀπόλωλεν* FAY: *ἀπολώλεκεν* S 17 *δὴ* F 18 *κεκράτηκε τῆς πόλεως* FAY | *τῷ*] *τὸ* A[1] 19 sq. *ἀεὶ συνεστηκυῖαν* AY 20 *αἰεὶ* SY: *ἀεὶ* FA | *αὐτὸν*] *αυτὸ* post *ο* ras., *ν* in mg. F 24 *ὑμῖν* Y

τὴν μὲν ἔχθραν καὶ τὸ βούλεσθαι κωλύειν ἐνδεδεῖχθαι, ὑστερίζοντας δὲ τῶν ἔργων αἰσχύνην προσοφλισκάνειν.

13 *Μὴ τοίνυν ἀγνοεῖτ' ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι καὶ τὰ νῦν τἄλλα μέν ἐστι λόγοι ταῦτα καὶ προφάσεις, πράττεται δὲ καὶ κατασκευάζεται τοῦτο, ὅπως ὑμῶν μὲν οἴκοι* (5) *μενόντων, ἔξω δὲ μηδεμιᾶς οὔσης τῇ πόλει δυνάμεως, μετὰ πλείστης ἡσυχίας ἅπανθ' ὅσα βούλεται Φίλιππος διοικήσεται. θεωρεῖτε γὰρ τὸ παρὸν πρῶτον, ὃ γίγνεται.*

14 *νυνὶ δύναμιν μεγάλην ἐκεῖνος ἔχων ἐν Θρᾴκῃ διατρίβει καὶ μεταπέμπεται πολλήν, ὥς φασιν οἱ παρόντες, ἀπὸ* (10) *Μακεδονίας καὶ Θετταλίας. ἐὰν οὖν περιμείνας τοὺς ἐτησίας ἐπὶ Βυζάντιον ἐλθὼν πολιορκῇ, πρῶτον μὲν οἴεσθε τοὺς Βυζαντίους μενεῖν ἐπὶ τῆς ἀνοίας τῆς αὐτῆς ὥσπερ νῦν, καὶ οὔτε παρακαλεῖν ὑμᾶς οὔτε βοηθεῖν αὐτοῖς ἀξιώσειν;* (15)

15 *ἐγὼ μὲν οὐκ οἴομαι, ἀλλὰ καὶ εἴ τισι μᾶλλον ἀπιστοῦσιν ἢ ἡμῖν, καὶ τούτους εἰσφρήσεσθαι μᾶλλον ἢ 'κείνῳ παραδώσειν τὴν πόλιν, ἄνπερ μὴ φθάσῃ λαβὼν αὐτούς. οὐκοῦν ἡμῶν μὲν μὴ δυναμένων ἐνθένδ' ἀναπλεῦσαι, ἐκεῖ δὲ μηδεμιᾶς ὑπαρχούσης ἑτοίμου βοηθείας, οὐδὲν αὐτοὺς ἀπολωλέναι κωλύσει.* (20)

16 *„νὴ Δία, κακοδαιμονῶσι γὰρ ἄνθρωποι καὶ ὑπερβάλλουσιν ἀνοίᾳ.“ πάνυ γε, ἀλλ' ὅμως αὐτοὺς δεῖ σῶς εἶναι· συμφέρει γὰρ τῇ πόλει. καὶ μὴν οὐδ' ἐκεῖνό γε δῆλόν ἐστιν ἡμῖν, ὡς ἐπὶ Χερρό-*

1 *βουλεύεσθαι* S 3 *τὰ* om. FAY 5 *τοῦτο καὶ κατασκευάζεται* FAY 7 *πάνθ'* F 10 cum Reiskio comma post *παρόντες* del. Blass 11 *περιμείνας*] *ειν* in ras. A^2 *παραμείνας* S 13 *μενεῖν* FY^2: *μένειν* SAY^1 | *τῆς αὐτῆς ἀγνοίας* F *τῆς αὐτῆς ἀνοίας* A Y 14 *παρακαλεῖν* Cobet: *παρακαλέσειν* SFAY | *βοηθήσειν* S 15 *οὐκ*] *οἰκ* F | *οἶμαι* FY 17 *ἐκείνωι* FAY 20 *κακοδαιμονῶσι* H. Wolf: *κακοδαιμονοῦσι* SFAY Hermog. III 296 W. (313, 14 R.) 341 (356, 23 R.) 21 *ἄνθρωποι* Bekker: *ἄνθρωποι* SFAY | *πάνυ*] *σφόδρα* Hermog. 22 *δεῖ σῶς*] *δισως* S^1

νησον οὐχ ἥξει· ἀλλ' εἴγ' ἐκ τῆς ἐπιστολῆς δεῖ σκοπεῖν ἧς ἔπεμψε πρὸς ὑμᾶς, ἀμυνεῖσθαί φησι τοὺς ἐν Χερρο-
17 *νήσῳ. ἂν μὲν τοίνυν ᾖ τὸ συνεστηκὸς στράτευμα, καὶ τῇ χώρᾳ | βοηθῆσαι δυνήσεται καὶ τῶν ἐκείνου τι κακῶς* 94
ποιῆσαι· εἰ δ' ἅπαξ διαλυθήσεται, τί ποιήσομεν, ἂν ἐπὶ 5
Χερρόνησον ἴῃ; „κρινοῦμεν Διοπείθην νὴ Δία.“ καὶ τί τὰ πράγματ' ἔσται βελτίω; „ἀλλ' ἐνθένδ' ἂν βοηθήσαιμεν αὐτοί.“ ἂν δ' ὑπὸ τῶν πνευμάτων μὴ δυνώμεθα; „ἀλλὰ μὰ Δί' οὐχ ἥξει.“ καὶ τίς ἐγγυητής ἐστι τούτου;
18 *ἆρ' ὁρᾶτε καὶ λογίζεσθ' ὦ ἄνδρες Ἀθηναῖοι τὴν ἐπιοῦ-* 10
σαν ὥραν τοῦ ἔτους, εἰς ἣν ἐρημόν τινες οἴονται δεῖν τὸν Ἑλλήσποντον ὑμῶν ποιῆσαι καὶ παραδοῦναι Φιλίππῳ; τί δ', ἂν ἀπελθὼν ἐκ Θρᾴκης καὶ μηδὲ προσελθὼν Χερρονήσῳ μηδὲ Βυζαντίῳ (καὶ γὰρ ταῦτα λογίζεσθε) ἐπὶ Χαλκίδα καὶ Μέγαρ' ἥκῃ τὸν αὐτὸν τρόπον ὅνπερ ἐπ' 15
Ὠρεὸν πρῴην, πότερον κρεῖττον ἐνθάδ' αὐτὸν ἀμύνεσθαι καὶ προσελθεῖν τὸν πόλεμον πρὸς τὴν Ἀττικὴν ἐᾶσαι, ἢ κατασκευάζειν ἐκεῖ τιν' ἀσχολίαν αὐτῷ; ἐγὼ μὲν οἴομαι τοῦτο.

19 *Ταῦτα τοίνυν ἅπαντας εἰδότας καὶ λογιζομένους χρὴ* 20
μὰ Δί' οὐχ ἣν Διοπείθης πειρᾶται τῇ πόλει δύναμιν παρασκευάζειν, ταύτην βασκαίνειν καὶ διαλῦσαι πειρᾶσθαι, ἀλλ' ἑτέραν αὐτοὺς προσπαρασκευάζειν καὶ συνευποροῦντας ἐκείνῳ χρημάτων καὶ τἄλλ' οἰκείως συναγωνιζομένους.

2 ἧς (ν superscr.) F ἣν AY | ἡμᾶς AY | ἀμύνεσθαι A 3 τοῦτο στράτευμα FAY 5 διαφθαρήσεται καὶ διαλυθήσεται FY 6 διοπείθη S corr. FY 7 ἂν βοηθήσαιμεν S: βοηθήσομεν FAY 8 αὐτοί S rec. FY: αὐτῶι S[1] αὐτοῖς γρ. FA 10 λογίζεσθαι A[1] 13 τί δαὶ F | καὶ μὴ F 14 γὰρ om. S[1] 15 καὶ S: ἢ FAY 16 πρώιην ἐπ' ὠρεὸν F 18 οἶμαι FAY 21 ante μὰ in S οὐ erasum est cf. X 17 | δύναμιν τῆι πόλει AY | κατασκευάζειν (προ superscr.) F 22 διαλύειν FAY

εἰ γάρ τις ἔροιτο Φίλιππον· „εἰπέ μοι, πότερ' ἂν βούλοιο 20
τούτους τοὺς στρατιώτας οὓς Διοπείθης νῦν ἔχει, τοὺς
ὁποιουστινασοῦν (οὐδὲν γὰρ ἀντιλέγω) εὐθενεῖν καὶ παρ'
Ἀθηναίοις εὐδοξεῖν καὶ πλείους γίγνεσθαι τῆς πόλεως
5 συναγωνιζομένης, ἢ διαβαλλόντων τινῶν καὶ κατηγορούν-
των διασπασθῆναι καὶ διαφθαρῆναι;" ταῦτ' ἂν οἶμαι
95 φήσειεν. εἶθ' ἃ Φίλιππος ἂν εὔξαιτο τοῖς | θεοῖς, ταῦθ'
ἡμῶν τινες ἐνθάδε πράττουσιν; εἶτ' ἔτι ζητεῖτε πόθεν
τὰ τῆς πόλεως ἀπόλωλεν ἅπαντα;

10 Βούλομαι τοίνυν ⟨πρὸς⟩ ὑμᾶς μετὰ παρρησίας ἐξετάσαι 21
τὰ παρόντα πράγματα τῇ πόλει, καὶ σκέψασθαι τί ποιοῦ-
μεν αὐτοὶ νῦν καὶ ὅπως χρώμεθ' αὐτοῖς. ἡμεῖς οὔτε χρή-
ματ' εἰσφέρειν βουλόμεθ' οὔτ' αὐτοὶ στρατεύεσθαι, οὔτε
τῶν κοινῶν ἀπέχεσθαι δυνάμεθα, οὔτε τὰς συντάξεις
15 Διοπείθει δίδομεν, οὔθ' ὅσ' ἂν αὐτὸς αὑτῷ πορίσηται
ἐπαινοῦμεν, ἀλλὰ βασκαίνομεν καὶ σκοποῦμεν πόθεν, καὶ 22
τί μέλλει ποιεῖν καὶ πάντα τὰ τοιαυτί, οὔτ', ἐπειδήπερ
οὕτως ἔχομεν, τὰ ἡμέτερ' αὐτῶν πράττειν ἐθέλομεν, ἀλλ'
ἐν μὲν τοῖς λόγοις τοὺς τῆς πόλεως λέγοντας ἄξι' ἐπαι-
20 νοῦμεν, ἐν δὲ τοῖς ἔργοις τοῖς ἐναντιουμένοις τούτοις
συναγωνιζόμεθα. ὑμεῖς μὲν τοίνυν εἰώθαθ' ἑκάστοτε τὸν 23
παριόντ' ἐρωτᾶν, τί οὖν χρὴ ποιεῖν; ἐγὼ δ' ὑμᾶς ἐρω-
τῆσαι βούλομαι, τί οὖν χρὴ λέγειν; εἰ γὰρ μήτ' εἰσοίσετε,

1 πότερ' ἂν S F[1] γρ. Y rec.: πότερα F corr. AY[1] 2 νῦν om. Y[1] 3 εὐσθενεῖν S corr. Y corr. 6 τοῦτ' (α superscr.) F τοῦτο Y 7 ἃ] post α litt. eras. Y 8 ὑμῶν AY Hermog. III 152 W. (178, 12 R.) | ἔτι ζητεῖτε] ι ζ in ras. A | ζητητε S[1] corr. ead. m. 10 πρὸς ὑμᾶς Vind. 1, Felicianus: ὑμᾶς SFAY ὑμᾶς om. U secl. Ruediger 11 σκέψασθε F[1]A 13 στρατεύεσθαι τολμῶμεν FAY 16 ἀλλὰ βασκαίνομεν om. S[1] add. in mg. m. saec. XIV 17 τοιαῦτα FAY 21 μὲν τοίνυν SF γρ. Y: μέντοι νῦν A μέντοι Y[1] 23 εἰσοίσετε .. p. 110, 1 μήτε ante τῶν om. A[1] add. A[2] mg.

*μήτ' αὐτοὶ στρατεύσεσθε, μήτε τῶν κοινῶν ἀφέξεσθε,
μήτε τὰς συντάξεις δώσετε, μήθ' ὅσ' ἂν αὐτῷ πορίσηται
ἐάσετε, μήτε τὰ ὑμέτερ' αὐτῶν πράττειν ἐθελήσετε, οὐκ
ἔχω τί λέγω. οἱ γὰρ ἤδη τοσαύτην ἐξουσίαν τοῖς αἰτιᾶ-
σθαι καὶ διαβάλλειν βουλομένοις διδόντες, ὥστε καὶ* 5
*περὶ ὧν ἄν φασι μέλλειν αὐτὸν ποιεῖν, καὶ περὶ τούτων
προκατηγορούντων ἀκροᾶσθαι — τί ἄν τις λέγοι;*

24 *Ὅ τι τοίνυν δύναται ταῦτα ποιεῖν, ἐνίους μαθεῖν ὑμῶν
δεῖ. λέξω δὲ μετὰ παρρησίας· καὶ γὰρ οὐδ' ἂν ἄλλως
δυναίμην. πάντες ὅσοι ποτ' ἐκπεπλεύκασι παρ' ὑμῶν* 10
στρα|τηγοί (ἢ 'γὼ πάσχειν ὁτιοῦν τιμῶμαι) καὶ παρὰ **96**
*Χίων καὶ παρ' Ἐρυθραίων καὶ παρ' ὧν ἂν ἕκαστοι δύ-
νωνται (τούτων τῶν τὴν Ἀσίαν οἰκούντων λέγω), χρήματα*
25 *λαμβάνουσι. λαμβάνουσι δ' οἱ μὲν ἔχοντες μίαν ἢ δύο ναῦς
ἐλάττονα, οἱ δὲ μείζω δύναμιν πλείονα. καὶ διδόασιν οἱ* 15
*διδόντες οὔτε τὰ μικρὰ οὔτε τὰ πολλὰ ἀντ' οὐδενός (οὐ
γὰρ οὕτω μαίνονται), ἀλλ' ὠνούμενοι μὴ ἀδικεῖσθαι τοὺς
παρ' αὐτῶν ἐκπλέοντας ἐμπόρους, μὴ συλᾶσθαι, παρα-
πέμπεσθαι τὰ πλοῖα τὰ αὐτῶν, τὰ τοιαῦτα· φασὶ δ' εὐ-
νοίας διδόναι, καὶ τοῦτο τοὔνομ' ἔχει τὰ λήμματα ταῦτα.* 20
26 *καὶ δὴ καὶ νῦν τῷ Διοπείθει στράτευμ' ἔχοντι σαφῶς
ἐστι τοῦτο δῆλον ὅτι δώσουσι χρήματα πάντες οὗτοι·*

1 *στρατεύσεσθε* F^2AY: *στρατεύεσθε* SF^1 2 *διοπείθει δώσετε* FAY ex § 21 | *αὐτὸς* ante *αὐτῷ* add. FAY 3 *ἐάσητε* S^1 corr. ead. | *ἐθελήσητε* S 4 *λέγειν* A^1 corr. A^2 | *οἱ γὰρ* .. 5 *διδόντες* S: *εἰ γὰρ* .. *δίδοτε* FAY *εἰ δ' ἄρ'* .. *δίδοτε* Thalheim 6 *ἄν φασι* SF: *φασι* AY *ἂν φῶσι* Ald. Voem. G. H. Schaefer *δή φασι* Baiter coll. § 43 7 *ἀκροᾶσθε* S 8 *ποιεῖν* secl. Dobree | *ὑμῶν μαθεῖν* F 9 *δὲ* om. S^1 add. rec. 10 *ἅπαντες* AY | *πώποτ'* FAY Hermog. III 412 W. (424, 17 R.) 11 *τιμῶμαι*] *ἕτοιμός εἰμι* Hermog. ex IV 29 17 *ἀδικεῖσθαι*] *διακεῖσθαι* A 18 *μηδὲ* AY 19 *ἑαυτῶν* AY | *εὐνοίαι* FY 20 *νομα* iterat F^1 (punctis del.) 21 *δὴ καὶ* om. AY

πόθεν γὰρ οἴεσθ' ἄλλοθεν τὸν μήτε λαβόντα παρ' ὑμῶν μηδὲν μήτ' αὐτὸν ἔχονθ' ὁπόθεν μισθοδοτήσει, στρατιώτας τρέφειν; ἐκ τοῦ οὐρανοῦ; οὐκ ἔστι ταῦτα, ἀλλ' ἀφ ὧν ἀγείρει καὶ προσαιτεῖ καὶ δανείζεται, ἀπὸ τούτων διάγει.
5 *οὐδὲν οὖν ἄλλο ποιοῦσιν οἱ κατηγοροῦντες ἐν ὑμῖν ἢ προ-* 27
λέγουσιν ἅπασιν μηδ' ὁτιοῦν ἐκείνῳ διδόναι, ὡς καὶ τοῦ μελλῆσαι δώσοντι δίκην, μή τι ποιήσαντί γ' ἢ καταπραξαμένῳ. τοῦτ' εἰσὶν οἱ λόγοι· „μέλλει πολιορκεῖν τοὺς Ἕλληνας, ἐκδίδωσιν.“ μέλει γάρ τινι τούτων τῶν τὴν Ἀσίαν οἰ-
10 *κούντων Ἑλλήνων; ἀμείνους μέντἂν εἶεν τῶν ἄλλων ἢ τῆς πατρίδος κήδεσθαι. καὶ τό γ' εἰς τὸν Ἑλλήσποντον εἰσ-* 28
πέμπειν ἕτερον στρατηγὸν τοῦτ' ἐστίν. εἰ γὰρ δεινὰ ποιεῖ Διοπείθης καὶ κατάγει τὰ πλοῖα, μικρὸν ὦ ἄνδρες Ἀθηναῖοι μικρὸν πινάκιον ταῦτα πάντα κωλῦσαι δύναιτ'
97 *ἄν, καὶ λέγουσιν οἱ νόμοι, | ταῦτα τοὺς ἀδικοῦντας εἰσαγ-*
16 *γέλλειν, οὐ μὰ Δία δαπάναις καὶ τριήρεσι τοσαύταις ἡμᾶς αὐτοὺς φυλάττειν, ἐπεὶ τοῦτό γ' ἐστὶν ὑπερβολὴ μανίας· ἀλλ' ἐπὶ μὲν τοὺς ἐχθρούς, οὓς οὐκ ἔστι λαβεῖν* 29
ὑπὸ τοῖς νόμοις, καὶ στρατιώτας τρέφειν καὶ τριήρεις
20 *ἐκπέμπειν καὶ χρήματ' εἰσφέρειν δεῖ καὶ ἀναγκαῖόν ἐστιν, ἐπὶ δ' ἡμᾶς αὐτοὺς ψήφισμα, εἰσαγγελία, πάραλος, ταῦτ' ἐστίν. ταῦτ' ἦν εὖ φρονούντων ἀνθρώπων, ἐπηρεαζόντων δὲ καὶ διαφθειρόντων τὰ πράγμαθ' ἃ νῦν οὗτοι ποιοῦσιν. καὶ τὸ μὲν τούτων τινὰς εἶναι τοιούτους δεινὸν ὂν* 30
25 *οὐ δεινόν ἐστιν· ἀλλ' ὑμεῖς οἱ καθήμενοι οὕτως ἤδη διάκει-*

1 *λαμβάνοντα* AY[1] *γρ.* Y mg. 5 *κατηγοροῦντες*] *γορου* in ras. F rec. 6 *δ' ὁτιοῦν* in ras. F rec. 7 *συγκαταπραξαμένωι* FA *γρ.* Y 8 post *πολιορκεῖν* interpungunt FY 9 *μέλλει* S[1] | *τούτων* om. Hermog. III 325 (342, 8 R.) 11 *ἐκπέμπειν* FAY 13 *μετάγει* A | *μικρὸν*] *κρον* Y[1] 16 *δι' οὐ* F cf. X 50 17 *ὑμᾶς* F 21 *ταῦτ' ἐστιν* S: *ταῦτ' ἐστὶν ἱκανά* FAY 23 *τὰ* om. A

σθε, ὥστ', ἂν μέν τις εἴπῃ παρελθὼν ὅτι Διοπείθης ἐστὶ τῶν
κακῶν πάντων αἴτιος ἢ Χάρης ἢ Ἀριστοφῶν ἢ ὃν ἂν τῶν
πολιτῶν εἴπῃ τις, εὐθέως φατὲ καὶ θορυβεῖθ' ὡς ὀρθῶς
31 λέγει· ἂν δὲ παρελθὼν λέγῃ τις τἀληθῆ, ὅτι „ληρεῖτ',
Ἀθηναῖοι· πάντων τῶν κακῶν καὶ τῶν πραγμάτων τού- 5
των Φίλιππός ἐστ' αἴτιος· εἰ γὰρ ἐκεῖνος ἦγεν ἡσυχίαν,
οὐδὲν ἂν ἦν πρᾶγμα τῇ πόλει", ὡς μὲν οὐκ ἀληθῆ ταῦτ'
ἐστὶν οὐκ ἔχετ' ἀντιλέγειν, ἄχθεσθαι δέ μοι δοκεῖτε καὶ
32 ὥσπερ ἀπολλύναι τι νομίζειν. αἴτιον δὲ τούτων (καί μοι
πρὸς θεῶν, ὅταν ἕνεκα τοῦ βελτίστου λέγω, ἔστω παρ- 10
ρησία)· παρεσκευάκασιν ὑμᾶς τῶν πολιτευομένων ἔνιοι
ἐν μὲν ταῖς ἐκκλησίαις φοβεροὺς καὶ χαλεπούς, ἐν δὲ
ταῖς παρασκευαῖς ταῖς τοῦ πολέμου ῥᾳθύμους καὶ εὐκατα-
φρονήτους. ἂν μὲν οὖν τὸν αἴτιον εἴπῃ τις ὃν ἴσθ'
ὅτι λήψεσθε παρ' ὑμῖν αὐτοῖς, φατὲ καὶ βούλεσθε· ἂν 15
δὲ τοιοῦτον λέγῃ τις, ὃν κρα|τήσαντας τοῖς ὅπλοις, ἄλ- 98
λως δ' οὐκ ἔστιν κολάσαι, οὐκ ἔχετ' οἶμαι τί ποιήσετε,
33 ἐξελεγχόμενοι δ' ἄχθεσθε. ἐχρῆν γὰρ ὦ ἄνδρες Ἀθηναῖοι
τοὐναντίον ἢ νῦν ἅπαντας τοὺς πολιτευομένους ἐν μὲν
ταῖς ἐκκλησίαις πρᾴους καὶ φιλανθρώπους ὑμᾶς ἐθίζειν 20
εἶναι (πρὸς γὰρ ὑμᾶς αὐτοὺς καὶ τοὺς συμμάχους ἐν
ταύταις ἐστὶ τὰ δίκαια), ἐν δὲ ταῖς παρασκευαῖς ταῖς
τοῦ πολέμου φοβεροὺς καὶ χαλεποὺς ἐπιδεικνύναι (πρὸς
γὰρ τοὺς ἐχθροὺς καὶ τοὺς ἀντιπάλους ἐν ἐκείναις ἔσθ' ὁ

1 ἐὰν F 1 sq. πάντων τῶν κακῶν FAY cf. v. 5 2 sq. τῶν πολιτῶν εἴπηι τις SAY: εἴπηι τις τῶν πολιτῶν F 4 ἐὰν AY | τἀληθῆ] prima et ultima litterae puncto notatae in S 5 ὦ ἄνδρες ἀθηναῖοι FA ὦ ἀθηναῖοι Y 8 οὐχ ἕξετε S οὐκ ἔχετε (superscr. χ ξ) F 11 ὑμᾶς ἐκ πολλοῦ FAY 14 ἴσθε S[1] ἴστε S rec. 18 γὰρ SF[1]A: δὲ F rec. Y 22 posterius ταῖς om. S 23 ἀποδεικνύναι H. Wolf 24 ἐν ἐκείναις FAY: ἐκεῖνος S | ἐστ' A

ἀγών). νῦν δὲ δημαγωγοῦντες ὑμᾶς καὶ χαριζόμενοι καθ' 34
ὑπερβολὴν οὕτω διατεθήκασιν, ὥστ' ἐν μὲν ταῖς ἐκκλη-
σίαις τρυφᾶν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκού-
οντας, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν
5 *ἐσχάτων ἤδη κινδυνεύειν. φέρε γὰρ πρὸς Διός, εἰ λόγον*
ὑμᾶς ἀπαιτήσειαν οἱ Ἕλληνες ὧν νυνὶ παρήκατε καιρῶν
διὰ ῥᾳθυμίαν, καὶ ἔροινθ' ὑμᾶς· „ἄνδρες Ἀθηναῖοι, πέμ- 35
πεθ' ὡς ἡμᾶς ἑκάστοτε πρέσβεις, καὶ λέγεθ' ὡς ἐπιβου-
λεύει Φίλιππος ἡμῖν καὶ πᾶσι τοῖς Ἕλλησιν, καὶ ὡς φυ-
10 *λάττεσθαι δεῖ τὸν ἄνθρωπον, καὶ πάντα τὰ τοιαυτί;"*
ἀνάγκη φάσκειν καὶ ὁμολογεῖν· ποιοῦμεν γὰρ ταῦτα.
„εἶτ', ὦ πάντων ἀνθρώπων φαυλότατοι, δέκα μῆνας ἀπο-
γενομένου τἀνθρώπου καὶ νόσῳ καὶ χειμῶνι καὶ πολέ-
μοις ἀποληφθέντος, ὥστε μὴ ἂν δύνασθαι ἐπανελθεῖν
15 *οἴκαδε, οὔτε τὴν Εὔβοιαν ἠλευθερώσατε, οὔτε τῶν ὑμε-* 36
τέρων αὐτῶν οὐδὲν ἐκομίσασθε, ἀλλ' ἐκεῖνος μὲν ὑμῶν
οἴκοι μενόντων, σχολὴν ἀγόντων, ὑγιαινόντων (εἰ δὴ
99 *τοὺς τὰ τοιαῦτα ποιοῦντας ὑγιαίνειν φήσαιεν), δύ' | ἐν*
Εὐβοίᾳ κατέστησε τυράννους, τὸν μὲν ἀπαντικρὺ τῆς Ἀττι-
20 *κῆς ἐπιτειχίσας, τὸν δ' ἐπὶ Σκίαθον, ὑμεῖς δ' οὐδὲ ταῦτ' ἀπε-* 37
λύσασθε, εἰ μηδὲν ἄλλ' ἐβούλεσθε, ἀλλ' εἰάκατε; ἀφέστατε
δῆλον ὅτι αὐτῷ, καὶ φανερὸν πεποιήκατε, ὅτι οὐδ' ἂν δεκά-
κις ἀποθάνῃ, οὐδὲν μᾶλλον κινήσεσθε. τί οὖν πρεσβεύετε

2 *μὲν* om. S 8 *πρέσβεις καὶ λέγετε* om. Y[1] add. ead. m. 9 *ἅπασι* F 10 *ἅπαντα* F | *τοιαῦτα* FAY 14 *ἀπολειφθέντος* S[1]F[1] | *ὥστε* in ras. A[1] | *μηδ' ἂν* coni. Voemel 15 *οὐδὲ τῶν* A | *ἡμετέρων* AY 17 sq. *δεῖ .. φῆσαι* FAY *δὴ .. φήσαιμεν* Normann coll. Arist. IX 360 W. 18 post *ὑγιαίνειν* habet F *κλείταρχον καὶ φιλιστίδην* punctis del., schol. ad v. 19 *τυράννους* | *δύο μὲν* A 20 *ἐπιτιχίσας* A[1] | *σκίαθον* S γρ. Y: *σκιάθῳι* (ον suprascr.) F *σκιάθωι* AY[1] 21 *καὶ ἀφέστατε* S rec. FAY 23 *μᾶλλον ὑμεῖς γε* FY | *πρεσβεύετε* S *πρεσβεύετε* (σθε suprascr.) F *πρεσβεύεσθε* AY

καὶ κατηγορεῖτε καὶ πράγμαθ' ἡμῖν παρέχετε;" ἂν ταῦτα λέγωσιν, τί ἐροῦμεν ἢ τί φήσομεν, Ἀθηναῖοι; ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ.

38 Εἰσὶ τοίνυν τινὲς οἳ τότ' ἐξελέγχειν τὸν παριόντ' οἴονται, ἐπειδὰν ἐρωτήσωσι „τί οὖν χρὴ ποιεῖν;" οἷς ἐγὼ 5 μὲν τὸ δικαιότατον καὶ ἀληθέστατον τοῦτ' ἀποκρινοῦμαι, ταῦτα μὴ ποιεῖν ἃ νυνὶ ποιεῖτε, οὐ μὴν ἀλλὰ καὶ καθ' ἕκαστον ἀκριβῶς ἐρῶ. καὶ ὅπως, ὥσπερ ἐρωτῶσι προθύ-
39 μως, οὕτω καὶ ποιεῖν ἐθελήσουσι. πρῶτον μὲν ὦ ἄνδρες Ἀθηναῖοι τοῦτο παρ' ὑμῖν αὐτοῖς βεβαίως γνῶναι, ὅτι 10 τῇ πόλει Φίλιππος πολεμεῖ καὶ τὴν εἰρήνην λέλυκεν (καὶ παύσασθε περὶ τούτου κατηγοροῦντες ἀλλήλων) καὶ κακόνους μέν ἐστι καὶ ἐχθρὸς ὅλῃ τῇ πόλει καὶ τῷ τῆς πό-
40 λεως ἐδάφει, προσθήσω δὲ καὶ τοῖς ἐν τῇ πόλει πᾶσιν ἀνθρώποις, καὶ τοῖς μάλιστ' οἰομένοις αὐτῷ χαρίζεσθαι 15 (εἰ δὲ μή, σκεψάσθων Εὐθυκράτη καὶ Λασθένη τοὺς Ὀλυνθίους, οἳ δοκοῦντες οἰκειότατ' αὐτῷ διακεῖσθαι, ἐπειδὴ τὴν πόλιν προὔδοσαν, πάντων κάκιστ' ἀπολώλασιν), οὐδενὶ μέντοι μᾶλλον ἢ τῇ πολιτείᾳ πολεμεῖ, οὐδ' ἐπιβουλεύει καὶ σκοπεῖ μᾶλλον οὐδὲ ἓν τῶν πάντων ἢ 20
41 πῶς ταύτην καταλύσει. καὶ τοῦτ' εἰκότως τρόπον τινὰ πράττει· οἶδεν γὰρ ἀκριβῶς ὅτι οὐδ' ἂν πάντων τῶν ἄλλων γένηται κύριος, οὐ|δὲν ἔστ' αὐτῷ βεβαίως ἔχειν, **100**

2 ὦ ἄνδρες ἀθηναῖοι F ἄνδρες ἀθ. AY 3 γὰρ om. A 5 ἐρωτήσηι S 7 νῦν FA 9 ἐθελήσωσιν F 12 παύσασθαι A[1] Dobree | παύσασθαι .. κατηγοροῦντας Cobet | τούτων (ου) F 14 ἐδάφει S | τοὺς F[1] 16 σκεψάσθων Cobet: σκέψεσθ' ὡς ἂν S σκεψάσθωσαν FAY | εὐθυκράτην καὶ λασθένην AY[2] 18 προέδοσαν A 20 post ἐπιβουλεύει interpunctum est in S, post πολεμεῖ v. 19 in FAY | οὐδὲ ἓν] οὐδὲν A 21 ὅπως FAY | καταλύσει SY corr.: καταλύσηι FAY[1] 22 νῦν γε δὴ πράττει F ex VI 17 vel X 12 23 γεγένηται A[1] | ἔστ' SF[1]: ἔσται F rec. AY

ἕως ἂν ὑμεῖς δημοκρατῆσθε, ἀλλ' ἐάν ποτε συμβῇ τι
πταῖσμα, ἃ πολλὰ γένοιτ' ἂν ἀνθρώπῳ, ἥξει πάντα τὰ
νῦν συμβεβιασμένα καὶ καταφεύξεται πρὸς ὑμᾶς· ἐστὲ 42
γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι καὶ κατασχεῖν ἀρχὴν
5 εὖ πεφυκότες, ἀλλ' ἕτερον λαβεῖν κωλῦσαι καὶ ἔχοντ'
ἀφελέσθαι δεινοί, καὶ ὅλως ἐνοχλῆσαι τοῖς ἄρχειν βου-
λομένοις καὶ πάντας ἀνθρώπους εἰς ἐλευθερίαν ἀφελέ-
σθαι ἕτοιμοι. οὔκουν βούλεται τοῖς ἑαυτοῦ καιροῖς τὴν
παρ' ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν, οὐδὲ πολλοῦ δεῖ, οὐ
10 κακῶς οὐδ' ἀργῶς ταῦτα λογιζόμενος. πρῶτον μὲν δὴ 43
τοῦτο δεῖ, ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας καὶ τῆς δη-
μοκρατίας ἀδιάλλακτον ἐκεῖνον (εἰ γὰρ μὴ τοῦτο πεισθή-
σεσθε ταῖς ψυχαῖς, οὐκ ἐθελήσεθ' ὑπὲρ τῶν πραγμάτων
σπουδάζειν)· δεύτερον δ' εἰδέναι σαφῶς ὅτι πάνθ' ὅσα
15 πραγματεύεται καὶ κατασκευάζεται νῦν, ἐπὶ τὴν ἡμετέραν
πόλιν παρασκευάζεται, καὶ ὅπου τις ἐκεῖνον ἀμύνεται,
ἐνταῦθ' ὑπὲρ ὑμῶν ἀμύνεται. οὐ γὰρ οὕτω γ' εὐήθης 44
ἐστὶν οὐδεὶς ὃς ὑπολαμβάνει τὸν Φίλιππον τῶν μὲν ἐν
Θρᾴκῃ κακῶν (οὐ γὰρ ἄλλο τις ἂν εἴποι Δρογγίλον καὶ
20 Καβύλην καὶ Μάστειραν καὶ ἃ νῦν ἐξαιρεῖ καὶ κατα-
σκευάζεται), τούτων μὲν ἐπιθυμεῖν καὶ ὑπὲρ τοῦ ταῦτα

1 δημοκρατεῖσθε SA | τι FAY: τινι S 2 ἂν γένοιτο AY 3 βε-βιασμένα FAY | καταφεύξετε F[1] 6 δεινοί om. X 14 del. Benseler 7 ἀφελέσθαι SAY corr.: ἐξαφελέσθαι FY[1] ἐξελέσθαι X 14 8 ἕτοι-μοι] δεινοί X 14 Benseler 9 ὑμῶν SFAY: ὑμῖν X 14 10 δὴ X 15: ἂν S δὴ (supra: δια) F δὴ δια AY 11 δεῖ] δη Y[1] | δημοκρατείας F[1] 14 δ' εἰδέναι] δεει in ras. S rec. 16 ἀμυνεῖται A γρ. Y rec. 17 ὑμῶν SY[2] γρ. Y: ἡμῶν (supra: ὑ) F ἡμῶν AY[1] | ἀμυνεῖται FAY[1] γρ. Y | οὕτως ἐστὶν εὐήθης AY cf. I 15 18 οὐδεὶς S: ὑμῶν οὐδεὶς FAY | ὃς ὑπο-λαμβάνει S: ὥσθ' ὑπολαμβάνειν FAY ex X 15 19 οὐ S: τί FAY Harpocr. s. Μάστειρα ex X 15 | ἂν ἄλλο τις AY 20 καβύδην S | καὶ Μάστειραν] om. S[1] | καὶ κατασκευάζεται secl. Weil, cf. § 43

λαβεῖν καὶ πόνους καὶ χειμῶνας καὶ τοὺς ἐσχάτους κιν-
45 δύνους ὑπομένειν, τῶν δ' Ἀθηναίων λιμένων καὶ νεωρίων
καὶ τριήρων καὶ τῶν ἔργων τῶν ἀργυρείων καὶ τοσού-
των προσόδων οὐκ ἐπιθυμεῖν, ἀλλὰ ταῦτα μὲν ἐάσειν
ὑμᾶς ἔχειν, ὑπὲρ δὲ τῶν μελινῶν καὶ τῶν ὀλυρῶν τῶν 5
ἐν τοῖς Θρᾳκίοις | σιροῖς ἐν τῷ βαράθρῳ χειμάζειν. οὐκ 101
ἔστι ταῦτα, ἀλλὰ κἀκεῖν' ὑπὲρ τοῦ τούτων γενέσθαι κύ-
46 ριος καὶ τἄλλα πάντα πραγματεύεται. τί οὖν εὖ φρο-
νούντων ἀνθρώπων ἐστίν; εἰδότας ταῦτα καὶ ἐγνωκότας
τὴν μὲν ὑπερβάλλουσαν καὶ ἀνείκαστον ταύτην ῥᾳθυμίαν 10
ἀποθέσθαι, χρήματα δ' εἰσφέρειν καὶ τοὺς συμμάχους
ἀξιοῦν, καὶ ὅπως τὸ συνεστηκὸς τοῦτο συμμενεῖ στρά-
τευμ' ὁρᾶν καὶ πράττειν, ἵν' ὥσπερ ἐκεῖνος ἕτοιμον ἔχει
δύναμιν τὴν ἀδικήσουσαν καὶ καταδουλωσομένην ἅπαν-
τας τοὺς Ἕλληνας, οὕτω τὴν σώσουσαν ὑμεῖς καὶ βοηθή- 15
47 σουσαν ἅπασιν ἕτοιμον ἔχητε. οὐ γάρ ἔστι βοηθείαις
χρωμένους οὐδέποτ' οὐδὲν τῶν δεόντων πρᾶξαι, ἀλλὰ
κατασκευάσαντας δεῖ δύναμιν, καὶ τροφὴν ταύτῃ πορί-
σαντας καὶ ταμίας καὶ δημοσίους, καὶ ὅπως ἔνι τὴν τῶν
χρημάτων φυλακὴν ἀκριβεστάτην γενέσθαι, οὕτω ποι- 20
ήσαντας, τὸν μὲν τῶν χρημάτων λόγον παρὰ τούτων
λαμβάνειν, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ. κἂν
οὕτω ποιήσητε καὶ τότ' ἐθελήσηθ' ὡς ἀληθῶς ἄγειν εἰ-

2 ἀθηναίων S: ἀθήνησι FAY 3 ἀργυρίων FAY 4 sq. ἐάσειν ὑμᾶς F in text.: ἐάσειν ἡμᾶς SF s. v. ὑμᾶς ἐάσειν AY 6 σειροις $S^1F^1A^1$ cf. CIA IV b 27, b 10 10 ἀνείκαστον S: ἀνήκεστον FAY

12 συμμενεῖ U: συμμένοι S συμμένει FAY 13 et 16 ἑτοίμ$\overset{o}{η}$ν F ἑτοίμην AY | ἔχει A: ἔχηι SF ἔχῃ Y corr. 14 ἀδικοῦσαν A | καταδουλωσαμένην S^1 16 ἔστι S^1AY: ἔνεστι S rec. F 17 δεόνων F^1 19 ταμίας δημοσίους Y^1 20 οὕτως F^1 22 τὸν] τῶν ut videtur F^1A^1 23 τότε S: ταῦτ' FAY

ρήνην δικαίαν, μένειν ἐπὶ τῆς αὑτοῦ Φίλιππον ἀναγκάσετε, οὗ μεῖζον οὐδὲν ἂν γένοιτ' ἀγαθόν, ἢ πολεμήσετ' ἐξ ἴσου.

Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης μεγάλης καὶ πόνων 48
5 πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλ' ὀρθῶς δοκεῖ· ἀλλ' ἐὰν λογίζηται τὰ τῇ πόλει μετὰ ταῦτα γενησόμενα, ἂν ταῦτα μὴ 'θέλῃ, εὑρήσει λυσιτελοῦν τὸ ἑκόντας ποιεῖν τὰ δέοντα. εἰ μὲν γάρ ἐστί τις ἐγγυητὴς θεῶν (οὐ 49 γὰρ ἀνθρώπων γ' οὐδεὶς ἂν γένοιτ' ἀξιόχρεως τηλικού-
10 του πράγματος) ὡς, ἐὰν ἄγηθ' ἡσυχίαν καὶ ἅπαντα
102 προῆσθε, οὐκ ἐπ' αὐτοὺς ὑμᾶς τελευτῶν ἐκεῖνος | ἥξει, αἰσχρὸν μὲν νὴ τὸν Δία καὶ πάντας τοὺς θεοὺς καὶ ἀνάξιον ὑμῶν καὶ τῶν ὑπαρχόντων τῇ πόλει καὶ πεπραγμένων τοῖς προγόνοις, τῆς ἰδίας ἕνεκα ῥᾳθυμίας τοὺς ἄλλους
15 πάντας Ἕλληνας εἰς δουλείαν προέσθαι, καὶ ἔγωγ' αὐτὸς μὲν τεθνάναι μᾶλλον ἂν ἢ ταῦτ' εἰρηκέναι βουλοίμην· οὐ μὴν ἀλλ' εἴ τις ἄλλος λέγει καὶ ὑμᾶς πείθει, ἔστω, μὴ ἀμύνεσθε, ἅπαντα πρόεσθε. εἰ δὲ μηδενὶ τοῦτο δοκεῖ, 50 τοὐναντίον δὲ πρόϊσμεν ἅπαντες, ὅτι ὅσῳ ἂν πλειόνων
20 ἐάσωμεν ἐκεῖνον γενέσθαι κύριον, τοσούτῳ χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ χρησόμεθ' ἐχθρῷ, ποῖ ἀναδυόμεθα; ἢ τί μέλλομεν; ἢ πότ' ὦ ἄνδρες Ἀθηναῖοι τὰ δέοντα ποιεῖν 110 ἐθελήσομεν; „ὅταν νὴ Δί' ἀναγκαῖον ᾖ." ἀλλ' ἣν μὲν ἄν 51

1 καὶ μένειν FAY | ἀναγκάσητε F[1]A 4 μεγάλης] πολλῆς F γρ. Y rec. ex X 24 6 λογίσηται FY 7 ἐθέλῃ ποιεῖν FAY ex X 24 | ἑκόντα A 8 ἐγγυητὴς ἡμῖν FAY 9 ἂν om. A 10 ἐὰν SAY: ἂν F 11 ἐφ' ὑμᾶς αὐτοὺς AY 12 μὲν γὰρ F τοὺς om. AY 15 ἅπαντας FY 16 μὲν S: ἂν F om. AY | ἂν om. F 18 ἀμύνησθε AY mg. | μὲν τοῦτο AY μὲν add. F rec. s. v. post τοῦτο | μήτε δοκῇ S 19 τε (δε superscr.) F 20 ἐάσομεν F[1] | ἐκεῖνον ἐάσωμεν AY 23 ἀνάγκη τίς FAY ex IV 10. X 27

τις ἐλευθέρων ἀνθρώπων ἀνάγκην εἴποι, οὐ μόνον ἤδη
πάρεστιν, ἀλλὰ καὶ πάλαι παρελήλυθεν, τὴν δὲ τῶν δού-
λων ἀπεύχεσθαι [δήπου μὴ γενέσθαι] δεῖ. διαφέρει δὲ
τί; ὅτι ἐστὶν ἐλευθέρῳ μὲν ἀνθρώπῳ μεγίστη ἀνάγκη ἡ
ὑπὲρ τῶν γιγνομένων αἰσχύνη, καὶ μείζω ταύτης οὐκ 5
οἶδ' ἥντιν' ἂν εἴποιμεν· δούλῳ δὲ πληγαὶ καὶ ὁ τοῦ σώ-
ματος αἰκισμός, ἃ μήτε γένοιτο οὔτε λέγειν ἄξιον.

52 Πάντα τοίνυν τἄλλ' εἰπὼν ἂν ἡδέως καὶ δείξας ὃν
τρόπον ὑμᾶς ἔνιοι καταπολιτεύονται, τὰ μὲν ἄλλ' ἐάσω·
ἀλλ' ἐπειδάν τι τῶν πρὸς Φίλιππον ἐμπέσῃ, εὐθὺς ἀνα- 10
στάς τις λέγει „τὸ τὴν εἰρήνην ἄγειν ὡς ἀγαθόν" καὶ
„τὸ τρέφειν δύναμιν μεγάλην ὡς χαλεπόν" καὶ „διαρπά-
ζειν τινὲς τὰ χρήματα βούλονται", καὶ τοιούτους λόγους,
ἐξ ὧν ἀναβάλλουσι μὲν ὑμᾶς, ἡσυχίαν δὲ ποιοῦσιν ἐκείνῳ
53 πράττειν ὅ τι βούλεται. ἐκ δὲ τούτων περιγίγνεται, ὑμῖν 15
μὲν | ἡ σχολὴ καὶ τὸ μηδὲν ἤδη ποιεῖν, ἃ δέδοιχ' ὅπως **103**
μή ποθ' ἡγήσεσθ' ἐπὶ πολλῷ γεγενῆσθαι, τούτοις δ' αἱ
χάριτες καὶ ὁ μισθὸς ὁ τούτων. ἐγὼ δ' οἴομαι τὴν μὲν
εἰρήνην ἄγειν οὐχ ὑμᾶς δεῖν πείθειν, οἳ πεπεισμένοι κάθ-
ησθε, ἀλλὰ τὸν τὰ τοῦ πολέμου πράττοντα (ἂν γὰρ 20
54 ἐκεῖνος πεισθῇ, τά γ' ἀφ' ὑμῶν ὑπάρχει)· νομίζειν δ'
εἶναι χαλεπά, οὐχ ὅσ' ἂν εἰς σωτηρίαν δαπανῶμεν, ἀλλ'
ἃ πεισόμεθα, ἂν ταῦτα μὴ 'θέλωμεν ποιεῖν· καὶ τὸ δι-
αρπασθήσεσθαι τὰ χρήματα τῷ φυλακὴν εἰπεῖν δι' ἣν

3 δήπου μὴ γενέσθαι om. S 4 ἡ ⟨γ'⟩ Blass 5 γιγνομένων] πραγ-
μάτων F γρ. Y ex IV 10 6 ἂν om. AY[1] | εἴποι τις FAY ex X 27
8 εἰπὼν] εἴπω μὲν S 11 τὴν om. Pal. 1 Blass 14 ἡσυχίαν] ἐξουσίαν
γρ. Y rec. 15 ὑμῖν SF rec. AY: ἡμῖν F[1] 16 ἤδη] εἶναι S 17 ποτ'
ἄν A | ἡγήσεσθε O: ἡγήσησθε SFAY cf. IX 75 18 οἶμαι FAY | μὲν
om. Y[1] 20 ἐὰν AY 21 ὑπάρχει S corr.: ὑπάρχειν S[1] ἕτοιμα ὑπάρχει
FAY 22 ὅσ'] ο in ras. F 23 ἂν .. ἐθέλωμεν om. Y[1] | διαρπασθήσε-
σθαι S[1]Y, X 56: διαρπασθήσεται S corr. FA 24 ἣν SF γρ. Y: ἧς AY[1]

σωθήσεται κωλύειν, οὐχὶ τῷ τοῦ συμφέροντος ἀφεστάναι.
καίτοι ἔγωγ' ἀγανακτῶ καὶ αὐτὸ τοῦτ' ὦ ἄνδρες Ἀθη- 55
ναῖοι, εἰ τὰ μὲν χρήματα λυπεῖ τινας ὑμῶν εἰ διαρπα-
σθήσεται, ἃ καὶ φυλάττειν καὶ κολάζειν τοὺς ἀδικοῦντας
5 ἐφ' ὑμῖν ἐστιν, τὴν δ' Ἑλλάδα πᾶσαν οὑτωσὶ Φίλιππος
ἐφεξῆς ἁρπάζων οὐ λυπεῖ, καὶ ταῦτ' ἐφ' ὑμᾶς ἁρπάζων.

Τί ποτ' οὖν ἐστιν τὸ αἴτιον ὦ ἄνδρες Ἀθηναῖοι τὸ 56
τὸν μὲν οὕτω φανερῶς στρατεύοντα, ἀδικοῦντα, πόλεις
καταλαμβάνοντα μηδένα τούτων πώποτ' εἰπεῖν ὡς πό-
10 λεμον ποιεῖ, τοὺς δὲ μὴ ἐπιτρέπειν μηδὲ προΐεσθαι ταῦτα
συμβουλεύοντας, τούτους τὸν πόλεμον ποιήσειν αἰτιᾶ-
σθαι; ἐγὼ διδάξω· ὅτι τὴν ὀργὴν ἣν εἰκός ἐστι γε- 57
νέσθαι παρ' ὑμῖν, ἄν τι λυπῆσθε τῷ πολέμῳ, εἰς τοὺς
ὑπὲρ ὑμῶν λέγοντας τὰ βέλτιστα τρέψαι βούλονται, ἵνα
15 τούτους κρίνητε, μὴ Φίλιππον ἀμύνησθε, καὶ κατηγορῶ-
σιν αὐτοί, μὴ δίκην δῶσιν ὧν ποιοῦσι νῦν. τοῦτ' αὐτοῖς
δύναται τὸ λέγειν ὡς ἄρα βούλονται πόλεμόν τινες ποι-
ῆσαι παρ' ὑμῖν, καὶ περὶ τούτου ἡ διαδικασία αὕτη ἐστίν.
104 ἐγὼ δ' | οἶδ' ἀκριβῶς ὅτι, οὐ γράψαντος Ἀθηναίων οὐδε- 58
20 νός πω πόλεμον, καὶ ἄλλα πολλὰ Φίλιππος ἔχει τῶν τῆς
πόλεως καὶ νῦν εἰς Καρδίαν πέπομφε βοήθειαν. εἰ μέν-
τοι βουλόμεθ' ἡμεῖς μὴ προσποιεῖσθαι πολεμεῖν αὐτὸν

1 τῷ] τὸ A Y^1 | ἀφιστάναι ut videtur F^1 2 καίτοι ÿὲ F | ἀνακτῶ A^1 corr. ead. 3 $\overset{υ}{\text{ἡ}}$μῶν F 5 ἡμῖν F 5 sq. ἐφεξῆς οὑτωσὶ φίλιππος FAY 6 ἡμᾶς SA 9 πώποτε τούτων FAY | ἀδικεῖ καὶ ante πόλεμον add. FAY 10 ἐπιτρέπειν μηδὲ om. A 11 ποιεῖν FAY 12 δὲ διδάξω S | γενέσθαι S γρ. FAY: γίγνεσθαι F^1 13 ὑμῶν FAY | λυπεῖσθε SY^1 14 ἡμῶν F^1Y^1 15 κατηγορῶσι μὲν FAY 16 αὐτοὶ δὲ A | δίκην δὲ FY | δωσειν ut videtur F^1 δώσωσιν A 18 τούτ$\overset{ου}{\text{ῶν}}$ F τούτων Y | ἐστίν del. Benseler 20 πω om. FAY

ἡμῖν, ἀνοητότατος πάντων ἂν εἴη τῶν ὄντων ἀνθρώπων,
59 εἰ τοῦτ' ἐξελέγχοι. ἀλλ' ἐπειδὰν ἐπ' αὐτοὺς ἡμᾶς ἴῃ, τί
φήσομεν; ἐκεῖνος μὲν γὰρ οὐ πολεμεῖν, ὥσπερ οὐδ' Ὠρεί-
ταις, τῶν στρατιωτῶν ὄντων ἐν τῇ χώρᾳ, οὐδὲ Φεραίοις
πρότερον, πρὸς τὰ τείχη προσβάλλων αὐτῶν, οὐδ' Ὀλυν- 5
θίοις ἐξ ἀρχῆς, ἕως ἐν αὐτῇ τῇ χώρᾳ τὸ στράτευμα
παρῆν ἔχων. ἢ καὶ τότε τοὺς ἀμύνεσθαι κελεύοντας πόλε-
μον ποιεῖν φήσομεν; οὐκοῦν ὑπόλοιπον δουλεύειν· οὐ
γὰρ ἄλλο γ' οὐδέν ἐστι μεταξὺ τοῦ μήτ' ἀμύνεσθαι μήτ'
60 ἄγειν ἡσυχίαν ἐᾶσθαι. καὶ μὴν οὐχ ὑπὲρ τῶν ἴσων ὑμῖν 10
καὶ τοῖς ἄλλοις ἔσθ' ὁ κίνδυνος· οὐ γὰρ ὑφ' αὑτῷ τὴν
πόλιν ποιήσασθαι βούλεται Φίλιππος, ἀλλ' ὅλως ἀνελεῖν.
οἶδεν γὰρ ἀκριβῶς ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτ' ἐθελή-
σετε, οὔτ', ἂν ἐθελήσητ', ἐπιστήσεσθε (ἄρχειν γὰρ εἰ-
ώθατε), πράγματα δ' αὐτῷ παρασχεῖν, ἂν καιρὸν λάβητε, 15
πλείω τῶν ἄλλων ἁπάντων ἀνθρώπων δυνήσεσθε.

61 Ὡς οὖν ὑπὲρ τῶν ἐσχάτων ὄντος τοῦ ἀγῶνος, οὕτω
προσήκει γιγνώσκειν, καὶ τοὺς πεπρακότας αὑτοὺς ἐκείνῳ
μισεῖν καὶ ἀποτυμπανίσαι· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν τῶν
ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ 20
62 τῇ πόλει κολάσητ' ἐχθρούς. πόθεν οἴεσθε νῦν αὐτὸν
ὑβρίζειν ὑμᾶς | (οὐδὲν γὰρ ἄλλ' ἔμοιγε δοκεῖ ποιεῖν ἢ 105

2 ἐφ' ἡμᾶς αὐτοὺς F cf. § 49 | ἴῃ] εἴη A[1] 3 φήσομεν τότε AY | πολεμεῖν ἡμῖν FAY 5 πρότερον .. προσβάλλων S: πρότερον πρὶν ἢ .. προσβαλεῖν FAY 6 ἕως ἂν AY 10 ἴσων] νήσων A[1]Y[1] | ἡμῖν S 11 τε καὶ AY | τοῖς] om. Y text. add. γρ. Y rec. | ἔστ' A 14 θελήσητε A | ἐπιστήσεσθε SA: ἐπίστασθε FY 16 ἀνθρώπων ἁπάντων FAY cf. XV 30. XXI 136 17 sq. οὕτω προσήκει γρ. FAY: προσῆκεν οὕτω SF οὕτω del. Rehdantz 19 ἀποτυπανίσαι Y[1] cf. IX 61 21 post ἐχθροὺς add. ὑπηρετοῦντας ἐκείνωι (in mg. sup. A[3]) ἀλλ' ἀνάγκη τούτοις ὥσπερ προβόλοις προσπταίοντας ὑστερίζειν ἐκείνων S mg. rec. FAY | πόθεν γὰρ FAY 22 ἐμοὶ F

τοῦτο) καὶ τοὺς μὲν ἄλλους εὖ ποιοῦντα, εἰ μηδὲν ἄλλο,
ἐξαπατᾶν, ὑμῖν δ' ἀπειλεῖν ἤδη; οἷον Θετταλοὺς πολλὰ
δοὺς ὑπηγάγετ' εἰς τὴν νῦν παροῦσαν δουλείαν· οὐδ'
ἂν εἰπεῖν δύναιτ' οὐδεὶς ὅσα τοὺς ταλαιπώρους Ὀλυν-
5 θίους πρότερον δοὺς Ποτείδαιαν ἐξηπάτησεν καὶ πόλλ'
ἕτερα· Θηβαίους νῦν ὑπάγει τὴν Βοιωτίαν αὐτοῖς παρα- 63
δοὺς καὶ ἀπαλλάξας πολέμου πολλοῦ καὶ χαλεποῦ· ὥστε
καρπωσάμενοί τιν' ἕκαστοι τούτων πλεονεξίαν οἱ μὲν
ἤδη πεπόνθασιν ἃ δὴ πάντες ἴσασιν, οἱ δ' ὅταν ποτὲ
10 συμβῇ πείσονται. ὑμεῖς δ' ὧν μὲν ἀπεστέρησθε, σιωπῶ·
ἀλλ' ἐν αὐτῷ τῷ τὴν εἰρήνην ποιήσασθαι, πόσ' ἐξηπά-
τησθε, πόσων ἀπεστέρησθε. οὐχὶ Φωκέας, οὐ Πύλας, 64
οὐχὶ τἀπὶ Θρᾴκης, Δορίσκον, Σέρριον, τὸν Κερσοβλέ-
πτην αὐτόν; οὐ νῦν τὴν πόλιν τὴν Καρδιανῶν ἔχει καὶ
15 ὁμολογεῖ; τί ποτ' οὖν ἐκείνως τοῖς ἄλλοις καὶ οὐ τὸν
αὐτὸν τρόπον ὑμῖν προσφέρεται; ὅτι ἐν μόνῃ τῶν πα-
σῶν πόλεων τῇ ἡμετέρᾳ ἄδει' ὑπὲρ τῶν ἐχθρῶν λέγειν
δέδοται, καὶ λαβόντα χρήματ' αὐτὸν ἀσφαλές ἐστι λέγειν
παρ' ὑμῖν, κἂν ἀφῃρημένοι τὰ ὑμέτερ' αὐτῶν ἦτε. οὐκ ἦν 65
20 ἀσφαλὲς λέγειν ἐν Ὀλύνθῳ τὰ Φιλίππου μὴ σὺν εὖ πεπον-
θότων τῶν πολλῶν Ὀλυνθίων τῷ Ποτείδαιαν καρποῦ-

2 θετταλοῖς A[1] corr. A[2] 3 ἐπηγάγετο S 5 Ποτείδαιαν et καὶ πόλλ' ἕτερα del. Wecklein 6 τε νῦν F rec. Y 9 δὴ om. A[1] add. ead. | ὅταν SA: ὅ τι ἂν FY ex X 65 10 ἀπεστέρησθε τέως (mox deletis πόσων ἀπεστ.) Dobree προαπεστέρησθε coni. Weil ἀπεστερεῖσθε Blass 11 ἐξηπατήθητε et 12 ἀπεστερήθητε Thalheim 14 πόλιν τὴν SFA γρ. Y: πόλιν τῶν Y[1] 17 ὑμετέραι SA in or. X 66; at cf. § 43. IX 3 | post ἡμετέρᾳ add. πόλει S 18 τὸν ante λαβόντα add. A rec. mg. | αὐτὸν] αὐτῶι S[1] deleverim | ἀσφαλέστ' εστι A 19 οὐκ ἂν H. Wolf 20 συν εὖ πεπονθότων A συνευπεπονθότων SFY 21 τῶν om. Y[1]

σθαι· οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Θετταλίᾳ τὰ Φιλίππου
μηδὲν εὖ πεπονθότος τοῦ πλήθους τοῦ Θετταλῶν τῷ
τοὺς τυράννους ἐκβαλεῖν Φίλιππον αὐτοῖς καὶ τὴν πυ-
λαίαν ἀποδοῦναι· οὐκ ἦν ἐν Θήβαις ἀσφαλές, πρὶν τὴν
66 Βοιωτίαν ἀπέδωκεν καὶ τοὺς Φωκέας ἀνεῖ|λεν. ἀλλ' Ἀθή- 106
νησιν, οὐ μόνον Ἀμφίπολιν καὶ τὴν Καρδιανῶν χώραν 6
ἀπεστερηκότος Φιλίππου, ἀλλὰ καὶ κατασκευάζοντος ὑμῖν
ἐπιτείχισμα τὴν Εὔβοιαν καὶ νῦν ἐπὶ Βυζάντιον παριόν-
τος, ἀσφαλές ἐστι λέγειν ὑπὲρ Φιλίππου. καὶ γάρ τοι
τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ πλούσιοι γίγνονται 10
καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων ἔνδοξοι καὶ γνώριμοι, ὑμεῖς
δὲ τοὐναντίον ἐκ μὲν ἐνδόξων ἄδοξοι, ἐκ δ' εὐπόρων
ἄποροι· πόλεως γὰρ ἔγωγε πλοῦτον ἡγοῦμαι συμμάχους,
67 πίστιν, εὔνοιαν, ὧν πάντων ἔσθ' ὑμεῖς ἄποροι. ἐκ δὲ τοῦ
τούτων ὀλιγώρως ἔχειν καὶ ἐᾶν ταῦτα φέρεσθαι ὁ μὲν εὐ- 15
δαίμων καὶ μέγας καὶ φοβερὸς πᾶσιν Ἕλλησιν καὶ βαρβά-
ροις, ὑμεῖς δ' ἔρημοι καὶ ταπεινοί, τῇ τῶν ὠνίων ἀφθο-
νίᾳ λαμπροί, τῇ δ' ὧν προσῆκε παρασκευῇ καταγέλαστοι.
οὐ τὸν αὐτὸν δὲ τρόπον περί θ' ὑμῶν καὶ περὶ αὑτῶν
ἐνίους τῶν λεγόντων ὁρῶ βουλευομένους· ὑμᾶς μὲν γὰρ 20
ἡσυχίαν ἄγειν φασὶ δεῖν, κἄν τις ὑμᾶς ἀδικῇ, αὐτοὶ δ' οὐ
δύνανται παρ' ὑμῖν ἡσυχίαν ἄγειν οὐδενὸς αὐτοὺς ἀδι-
κοῦντος.

1 *λέγειν* del. Herwerden | *τὰ Φιλίππου* om. SAY in X 67 del. Herwerden 2 *μηδὲν* SFY: *μὴ συν* A | *τῶν θετταλῶν* SAY[1] cf. ad IX 33 5 *παρέδωκε* A[1]Y 9 *ὑπὲρ*] *περὶ* S[1] | *καὶ γάρ τοι* SAY[1]: *τοιγάρτοι* F *γρ.* Y rec. 10 *γίγνονται* SA: *γεγόνασιν* FY ex III 29 14 *ἁπάντων* FAY | *ἐκ δὲ τοῦ* *γρ.* S rec. FAY corr.: *ἑκάστου* S[1] *γρ.* F *ἐκ δὲ* Y[1] 15 *ὑμᾶς ἔχειν* *γρ.* S rec. *γρ.* FY corr. | *ταῦτα* S[1]FAY: *τούτων* S corr. *γρ.* F | *φέρεσθαι* *γρ.* S rec. FAY: *στέρεσθαι* S[1] *γρ.* F *ταύτῃ φέρεσθαι* Weil 16 *βαρβάροις γέγονεν* AY 17 *τῆι μὲν* FAY 19 *ἡμῶν* A 20 *βουλομένους* A[1] corr. ead.

Εἶτά φησιν ὃς ἂν τύχῃ παρελθών· „οὐ γὰρ ἐθέλεις 68
γράφειν, οὐδὲ κινδυνεύειν, ἀλλ᾽ ἄτολμος εἶ καὶ μαλακός“.
ἐγὼ δὲ θρασὺς μὲν καὶ βδελυρὸς καὶ ἀναιδὴς οὔτ᾽ εἰμὶ
μήτε γενοίμην, ἀνδρειότερον μέντοι πολλῶν πάνυ τῶν
5 *ἰταμῶς πολιτευομένων παρ᾽ ὑμῖν ἐμαυτὸν ἡγοῦμαι. ὅστις* 69
μὲν γὰρ ὦ ἄνδρες Ἀθηναῖοι παριδὼν ἃ συνοίσει τῇ πό-
λει, κρίνει, δημεύει, δίδωσιν, κατηγορεῖ, οὐδεμιᾷ ταῦτ᾽
ἀνδρείᾳ ποιεῖ, ἀλλ᾽ ἔχων ἐνέχυρον τῆς αὑτοῦ σωτηρίας
107 *τὸ πρὸς χάριν ὑμῖν λέγειν καὶ | πολιτεύεσθαι ἀσφαλῶς*
10 *θρασύς ἐστιν· ὅστις δ᾽ ὑπὲρ τοῦ βελτίστου πολλὰ τοῖς*
ὑμετέροις ἐναντιοῦται βουλήμασιν, καὶ μηδὲν λέγει πρὸς
χάριν, ἀλλὰ τὸ βέλτιστον αἰεί, καὶ τὴν τοιαύτην πολι-
τείαν προαιρεῖται, ἐν ᾗ πλειόνων ἡ τύχη κυρία γίγνεται
ἢ οἱ λογισμοί, τούτων δ᾽ ἀμφοτέρων ἑαυτὸν ὑπεύθυνον
15 *ὑμῖν παρέχει, οὗτός ἐστ᾽ ἀνδρεῖος, καὶ χρήσιμος πο-* 70
λίτης ὁ τοιοῦτός ἐστιν, οὐχ οἱ τῆς παρ᾽ ἡμέραν χάριτος
τὰ μέγιστα τῆς πόλεως ἀπολωλεκότες, οὓς ἐγὼ τοσούτου
δέω ζηλοῦν ἢ νομίζειν ἀξίους πολίτας τῆς πόλεως εἶναι,
ὥστ᾽ εἴ τις ἔροιτό με· „εἰπέ μοι, σὺ δὲ τί τὴν πόλιν ἡμῖν
20 *ἀγαθὸν πεποίηκας;“ ἔχων ὦ ἄνδρες Ἀθηναῖοι καὶ τρι-*
ηραρχίας εἰπεῖν καὶ χορηγίας καὶ χρημάτων εἰσφορὰς καὶ
λύσεις αἰχμαλώτων καὶ τοιαύτας ἄλλας φιλανθρωπίας,
οὐδὲν ἂν τούτων εἴποιμι, ἀλλ᾽ ὅτι τῶν τοιούτων πολι- 71
τευμάτων οὐδὲν πολιτεύομαι, ἀλλὰ δυνάμενος ἂν ἴσως,
25 *ὥσπερ καὶ ἕτεροι, καὶ κατηγορεῖν καὶ χαρίζεσθαι καὶ δη-*

4 *μήτε*] *οὔτε* S | *πολλῶν* SF: *πολλῷ* AY 7 *κατηγορεῖ* del. Dobree 11 *ἡμετέροις* F 12 *ἀεὶ* FA | *τὴν* om. AY 14 sq. *ὑπεύθυνον ὑμῖν ἑαυτὸν* F 15 post *χρήσιμος* add. *γε* FY *καὶ* A 19 *δὲ δὴ* FAY cf. Aesch. I 80. Plat. Gorg. 452a | *ἡμῶν* FAY 24 *πεπολίτευμαι* AY 25 *καὶ* ante *κατηγορεῖν* om. F

μένειν καὶ τἄλλ' ἃ ποιοῦσιν οὗτοι ποιεῖν, οὐδ' ἐφ' ἓν τούτων πώποτ' ἐμαυτὸν ἔταξα, οὐδὲ προήχθην οὔθ' ὑπὸ κέρδους οὔθ' ὑπὸ φιλοτιμίας, ἀλλὰ διατελῶ λέγων ἐξ ὧν ἐγὼ μὲν πολλῶν ἐλάττων εἰμὶ παρ' ὑμῖν, ὑμεῖς δ', εἰ πείσεσθέ μοι, μείζους ἂν εἴητε· οὕτω γὰρ ἴσως ἀνεπί- 5
72 *φθονον εἰπεῖν. οὐδ' ἔμοιγε δοκεῖ δικαίου τοῦτ' εἶναι πολίτου, τοιαῦτα πολιτεύμαθ' εὑρίσκειν ἐξ ὧν ἐγὼ μὲν πρῶτος ὑμῶν ἔσομαι εὐθέως, ὑμεῖς δὲ τῶν ἄλλων ὕστατοι· ἀλλὰ συναυξάνεσθαι δεῖ τὴν πόλιν τοῖς τῶν ἀγαθῶν πολιτῶν πολιτεύμασι, καὶ τὸ βέλτιστον αἰεί, μὴ τὸ ῥᾷστον* 10 *ἅπαντας λέγειν· ἐπ' ἐκεῖνο μὲν γὰρ ἡ | φύσις αὐτὴ βαδι-* 108 *εῖται, ἐπὶ τοῦτο δὲ τῷ λόγῳ δεῖ προάγεσθαι διδάσκοντα τὸν ἀγαθὸν πολίτην.*

73 *Ἤδη τοίνυν τινὸς ἤκουσα τοιοῦτόν τι λέγοντος, ὡς ἄρ' ἐγὼ λέγω μὲν αἰεὶ τὰ βέλτιστα, ἔστι δ' οὐδὲν ἀλλ'* 15 *ἢ λόγοι τὰ παρ' ἐμοῦ, δεῖ δ' ἔργων τῇ πόλει καὶ πράξεώς τινος. ἐγὼ δ' ὡς ἔχω περὶ τούτων, λέξω πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι. οὐδ' εἶναι νομίζω τοῦ συμβουλεύοντος ὑμῖν ἔργον οὐδὲν πλὴν εἰπεῖν τὰ βέλτιστα. καὶ τοῦθ'*
74 *ὅτι τοῦτον ἔχει τὸν τρόπον ῥᾳδίως οἶμαι δείξειν. ἴστε* 20 *γὰρ δήπου τοῦθ', ὅτι Τιμόθεός ποτ' ἐκεῖνος ἐν ὑμῖν ἐδημηγόρησεν ὡς δεῖ βοηθεῖν καὶ τοὺς Εὐβοέας σῴζειν, ὅτε Θηβαῖοι κατεδουλοῦντ' αὐτούς, καὶ λέγων εἶπεν οὕτω*

1 *ἓν* S: *ἑνὶ* FAY 3 *διατελῶ* S mg.: om. S text. *μένω* s. v. S rec. *διαμένω* FAY *διαμένειν* est glossa *διατελεῖν* verbi XVIII 2 in Urbin. 5 *πείσεσθε* E. Müller: *πείθεσθε* S *πείθοισθε* FAY | *ἂν ἴσως* F 6 *οὐδέ γ' ἐμοὶ* F *οὐδέ γέ μοι* A *οὐδέγεμοι* Y 7 *μὲν ἐγὼ* F 10 *αἰεὶ* S F[1]: *ἀεὶ* F corr. AY 11 *ἐπ' ἐκεῖνο* S corr. FY[2]: *ἐπ' ἐκεῖνον* S[1] *ἐπ' ἐκείνων* (ut vid.) Y[1] *εἶτα ἐκείνων* A | *γὰρ* om. A | post *φύσις* iterat Y v. l. *εἶτα ἐκείνων μὲν ἡ φύσις* | *αὔτη* Y[1] 14 *καὶ τοιοῦτον* FY 15 *ἀεὶ* FAY 18 *οὐδ'* S: *οὐκ* FAY 23 *ὅτε*] *ὅτι* A

πως· „εἰπέ μοι, βουλεύεσθε“, ἔφη, „Θηβαίους ἔχοντες ἐν νήσῳ, τί χρήσεσθε καὶ τί δεῖ ποιεῖν; οὐκ ἐμπλήσετε τὴν θάλατταν ὦ ἄνδρες Ἀθηναῖοι τριήρων; οὐκ ἀναστάντες ἤδη πορεύσεσθ' εἰς τὸν Πειραιᾶ; οὐ καθέλξετε τὰς ναῦς;“
5 οὐκοῦν εἶπε μὲν ταῦθ' ὁ Τιμόθεος, ἐποιήσατε δ' ὑμεῖς· 75 ἐκ δὲ τούτων ἀμφοτέρων τὸ πρᾶγμ' ἐπράχθη. εἰ δ' ὁ μὲν εἶπεν ὡς οἷόν τε τὰ ἄριστα, ὥσπερ εἶπεν, ὑμεῖς δ' ἀπερρᾳθυμήσατε καὶ μηδὲν ὑπηκούσατε, ἆρ' ἂν ἦν γεγονός τι τῶν τότε συμβάντων τῇ πόλει; οὐχ οἷόν τε. οὕτω τοί-
10 νυν καὶ περὶ ὧν ἂν ἐγὼ λέγω [καὶ περὶ ὧν ἂν ὁ δεῖν' εἴπῃ], τὰ μὲν ἔργα παρ' ὑμῶν αὐτῶν ζητεῖτε, τὰ δὲ βέλτιστ' ἐπιστήμῃ λέγειν παρὰ τοῦ παριόντος.

Ἐν κεφαλαίῳ δ' ἃ λέγω φράσας καταβῆναι βούλομαι. 76 χρήματ' εἰσφέρειν φημὶ δεῖν· τὴν ὑπάρχουσαν δύναμιν
109 συνέχειν, ἐπανορθοῦντας | εἴ τι δοκεῖ μὴ καλῶς ἔχειν, μὴ
15 ὅσοις ἂν τις αἰτιάσηται τὸ ὅλον καταλύοντας· πρέσβεις ἐκπέμπειν πανταχοῖ τοὺς διδάξοντας, νουθετήσοντας, πράξοντας· παρὰ πάντα ταῦτα τοὺς ἐπὶ τοῖς πράγμασιν δωροδοκοῦντας κολάζειν καὶ μισεῖν πανταχοῦ, ἵν' οἱ μέτριοι
20 καὶ δικαίους αὑτοὺς παρέχοντες εὖ βεβουλεῦσθαι δο-

1 post βουλεύεσθε add. ὦ Ἀθηναῖοι Hermog. III 237 W. (259, 3 R.). 340 (355, 18). 341 (356, 10) | ἔχοντας A[1] corr. ead. ut vid. 4 πορεύεσθε FAY 7 τὰ del. Cobet | εἶπεν τότε F γρ. Y rec. 8 καὶ μηδὲν ὑπηκούσατε om. A[1] (add. A[2] mg.) Y[1] 9 τε] τόγε A 10 λέγω νῦν S rec. mg. AY | καὶ .. εἴπῃ add. S rec. mg. FAY (εἴπῃ om. A[1] add. s. v. A[2]) 11 ἃ δὲ βέλτιστ' ἢ μὴ [λέγειν] Blass ἃ δὲ βέλτιστ' ἔνεστι λέγειν coni. Sandys τὰ δὲ βέλτισθ' ἂν ἐπιστηθῇ λέγειν Deuerling; at cf. Plat. Ion. 536[c] ἐξ ἐμπειρίας Aesch. III 2 13 δ' ἃ] δὲ S α in ras. Y[1] | καταβῆναι γὰρ S s. v. rec. 16 ὅσοις S: οἷς FAY | αἰτιάσεται A 17 πανταχοῖ SY mg.: πανταχοῦ FAY[1] | post πράξοντας add. πάντα ὅσα ἂν δύνωνται τῆι πόλει S rec. ὅσα ἂν δύνωνται (ω in ras. F) τῆι πόλει FAY 18 παράπαντα A cf. VII 18 19 ἀεὶ (αἰεὶ Y) καὶ πανταχοῦ FAY (ex XVIII 242?) 20 ἑαυτοὺς FAY

77 *κῶσι καὶ τοῖς ἄλλοις καὶ ἑαυτοῖς. ἂν οὕτω τοῖς πράγμασι χρῆσθε καὶ παύσησθ' ὀλιγωροῦντες ἁπάντων, ἴσως ἄν, ἴσως καὶ νῦν ἔτι βελτίω γένοιτο. εἰ μέντοι καθεδεῖσθε, ἄχρι τοῦ θορυβῆσαι καὶ ἐπαινέσαι σπουδάζοντες, ἐὰν δὲ δέῃ τι ποιεῖν ἀναδυόμενοι, οὐχ ὁρῶ λόγον ὅστις* 5 *ἄνευ τοῦ ποιεῖν ὑμᾶς ἃ προσήκει δυνήσεται τὴν πόλιν σῷσαι.*

1 *ἂν* SA *γρ.* Y rec.: *κἄν* F (fort. *κ* postea additum) Y[1] 2 *χρῆσθαι* F[1] 3 *νῦν ἔτι* om. Y[1] | *τὰ λοιπὰ βελτίω* F *βελτίω τὰ λοιπὰ* AY | *καθεδεῖσθε*] *δ* in ras. S *καθεδεῖσθαι* A 5 *δὲ* om. S

In S (a m. correctoris) F Y subscriptum

ΠΕΡΙ ΤΩΝ ΕΝ ΧΕΡΡΟΝΗΣΩΙ

𐅅𐅄ΔΔΔΔ

(Π add. Christ, cf. ad. or. VII fin.)

(in Y 𐅅𐅄ΔΔΔΔ· Δ' quod Δ' corrigendum videtur in Δ̣ = *διώρθωται*)

IX

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Γ

ΥΠΟΘΕΣΙΣ

Ἁπλῆ τοῦ λόγου τούτου ἡ ὑπόθεσις· Φιλίππου γὰρ λόγῳ μὲν εἰρήνην ἄγοντος, ἔργῳ δὲ πόλλ' ἀδικοῦντος, συμβουλεύει τοῖς Ἀθηναίοις ὁ ῥήτωρ ἀναστῆναι καὶ ἀμύνασθαι τὸν βασιλέα, ὡς κινδύνου μεγάλου καὶ αὐτοῖς ἐπικρεμαμένου καὶ πᾶσι 5 κοινῇ τοῖς Ἕλλησιν.

110 *Πολλῶν ὦ ἄνδρες Ἀθηναῖοι λόγων γιγνομένων ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν περὶ ὧν Φίλιππος, ἀφ' οὗ τὴν εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τοὺς ἄλλους ἀδικεῖ, καὶ πάντων οἶδ' ὅτι φησάντων γ' ἄν, εἰ 10 καὶ μὴ ποιοῦσι τοῦτο, καὶ λέγειν δεῖν καὶ πράττειν ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει, εἰς τοῦθ' ὑπηγμένα πάντα τὰ πράγματα καὶ προειμέν' ὁρῶ, ὥστε δέδοικα μὴ βλάσφημον μὲν εἰπεῖν, ἀληθὲς δέ· εἰ καὶ λέγειν ἅπαντες ἐβούλονθ' οἱ παριόντες καὶ χειροτονεῖν ὑμεῖς*

Ὑπόθεσις λόγου οὗ ἡ ἀρχὴ πολλῶν ὦ ἀθηναῖοι λόγων γενομένων ὀλίγου δεῖν F 1 *ἡ* om. Y 7 *δεῖν*] *ν* pallidius, incertum rasura an macula S 9 *ἄλλους* S Dion. Hal. Dem. p. 976 Thuc. p. 948 *ἄλλους ἕλληνας* S rec. FAY | *εὖ οἶδ'* FAY Dion. p. 976 10 *δεῖ* Y[1] | *πράττειν ἅπασι προσήκειν* FAY 12 *προεμενα* S[1] *προιεμενα* vel *προειμενα* S corr. *προειρημένα* A[1]Y[1] Dion. c. M p. 948 13 *δὲ* S (*ε* in ras. quid S[1] habuerit incertum) F[1] Dion. p. 948: *δ' ἢ* (*ἦι*) S rec. F rec. AY Dion. p. 976 14 post *ἐβούλοντο* 8—9 litt. eras. Y

ἐξ ὧν ὡς φαυλότατ' ἔμελλε τὰ πράγμαθ' ἕξειν, οὐκ ἂν
2 ἡγοῦμαι δύνασθαι χεῖρον ἢ νῦν διατεθῆναι. πολλὰ μὲν
οὖν ἴσως ἐστὶν αἴτια τούτων, καὶ οὐ παρ' ἓν οὐδὲ δύ'
εἰς τοῦτο τὰ πράγματ' ἀφῖκται, μάλιστα δ', ἄνπερ ἐξε-
τάζητ' ὀρθῶς, εὑρήσετε διὰ τοὺς χαρίζεσθαι μᾶλλον ἢ 5
τὰ βέλτιστα λέγειν προαιρουμένους· ὧν τινες μὲν ὦ
ἄνδρες Ἀθηναῖοι ἐν οἷς εὐδοκιμοῦσιν αὐτοὶ καὶ δύναν-
ται, ταῦτα φυλάττοντες οὐδεμίαν περὶ τῶν μελλόντων
πρόνοιαν ἔχουσιν, οὐκοῦν οὐδ' ὑμᾶς οἴονται δεῖν ἔχειν,
ἕτεροι δὲ τοὺς ἐπὶ τοῖς πράγμασιν ὄντας αἰτιώμενοι καὶ 10
διαβάλλοντες οὐδὲν ἄλλο ποιοῦσιν ἢ ὅπως ἡ πόλις παρ'
αὐτῆς δίκην λή|ψεται καὶ περὶ τοῦτ' ἔσται, Φιλίππῳ δ' **111**
3 ἐξέσται καὶ λέγειν καὶ πράττειν ὅ τι βούλεται. αἱ δὲ
τοιαῦται πολιτεῖαι συνήθεις μέν εἰσιν ὑμῖν, αἴτιαι δὲ
τῶν κακῶν. ἀξιῶ δ' ὦ ἄνδρες Ἀθηναῖοι, ἄν τι τῶν ἀλη- 15
θῶν μετὰ παρρησίας λέγω, μηδεμίαν μοι διὰ τοῦτο παρ'
ὑμῶν ὀργὴν γενέσθαι. σκοπεῖτε γὰρ ὡδί· ὑμεῖς τὴν
παρρησίαν ἐπὶ μὲν τῶν ἄλλων οὕτω κοινὴν οἴεσθε δεῖν
εἶναι πᾶσι τοῖς ἐν τῇ πόλει, ὥστε καὶ τοῖς ξένοις καὶ
τοῖς δούλοις αὐτῆς μεταδεδώκατε (καὶ πολλοὺς ἄν τις 20
οἰκέτας ἴδοι παρ' ἡμῖν μετὰ πλείονος ἐξουσίας ὅ τι βού-
λονται λέγοντας ἢ πολίτας ἐν ἐνίαις τῶν ἄλλων πόλεων),
4 ἐκ δὲ τοῦ συμβουλεύειν παντάπασιν ἐξεληλάκατε. εἶθ'

1 ἔμελλε τὰ] ἐμέλλετε S[1] superscr. τα S rec. 2 νῦν αὐτὰ S rec. AY 3 τούτων S: τοῦ ταῦθ' οὕτως ἔχειν FAY 9 οὐκοῦν ... ἔχειν om. S[1]. Haec et alia, cum alterius recensionis multis videantur esse, Blassii exemplo litteris minoribus exprimenda curavi 11 ἡ om. Y[1] | πόλις S: μὲν πόλις αὐτὴ FAY (αὕτη Y) 12 τούτου A 14 αἰτίαι S 15 τῶν κακῶν S[1] γρ. F: τῶν κακῶν καὶ τῶν ἁμαρτημάτων A τῆς ταραχῆς καὶ τῶν ἁμαρτημάτων γρ. (ἢ) S rec. FY | ἀξιῶ δ' ὑμᾶς FA | ἐάν FY 21 ἡμῖν S: ὑμῖν F ὑμῖν AY

ὑμῖν συμβέβηκεν ἐκ τούτου, ἐν μὲν ταῖς ἐκκλησίαις VIII 34
τρυφᾶν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούου-
σιν, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν
ἐσχάτων ἤδη κινδυνεύειν. εἰ μὲν οὖν καὶ νῦν οὕτω
5 διάκεισθε, οὐκ ἔχω τί λέγω· εἰ δ᾽ ἃ συμφέρει χωρὶς
κολακείας ἐθελήσετ᾽ ἀκούειν, ἕτοιμος λέγειν. καὶ γὰρ
εἰ πάνυ φαύλως τὰ πράγματ᾽ ἔχει καὶ πολλὰ προεῖται,
ὅμως ἔστιν, ἐὰν ὑμεῖς τὰ δέοντα ποιεῖν βούλησθε, ἔτι
πάντα ταῦτ᾽ ἐπανορθώσασθαι. καὶ παράδοξον μὲν ἴσως 5
10 ἐστὶν ὃ μέλλω λέγειν, ἀληθὲς δέ· τὸ χείριστον ἐν IV 2
τοῖς παρεληλυθόσιν τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον
ὑπάρχει. τί οὖν ἐστι τοῦτο; ὅτι οὔτε μικρὸν οὔτε μέγ᾽
οὐδὲν τῶν δεόντων ποιούντων ὑμῶν κακῶς τὰ πράγματ᾽
112 ἔχει, ἐπεί τοι, εἰ πάνθ᾽ ἃ προσῆκε πρατ|τόντων οὕτω
15 διέκειτο, οὐδ᾽ ἂν ἐλπὶς ἦν αὐτὰ γενέσθαι βελτίω. νῦν
δὲ τῆς ῥᾳθυμίας τῆς ὑμετέρας καὶ τῆς ἀμελείας κεκρά-
τηκε Φίλιππος, τῆς πόλεως δ᾽ οὐ κεκράτηκεν· οὐδ᾽ ἥτ-
τησθ᾽ ὑμεῖς, ἀλλ᾽ οὐδὲ κεκίνησθε.

Εἰ μὲν οὖν ἅπαντες ὡμολογοῦμεν Φίλιππον τῇ πόλει πολε- 6
20 μεῖν καὶ τὴν εἰρήνην παραβαίνειν, οὐδὲν ἄλλ᾽ ἔδει τὸν παρ-
ιόντα λέγειν καὶ συμβουλεύειν ἢ ὅπως ἀσφαλέστατα καὶ ῥᾷστ᾽
αὐτὸν ἀμυνούμεθα· ἐπειδὴ δ᾽ οὕτως ἀτόπως ἔνιοι διάκεινται,
ὥστε πόλεις καταλαμβάνοντος ἐκείνου καὶ πολλὰ τῶν ὑμετέρων
ἔχοντος καὶ πάντας ἀνθρώπους ἀδικοῦντος ἀνέχεσθαί τινων
25 ἐν ταῖς ἐκκλησίαις λεγόντων πολλάκις ὡς ἡμῶν τινές εἰσιν οἱ
ποιοῦντες τὸν πόλεμον, ἀνάγκη φυλάττεσθαι καὶ διορθοῦσθαι

5 συμφέρει S: συμφέρει τοῖς πράγμασι FY συμφ. τῆι πόλει γρ. FA 9 ταῦτα πάντα AY 14 τοι S: τοί γε FAY ex IV 2 | προσήκει πραττόντων ὑμῶν FAY 16 τῆς μὲν ῥαιθ. FAY | καὶ τῆς ἀμελείας om. A 19 sqq. εἰ μὲν οὖν ... πολεμεῖν δεῖ om. S[1] add. S rec. mg. FAY | ὁμολογοῦμεν S 21 ἢ om. A | ὅπως ὡς Reiske cf. XIV 14 22 αὐτὸν om. Y

7 *περὶ τούτου· ἔστι γὰρ δέος μήποθ' ὡς ἀμυνούμεθα γράψας τις καὶ συμβουλεύσας εἰς τὴν αἰτίαν ἐμπέσῃ τοῦ πεποιηκέναι τὸν πόλεμον. ἐγὼ δὲ τοῦτο πρῶτον ἁπάντων λέγω καὶ διορίζομαι, εἰ ἐφ' ἡμῖν ἐστι τὸ βουλεύεσθαι περὶ τοῦ πότερον εἰρή-*
8 *νην ἄγειν ἢ πολεμεῖν δεῖ.* Εἰ μὲν οὖν ἔξεστιν εἰρήνην 5 ἄγειν τῇ πόλει καὶ ἐφ' ἡμῖν ἐστιν τοῦτο, ἵν' ἐντεῦθεν ἄρξωμαι, φήμ' ἔγωγ' ἄγειν ἡμᾶς δεῖν, καὶ τὸν ταῦτα λέγοντα γράφειν καὶ πράττειν καὶ μὴ φενακίζειν ἀξιῶ· εἰ δ' ἕτερος τὰ ὅπλ' ἐν ταῖς χερσὶν ἔχων καὶ δύναμιν πολλὴν περὶ αὐτὸν τοὔνομα μὲν τὸ τῆς εἰρήνης ὑμῖν προ- 10 βάλλει, τοῖς δ' ἔργοις αὐτὸς τοῖς τοῦ πολέμου χρῆται, τί λοιπὸν ἄλλο πλὴν ἀμύνεσθαι; φάσκειν δ' εἰρήνην ἄγειν εἰ
9 βούλεσθε, ὥσπερ ἐκεῖνος, οὐ διαφέρομαι. εἰ δέ | τις ταύτην 118 εἰρήνην ὑπολαμβάνει, ἐξ ἧς ἐκεῖνος πάντα τἄλλα λαβὼν ἐφ' ἡμᾶς ἥξει, πρῶτον μὲν μαίνεται, ἔπειτ' ἐκείνῳ παρ' ὑμῶν, 15 οὐχ ὑμῖν παρ' ἐκείνου τὴν εἰρήνην λέγει· τοῦτο δ' ἐστὶν ὃ τῶν ἀναλισκομένων χρημάτων πάντων Φίλιππος ὠνεῖται, αὐτὸς μὲν πολεμεῖν ὑμῖν, ὑφ' ὑμῶν δὲ μὴ πολεμεῖσθαι.

10 Καὶ μὴν εἰ μέχρι τούτου περιμενοῦμεν, ἕως ἂν ἡμῖν ὁμολογήσῃ πολεμεῖν, πάντων ἐσμὲν εὐηθέστατοι· οὐδὲ 20 γὰρ ἂν ἐπὶ τὴν Ἀττικὴν αὐτὴν βαδίζῃ καὶ τὸν Πειραιᾶ, τοῦτ' ἐρεῖ, εἴπερ οἷς πρὸς τοὺς ἄλλους πεποίηκε δεῖ
11 τεκμαίρεσθαι. τοῦτο μὲν γὰρ Ὀλυνθίοις, τετταράκοντ' ἀπέχων τῆς πόλεως στάδια, εἶπεν ὅτι δεῖ δυοῖν θάτερον,

1 *τούτων* SA | *ἀμυνώμεθα γρ.* F 2 *τις* post *συμβουλεύσας* SA 3 *δὲ* SF: *δὴ* AY | *διορίζομαι*] *διισχυρίζομαι* S | post *διορίζομαι* gravius interpunxit et post *πολεμεῖν δεῖ* ⟨*φήμ' ἔγωγ' εἰρήνην*⟩ ex § 8 supplevit Weil 4 *βουλεύσασθαι* FY 4 sq *εἰρήνην ἢ πόλεμον ἄγειν δεῖ* FY 10 *προβάλλεται* FAY 12 *ἀμύνασθαι* A 13 *βούλεσθαι* Y^1 16 *λέγει* S *γρ.* F: *ἄγειν* F *ἄγειν λέγει* AY 17 *ἁλισκομένων* F^{1}A^{1}Y^1 | *ἁπάντων* FAY 18 *αὐτὸν*^{ς} F *αὐτὸν* Y | *ἡμῶν* A^1 corr. A^3 20 *ἁπάντων* A 21 *βαδίζοι* S^1 corr. ead.

ἢ ᾽κείνους ἐν Ὀλύνθῳ μὴ οἰκεῖν ἢ αὐτὸν ἐν Μακεδονίᾳ,
πάντα τὸν ἄλλον χρόνον, εἴ τις αὐτὸν αἰτιάσαιτό τι
τοιοῦτον, ἀγανακτῶν καὶ πρέσβεις πέμπων τοὺς ἀπολο-
γησομένους· τοῦτο δ᾽ εἰς Φωκέας ὡς πρὸς συμμάχους
5 ἐπορεύετο, καὶ πρέσβεις Φωκέων ἦσαν οἳ παρηκολού-
θουν αὐτῷ πορευομένῳ, καὶ παρ᾽ ἡμῖν ἤριζον οἱ πολλοὶ
Θηβαίοις οὐ λυσιτελήσειν τὴν ἐκείνου πάροδον. καὶ μὴν 12
καὶ Φερὰς πρῴην ὡς φίλος καὶ σύμμαχος εἰς Θετταλίαν
ἐλθὼν ἔχει καταλαβών, καὶ τὰ τελευταῖα τοῖς ταλαι-
10 πώροις Ὠρείταις τουτοισὶ ἐπισκεψομένους ἔφη τοὺς
στρατιώτας πεπομφέναι κατ᾽ εὔνοιαν· πυνθάνεσθαι γὰρ
αὐτοὺς ὡς νοσοῦσι καὶ στασιάζουσιν, συμμάχων δ᾽ εἶναι
καὶ φίλων ἀληθινῶν ἐν τοῖς τοιούτοις καιροῖς παρεῖναι.
εἶτ᾽ οἴεσθ᾽ αὐτόν, οἳ ἐποίησαν μὲν οὐδὲν ἂν κακόν, μὴ 13
114 παθεῖν δ᾽ ἐφυ|λάξαντ᾽ ἂν ἴσως, τούτους μὲν ἐξαπατᾶν
16 αἱρεῖσθαι μᾶλλον ἢ προλέγοντα βιάζεσθαι, ὑμῖν δ᾽ ἐκ
προρρήσεως πολεμήσειν, καὶ ταῦθ᾽ ἕως ἂν ἑκόντες
ἐξαπατᾶσθε; οὐκ ἔστι ταῦτα· καὶ γὰρ ἂν ἀβελτερώτατος 14
εἴη πάντων ἀνθρώπων, εἰ τῶν ἀδικουμένων ὑμῶν μηδὲν
20 ἐγκαλούντων αὐτῷ, ἀλλ᾽ ὑμῶν αὐτῶν τινὰς αἰτιωμένων,
ἐκεῖνος ἐκλύσας τὴν πρὸς ἀλλήλους ἔριν ὑμῶν καὶ φι-
λονικίαν ἐφ᾽ αὐτὸν προείποι τρέπεσθαι, καὶ τῶν παρ᾽
ἑαυτοῦ μισθοφορούντων τοὺς λόγους ἀφέλοιτο, οἷς ἀνα-

4 συμμάχους καὶ φίλους AY mg. 6 οἱ om. FAY 10 του-τουσὶ F[1] τούτοις A 12 στασιάζουσιν ἐν αὐτοῖς FY 14 αὐτὸν οἳ ἐποίησαν μὲν οὐδὲν ἂν S γρ. F: οἳ (οὓς Dion. p. 979, εἰ οἳ vel οἱ εἰ p. 610) μὲν οὐδὲν ἂν αὐτὸν (αὐτὸν οὐδὲν Dion. p. 610) ἐδυνήθησαν ποιῆσαι FAY Dion. Hal. p. 979. 610 εἰ μὲν αὐτὸν μηδὲν ἐποίησαν p. 948 | μὴ om. A[1] 15 post μὲν add. αὐτὸν A[3] 20 post αἰτιωμένων add. καὶ κρίνειν βουλομένων FA[2] (verba 20 ἀλλ᾽ . . . βουλομένων om. A[1] add. A[2] in mg.) Y

βάλλουσιν ὑμᾶς, λέγοντες ὡς ἐκεῖνός γ' οὐ πολεμεῖ τῇ πόλει.

15 *Ἀλλ' ἔστιν, ὦ πρὸς τοῦ Διός, ὅστις εὖ φρονῶν ἐκ τῶν ὀνομάτων μᾶλλον ἢ τῶν πραγμάτων τὸν ἄγοντ' εἰρήνην ἢ πολεμοῦνθ' ἑαυτῷ σκέψαιτ' ἄν; οὐδεὶς δήπου. ὁ τοίνυν* 5 *Φίλιππος ἐξ ἀρχῆς, ἄρτι τῆς εἰρήνης γεγονυίας, οὔπω Διοπείθους στρατηγοῦντος οὐδὲ τῶν ὄντων ἐν Χερρονήσῳ νῦν ἀπεσταλμένων, Σέρριον καὶ Δορίσκον ἐλάμβανεν καὶ τοὺς ἐκ Σερρείου τείχους καὶ Ἱεροῦ ὄρους στρατιώτας ἐξέβαλλεν, οὓς ὁ ὑμέτερος στρατηγὸς* 10 *κατέστησεν. καίτοι ταῦτα πράττων τί ἐποίει; εἰρήνην* 16 *μὲν γὰρ ὀμωμόκει. καὶ μηδεὶς εἴπῃ· „τί δὲ ταῦτ' ἐστίν;“ ἢ „τί τούτων μέλει τῇ πόλει;“ εἰ μὲν γὰρ μικρὰ ταῦτ' ἢ μηδὲν ὑμῖν αὐτῶν ἔμελεν, ἄλλος ἂν εἴη λόγος οὗτος· τὸ δ' εὐσεβὲς καὶ τὸ δίκαιον, ἄν τ' ἐπὶ μικροῦ τις ἄν τ' ἐπὶ* 15 *μείζονος παραβαίνῃ, τὴν αὐτὴν ἔχει δύναμιν. φέρε δὴ νῦν, ἡνίκ' εἰς Χερρόνησον, ἣν βασιλεὺς καὶ πάντες οἱ* XIX 253 *Ἕλληνες ὑμετέραν ἐγνώκασιν εἶναι, ξένους εἰσπέμπει καὶ βοηθεῖν ὁμολογεῖ καὶ ἐπιστέλλει ταῦτα, τί ποιεῖ;* 17 *φησὶ μὲν γὰρ οὐ πολεμεῖν, ἐγὼ δὲ τοσοῦτον δέω ταῦτα* **115** *ποιοῦντ' ἐκεῖνον ἄγειν ὁμολογεῖν τὴν πρὸς ὑμᾶς εἰρήνην,* 21 *ὥστε καὶ Μεγάρων ἁπτόμενον καὶ ἐν Εὐβοίᾳ τυραννίδας*

5 *αὐτῶι* A | *που* F 7 sq. *ἐν χερρονήσωι νῦν ὄντων* FY 9 *κατελάμβανε(ν)* FAY | *σερρίου* FAY 11 *ἐγκατέστησε* A | *καίτοι ταῦτα* FA: *καὶ τοιαῦτα* SY 12 *ὡμολογήκει* ut videtur A[1] | *δὲ*] *δαὶ* F 13 *ταῦτ' ἐστιν* FAY 14 *ἡμῖν* F 15 *μικροῖς* F rec. 16 *μείζονος* (sscr. *οσι*) F 18 *εἰσπέμπειν* F 20 *φῇς* S | *πολεμεῖν ὑμῖν* A | *τοσούτωι* S *τοσούτου* (sscr. *ω*) F 21 *ὁμολογεῖν ἄγειν* FY 22 *μεγαρέων* A[1] | *τυραννίδας* Reiske: *τυραννίδα* SFAY cf. X 8

κατασκευάζοντα καὶ νῦν ἐπὶ Θρᾴκην παριόντα καὶ τὰ ἐν
Πελοποννήσῳ σκευωρούμενον καὶ πάνθ' ὅσα πράττει
μετὰ τῆς δυνάμεως ποιοῦντα λύειν φημὶ τὴν εἰρήνην
καὶ πολεμεῖν ὑμῖν, εἰ μὴ καὶ τοὺς τὰ μηχανήματ' ἐφι-
5 *στάντας εἰρήνην ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν*
ἤδη προσαγάγωσιν. ἀλλ' οὐ φήσετε· ὁ γὰρ οἷς ἂν ἐγὼ
ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος
ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ. τίσιν οὖν
ὑμεῖς κινδυνεύσαιτ' ἄν, εἴ τι γένοιτο; τῷ τὸν Ἑλλήσ- 18
10 *ποντον ἀλλοτριωθῆναι, τῷ Μεγάρων καὶ τῆς Εὐβοίας*
τὸν πολεμοῦνθ' ὑμῖν γενέσθαι κύριον, τῷ Πελοπον-
νησίους τἀκείνου φρονῆσαι. εἶτα τὸν τοῦτο τὸ μηχάνημ'
ἐπὶ τὴν πόλιν ἱστάντα, τοῦτον εἰρήνην ἄγειν ἐγὼ φῶ
πρὸς ὑμᾶς; πολλοῦ γε καὶ δεῖ, ἀλλ' ἀφ' ἧς ἡμέρας ἀνεῖλε 19
15 *Φωκέας, ἀπὸ ταύτης ἔγωγ' αὐτὸν πολεμεῖν ὁρίζομαι. ὑμᾶς*
δ', ἐὰν ἀμύνησθ' ἤδη, σωφρονήσειν φημί, ἐὰν δ' ἐάσητε,
οὐδὲ τοῦθ' ὅταν βούλησθε δυνήσεσθαι ποιῆσαι. καὶ το-
σοῦτόν γ' ἀφέστηκα τῶν ἄλλων ὦ ἄνδρες Ἀθηναῖοι τῶν
συμβουλευόντων, ὥστ' οὐδὲ δοκεῖ μοι περὶ Χερρονήσου
20 *νῦν σκοπεῖν οὐδὲ Βυζαντίου, ἀλλ' ἐπαμῦναι μὲν τούτοις,* 20

1 *θρᾴκην* (s s. v.) F *θρᾴκης* A   4 *ἐφιστάντας*] *φ* in ras. F[1]
5 sq. *ἕως .. φήσετε* om. S[1] scriba ipse *ὁ* v. 6 mutavit in *ἕως* et *ἄν ..*
ὁ add. in mg.   6 *ἤδη* om. A | *προσαγάγωσιν* FAY Hermog. III
326 (342, 24 R.): *προσάγωσιν* S | *ἐγὼ* add. A[1] s. v.   9 *κινδυ-*
νεύσετε· A | *τῷ*] *τοῦ* S[1]   10 *ὑμῶν ἀλλοτριωθῆναι* FY | *τῷ*]
τοῦ S[1] | post *καὶ* ras. 3 litt. Y   11 *τῷ*] *τοῦ* S[1]   13 *ἐφιστάντα*
FY | *τοῦτον* om. Hermog. 326 (343, 3 R.) | ante *τοῦτον* add. *καὶ*
παρασκευάζοντα (*κατα* s. v.) F *καὶ κατασκευάζοντα* A *καὶ παρασκ.* Y   14 *ἡμᾶς*
FY | *δέω* A   15 *ἔγωγ' ἂν* A | *πολεμεῖν ὑμῖν* A | *ὁρίζομαι πολε-*
μεῖν FY   16 *ἐὰν μὲν* FAY | *σωφρονίσειν* S[1] *σωφρονήσειν* (*ονεῖν* s. v.) F
σωφρονεῖν AY | *ἐάσητε* SA: *ἀναβάλλησθε* FY   17 *δυνήσεσθαι*
Reiske: *δυνήσεσθε* SFAY   20 *καὶ τούτοις* A

καὶ διατηρῆσαι μή τι πάθωσιν, καὶ τοῖς οὖσιν ἐκεῖ νῦν
στρατιώταις πάνθ' ὅσων ἂν δέωνται ἀποστεῖλαι, βουλεύε-
σθαι μέντοι περὶ πάντων τῶν Ἑλλήνων ὡς ἐν | κινδύνῳ 116
μεγάλῳ καθεστώτων. βούλομαι δ' εἰπεῖν πρὸς ὑμᾶς ἐξ
ὧν ὑπὲρ τῶν πραγμάτων οὕτω φοβοῦμαι, ἵν', εἰ μὲν ὀρ- 5
θῶς λογίζομαι, μετάσχητε τῶν λογισμῶν καὶ πρόνοιάν
τιν' ὑμῶν γ' αὐτῶν, εἰ μὴ καὶ τῶν ἄλλων ἄρα βούλεσθε,
ποιήσησθε, ἐὰν δὲ ληρεῖν καὶ τετυφῶσθαι δοκῶ, μήτε
νῦν μήτ' αὖθις ὡς ὑγιαίνοντί μοι προσέχητε.

21 *Ὅτι μὲν δὴ μέγας ἐκ μικροῦ καὶ ταπεινοῦ τὸ κατ'* 10
ἀρχὰς Φίλιππος ηὔξηται, καὶ ἀπίστως καὶ στασιαστικῶς
ἔχουσι πρὸς αὑτοὺς οἱ Ἕλληνες, καὶ ὅτι πολλῷ παραδοξό-
τερον ἦν τοσοῦτον αὐτὸν ἐξ ἐκείνου γενέσθαι ἢ νῦν, ὅθ'
οὕτω πολλὰ προείληφεν, καὶ τὰ λοιπὰ ὑφ' αὑτῷ ποιήσα-
σθαι, καὶ πάνθ' ὅσα τοιαῦτ' ἂν ἔχοιμι διεξελθεῖν, παρα- 15
22 *λείψω. ἀλλ' ὁρῶ συγκεχωρηκότας ἅπαντας ἀνθρώπους,*
ἀφ' ὑμῶν ἀρξαμένους, αὐτῷ, ὑπὲρ οὗ τὸν ἄλλον ἅπαντα
χρόνον πάντες οἱ πόλεμοι γεγόνασιν οἱ Ἑλληνικοί. τί
οὖν ἐστι τοῦτο; τὸ ποιεῖν ὅ τι βούλεται, καὶ καθ' ἕν'
οὑτωσὶ περικόπτειν καὶ λωποδυτεῖν τῶν Ἑλλήνων καὶ 20
23 *καταδουλοῦσθαι τὰς πόλεις ἐπιόντα. καίτοι προστάται*
μὲν ὑμεῖς ἑβδομήκοντ' ἔτη καὶ τρία τῶν Ἑλλήνων ἐγέ-
νεσθε, προστάται δὲ τριάκονθ' ἑνὸς δέοντα Λακεδαιμό-
νιοι, ἴσχυσαν δέ τι καὶ Θηβαῖοι τουτουσὶ τοὺς τελευ-

1 sq. *καὶ τοῖς .. ἀποστεῖλαι* om. S | *ἐκεῖ νῦν οὖσιν* A cf. § 15 2 *στρατιώταις* A: *στρατηγοῖς* FY | *βουλεύσασθαι?* Y^1 4 *μεγίστωι καθεστηκότων* FAY 6 *λογίζωμαι* SY^1 7 *καὶ μὴ* F | *ἂν ἄρα* AY^2 | *βούλεσθε* O (?): *βούλησθε* SFAY 8 *ποιήσεσθε* FA corr. Y^1 (ut videtur) | *ἐὰν* SA („senarium efficiens" Blass): *ἂν* FY 10 *δὴ*] *οὖν* A cf. IV 44 11 *ὁ φίλιππος* FAY 13 *ὅθ'*] *ὅταν* A 14 *ἑαυτῶι* A 17 *ἅπαντες* FY 19 *ἕνα* SY^1: *ἕνα ἕκαστον* FAY^2 20 *τὰ τῶν* A 24 *τοὺς τελευταίους τουτουσὶ* FY

ταίους χρόνους μετὰ τὴν ἐν Λεύκτροις μάχην. ἀλλ' ὅμως
οὔθ' ὑμῖν οὔτε Θηβαίοις οὔτε Λακεδαιμονίοις οὐδεπώ-
ποτ' ὦ ἄνδρες Ἀθηναῖοι συνεχωρήθη τοῦθ' ὑπὸ τῶν
Ἑλλήνων, ποιεῖν ὅ τι βούλοισθε, οὐδὲ πολλοῦ δεῖ· ἀλλὰ 24
5 τοῦτο μὲν ὑμῖν, μᾶλλον δὲ τοῖς τότ' οὖσιν Ἀθηναίοις, |
117 ἐπειδή τισιν οὐ μετρίως ἐδόκουν προσφέρεσθαι, πάντες
ᾤοντο δεῖν, καὶ οἱ μηδὲν ἐγκαλεῖν ἔχοντες αὐτοῖς, μετὰ
τῶν ἠδικημένων πολεμεῖν· καὶ πάλιν Λακεδαιμονίοις
ἄρξασιν καὶ παρελθοῦσιν εἰς τὴν αὐτὴν δυναστείαν ὑμῖν,
10 ἐπειδὴ πλεονάζειν ἐπεχείρουν καὶ πέρα τοῦ μετρίου τὰ
καθεστηκότ' ἐκίνουν, πάντες εἰς πόλεμον κατέστησαν, καὶ
οἱ μηδὲν ἐγκαλοῦντες αὐτοῖς. καὶ τί δεῖ τοὺς ἄλλους λέ- 25
γειν; ἀλλ' ἡμεῖς αὐτοὶ καὶ Λακεδαιμόνιοι, οὐδὲν ἂν εἰπεῖν
ἔχοντες ἐξ ἀρχῆς ὅ τι ἠδικούμεθ' ὑπ' ἀλλήλων, ὅμως ὑπὲρ
15 ὧν τοὺς ἄλλους ἀδικουμένους ἑωρῶμεν, πολεμεῖν ᾠόμεθα
δεῖν. καίτοι πάνθ' ὅσ' ἐξημάρτηται καὶ Λακεδαιμονίοις
ἐν τοῖς τριάκοντ' ἐκείνοις ἔτεσιν καὶ τοῖς ἡμετέροις προ-
γόνοις ἐν τοῖς ἑβδομήκοντα, ἐλάττον' ἐστὶν ὦ ἄνδρες
Ἀθηναῖοι, ὧν Φίλιππος ἐν τρισὶ καὶ δέκ' οὐχ ὅλοις ἔτε-
20 σιν, οἷς ἐπιπολάζει, ἠδίκηκε τοὺς Ἕλληνας, μᾶλλον δ'
οὐδὲ μέρος τούτων ἐκεῖνα. καὶ τοῦτ' ἐκ βραχέος λόγου ῥᾴ- 26
διον δεῖξαι. Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλω-
νίαν καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ, ἃς
ἁπάσας οὕτως ὠμῶς ἀνῄρηκεν, ὥστε μηδ' εἰ πώποτ'

4 τὸ ποιεῖν A | βούλεσθε FAY | δεῖ] εῖ in ras. A[2] 6 προ-
φέρεσθαι S[1] 7 πολεμεῖν post δεῖν FY om. v. 8 8 ἠδικη-
μένων τὸ F 9 αὐτὴν δυναστείαν SA: δυναστείαν τὴν αὐτὴν
FY 11 ἅπαντες A 17 ὑμετέροις FAY 18 ἔλαττον Y[1] 21 οὐ-
δὲν E. Müller cf. Isocr. II 11. V 43. XII 16. 54 | μέρος O corr. Reh-
dantz: πέμπτον μέρος S πολλοστὸν πέμπτον μέρος FY[1] πολλοστὸν
μέρος γρ. S mg. AY corr. cf. Dionys. Arch. VI 8, 1 | καὶ .. δεῖξαι
om. S add. S rec. mg. FAY | βραχέως A[1] 24 μηδένα μηδ' FA[3] mg. Y

*φκήθησαν προσελθόντ' εἶναι ῥάδιον εἰπεῖν· καὶ τὸ Φω-
κέων ἔθνος τοσοῦτον ἀνῃρημένον σιωπῶ. ἀλλὰ Θετταλία
πῶς ἔχει; οὐχὶ τὰς πολιτείας καὶ τὰς πόλεις αὐτῶν παρῄ-
ρηται καὶ τετραρχίας κατέστησεν, ἵνα μὴ μόνον κατὰ*
27 *πόλεις ἀλλὰ καὶ κατ' ἔθνη δουλεύωσιν; αἱ δ' ἐν Εὐβοίᾳ* 5
*πόλεις οὐκ ἤδη τυραννοῦνται, καὶ ταῦτ' ἐν νήσῳ πλησίον
Θη|βῶν καὶ Ἀθηνῶν; οὐ διαρρήδην εἰς τὰς ἐπιστολὰς* 118
*γράφει „ἐμοὶ δ' ἐστὶν εἰρήνη πρὸς τοὺς ἀκούειν ἐμοῦ
βουλομένους"; καὶ οὐ γράφει μὲν ταῦτα, τοῖς δ' ἔργοις
οὐ ποιεῖ, ἀλλ' ἐφ' Ἑλλήσποντον οἴχεται, πρότερον ἧκεν* 10
*ἐπ' Ἀμβρακίαν, Ἦλιν ἔχει τηλικαύτην πόλιν ἐν Πελο-
ποννήσῳ, Μεγάροις ἐπεβούλευσε πρῴην, οὔθ' ἡ Ἑλλὰς*
28 *οὔθ' ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ τἀνθρώπου. καὶ
ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἅπαντες καὶ ἀκούοντες οὐ
πέμπομεν πρέσβεις περὶ τούτων πρὸς ἀλλήλους καὶ ἀγανα-* 15
*κτοῦμεν, οὕτω δὲ κακῶς διακείμεθα καὶ διορωρύγμεθα
κατὰ πόλεις, ὥστ' ἄχρι τῆς τήμερον ἡμέρας οὐδὲν οὔτε
τῶν συμφερόντων οὔτε τῶν δεόντων πρᾶξαι δυνάμεθα,
οὐδὲ συστῆναι, οὐδὲ κοινωνίαν βοηθείας καὶ φιλίας οὐδε-*
29 *μίαν ποιήσασθαι, ἀλλὰ μείζω γιγνόμενον τὸν ἄνθρωπον* 20
*περιορῶμεν, τὸν χρόνον κερδᾶναι τοῦτον ὃν ἄλλος ἀπόλ-
λυται ἕκαστος ἐγνωκώς, ὥς γ' ἐμοὶ δοκεῖ, οὐχ ὅπως σῳ-*

1 *ωιηθησαν* A[1] *φκίσθησαν* L Dionys. Dem. p. 1119 Strab. 121 b | *προσελθόντ' εἶναι ῥάδιον εἰπεῖν* SA: *εἶναι ῥάδιον προσελθόντ' εἰπεῖν* FY 3 *πολιτείας καὶ τὰς πόλεις* SA: *πόλεις καὶ τὰς πολιτείας* FY Harpocr. s. *ἔθνος* *καὶ τὰς πόλεις* om. Dion. p. 1120 secl. G. H. Schaefer | *ἀφῄρηται* Dion. *ἀφῄρηνται* Harpocr. s. *ἔθνος* 4 *τετραρχίας* S Dion. Harpocr. s. *τετρ.*: *τετραδαρχίας* F A Y Harpocr. s. *ἔθνος* | *κατέστησε παρ' αὐτοῖς* FAY Harpocr. 7 *εἰς τὰς ἐπιστολὰς* S: *ἐν ταῖς ἐπιστολαῖς* FAY Voemel XIX 40. 68 contulit 10 *επελλήσποντον* A 11 *αμπρακίαν* A[1] 17 *σήμερον* S 21 *κερδῆναι* Blass 22 *γέ μοι* FAY cf. VIII 72

θήσεται τὰ τῶν Ἑλλήνων σκοπῶν οὐδὲ πράττων, ἐπεί, ὅτι γ' ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ ἢ ἄλλου τινὸς κακοῦ καὶ τῷ πάνυ πόρρω δοκοῦντι νῦν ἀφεστάναι προσέρχεται, οὐδεὶς ἀγνοεῖ. καὶ μὴν κἀκεῖνό γ' ἴστε, ὅτι 30
5 ὅσα μὲν ὑπὸ Λακεδαιμονίων ἢ ὑφ' ἡμῶν ἔπασχον οἱ Ἕλληνες, ἀλλ' οὖν ὑπὸ γνησίων γ' ὄντων τῆς Ἑλλάδος ἠδικοῦντο, καὶ τὸν αὐτὸν τρόπον ἄν τις ὑπέλαβεν τοῦθ', ὥσπερ ἂν εἰ υἱὸς ἐν οὐσίᾳ πολλῇ γεγονὼς γνήσιος διῴκει τι μὴ καλῶς μηδ' ὀρθῶς, κατ' αὐτὸ μὲν τοῦτ' ἄξιον
10 μέμψεως εἶναι καὶ κατηγορίας, ὡς δ' οὐ προσήκων ἢ ὡς
119 οὐ κληρονόμος τούτων ὧν ταῦτ' | ἐποίει, οὐκ ἐνεῖναι λέγειν. εἰ δέ γε δοῦλος ἢ ὑποβολιμαῖος τὰ μὴ προσήκοντ' 31 ἀπώλλυε καὶ ἐλυμαίνετο, Ἡράκλεις ὅσῳ μᾶλλον δεινὸν καὶ ὀργῆς ἄξιον πάντες ἂν ἔφησαν εἶναι. ἀλλ' οὐχ ὑπὲρ
15 Φιλίππου καὶ ὧν ἐκεῖνος πράττει νῦν, οὐχ οὕτως ἔχουσιν, οὐ μόνον οὐχ Ἕλληνος ὄντος οὐδὲ προσήκοντος οὐδὲν τοῖς Ἕλλησιν, ἀλλ' οὐδὲ βαρβάρου ἐντεῦθεν ὅθεν καλὸν εἰπεῖν, ἀλλ' ὀλέθρου Μακεδόνος, ὅθεν οὐδ' ἀνδράποδον σπουδαῖον οὐδὲν ἦν πρότερον πρίασθαι.

20 Καίτοι τί τῆς ἐσχάτης ὕβρεως ἀπολείπει; οὐ πρὸς τῷ 32 πόλεις ἀνῃρηκέναι τίθησιν μὲν τὰ Πύθια, τὸν κοινὸν τῶν Ἑλλήνων ἀγῶνα, κἂν αὐτὸς μὴ παρῇ, τοὺς δούλους ἀγωνοθετήσοντας πέμπει; κύριος δὲ Πυλῶν καὶ τῶν ἐπὶ τοὺς

2 τινος ἄλλου FY 3 τῷ] τὸ Y[1] | πόρρω om. A 4 ἀγνοεῖ δήπου FAY ut est X 2. XXI 156 5 ὑμῶν A 7 εἴ τις FY 8 ἐν] ἐπ' Ald. Tayl. Dobree 9 μὲν] μέντοι Y | ἄξιον Ald. Voem.: ἄξιος SFAY 10 εἶναι om. A[1] add. ead. s. v. 11 ὧν] ὦν A | εἶναι FY 12 ἢ om. Aug. 2 14 πολλῆς ὀργῆς FA | ἔφησαν (η s. v.) S: ἔφασαν F ἔφασαν AY 18 ὅθεν om. A 19 οὐδ' ἐνῆν S | πρίασθαι om. S[1] add. S corr. del. Benseler 21 πόλεις ἑλληνίδας A 23 sqq. κύριος .. μέτεστιν om. S[1] add. S rec. FAY

Ἕλληνας παρόδων ἐστὶν καὶ φρουραῖς καὶ ξένοις τοὺς τόπους τούτους κατέχει; ἔχει δὲ καὶ τὴν προμαντείαν τοῦ θεοῦ, παρώσας ἡμᾶς καὶ Θετταλοὺς καὶ Δωριέας καὶ τοὺς ἄλλους Ἀμ-
33 φικτύονας, ἧς οὐδὲ τοῖς Ἕλλησιν ἅπασι μέτεστιν; γράφει δὲ Θετταλοῖς ὃν χρὴ τρόπον πολιτεύεσθαι; πέμπει δὲ ξένους 5 τοὺς μὲν εἰς Πορθμόν, τὸν δῆμον ἐκβαλοῦντας τὸν Ἐρετριέων, τοὺς δ' ἐπ' Ὠρεόν, τύραννον Φιλιστίδην καταστήσοντας; ἀλλ' ὅμως ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἀνέχονται, καὶ τὸν αὐτὸν τρόπον ὥσπερ τὴν χάλαζαν ἔμοιγε δοκοῦσιν θεωρεῖν, εὐχόμενοι μὴ καθ' ἑαυτοὺς ἕκαστοι 10
34 γενέσθαι, κωλύειν δ' οὐδεὶς ἐπιχειρῶν. οὐ μόνον δ' ἐφ' οἷς ἡ Ἑλλὰς ὑβρίζεται ὑπ' αὐτοῦ, οὐδεὶς ἀμύνεται, ἀλλ' οὐδ' ὑπὲρ ὧν αὐτὸς ἕκαστος ἀδικεῖται· τοῦτο γὰρ ἤδη τοὔσχατόν ἐστιν. οὐ Κορινθίων ἐπ' Ἀμ|βρακίαν ἐλήλυθε 120 καὶ Λευκάδα; οὐκ Ἀχαιῶν Ναύπακτον ὀμώμοκεν Αἰτω- 15 λοῖς παραδώσειν; οὐχὶ Θηβαίων Ἐχῖνον ἀφῄρηται, καὶ
35 νῦν ἐπὶ Βυζαντίους πορεύεται συμμάχους ὄντας; οὐχ ἡμῶν, ἐῶ τἆλλα, ἀλλὰ Χερρονήσου τὴν μεγίστην ἔχει πόλιν Καρδίαν; ταῦτα τοίνυν πάσχοντες ἅπαντες μέλλομεν καὶ μαλακιζόμεθα καὶ πρὸς τοὺς πλησίον βλέπομεν, 20 ἀπιστοῦντες ἀλλήλοις, οὐ τῷ πάντας ἡμᾶς ἀδικοῦντι. καίτοι τὸν ἅπασιν ἀσελγῶς οὕτω χρώμενον τί οἴεσθε, ἐπειδὰν καθ' ἓν' ἡμῶν ἑκάστου κύριος γένηται, τί ποιήσειν;

5 ὃν SY: ὅντινα FA 6 τῶν ἐρετριέων FY 9 ὅνπερ FY | τὴν S: οἱ τὴν FAY 10 εὐχόμενοι SY^1: εὐχόμενοι μὲν FAY^2 12 ὑπ' αὐτοῦ om. A del. Benseler 15 ναύπακτον ἀφελόμενος FAY 16 sq. καὶ νῦν .. ὄντας post Φιλιστίδην καταστήσοντας (§ 33) traiecit Spengel 20 μαλακιζόμεθα] ἐν ἐνίοις γράφεται μαλκίομεν Harpocr. s. μαλακίζομεν praetulit G. H. Schaefer | ἀποβλέπομεν A 21 ante ἀπιστοῦντες litt. eras. Y | οὐ τῷ SAY^1: οὕτως FY corr. | πάντας SA^1: φανερῶς πάντας FA^3 mg. Y | ἀδικοῦντος FY corr. 23 καθ' ἓν' SA: ἑνὸς FY | τί om. A

Τί οὖν αἴτιον τουτωνί; οὐ γὰρ ἄνευ λόγου καὶ δικαίας 36
αἰτίας οὔτε τόθ' οὕτως εἶχον ἑτοίμως πρὸς ἐλευθερίαν
οἱ Ἕλληνες οὔτε νῦν πρὸς τὸ δουλεύειν. ἦν τι τότ', ἦν
ὦ ἄνδρες Ἀθηναῖοι ἐν ταῖς τῶν πολλῶν διανοίαις, ὃ
5 *νῦν οὐκ ἔστιν, ὃ καὶ τοῦ Περσῶν ἐκράτησε πλούτου καὶ*
ἐλευθέραν ἦγε τὴν Ἑλλάδα καὶ οὔτε ναυμαχίας οὔτε πε-
ζῆς μάχης οὐδεμιᾶς ἡττᾶτο, νῦν δ' ἀπολωλὸς ἅπαντα λε-
λύμανται καὶ ἄνω καὶ κάτω πεποίηκε πάντα τὰ πράγματα.
τί οὖν ἦν τοῦτο; οὐδὲν ποικίλον οὐδὲ σοφόν, ἀλλ' ὅτι τοὺς 37
10 *παρὰ τῶν ἄρχειν βουλομένων ἢ διαφθείρειν τὴν Ἑλλάδα*
χρήματα λαμβάνοντας ἅπαντες ἐμίσουν, καὶ χαλεπώτατον
ἦν τὸ δωροδοκοῦντ' ἐλεγχθῆναι, καὶ τιμωρίᾳ μεγίστῃ
τοῦτον ἐκόλαζον, καὶ παραίτησις οὐδεμί' ἦν οὐδὲ συγγνώμη.
τὸν οὖν καιρὸν ἑκάστου τῶν πραγμάτων, ὃν ἡ τύχη καὶ 38
15 *τοῖς ἀμελοῦσι κατὰ τῶν προσεχόντων καὶ τοῖς μηδὲν ἐθέ-*
λουσι ποιεῖν κατὰ τῶν πάνθ' ἃ προσήκει πραττόντων πολ- II 23
121 *λάκις παρασκευάζει, | οὐκ ἦν πρίασθαι παρὰ τῶν λεγόν-*
των οὐδὲ τῶν στρατηγούντων, οὐδὲ τὴν πρὸς ἀλλήλους
ὁμόνοιαν, οὐδὲ τὴν πρὸς τοὺς τυράννους καὶ τοὺς βαρ-
20 *βάρους ἀπιστίαν, οὐδ' ὅλως τοιοῦτον οὐδέν. νῦν δ'* 39
ἅπανθ' ὥσπερ ἐξ ἀγορᾶς ἐκπέπραται ταῦτα, ἀντεισῆκται
δ' ἀντὶ τούτων ὑφ' ὧν ἀπόλωλε καὶ νενόσηκεν ἡ Ἑλλάς.

1 *τὸ αἴτιον* Aristid. IX 347 W. *ταἴτιον* Dobree | *τούτων* AY Arist. 2 *τόθ'*] *τοῦθ'* F[1] 3 *ἅπαντες οἱ* FAY 7 *οὐδεμιᾶς* om. Arist. IX 353 W. 8 *πάντα τὰ* S Arist.: *τὰ τῶν Ἑλλήνων* FY *πάντα τὰ τῶν Ἑλλήνων* A 9 *οὐδὲν .. ὅτι* om. S[1]Y Arist. p. 347. 353 add. S rec. FA (omisso *ὅτι*) 10 *ἄρχειν ἀεὶ* S rec. FAY | *ἢ καὶ* FY 12 *ἐξελεγχθῆναι* FAY 13 *καὶ παραίτησις .. συγγνώμη* om. S[1]Y add. S rec. FA 15 *προσεχόντον* S[1] | *καὶ τοῖς .. πραττόντων* om. S[1]Y add. S rec. FA e IV 5. II 23 19 *καὶ βαρβάρους* A 20 *τοιοῦτον* S: *τῶν τοιούτων* FAY 21 *ἐκπέπρακται* S[1] pap.[1] Fay. | *τουθ.* pap.[1] | *αν[επεισηκται* (?) pap. 22 *απολωλεναι* pap.[1]

ταῦτα δ' ἐστὶν τί; ζῆλος, εἴ τις εἴληφέν τι· γέλως, ἂν
ὁμολογῇ· συγγνώμη τοῖς ἐλεγχομένοις· μῖσος, ἂν τούτοις
τις ἐπιτιμᾷ· τἄλλα πάνθ' ὅσ' ἐκ τοῦ δωροδοκεῖν ἤρτηται.
40 ἐπεὶ τριήρεις γε καὶ σωμάτων πλῆθος καὶ χρημάτων
πρόσοδοι καὶ τῆς ἄλλης κατασκευῆς ἀφθονία, καὶ τἄλλ' 5
οἷς ἄν τις ἰσχύειν τὰς πόλεις κρίνοι, νῦν ἅπασι καὶ
πλείω καὶ μείζω ἐστὶ τῶν τότε πολλῷ. ἀλλὰ ταῦτ' ἄχρη-
στα, ἄπρακτα, ἀνόνητα ὑπὸ τῶν πωλούντων γίγνεται.
41 Ὅτι δ' οὕτω ταῦτ' ἔχει, τὰ μὲν νῦν ὁρᾶτε δήπου καὶ
οὐδὲν ἐμοῦ προσδεῖσθε μάρτυρος· τὰ δ' ἐν τοῖς ἄνωθεν 10
χρόνοις ὅτι τἀναντί' εἶχεν ἐγὼ δηλώσω, οὐ λόγους
ἐμαυτοῦ λέγων, ἀλλὰ γράμματα τῶν προγόνων τῶν ὑμε-
τέρων ἀκεῖνοι κατέθεντ' εἰς στήλην χαλκῆν γράψαντες
εἰς ἀκρόπολιν, οὐχ ἵν' αὐτοῖς ᾖ χρήσιμα (καὶ γὰρ ἄνευ τού-
των τῶν γραμμάτων τὰ δέοντ' ἐφρόνουν), ἀλλ' ἵν' ὑμεῖς ἔχηθ' 15
ὑπομνήματα καὶ παραδείγματα, ὡς ὑπὲρ τῶν τοιούτων σπου-
42 δάζειν προσήκει. τί οὖν λέγει τὰ γράμματα; „Ἄρθμιος" φησὶν
„Πυθώνακτος Ζελείτης ἄτιμος καὶ πολέμιος τοῦ δήμου
τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸς καὶ γένος." εἶθ'
ἡ αἰτία | γέγραπται, δι' ἣν ταῦτ' ἐγένετο· „ὅτι τὸν χρυ- **122**

2 συγγνώμη τοῖς ἐλεγχομένοις om. S[1] pap.[1] add. S rec. FAY συγγ. τ. ελ. εν τουτοις add. pap.[2] s. v. 5 πρόσοδοι om. S[1] pap. add. S rec. Y πρόσοδοι (ς s. v.) F πρόσοδος A | παρασκευῆς A 6 κρῖναι A | ἅπασι SA: ἅπαντα (σι s. v.) F ἅπαντα Y 7 μείζον' Benseler | ἀλλὰ ταῦτ' S: ἀλλ' ἅπαντα ταῦτ' FY ἀλλὰ ταῦτα πάντα A 8 ἀνώνητα S[1] 10 προσδεῖσθαι A[1] 11 τἀναντία τούτων FA 12 ὑμετέρων S Arist. IX 354 W.: ὑμετέρων δεικνύων S rec. FAY 14 sqq. οὐχ ἵν' .. γράμματα om. S[1] add. S rec. mg. FAY 15 ἔχηται S mg. 16 παραδείγματα καὶ ὑπομν. S mg. 17 ἀρίθμιος SA 18 Πυθώνακτος Dindorf: ὁ πυθώνακτος SFAY | ὁ ζελείτης AY | ἄτιμος SY[1]: ἄτιμος ἔστω S rec. FAY corr. 19 τοῦ ἀθην. SA: τῶν ἀθην. FY 20 γέγραπται SA: προσγέγραπται FY | ταῦτ' SA: τοῦτ' (α s. v.) F τοῦτ' Y

σὸν τὸν ἐκ Μήδων εἰς Πελοπόννησον ἤγαγε.“ ταῦτ'
ἐστὶ τὰ γράμματα. λογίζεσθε δὴ πρὸς θεῶν, τίς ἦν ποθ' 43
ἡ διάνοια τῶν Ἀθηναίων τῶν τότε ταῦτα ποιούντων, ἢ
τί τὸ ἀξίωμα. ἐκεῖνοι Ζελείτην τινά, Ἄρθμιον, δοῦλον
5 βασιλέως (ἡ γὰρ Ζέλειά ἐστι τῆς Ἀσίας), ὅτι τῷ δεσπότῃ
διακονῶν χρυσίον ἤγαγεν εἰς Πελοπόννησον, οὐκ Ἀθή-
ναζε, ἐχθρὸν αὑτῶν ἀνέγραψαν καὶ τῶν συμμάχων αὐτὸν
καὶ γένος, καὶ ἀτίμους. τοῦτο δ' ἐστὶν οὐχ ἣν οὑτωσί 44
τις ἂν φήσειεν ἀτιμίαν· τί γὰρ τῷ Ζελείτῃ, τῶν Ἀθηναίων
10 κοινῶν εἰ μὴ μεθέξειν ἔμελλεν; ἀλλ' ἐν τοῖς φονικοῖς
γέγραπται νόμοις, ὑπὲρ ὧν ἂν μὴ διδῷ [δίκας] φόνου δι-
κάσασθαι, ἀλλ' εὐαγὲς ᾖ τὸ ἀποκτεῖναι, „καὶ ἄτιμος“ φη-
σὶν „τεθνάτω“. τοῦτο δὴ λέγει, καθαρὸν τὸν τούτων τιν'
ἀποκτείναντ' εἶναι. οὐκοῦν ἐνόμιζον ἐκεῖνοι τῆς πάντων 45
15 τῶν Ἑλλήνων σωτηρίας αὑτοῖς ἐπιμελητέον εἶναι· οὐ
γὰρ ἂν αὐτοῖς ἔμελεν εἴ τις ἐν Πελοποννήσῳ τινὰς ὠνεῖ-
ται καὶ διαφθείρει, μὴ τοῦθ' ὑπολαμβάνουσιν· ἐκόλαζον
δ' οὕτω καὶ ἐτιμωροῦνθ' οὓς αἴσθοιντο, ὥστε καὶ στη-
λίτας ποιεῖν. ἐκ δὲ τούτων εἰκότως τὰ τῶν Ἑλλήνων ἦν
20 τῷ βαρβάρῳ φοβερά, οὐχ ὁ βάρβαρος τοῖς Ἕλλησιν. ἀλλ'
οὐ νῦν· οὐ γὰρ οὕτως ἔχεθ' ὑμεῖς οὔτε πρὸς τὰ τοιαῦτ'

1 τῶν μήδων FAY | ἤγαγεν οὐκ ἀθήναζε FAY mg. 2 δὴ] δεῖ A | πρὸς θεῶν S: πρὸς διὸς καὶ θεῶν καὶ θεωρεῖτε παρ' ὑμῖν αὐτοῖς FA (om. καὶ θεωρεῖτε) Y (om. διὸς καὶ) 3 ἀθηναίων τῶν τότε SA: τότε ἀθηναίων τῶν FY 4 ἀρίθμιον SA 8 ἀτίμους εἶναι FA ἣν ἂν οὑτωσί τις FY 9 τῶν ἀθηναίων κοινῶν εἰ S^1 Harpocr. s. ἄτιμος: τοῦτ' ἔμελεν (ἔμελλεν Y^1) εἰ τῶν ἀθήνησι κοινῶν S rec. FAY 10 ἔμελλεν S Harp.: ἔμελλεν; ἀλλ' οὐ τοῦτο λέγει S rec. FAY | φοινικοῖς S^1 11 ἄν τις S rec. | διδῶι AY^1 Harp. c. AF: δίκας add. SFY^2 mg. δίκην Harp. c. BC | δικᾶσθαι S^1 12 ἀλλ' .. ἀποκτεῖναι om. S^{1}Y^1 Harp. 13 τὸν] τῶν A^{1}Y^1 14 ἁπάντων FY 16 εἴ s. v. Y^1 17 καὶ SA: ἢ FY | εἰ μὴ S sed ει videtur erasum 18 οὓς ἂν FA | αἴσθοιντο δωροδοκοῦντας FAY

46 οὔτε πρὸς τἄλλα, ἀλλὰ πῶς; ἴστ' αὐτοί· τί γὰρ δεῖ περὶ
πάντων ὑμῶν κατηγορεῖν; παραπλησίως δὲ καὶ οὐδὲν βέλτι-
ον | ὑμῶν καὶ πάντες οἱ λοιποὶ Ἕλληνες· διόπερ φήμ' ἔγωγε 123
καὶ σπουδῆς πολλῆς καὶ βουλῆς ἀγαθῆς τὰ παρόντα πράγ-
ματα προσδεῖσθαι. τίνος; εἴπω κελεύετε; καὶ οὐκ ὀργιεῖσθε; 5

[ΕΚ ΤΟΥ ΓΡΑΜΜΑΤΕΙΟΥ ΑΝΑΓΙΓΝΩΣΚΕΙ]

47 Ἔστι τοίνυν τις εὐήθης λόγος παρὰ τῶν παραμυθεῖ-
σθαι βουλομένων τὴν πόλιν, ὡς ἄρ' οὔπω Φίλιππός ἐστιν
οἷοί ποτ' ἦσαν Λακεδαιμόνιοι, οἳ θαλάττης μὲν ἦρχον
καὶ γῆς ἁπάσης, βασιλέα δὲ σύμμαχον εἶχον, ὑφίστατο 10
δ' οὐδὲν αὐτούς· ἀλλ' ὅμως ἠμύνατο κἀκείνους ἡ πόλις
καὶ οὐκ ἀνηρπάσθη. ἐγὼ δ' ἁπάντων ὡς ἔπος εἰπεῖν
πολλὴν εἰληφότων ἐπίδοσιν καὶ οὐδὲν ὁμοίων ὄντων τῶν
νῦν τοῖς πρότερον, οὐδὲν ἡγοῦμαι πλέον ἢ τὰ τοῦ πολέ-
48 μου κεκινῆσθαι καὶ ἐπιδεδωκέναι. πρῶτον μὲν γὰρ ἀκούω 15
Λακεδαιμονίους τότε καὶ πάντας τοὺς ἄλλους τέτταρας
μῆνας ἢ πέντε, τὴν ὡραίαν αὐτήν, ἐμβαλόντας ἂν καὶ
κακώσαντας τὴν χώραν ὁπλίταις καὶ πολιτικοῖς στρατεύ-

1 sqq. ἴστ' αὐτοί· ... προσδεῖσθαι. τίνος; om. S[1] add. S corr. FAY Alteram esse recensionem multis persuaserunt Spengel et Weil, quam ut cum altera coniungeret grammaticum aliquem inseruisse τίνος; 2 καὶ παραπλησίως FY 3 καὶ πάντες A: καὶ ἅπαντες F ἅπαντες S mg. Y 4 καὶ ante σπουδῆς om. A | πολλῆς σπουδῆς τὰ παρόντα πράγματα προσδεῖσθαι καὶ βουλῆς ἀγαθῆς A 5 ὀργίζεσθε A 6 ΕΚ ... ΑΝΑΓΙΓΝΩΣΚΕΙ SF (ἀνάγνωσις γραμματείου in mg.) Y (ἀναγινώσκετε Y[2]): om. O del. Voemel ἐκ τοῦ γραμματείου ἀναγίνωσκε. ΑΝΑΓΝΩΣΙΣ ΓΡΑΜΜΑΤΕΙΟΥ A 8 τὴν πόλιν βουλομένων A 9 ante οἷοί add. τοιοῦτος FY τηλικοῦτος A
εις
11 οὐδὲν SY: οὐδὲν F οὐδεὶς A γρ. Y[2] 12 πάντων A 15 ὑποδεδωκέναι Y[2] 16 ἄλλους SFY: Ἕλληνας γρ. S rec. γρ. FA γρ. Y 17 post αὐτὴν add. στρατεύεσθαι καὶ τοῦτον τὸν χρόνον S rec. A γρ. Y | ἂν SA γρ. Y: om. FY[1] 18 κακώσαντας] ακ in ras. ω ex α factum σ postea add. A | τὴν τῶν ἀντιπάλων χώραν S rec. FAY

μασιν ἀναχωρεῖν ἐπ' οἴκου πάλιν· οὕτω δ' ἀρχαίως εἶ-
χον, μᾶλλον δὲ πολιτικῶς, ὥστ' οὐδὲ χρημάτων ὠνεῖσθαι
παρ' οὐδενὸς οὐδέν, ἀλλ' εἶναι νόμιμόν τινα καὶ προ-
φανῆ τὸν πόλεμον. νυνὶ δ' ὁρᾶτε μὲν δήπου τὰ πλεῖστα 49
5 *τοὺς προδότας ἀπολωλεκότας, οὐδὲν δ' ἐκ παρατάξεως*
οὐδὲ μάχης γιγνόμενον· ἀκούετε δὲ Φίλιππον οὐχὶ τῷ
φάλαγγ' ὁπλιτῶν ἄγειν βαδίζονθ' ὅποι βούλεται, ἀλλὰ
τῷ ψιλούς, ἱππέας, τοξότας, ξένους, τοιοῦτον ἐξηρτῆσθαι
στρατόπεδον. ἐπειδὰν δ' ἐπὶ τούτοις πρὸς νοσοῦντας ἐν 50
124 *αὑτοῖς | προσπέσῃ καὶ μηδεὶς ὑπὲρ τῆς χώρας δι' ἀπιστίαν*
11 *ἐξίῃ, μηχανήματ' ἐπιστήσας πολιορκεῖ. καὶ σιωπῶ θέρος*
καὶ χειμῶνα, ὡς οὐδὲν διαφέρει, οὐδ' ἔστ' ἐξαίρετος ὥρα
τις ἣν διαλείπει. ταῦτα μέντοι πάντας εἰδότας καὶ λογι- 51
ζομένους οὐ δεῖ προσέσθαι τὸν πόλεμον εἰς τὴν χώραν,
15 *οὐδ' εἰς τὴν εὐήθειαν τὴν τοῦ τότε πρὸς Λακεδαιμονίους*
πολέμου βλέποντας ἐκτραχηλισθῆναι, ἀλλ' ὡς ἐκ πλεί-
στου φυλάττεσθαι τοῖς πράγμασι καὶ ταῖς παρασκευαῖς,
ὅπως οἴκοθεν μὴ κινήσεται σκοποῦντας, οὐχὶ συμπλα-
κέντας διαγωνίζεσθαι. πρὸς μὲν γὰρ πόλεμον πολλὰ φύσει 52
20 *πλεονεκτήμαθ' ἡμῖν ὑπάρχει, ἄνπερ ὦ ἄνδρες Ἀθηναῖοι*

2 *δὲ* om Y[1] 4 *νῦν* A | *δήπου*] *ἄν που* Y[1] 5 *οὐδ' ἐκ* Y 7 *φάλαγγας* FAY 8 *ἐξηρτῆσθαι* SF[1] (?): *ἐξηρτύσθαι* F corr. (*υ* in ras.) AY *ἐξαρτύεσθαι γρ.* S mg. 9 *δ' ἐπὶ* S (*πὶ* in ras. ab alia m. et punctis del.): *δὲ τούτοις* FY[1] *δὲ τούτοις κρατῶν* S rec. AY corr. 10 *αὐτοῖς καὶ τεταραγμένους* S rec. A 11 *ἐξήιει* A *ἐξείη* Y | *πολιορκηι* S 12 *οὐδὲν αὐτῶι* AY[2] mg. | *ὥρα*] *χώρα* A 13 sq. *εἰδότας καὶ λογιζομένους οὐ δεῖ* SA: *εἰδότας δεῖ καὶ λογιζομένους μὴ* FY 14 *προσέσθαι* S: *προέσθαι* FY *προσδέχεσθαι* A (*μη* supra) 15 *οὐδ'* SA: *οὐδ'* F *μηδ'* Y | *μηδ' εἰς τὴν* om. Y[1] | *πρὸς τοὺς* A 18 *ὅπως*] *πως* in ras. A | *κινήσεται* A: *κινήσηται* S *κινήσηται* (*ε* supra) F *κινήσετε* Y | *συμπλεκέντας* A 20 *ὑμῖν* SA

ποιεῖν ἐθέλωμεν ἃ δεῖ, ἡ φύσις τῆς ἐκείνου χώρας, ἧς ἄγειν καὶ φέρειν ἔστιν πολλὴν καὶ κακῶς ποιεῖν, ἄλλα μυρία· εἰς δ' ἀγῶν' ἄμεινον ἡμῶν ἐκεῖνος ἤσκηται.

53 Οὐ μόνον δὲ δεῖ ταῦτα γιγνώσκειν, οὐδὲ τοῖς ἔργοις ἐκεῖνον ἀμύνεσθαι τοῖς τοῦ πολέμου, ἀλλὰ καὶ τῷ λογι- 5 σμῷ καὶ τῇ διανοίᾳ τοὺς παρ' ὑμῖν ὑπὲρ αὐτοῦ λέγοντας VIII 61 μισῆσαι, ἐνθυμουμένους ὅτι οὐκ ἔνεστι τῶν τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολά- 54 σηθ' ὑπηρετοῦντας ἐκείνοις. ὃ μὰ τὸν Δία καὶ τοὺς ἄλλους θεοὺς οὐ δυνήσεσθ' ὑμεῖς ποιῆσαι, ἀλλ' εἰς τοῦτ' 10 ἀφῖχθε μωρίας ἢ παρανοίας ἢ οὐκ ἔχω τί λέγω (πολλάκις γὰρ ἔμοιγ' ἐπελήλυθε καὶ τοῦτο φοβεῖσθαι, μή τι δαιμόνιον τὰ πράγματ' ἐλαύνῃ), ὥστε λοιδορίας, φθόνου, σκώμματος, ἧστινος ἂν τύχηθ' ἕνεκ' αἰτίας ἀνθρώπους μισθωτούς, ὧν οὐδ' ἂν ἀρνηθεῖεν ἔνιοι, ὡς οὐκ εἰσὶ τοι- 15 οῦτοι, λέγειν κελεύε|τε, καὶ γελᾶτε, ἄν τισι λοιδορηθῶσιν. 125

55 καὶ οὐχί πω τοῦτο δεινόν, καίπερ ὂν δεινόν· ἀλλὰ καὶ μετὰ πλείονος ἀσφαλείας πολιτεύεσθαι δεδώκατε τούτοις ἢ τοῖς ὑπὲρ ὑμῶν λέγουσι. καίτοι θεάσασθ' ὅσας συμφορὰς παρασκευάζει τὸ τῶν τοιούτων ἐθέλειν ἀκροᾶσθαι. 20 λέξω δ' ἔργ' ἃ πάντες εἴσεσθε.

56 Ἦσαν ἐν Ὀλύνθῳ τῶν ἐν τοῖς πράγμασιν τινὲς μὲν Φιλίππου καὶ πάνθ' ὑπηρετοῦντες ἐκείνῳ, τινὲς δ' οἱ τοῦ

1 ἐθέλομεν A | ἧς] ἡ S[1] 2 ἔστιν πολλὴν] εἰς τὴν πόλιν S[1] 4 δεῖ ταῦτα] ταῦτα χρὴ A 5 πολέμου χρὴ A 6 ἡμῖν F ἡμῖν Y 7 μισεῖν Y[2], coni. Blass coll. VIII 61. 76. XIX 87. 258. 289. XXIV 110. 196. 213 | τῶν ἔξω FA cf. VIII 61 9 ἐκείνωι FAY | ὃ] οὗ A 10 δυνήσεσθε S: δύνασθε FAY | ποιῆσαι οὐδὲ βούλεσθε S rec. FY 13 ἐλαύνει FAY | ἢ φθόνου ἢ FAY φόνου S 14 ἕνεκ' om. FY 17 τοῦτό πω FY 19 ἡμῶν Y[1] 20 ἀκροᾶσθαι SFY: ἀκούειν A 21 ἴσεσθε A[1] 23 φιλίππου SY[1]: τὰ φιλίππου φρονοῦντες S rec. FAY[2] | δ' οἱ S: δὲ FAY

βελτίστου καὶ ὅπως μὴ δουλεύσουσιν οἱ πολῖται πράττοντες. πότεροι δὴ τὴν πατρίδ' ἐξώλεσαν; ἢ πότεροι τοὺς ἱππέας προὔδοσαν, ὧν προδοθέντων Ὄλυνθος ἀπώλετο; οἱ τὰ Φιλίππου φρονοῦντες καί, ὅτ' ἦν ἡ πόλις, τοὺς τὰ
5 βέλτιστα λέγοντας συκοφαντοῦντες καὶ διαβάλλοντες οὕτως, ὥστε τόν γ' Ἀπολλωνίδην καὶ ἐκβαλεῖν ὁ δῆμος ὁ τῶν Ὀλυνθίων ἐπείσθη.

Οὐ τοίνυν παρὰ τούτοις μόνον τὸ ἔθος τοῦτο πάντα κάκ' ἠργάσατο, ἄλλοθι δ' οὐδαμοῦ· ἀλλ' ἐν Ἐρετρίᾳ, 57
10 ἐπειδὴ ἀπαλλαγέντος Πλουτάρχου καὶ τῶν ξένων ὁ δῆμος εἶχε τὴν πόλιν καὶ τὸν Πορθμόν, οἱ μὲν ἐφ' ὑμᾶς ἦγον τὰ πράγματα, οἱ δ' ἐπὶ Φίλιππον. ἀκούοντες δὲ τούτων τὰ πολλὰ μᾶλλον οἱ ταλαίπωροι καὶ δυστυχεῖς Ἐρετριεῖς, τελευτῶντες ἐπείσθησαν τοὺς ὑπὲρ αὐτῶν λέ-
15 γοντας ἐκβάλλειν. καὶ γάρ τοι πέμψας Ἱππόνικον ὁ σύμμαχος αὐτοῖς Φίλιππος καὶ ξένους χιλίους τὰ τείχη περιεῖλε τοῦ Πορθμοῦ καὶ τρεῖς κατέστησε τυράννους, Ἵππαρχον, Αὐτομέδοντα, Κλείταρχον· καὶ μετὰ ταῦτ' ἐξελήλακεν ἐκ τῆς χώρας δὶς ἤδη βουλομένους σῴζεσθαι, 58
126 τότε μὲν πέμ|ψας τοὺς μετ' Εὐρυλόχου ξένους, πάλιν δὲ τοὺς
21 μετὰ Παρμενίωνος.

Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ἀλλ' ἐν Ὠρεῷ Φιλιστίδης μὲν ἔπραττε Φιλίππῳ καὶ Μένιππος καὶ Σωκράτης καὶ Θόας καὶ Ἀγαπαῖος, οἵπερ νῦν ἔχουσι τὴν πόλιν (καὶ 59

1 δουλεύσουσιν F[2] Y: δουλεύσωσιν SF[1] A 2 ἐξώλεσαν S: ἐξ ἀπώλεσαν F ἀπώλεσαν AY 8 μόνον S: μόνοις FAY μὲν Cobet 10 ἐπειδή γε FY 13 μᾶλλον S[1]: μᾶλλον δὲ τὰ πάντα S rec. A μᾶλλον δὲ πάντα FY 15 ἐκβάλλειν S: ἐκβαλεῖν FAY | πέμψας] ς in ras. A | ὁ om. S[1] | σύμμαχος καὶ φίλος S rec. FY ex § 12? 20 sq. τότε ... Παρμενίωνος add. S rec. FAY

ταῦτ' ᾔδεσαν ἅπαντες), Εὐφραῖός δέ τις ἄνθρωπος καὶ
παρ' ἡμῖν ποτ' ἐνθάδ' οἰκήσας, ὅπως ἐλεύθεροι καὶ μη-
60 δενὸς δοῦλοι ἔσονται. οὗτος τὰ μὲν ἄλλ' ὡς ὑβρίζετο
καὶ προὐπηλακίζεθ' ὑπὸ τοῦ δήμου, πόλλ' ἂν εἴη λέγειν·
ἐνιαυτῷ δὲ πρότερον τῆς ἁλώσεως ἐνέδειξεν ὡς προδότην 5
τὸν Φιλιστίδην καὶ τοὺς μετ' αὐτοῦ, αἰσθόμενος ἃ πράτ-
τουσιν. συστραφέντες δ' ἄνθρωποι πολλοὶ καὶ χορηγὸν
ἔχοντες Φίλιππον καὶ πρυτανευόμενοι ἀπάγουσι τὸν
Εὐφραῖον εἰς τὸ δεσμωτήριον, ὡς συνταράττοντα τὴν
61 πόλιν. ὁρῶν δὲ ταῦθ' ὁ δῆμος ὁ τῶν Ὠρειτῶν, ἀντὶ τοῦ 10
τῷ μὲν βοηθεῖν, τοὺς δ' ἀποτυμπανίσαι, τοῖς μὲν οὐκ
ὠργίζετο, τὸν δ' ἐπιτήδειον ταῦτα παθεῖν ἔφη καὶ ἐπέ-
χαιρεν. μετὰ ταῦθ' οἱ μὲν ἐπ' ἐξουσίας ὁπόσης ἠβούλοντ'
ἔπραττον ὅπως ἡ πόλις ληφθήσεται, καὶ κατεσκευάζοντο
τὴν πρᾶξιν· τῶν δὲ πολλῶν εἴ τις αἴσθοιτο, ἐσίγα καὶ 15
κατεπέπληκτο, τὸν Εὐφραῖον οἷ' ἔπαθεν μεμνημένοι.
οὕτω δ' ἀθλίως διέκειντο, ὥστ' οὐ πρότερον ἐτόλμησεν
οὐδεὶς τοιούτου κακοῦ προσιόντος ῥῆξαι φωνήν, πρὶν
διασκευασάμενοι πρὸς τὰ τείχη προσῆσαν οἱ πολέμιοι·
62 τηνικαῦτα δ' οἱ μὲν ἠμύνοντο, οἱ δὲ προὐδίδοσαν. τῆς πόλε- 20
ως δ' οὕτως ἁλούσης αἰσχρῶς καὶ κακῶς οἱ μὲν ἄρχουσι καὶ |
τυραννοῦσι, τοὺς τότε σῴζοντας ἑαυτοὺς καὶ τὸν Εὐ- 127
φραῖον ἑτοίμους ὁτιοῦν ποιεῖν ὄντας τοὺς μὲν ἐκβαλόν-
τες, τοὺς δ' ἀποκτείναντες, ὁ δ' Εὐφραῖος ἐκεῖνος ἀπέ-

2 ὑμῖν FAY 3 ἔσονται δοῦλοι Benseler 4 δήμου SY^1: δήμου τοῦ τῶν ὠρειτῶν FA δήμου τῶν ὠρειτῶν Y^2 8 τὸν φίλιππον A | πρυτανευόμενοι παρ' ἐκείνου S rec. FAY 10 τοῦ τῷ] τούτου Y^1 11 ἀποτυπανίσαι S^1 γρ. FY^1 cf. VIII 61 12 ἐπιτήδειον εἶναι FAY 13 sq. ἠβούλοντο . . πόλις om. A^1 add. A^2 14 εἴσπραττον S 16 μεμνημένος AY 17 διέκειντο τῶι φόβωι AY corr. 20 ἠμύναντο AY^2 | πόλεως δ' AY^2: πόλεως Y^1 δὲ πόλεως δ' S^1 (δ' nunc erasum) δὲ πόλεως F 22 ἑαυτοὺς S: αὐτοὺς FA αὐτοὺς Y

σφαξεν ἑαυτόν, ἔργῳ μαρτυρήσας ὅτι καὶ δικαίως καὶ
καθαρῶς ὑπὲρ τῶν πολιτῶν ἀνθειστήκει Φιλίππῳ.

Τί οὖν ποτ' αἴτιον, θαυμάζετ' ἴσως, τὸ καὶ τοὺς Ὀλυν- 63
θίους καὶ τοὺς Ἐρετριᾶς καὶ τοὺς Ὠρείτας ἥδιον πρὸς
5 τοὺς ὑπὲρ Φιλίππου λέγοντας ἔχειν ἢ τοὺς ὑπὲρ αὑτῶν;
ὅπερ καὶ παρ' ὑμῖν, ὅτι τοῖς μὲν ὑπὲρ τοῦ βελτίστου
λέγουσιν οὐδὲ βουλομένοις ἔνεστιν ἐνίοτε πρὸς χάριν
οὐδὲν εἰπεῖν (τὰ γὰρ πράγματ' ἀνάγκη σκοπεῖν ὅπως
σωθήσεται)· οἱ δ' ἐν αὐτοῖς οἷς χαρίζονται Φιλίππῳ συμ-
10 πράττουσιν. εἰσφέρειν ἐκέλευον, οἱ δ' οὐδὲν δεῖν ἔφασαν· 64
πολεμεῖν καὶ μὴ πιστεύειν, οἱ δ' ἄγειν εἰρήνην, ἕως ἐγ-
κατελήφθησαν. τἄλλα τὸν αὐτὸν τρόπον οἶμαι πάνθ',
ἵνα μὴ καθ' ἕκαστα λέγω· οἱ μὲν ἐφ' οἷς χαριοῦνται,
ταῦτ' ἔλεγον, οἱ δ' ἐξ ὧν ἔμελλον σωθήσεσθαι. πολλὰ
15 δὲ καὶ τὰ τελευταῖα οὐχ οὕτως οὔτε πρὸς χάριν οὔτε δι'
ἄγνοιαν οἱ πολλοὶ προσίεντο, ἀλλ' ὑποκατακλινόμενοι,
ἐπειδὴ τοῖς ὅλοις ἡττᾶσθαι ἐνόμιζον. ὃ νὴ τὸν Δία καὶ 65
τὸν Ἀπόλλω δέδοικ' ἐγὼ μὴ πάθηθ' ὑμεῖς, ἐπειδὰν
εἰδῆτ' ἐκλογιζόμενοι μηδὲν ὑμῖν ἐνόν. καίτοι μὴ γένοιτο

1 ὅτι καὶ SY: ὅτι FA 2 ἀνθιστήκει S^{1}A^1 3 ποτ' αἴτιον] τὸ αἴτιον A ποτε ταἴτιον Dobree, cf. § 36 | τὸ SAFY^1: τοῦ Y corr. 4 Ἐρετριᾶς Cobet: ἐρετριεῖς SFAY 5 αὑτῶν SA ἑαυτῶν FY 6 ὑμῖν νῦν ἐστίν γρ. FAY^2 11 ἐγκατελείφθησαν S corr. 13 ἕκαστον A | οἷς ἤδη FAY^2 14 ἔλεγον καὶ ἐλύπουν οὐδέν AY^3 mg. | σωθήσεσθαι προσῆσαν δ' ἀπέχθειαι S rec. mg. AY^3 mg. 15 οὔτε πρὸς χάριν οὔτε F^{1}AY: οὐδὲ πρὸς χάριν οὐδὲ SF s. v. prius οὐδὲ om. L | post alterum οὔτε eras. πρὸς Y 16 προσίεντο SF: προίεντο Y^1 προεῖντο ἑαυτοὺς A γρ. Y^3 18 ἔγωγε FY 19 ἴδητε γρ. FY^1 | ἐκλογιζόμενοι S: ἐκ λογισμοῦ FY^1 λογιζόμενοι AY^2 | ἐν ὑμῖν S ἔθ' ὑμῖν Franke | post ἐνόν add. καὶ τοὺς εἰς τοῦθ' ὑπάγοντας ὑμᾶς ὁρῶν οὐκ ὀρρωδῶ, ἀλλὰ δυσωποῦμαι· ἢ γὰρ ἐξεπίτηδες ἢ (οὐ L. Spengel) δι' ἄγνοιαν εἰς χαλεπὸν πρᾶγμα ὑπάγουσι τὴν πόλιν S rec. mg. AY^3 mg., cf. Harpocr. s. δυσωποῦμαι et ὑπάγουσιν

μὲν ὦ ἄνδρες Ἀθηναῖοι τὰ πράγματ' ἐν τούτῳ· τεθνάναι
δὲ μυριάκις κρεῖττον ἢ κολακείᾳ τι ποιῆσαι Φιλίππου
καὶ | προέσθαι τῶν ὑπερ ὑμῶν λεγόντων τινάς. καλήν γ' οἱ **128**
πολλοὶ νῦν ἀπειλήφασιν Ὠρειτῶν χάριν, ὅτι τοῖς Φιλίπ-
που φίλοις ἐπέτρεψαν αὐτούς, τὸν δ' Εὐφραῖον ἐώθουν· 5
66 *καλήν γ' ὁ δῆμος ὁ Ἐρετριέων, ὅτι τοὺς μὲν ὑμετέρους*
πρέσβεις ἀπήλασεν, Κλειτάρχῳ δ' ἐνέδωκεν αὑτόν· δου-
λεύουσί γε μαστιγούμενοι καὶ σφαττόμενοι. καλῶς Ὀλυν-
θίων ἐφείσατο τῶν τὸν μὲν Λασθένην ἵππαρχον χειρο-
67 *τονησάντων, τὸν δ' Ἀπολλωνίδην ἐκβαλόντων. μωρία καὶ* 10
κακία τὰ τοιαῦτ' ἐλπίζειν, καὶ κακῶς βουλευομένους καὶ
μηδὲν ὧν προσήκει ποιεῖν ἐθέλοντας, ἀλλὰ τῶν ὑπὲρ τῶν
ἐχθρῶν λεγόντων ἀκροωμένους, τηλικαύτην ἡγεῖσθαι
πόλιν οἰκεῖν τὸ μέγεθος ὥστε ⟨μηδέν⟩, μηδ' ἂν ὁτιοῦν
68 *ᾖ, δεινὸν πείσεσθαι. καὶ μὴν ἐκεῖνό γ' αἰσχρόν, ὕστερόν* 15
ποτ' εἰπεῖν· „τίς γὰρ ἂν ᾠήθη ταῦτα γενέσθαι; νὴ τὸν
Δί', ἔδει γὰρ τὸ καὶ τὸ ποιῆσαι καὶ τὸ μὴ ποιῆσαι.“
πόλλ' ἂν εἰπεῖν ἔχοιεν Ὀλύνθιοι νῦν, ἃ τότ' εἰ προεί-
δοντο, οὐκ ἂν ἀπώλοντο· πόλλ' ἂν Ὠρεῖται, πολλὰ Φω-
κεῖς, πολλὰ τῶν ἀπολωλότων ἕκαστοι. ἀλλὰ τί τούτων 20
69 *ὄφελος αὐτοῖς; ἕως ἂν σῴζηται τὸ σκάφος, ἄν τε μεῖζον*

1 *μὲν* om. FY | *ὦ ἄ. Ἀθ.*] *ὡς* S 2 *δὲ* S: *γὰρ* FAY | *κολακία* A | *φιλίππου* S[1]: *φιλίππω* S rec. AY *φιλίππῳ* (ου s. v.) F 3 *καὶ ... τινάς* add. FAY | *ἡμῶν* F[1] *ὑμῶν αὐτῶν* A | *τινά* A 5 *ἐώθουν* SFY[1]: *ἐμίσουν* A *γρ.* Y[2] 6 *ὁ τῶν ἐρετριέων* A | *μὲν ὑμετέρους* S: *μὲν ἡμετέρους* A *ὑμετέρους μὲν* FY 7 *ἑαυτὸν* A 8 *σφαττόμενοι* SA *γρ.* Y[2]: *στρεβλούμενοι γρ.* S rec. FY[1] 9 *λασθένην* AY[2] cf. VIII 40: *λασθένη* SFY[1] 11 *καὶ* ante *κακῶς* om. FY | *βουλευομένους αὐτοὺς* FA 14 *μηδέν* add. Seager 14 sq. *ὅτι οὖν ἂν δεινὸν* A 15 *κἀκεῖνο* A 16 *εἰπεῖν συμβάντος τινός* FAY | *ἂν* s. v. A[1] | *οἰηθῆι* Y[1] 17 *τὸ* ante *ποιῆσαι* om. Y[1] 21 *ἕως* SFY[1] Hermog. III 251 W. (270, 22 R.). 342 (357, 14): *ἕως γὰρ* AY corr.

ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην
καὶ πάντ' ἄνδρ' ἑξῆς προθύμους εἶναι, καὶ ὅπως μήθ'
ἑκὼν μήτ' ἄκων μηδεὶς ἀνατρέψει, τοῦτο σκοπεῖσθαι·
ἐπειδὰν δ' ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή. καὶ 70
5 ἡμεῖς τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι, ἕως ἐσμὲν σῷοι, πόλιν
μεγίστην ἔχοντες, ἀφορμὰς πλείστας, ἀξίωμα κάλλιστον,
τί ποιῶμεν; πάλαι τις ἡδέως ἂν ἴσως ἐρωτήσας κάθηται.
129 ἐγὼ νὴ Δί' ἐρῶ, | καὶ γράψω δέ, ὥστ' ἂν βούλησθε χει-
ροτονήσετε. αὐτοὶ πρῶτον ἀμυνόμενοι καὶ παρασκευαζό-
10 μενοι, τριήρεσι καὶ χρήμασι καὶ στρατιώταις λέγω (καὶ
γὰρ ἂν ἅπαντες δήπου δουλεύειν συγχωρήσωσιν οἱ ἄλ-
λοι, ἡμῖν γ' ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιστέον), ταῦτα δὴ 71
πάντ' αὐτοὶ παρεσκευασμένοι καὶ ποιήσαντες φανερὰ
τοὺς ἄλλους ἤδη παρακαλῶμεν, καὶ τοὺς ταῦτα διδάξον-
15 τας ἐκπέμπωμεν πρέσβεις πανταχοῖ, εἰς Πελοπόννησον, εἰς
Ῥόδον, εἰς Χίον, ὡς βασιλέα λέγω (οὐδὲ γὰρ τῶν ἐκείνῳ συμφε-
ρόντων ἀφέστηκεν τὸ μὴ τοῦτον ἐᾶσαι πάντα καταστρέψασθαι),
ἵν' ἂν μὲν πείσητε, κοινωνοὺς ἔχητε καὶ τῶν κινδύνων καὶ
τῶν ἀναλωμάτων, ἄν τι δέῃ, εἰ δὲ μή, χρόνους γ' ἐμποιῆτε
20 τοῖς πράγμασιν. ἐπειδὴ γάρ ἐστιν πρὸς ἄνδρα καὶ οὐχὶ 72
συνεστώσης πόλεως ἰσχὺν ὁ πόλεμος, οὐδὲ τοῦτ' ἄχρηστον,

2 πάντ' ἄνδρα SFY Hermog.: πάντας A | ἑξῆς προθύμους SA Hermog.: ἐφεξῆς πρόθυμον FY | πρόθυμον Herm. 342 (357, 16) 3 ἀνατρέψει G. H. Schaefer: ἀνάτρεψηι SFAY 7 ποιοῦμεν S rec. AY[2] | ἴσως punctis del. F om. Y | ἐρωτήσας Cobet: ἐρωτήσων SFAY ἂν ἐρωτῶν Stahl 8 ἐὰν A | χειροτονήσατε A 10 τριήρεσι χρήμασι FY 11 δουλεύειν δήπου FY 12 ὑμῖν FA | γ' om. Y 13 αὐτοὶ om. FY | παρεσκευασμένοι SA: παρασκευασάμενοι FY | φανερὰ S[1]: φανερὰ τοῖς ἕλλησι S rec. A τοῖς ἕλλησι φανερὰ FY 14 τοῖς ἄλλοις S rec. | παραδῶμεν S[1] 15 ἐκπέμπομεν A 15 sqq. πανταχοῖ ... καταστρέψασθαι add. S rec. FAY | πανταχοῖ (?) Y corr. O: πανταχοῦ S mg. FAY[1] 16 χίον . ῥόδον Y 18 ἐὰν F 19 μήι F

οὐδ' αἱ πέρυσι πρεσβεῖαι περὶ τὴν Πελοπόννησον ἐκεῖναι
καὶ κατηγορίαι, ἃς ἐγὼ καὶ Πολύευκτος ὁ βέλτιστος ἐκει-
νοσὶ καὶ Ἡγήσιππος καὶ οἱ ἄλλοι πρέσβεις περιήλθομεν,
καὶ ἐποιήσαμεν ἐπισχεῖν ἐκεῖνον καὶ μήτ' ἐπ' Ἀμβρακίαν
73 ἐλθεῖν μήτ' εἰς Πελοπόννησον ὁρμῆσαι. οὐ μέντοι λέγω 5
μηδὲν αὐτοὺς ὑπὲρ αὐτῶν ἀναγκαῖον ἐθέλοντας ποιεῖν,
τοὺς ἄλλους παρακαλεῖν· καὶ γὰρ εὔηθες τὰ οἰκεῖ' αὐ-
τοὺς προϊεμένους τῶν ἀλλοτρίων φάσκειν κήδεσθαι, καὶ
τὰ παρόντα περιορῶντας ὑπὲρ τῶν μελλόντων τοὺς ἄλ-
λους φοβεῖν. οὐ λέγω ταῦτα, ἀλλὰ τοῖς μὲν ἐν Χερρονήσῳ 10
χρήματ' ἀποστέλλειν φημὶ δεῖν καὶ τἄλλ' ὅσ' ἀξιοῦσι
ποιεῖν, αὐτοὺς δὲ παρασκευάζεσθαι, | τοὺς δ' ἄλλους Ἕλ- 130
ληνας συγκαλεῖν, συνάγειν, διδάσκειν, νουθετεῖν· ταῦτ'
74 ἐστὶ πόλεως ἀξίωμ' ἐχούσης ἡλίκον ὑμῖν ὑπάρχει. εἰ δ'
οἴεσθε Χαλκιδέας τὴν Ἑλλάδα σώσειν ἢ Μεγαρέας, ὑμεῖς 15
δ' ἀποδράσεσθαι τὰ πράγματα, οὐκ ὀρθῶς οἴεσθε· ἀγα-
πητὸν γὰρ ἐὰν αὐτοὶ σῴζωνται τούτων ἑκάστοις. ἀλλ'
ὑμῖν τοῦτο πρακτέον· ὑμῖν οἱ πρόγονοι τοῦτο τὸ γέρας
III 36 ἐκτήσαντο καὶ κατέλιπον μετὰ πολλῶν καὶ μεγάλων κιν-
75 δύνων. εἰ δ' ὃ βούλεται ζητῶν ἕκαστος καθεδεῖται, καὶ 20
ὅπως μηδὲν αὐτὸς ποιήσει σκοπῶν, πρῶτον μὲν οὐδὲ
μή ποθ' εὕρῃ τοὺς ποιήσοντας, ἔπειτα δέδοιχ' ὅπως μὴ

1 ⟨αἱ⟩ περὶ Reiske 2 βέλτιστος καὶ κλειτόμαχος καὶ λυκοῦργος ἐκεῖνος καὶ ἡγήσιππος A γρ. Y[s] mg. 4 ἀμβρικίαν F 5 εἰς] ἐς F om. Y[1] 7 οἰκία A[1] 8 προεμένους SFY[1] 10 οὐ] οὐδε A | τοῖς F (το superscr.) τὸ Y[1] 12 τοὺς δ' ἄλλους SFY[1]: καὶ πρώτους ἃ χρὴ ποιοῦντας τότε καὶ τοὺς ἄλλους A γρ. Y[s] mg. 14 ἀξιώματα A[1] 16 ἀποδράσεσθαι SA[2]: ἀποδράσεσθε FA[1] (prior α in ras. ex υ (?) facta) Y 17 ἂν FAY | σώζονται Y | ἑκάστοις Cobet: ἕκαστοι SFAY 18 τὸ γέρας om. Y[1] add. Y rec. 19 καὶ καλῶν ante καὶ μεγάλων add. S rec. FA (κακῶν? A[1]) Y cf. III 36 20 ἃ A 21 ποιήσει S corr. a pr. m. FA: ποιήσῃ S[1]Y | οὐδὲ SFY: οὐ A 22 εὑρήσει A

πάνθ' ἅμ' ὅσ' οὐ βουλόμεθα ποιεῖν ἡμῖν ἀνάγκη γενήσεται.

Ἐγὼ μὲν δὴ ταῦτα λέγω, ταῦτα γράφω· καὶ οἴομαι καὶ 76
νῦν ἔτ' ἐπανορθωθῆναι ἂν τὰ πράγματα τούτων γιγνο-
5 *μένων. εἰ δέ τις ἔχει τι τούτων βέλτιον, λεγέτω καὶ συμ-*
βουλευέτω. ὅ τι δ' ὑμῖν δόξει, τοῦτ' ὦ πάντες θεοὶ συν-
ενέγκοι.

1 *ἅμα* om. FAY | *βολόμεθα* SY[1] | *γενήσεται* FY: *γένηται* SA cf. VIII 53 | post *γενήσεται* add. *εἰ γὰρ ἦσαν εὕρηντ' ἂν πάλαι, ἕνεκά γε τοῦ μηδὲν ὑμᾶς* (*ἡμᾶς* Y) *αὐτοὺς ποιεῖν ἐθέλειν, ἀλλ' οὐκ εἰσίν* AY[3] mg.; quae post *ποιήσοντας* p. 150, 22 collocanda esse censuit G. H. Schaefer 3 *οἴομαι*] *νομίζω* A 4 *πάντα τὰ πράγματα* AY[2] 5 *ἔχει* S[1] (corr. eadem *ἔχηι*) | *τι τούτων* A: *τούτων* SF *τούτων τι* Y | *βέλτιον* SAY corr.: *βελτίω* FY[1] 6 *δόξει* S[1] (corr. eadem *δόξηι*): *δόξειε* FAY | *συνενέγκαι* AY[2]

In S subscriptum

ΚΑΤᾺ ΦΙΛΊΠΠΟΥ Γ̄
ΓΗ ΓΔ (ΙΗΙ ΙΔΙ m. rec.) Δ̄ Δ̄ Δ̄

in F

ΚΑΤᾺ ΦΙΛΊΠΠΟΥ
ΠΠ Δ̄ Δ̄ Δ̄
Η Δ

in Y

ΙΗΙ ΙΔΙ Δ Δ Δ ΚΑΤΑ ΦΙΛΊΠΠΟΥ Γ̄

X

ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Δ

ΥΠΟΘΕΣΙΣ

Καὶ οὗτος ⟨ὁ λόγος⟩ τὴν αὐτὴν ὑπόθεσιν ἔχει τῷ φθάνοντι καὶ πλέον οὐδὲν οὐδ' ἴδιον, πλὴν τὸ περὶ τῆς ὁμονοίας πολίτευμα· διαφερομένων γὰρ τῶν πλουσίων πρὸς τοὺς πένητας, ὁ Δημοσθένης καταπαύειν πειρᾶται τὴν | στάσιν, τῷ μὲν δήμῳ 131 *παραινῶν μὴ δημεύειν τὰς τῶν πλουσίων οὐσίας, τοῖς δὲ πλουσίοις μὴ φθονεῖν τοῖς ἀπόροις τοῦ δημοσίου λήμματος. πείθει δὲ τοὺς Ἀθηναίους καὶ πρὸς τὸν Περσῶν βασιλέα περὶ συμμαχίας πρεσβεύεσθαι.* 5

Is. VIII 1 *Καὶ σπουδαῖα νομίζων ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει, πειράσομαι περὶ αὐτῶν εἰπεῖν ἃ νομίζω συμφέρειν. οὐκ ὀλίγων δ' ὄντων ἁμαρτημάτων οὐδ' ἐκ μικροῦ χρόνου συνειλεγμένων, ἐξ ὧν φαύλως ταῦτ' ἔχει, οὐδέν ἐστιν ὦ ἄνδρες Ἀθηναῖοι τῶν πάντων δυσκολώτερον εἰς τὸ παρὸν ἢ ὅτι ταῖς γνώμαις ὑμεῖς ἀφεστήκατε τῶν πραγμάτων, καὶ τοσοῦτον* 10 15

ὑπόθεσις λόγου οὗ ἡ ἀρχή· καὶ σπουδαῖα νομίζω ὦ Ἀθηναῖοι F
1 *ὁ λόγος* addidi 2 *οὐδὲ* O: *οὔτε* FY m 4 *παύειν* m 7 *τὸν* Y m: *τῶν* F 9 cf. Hermog. III 299 W. (316, 15 R.). 301 (318, 25) | *νομίζω* S[1] (*ν* add rec.) F in argum. 14 *δυσκολώτερον* S: *δυσκολώτατον* (ερ suprascr.) F *δυσκολώτατον* AY

χρόνον σπουδάζεθ' ὅσον ἂν κάθησθ' ἀκούοντες ἢ προσ-
αγγελθῇ τι νεώτερον, εἶτ' ἀπελθὼν ἕκαστος ὑμῶν οὐ
μόνον οὐδὲν φροντίζει περὶ αὐτῶν, ἀλλ' οὐδὲ μέμνηται.
ἡ μὲν οὖν ἀσέλγεια καὶ πλεονεξία, ᾗ πρὸς ἅπαντας ἀν- 2
5 θρώπους Φίλιππος χρῆται, τοσαύτη τὸ πλῆθος ὅσην XXI 1
ἀκούετε· ὅτι δ' οὐκ ἔνι ταύτης ἐκεῖνον ἐπισχεῖν ἐκ λό-
γου καὶ δημηγορίας οὐδεὶς ἀγνοεῖ δήπου. καὶ γὰρ εἰ μηδ'
ἀφ' ἑνὸς τῶν ἄλλων τοῦτο μαθεῖν δύναταί τις, ὡδὶ λο-
γισάσθω. ἡμεῖς οὐδαμοῦ πώποτε, ὅπου περὶ τῶν δικαίων
132 εἰπεῖν ἐδέησεν, ἡττήθημεν οὐδ' ἀδικεῖν ἐδόξα|μεν, ἀλλὰ XVIII 244
11 πάντων πανταχοῦ κρατοῦμεν καὶ περίεσμεν τῷ λόγῳ. ἆρ' 3
οὖν διὰ τοῦτ' ἐκείνῳ φαύλως ἔχει τὰ πράγματ' ἢ τῇ πό-
λει καλῶς; πολλοῦ γε καὶ δεῖ· ἐπειδὰν γὰρ ὁ μὲν λαβὼν
μετὰ ταῦτα βαδίζῃ τὰ ὅπλα, πᾶσιν τοῖς οὖσιν ἑτοίμως
15 κινδυνεύσων, ἡμεῖς δὲ καθώμεθ' εἰρηκότες τὰ δίκαια, οἱ
δ' ἀκηκοότες, εἰκότως οἶμαι τοὺς λόγους τὰ ἔργα παρέρ-
χεται, καὶ προσέχουσιν ἅπαντες οὐχ οἷς εἴπομέν ποθ'
ἡμεῖς δικαίοις ἢ νῦν ἂν εἴποιμεν, ἀλλ' οἷς ποιοῦμεν. ἔστι
δὲ ταῦτ' οὐδένα τῶν ἀδικουμένων σῴζειν δυνάμενα· οὐδὲν
20 γὰρ δεῖ πλείω περὶ αὐτῶν λέγειν. τοιγάρτοι διεστηκότων 4
εἰς δύο ταῦτα τῶν ἐν ταῖς πόλεσιν, τῶν μὲν εἰς τὸ μήτ'
ἄρχειν βίᾳ βούλεσθαι μηδενὸς μήτε δουλεύειν ἄλλῳ, ἀλλ'
ἐν ἐλευθερίᾳ καὶ νόμοις ἐξ ἴσου πολιτεύεσθαι, τῶν δ' εἰς

1 ἢ] ἢν Y rec. mg. | παραγγελθῆι F 2 ἀπελθὼν] πελθω in ras. A 5 πλῆθός ἐστιν A 8 δύναται S (medium α in eraso η δύνηται L[1]) AY: δύναιτο F (ι postea add.) 10 οὐκ A 12 τοῦτ' SA: ταῦτ' (ο supra α) F ταῦτ' Y | ἐκείνωι μὲν AY[2] | ἢ τῆι SFAY[1] (?): τῆι δὲ Y[2] 15 καθήμεθα S corr. AY[2] | οἱ μὲν ante εἰρηκότες add. S rec. mg. FAY 16 τὰ ἔργα τοὺς λόγους FAY | διέρχεται (παρ supra) F διέρχεται Y[2] 17 οἷς εἴπομεν SFY: οἷς ἂν εἴποιμεν A 18 δικαίως A[1] 21 δύο μέρη FY

τὸ ἄρχειν μὲν τῶν πολιτῶν ἐπιθυμεῖν, ἑτέρῳ δ' ὑπακούειν, δι' ὅτου ποτ' ἂν οἴωνται τοῦτο δυνήσεσθαι ποιῆσαι, οἱ τῆς ἐκείνου προαιρέσεως, οἱ τυραννίδων καὶ δυναστειῶν ἐπιθυμοῦντες, κεκρατήκασι πανταχοῦ, καὶ πόλις δημοκρατουμένη βεβαίως οὐκ οἶδ' εἴ τίς ἐστιν τῶν πασῶν 5
5 λοιπὴ πλὴν ἡ ἡμετέρα. καὶ κεκρατήκασιν οἱ δι' ἐκείνου τὰς πολιτείας ποιούμενοι πᾶσιν ὅσοις πράγματα πράττεται, πρώτῳ μὲν πάντων καὶ πλείστῳ τῷ τοὺς βουλομένους χρήματα λαμβάνειν ἔχειν τὸν δώσονθ' ὑπὲρ αὐτῶν, δευτέρῳ δὲ καὶ οὐδὲν ἐλάττονι τούτου τῷ δύναμιν 10 τὴν καταστρεψομένην τοὺς ἐναντιουμένους αὐτοῖς ἐν οἷς
6 ἂν αἰτήσωσι χρόνοις παρεῖναι. ἡμεῖς δ' οὐ μόνον τούτοις ὑπολειπόμεθ' ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' οὐδ' ἀνεγερθῆναι | δυνάμεθα, ἀλλὰ μανδραγόραν πεπωκόσιν ἤ τι φάρ- 133 μακον ἄλλο τοιοῦτον ἐοίκαμεν ἀνθρώποις· εἶτ' οἶμαι 15 (δεῖ γάρ, ὡς ἐγὼ κρίνω, λέγειν τἀληθῆ) οὕτω διαβεβλήμεθα καὶ καταπεφρονήμεθ' ἐκ τούτων, ὥστε τῶν ἐν αὐτῷ τῷ κινδυνεύειν ὄντων οἱ μὲν ὑπὲρ τῆς ἡγεμονίας ἡμῖν ἀντιλέγουσιν, οἱ δ' ὑπὲρ τοῦ ποῦ συνεδρεύσουσιν, τινὲς δὲ καθ' αὐτοὺς ἀμύνεσθαι μᾶλλον ἢ μεθ' ἡμῶν ἐγνώ- 20 κασιν.

7 III 21 Τοῦ χάριν δὴ ταῦτα λέγω καὶ διεξέρχομαι; (οὐ γὰρ ἀπεχθάνεσθαι μὰ τὸν Δία καὶ πάντας τοὺς θεοὺς προαι-

2 διὰ τοῦ S[1] | οἴονται A 6 ὑμετέρα FY 8 πλείστῳ] μεγίστωι A | τοῖς βουλομένοις Index Lambini 9 αὐτῶν Bekker: αὑτῶν SFAY 10 ἔλαττον Y[1] 12 αἰτήσουσι A 13 ὑπολειπόμεθα S corr. Y: ὑπολειποίμεθα S[1] ὑπολειπόμεθα (α superscr.) F ἀπολειπόμεθα A | ἀλλ' οὐδ'] ἀλλ οὐ A in ras. 14 πεπωκόσιν] ω in ras. F 18 ἡγεμονείας A[1] 19 συνεδρεύουσι A 20 καὶ καθ' ἑαυτοὺς AFY | ὑμῶν FY 22 τοῦ] τοῦτο S[1] 23 τοὺς om. A, cf. VIII 49

ροῦμαι·) ἵν' ὑμῶν ἕκαστος ὦ ἄνδρες Ἀθηναῖοι τοῦτο
γνῷ καὶ ἴδῃ, ὅτι ἡ καθ' ἡμέραν ῥᾳστώνη καὶ ῥᾳθυμία,
ὥσπερ τοῖς ἰδίοις βίοις οὕτω καὶ ταῖς πόλεσιν οὐκ ἐφ'
ἑκάστου τῶν ἀμελουμένων ποιεῖ τὴν αἴσθησιν εὐθέως,
5 ἀλλ' ἐπὶ τῷ κεφαλαίῳ τῶν πραγμάτων ἀπαντᾷ. ὁρᾶτε 8
Σέρριον καὶ Δορίσκον (ταῦτα γὰρ πρῶτον ὠλιγωρήθη
μετὰ τὴν εἰρήνην), ἃ πολλοῖς ὑμῶν οὐδὲ γνώριμ' ἐστὶν
ἴσως. ταῦτα μέντοι τότ' ἐαθέντα καὶ παροφθέντ' ἀπώ-
λεσε Θρᾴκην καὶ Κερσοβλέπτην, σύμμαχον ὄνθ' ὑμῶν.
10 πάλιν ταῦτ' ἀμελούμεν' ἰδὼν καὶ οὐδεμιᾶς βοηθείας τυγ-
χάνοντα παρ' ὑμῶν κατέσκαπτε Πορθμὸν καὶ τυραννίδ'
ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπετείχισεν ὑμῖν ἐν τῇ Εὐβοίᾳ.
ταύτης ὀλιγωρουμένης Μέγαρ' ἑάλω παρὰ μικρόν. οὐδὲν 9
ἐφροντίσατ' οὐδ' ἐπεστράφητ' οὐδὲν τούτων, οὐδ' ἐνε-
15 δείξασθε τοῦθ', ὅτι οὐκ ἐπιτρέψετε τοῦτο ποιεῖν αὐτῷ·
Ἀντρῶνας ἐπρίατο καὶ μετ' οὐ πολὺν χρόνον τὰ ἐν Ὠρεῷ
πράγματ' εἰλήφει. πολλὰ δὲ καὶ παραλείπω, Φεράς, τὴν 10
ἐπ' Ἀμβρακίαν ὁδόν, τὰς ἐν Ἤλιδι σφαγάς, ἄλλα μυρία·
134 οὐ γὰρ ἵν' ἐξαριθμήσωμαι τοὺς βεβιασμένους καὶ τοὺς
20 ἠδικημένους ὑπὸ Φιλίππου, ταῦτα διεξῆλθον, ἀλλ' ἵνα
τοῦθ' ὑμῖν δείξω, ὅτι οὐ στήσεται πάντας ἀνθρώπους IV 43
ἀδικῶν, τὰ δ' ὑφ' αὑτῷ ποιούμενος Φίλιππος, εἰ μή τις
αὐτὸν κωλύσει.

1 ἵν' S Stobaeus Flor. XLIII 67: ἀλλ' ἵν' FAY 2 εἰδῆι S corr. A Stobaeus 3 καὶ] κἂν A | ἐφ' SA: ἀφ' FY 6 ὠλιγωρήθηι (?) A[1] 7 εἰρήνην] εἰρημένην A 8 τότ' om. S[1] 9 ὄντα ἕνα F 11 κατέσκαπται S rec. A 13 ὠλιγωρουμένης Y | οὐδὲν SFY: ἐπ' οὐδενὶ A οὐδὲ Cobet 14 ἐπεδείξασθε A 15 ἐπιστρέψετε A[1] | τοῦτο ποιεῖν SF[1]Y: ταῦτα ποιεῖν F rec. A 17 sq. τὴν ... σφαγάς om A[1] add. eadem in mg. 19 post γὰρ 2 vel 3 litt. in F erasae | ἐξαριθμήσομαι A 21 ἐπιδείξω A 23 κωλύσηι S[1]A

11 VIII 38–40 *Εἰσὶ δέ τινες οἳ πρὶν ἀκοῦσαι τοὺς ὑπὲρ τῶν πραγμάτων λόγους εὐθέως εἰώθασιν ἐρωτᾶν· „τί οὖν χρὴ ποιεῖν;“ οὐχ ἵν' ἀκούσαντες ποιήσωσιν (χρησιμώτατοι γὰρ ἂν ἦσαν ἁπάντων), ἀλλ' ἵνα τοῦ λέγοντος ἀπαλλαγῶσιν. δεῖ δ' ὅμως εἰπεῖν ὅ τι χρὴ ποιεῖν. πρῶτον μὲν* 5 *ὦ ἄνδρες Ἀθηναῖοι τοῦτο παρ' ὑμῖν αὐτοῖς βεβαίως γνῶναι, ὅτι τῇ πόλει Φίλιππος πολεμεῖ καὶ τὴν εἰρήνην λέλυκεν, καὶ κακόνους μέν ἐστι καὶ ἐχθρὸς ὅλῃ τῇ πόλει καὶ τῷ τῆς πόλεως ἐδάφει, προσθήσω δὲ καὶ τοῖς ἐν τῇ πόλει θεοῖς, οἵπερ αὐτὸν ἐξολέσειαν, οὐδενὶ μέντοι μᾶλ-* 10 *λον ἢ τῇ πολιτείᾳ πολεμεῖ, οὐδ' ἐπιβουλεύει καὶ σκοπεῖ* 12 VI 17–18 *μᾶλλον οὐδὲν τῶν πάντων ἢ πῶς ταύτην καταλύσει. καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τινὰ νῦν γ' ἂν ποιοῖ. λογίζεσθε γάρ. ἄρχειν βούλεται, τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς. ἀδικεῖ πολὺν χρόνον ἤδη, καὶ τοῦτ'* 15 *αὐτὸς ἄριστα σύνοιδεν αὑτῷ· οἷς γὰρ οὖσιν ὑμετέροις ἔχει χρῆσθαι, τούτοις ἅπαντα τἆλλα βεβαίως κέκτηται· εἰ γὰρ Ἀμφίπολιν καὶ Ποτείδαιαν προεῖτο, οὐδ' ἂν ἐν* 13 *Μακεδονίᾳ μένειν ἀσφαλῶς ἐδύνατο. ἀμφότερ' οὖν οἶδεν, καὶ αὐτὸν ὑμῖν ἐπιβουλεύοντα καὶ ὑμᾶς αἰσθανο-* 20 *μένους· εὖ φρονεῖν δ' ὑμᾶς ὑπολαμβάνων μισεῖν αὐτὸν* VIII 41 sqq. *ἡγεῖται. πρὸς δὲ τούτοις τοσούτοις οὖσιν οἶδεν ἀκριβῶς ὅτι, οὐδ' ἂν ἁπάντων τῶν ἄλλων γένηται κύριος, οὐδέν | ἔστ' αὐτῷ βεβαίως ἔχειν, ἕως ἂν ὑμεῖς δημοκρατῆσθε,* 135

1 *δέ*] *δή* Blass coll. *τοίνυν* VIII 38 2 *εὐθὺς* A 6 *ἡμῖν* F[1] 8 *καὶ* ante *ἐχθρὸς* om. Y[1] 11 hic etiam in S post *πολεμεῖ* interpunctum 12 *ἁπάντων* FY | *ὅπως* FAY | *καταλύσηι* SA 13 *νῦν γ' ἂν* S: *νῦν γε δὴ* S rec. FY ex VI 17 *νυνὶ δὴ* A | *ποιοῖ* S: *ποιεῖ* FAY 15 *χρόνον ἤδη* S: *ἤδη χρόνον* FAY ex VI 17 16 *ἑαυτῶι* FY 17 *χρῆσθαι* del. Cobet, cf. VI 17 | *πάντα* Hermog. III 161 W. (177, 14 R.) 19 *ἐδύνατο* SA (*γρ. ἠδύνατο* F): *ἡγεῖτο* FY 21 ante *μισεῖν* add. *δικαίως* S rec. FAY ex VI 18 22 *τοιούτοις* A 24 *ἔχει* A

ἀλλ' ἐάν ποτε συμβῇ τι πταῖσμα (πολλὰ δ' ἂν γένοιτ'
ἀνθρώπῳ), ἥξει πάντα τὰ νῦν βεβιασμένα καὶ καταφεύ-
ξεται πρὸς ὑμᾶς. ἐστὲ γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι 14
καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυκότες, ἀλλ' ἕτερον λαβεῖν
5 κωλῦσαι καὶ ἔχοντ' ἀφελέσθαι καὶ ὅλως ἐνοχλῆσαι τοῖς
ἄρχειν βουλομένοις καὶ πάντας ἀνθρώπους εἰς ἐλευθε-
ρίαν ἐξελέσθαι δεινοί. οὔκουν βούλεται τοῖς αὐτοῦ και-
ροῖς τὴν παρ' ὑμῖν ἐλευθερίαν ἐφεδρεύειν, οὐ κακῶς
οὐδ' ἀργῶς ταῦτα λογιζόμενος. πρῶτον μὲν δὴ τοῦτο 15
10 δεῖ, ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας καὶ τῆς δημοκρα-
τίας ἀδιάλλακτον ἐκεῖνον, δεύτερον δ' εἰδέναι σαφῶς ὅτι
πάνθ' ὅσα πραγματεύεται καὶ κατασκευάζεται νῦν, ἐπὶ
τὴν ἡμετέραν πόλιν παρασκευάζεται. οὐ γὰρ οὕτως εὐήθης
ὑμῶν ἐστιν οὐδείς, ὥσθ' ὑπολαμβάνειν τὸν Φίλιππον τῶν
15 μὲν ἐν Θρᾴκῃ κακῶν (τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον
καὶ Καβύλην καὶ Μάστειραν καὶ ἃ νῦν φασιν αὐτὸν ἔχειν;)
τούτων μὲν ἐπιθυμεῖν καὶ ὑπὲρ τοῦ ταῦτα λαβεῖν καὶ
πόνους καὶ χειμῶνας καὶ τοὺς ἐσχάτους κινδύνους ὑπο-
μένειν, τῶν δ' Ἀθηναίων λιμένων καὶ νεωρίων καὶ τριή- 16
20 ρων καὶ τόπου καὶ δόξης, ὧν μήτ' ἐκείνῳ μήτ' ἄλλῳ γέ-
νοιτο μηδενὶ χειρωσαμένῳ τὴν πόλιν τὴν ἡμετέραν κυ-

1 ἃ πολλὰ γένοιτ' ἂν A ex VIII 41 | γένοιτο τἀνθρώπωι S 5 τὸν ἔχοντα FY 6 ἄρχουσι FY adscripto schol. p. 207, 28 Dind. | τοὺς ἀνθρώπους S 8 ὑμῖν SA: ὑμῶν [ι] F ὑμῶν Y 9 τοῦτο δεῖ SF: τούτου δεῖ χάριν γρ. FY διὰ τοῦτο δεῖ A 10 τῆς ante πολιτείας om. A 14 ὑμῶν ἐστιν S: ἐστὶν ἡμῶν [υ] F ἐστὶν ἡμῶν Y ἔσθ' ὑμῶν A | οὐδεὶς om. Y[1] 15 ἂν om. S | δρογγίλον S corr. FA: δρογγυλον S[1] δροιτίλον γρ. FY[1] δρυγγίλον Y corr. 16 καβυδην S 19 ἀθηναίων [ησι] SA: ἀθήνησι γρ. SY ἀθηναίων F | τριηρῶν καὶ νεωρίων Y | post τριήρων add. καὶ τῶν ἔργων τῶν ἀργυρίων καὶ τοσούτων προσόδων (cf. VIII 45) γρ. S[d] FAY 20 τόπων A

ριεῦσαι, οὐκ ἐπιθυμεῖν, ἀλλὰ ταῦτα μὲν ὑμᾶς ἐάσειν ἔχειν,
ὑπὲρ δὲ τῶν μελινῶν καὶ τῶν ὀλυρῶν τῶν ἐν τοῖς Θρᾳκίοις
17 σιροῖς ἐν τῷ βαράθρῳ χειμάζειν. οὐκ ἔστι ταῦτα, ἀλλὰ
κἀκεῖν' ὑπὲρ τοῦ τούτων γίγνεσθαι κύριος καὶ | τἄλλα 136
πάντα πραγματεύεται. ταῦτα τοίνυν ἕκαστον εἰδότα καὶ 5
γιγνώσκοντα παρ' αὑτῷ δεῖ μὰ Δί' οὐ γράψαι κελεύειν
πόλεμον τὸν τὰ βέλτιστ' ἐπὶ πᾶσι δικαίοις συμβουλεύοντα·
τοῦτο μὲν γάρ ἐστι λαβεῖν ὅτῳ πολεμήσετε βουλομένων,
18 οὐχ ἃ τῇ πόλει συμφέρει πράττειν. ὁρᾶτε γάρ. εἰ δι' ἃ
πρῶτα παρεσπόνδησε Φίλιππος ἢ δεύτερ' ἢ τρίτα (πολλὰ 10
γάρ ἐστιν ἐφεξῆς) ἔγραψέ τις αὐτῷ πολεμεῖν, ὁ δ' ὁμοίως
ὥσπερ νῦν, οὐ γράφοντος οὐδενὸς ὑμῶν πόλεμον, Καρ-
διανοῖς ἐβοήθει, οὐκ ἂν ἀνηρπασμένος ἦν ὁ γράψας, καὶ
διὰ τοῦτο πάντες ᾐτιῶντ' ἂν αὐτὸν Καρδιανοῖς βεβο-
19 ηθηκέναι; μὴ τοίνυν ζητεῖθ' ὅντιν' ἀνθ' ὧν Φίλιππος 15
ἐξαμαρτάνει μισήσετε καὶ τοῖς παρ' ἐκείνου μισθαρνοῦσι
διασπάσασθαι παραβαλεῖτε· μηδ' αὐτοὶ χειροτονήσαντες
πόλεμον βούλεσθε παρ' αὐτοῖς ὑμῖν ἐρίζειν, εἰ δέον ἢ μὴ
δέον ὑμᾶς τοῦτο πεποιηκέναι· ἀλλ' ὃν ἐκεῖνος πολεμεῖ τρό-

3 σειροῖς S[1] A[1] 4 γίγνεσθαι (γίνεσθαι) S: γενέσθαι FAY
7 πόλεμον FAY Did(ymus): τὸν πόλεμον S 8 ἐστι λαβεῖν S
(λαβεῖν in ras. pr. m.) A Did: ἐστι λα̈βεῖν F ἐστιν Y | πολεμήσετε
S[1] A (Did): μὴ πολεμήσετε S rec. FY (μὴ ex βου? corr.) | βου-
λομένων S A Did: λαβεῖν βουλομένων FY 9 συμφέρειν A[1] :
δι' ἃ] διὰ τὰ S[1] διὰ S corr. 12 οὐδενὸς ὑμῶν S A (ἡμῶν):
ἀθηναίων οὐδενὸς F (qui s. πόλεμον habet ἡμῶν) Y 13 ἀνηρ-
πασμένος] αν erasum in S | ἀνηρπασμένος ἂν FY | ταῦτα γράψας A
14 τοῦτο πάντες S: τοῦτο ἅπαντες FY αὐτό γε τοῦθ' ἅπαντες A |
ἂν αὐτὸν om. FY 16 ἐξαμαρτάνει μισήσετε] τανει μισήσετε in
ras. S rec. μιμήσεσθε S s. v. Y μισήσεσθε γρ. Y[1] fuitne τιμω-
ρήσεσθε? 17 παραβάλλετε A[2] | αὐτοὶ] αὐτοῖς S cf. III 17
18 αὐτοῖς ὑμῖν S: ὑμῖν αὐτοῖς FAY | εἰ] ἢ S[1] 19 ἡμᾶς FY |
πολεμεῖ γρ. S[d] FAY: ποιεῖ S[1]

που, τοῦτον μιμεῖσθε, τοῖς μὲν ἀμυνομένοις ἤδη χρήματα καὶ τἄλλ' ὅσων δέονται διδόντες, αὐτοὶ δ' εἰσφέροντες ὦ ἄνδρες Ἀθηναῖοι καὶ κατασκευαζόμενοι στράτευμα, τριήρεις ταχείας, ἵππους, ἱππαγωγούς, τἄλλ' ὅσ' εἰς πόλεμον·
5 *ἐπεὶ νῦν γε γέλως ἔσθ' ὡς χρώμεθα τοῖς πράγμασιν, καὶ* 20 IV 35
Φίλιππον δ' ἂν αὐτὸν οὐδὲν ἄλλ' οἶμαι μὰ τοὺς θεοὺς εὔξασθαι ποιεῖν τὴν πόλιν ἢ ταῦτα [ἃ νῦν ποιεῖτε]· ὑστερίζετε, ἀναλίσκετε· ὅτῳ παραδώσετε τὰ πράγματα [ζητεῖτε] δυσχεραίνετε· ἀλλήλους αἰτιᾶσθε. ἀφ' οὗ δὲ
187 *ταῦτα γίγνεται, ἐγὼ διδάξω, | καὶ ὅπως παύσεται λέξω.*
11 *οὐδὲν πώποτ' ὦ ἄνδρες Ἀθηναῖοι τῶν πραγμάτων ἐξ* 21
ἀρχῆς ἐνεστήσασθ' οὐδὲ κατεσκευάσασθ' ὀρθῶς, ἀλλὰ τὸ συμβαῖνον αἰεὶ διώκετε, εἶτ' ἐπειδὰν ὑστερίσητε παύεσθε· ἕτερον πάλιν ἂν συμβῇ τι παρασκευάζεσθε καὶ θορυ- VIII 11
15 *βεῖσθε. τὸ δ' οὐχ οὕτως ἔχει· οὐκ ἔνεστι βοηθείαις χρω-* 22
μένους οὐδὲν τῶν δεόντων ποτὲ πρᾶξαι, ἀλλὰ κατασκευ- VIII 47 sqq.
άσαντας δεῖ δύναμιν, καὶ τροφὴν ταύτῃ πορίσαντας καὶ ταμίας καὶ δημοσίους, καὶ ὅπως ἔνι τὴν τῶν χρημάτων φυλακὴν ἀκριβεστάτην γενέσθαι, οὕτω ποιήσαντας, τὸν
20 *μὲν τῶν χρημάτων λόγον παρὰ τούτων λαμβάνειν, τὸν*

1 *μιμεῖσθε γρ.* S^d: *ἀμύνεσθε* S^1AY corr. *ἀμύνεσθαι* FY^1 | *ἤδη* om. Y^1 2 *ὅσων δέονται* S: *ὅσα δέονται* A *ὧν ἂν δέωνται* FY 4 *ἱππαγωγοὺς καὶ* FY 6 *δ' ἂν αὐτὸν γρ.* S^dA: *δ' αὐτὸν* S^1FY | *οὐδὲν ἄλλ' οἶμαι* S corr. A (*οἴομαι*): *οὐδε αλλαν* vel *αλλον οἶμαι* S^1 *οιμαι ουδεν ἄλλο γρ.* S^d *οἶμαι οὐδὲν ἂν ἄλλο* FY | *μὰ τοὺς θεοὺς*] *τοῖς θεοῖς* Cobet 7 *ποιεῖ* Y^1 | *ἃ* SA: om. FY | *νῦν ποιεῖτε* S rec. mg. A: om. S^1FY 9 *ζητεῖτε* S rec. mg. FY^2: om. S^1AY^1 | *οὗ* S: *ὅτου* FAY 10 *ὅπως* SFY: *πῶς* A 12 *κατεσκεύασθε* A 13 *αἰεὶ* SF^1Y: *ἀεὶ* F corr. A | *ὑστερήσητε* FY 14 *ἐὰν* FY | *καὶ θορυβεῖσθε* om. A^1 add. A^2 15 *χρωμένους*] *ωμε* in ras. S^2 16 *ποτὲ* SA: *πώποτε* FY 18 *καὶ* ante *δημοσίους* punctis del. F, Y corr. in ras. habet | *χρημάτων* FAY: *πραγμάτων* S 19 *ποιήσοντας* A

δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ, καὶ μηδεμίαν πρόφασιν τοῦ πλεῖν ἄλλοσ' ἢ πράττειν ἄλλο τι τῷ στρατηγῷ
23 *καταλείπειν. ἂν οὕτω ποιήσητε καὶ τοῦτ' ἐθελήσηθ' ὡς ἀληθῶς, ἄγειν εἰρήνην δικαίαν καὶ μένειν ἐπὶ τοῦ τόπου Φίλιππον ἀναγκάσετε, ἢ πολεμήσετ' ἐξ ἴσου· καὶ ἴσως* 5 *ἄν, ἴσως, ὥσπερ νῦν ὑμεῖς πυνθάνεσθε τί ποιεῖ Φίλιππος καὶ ποῖ πορεύεται, οὕτως ἂν ἐκεῖνος φροντίσαι ποῖ ποθ' ἡ τῆς πόλεως ἀπῆρκε δύναμις καὶ ποῦ φανήσεται.*

24 *Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης πολλῆς καὶ πόνων πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλ' ὀρθῶς δοκεῖ·* 10 *ἀλλ' ἐὰν λογίσηται τὰ τῇ πόλει μετὰ ταῦτα γενησόμενα, ἐὰν ταῦτα μὴ θέλῃ ποιεῖν, εὑρήσει λυσιτελοῦν τὸ ἑκόντας ποιεῖν τὰ δέοντα. εἰ μὲν γάρ ἐστί τις ἐγγυητὴς ὑμῖν θεῶν (οὐ γὰρ ἀνθρώπων γ' οὐδεὶς ἂν γένοιτ' ἀξιόχρεως τηλικούτου πράγματος) ὡς, ἐὰν ἄγηθ' | ἡσυχίαν καὶ πάντα* 138 *προῆσθε, οὐκ ἐπ' αὐτοὺς ὑμᾶς τελευτῶν ἐκεῖνος ἥξει,* 16
25 *αἰσχρὸν μὲν νὴ τὸν Δία καὶ πάντας θεοὺς καὶ ἀνάξιον ὑμῶν καὶ τῶν ὑπαρχόντων τῇ πόλει καὶ πεπραγμένων τοῖς προγόνοις, τῆς ἰδίας ῥᾳθυμίας ἕνεκα τοὺς ἄλλους ἅπαντας Ἕλληνας εἰς δουλείαν προέσθαι, καὶ ἔγωγ' αὐτὸς* 20 *μὲν τεθνάναι μᾶλλον ἂν ἢ ταῦτ' εἰρηκέναι βουλοίμην·*
26 *οὐ μὴν ἀλλ' εἴ τις ἄλλος λέγει καὶ ὑμᾶς πείθει, ἔστω, μὴ ἀμύνεσθε, ἅπαντα πρόεσθε. εἰ δὲ μηδενὶ τοῦτο δοκεῖ,*

3 *ἂν* A: *ἂν δ'* SFY num *ἂν γάρ*? | *ποιῆτε* A | *ἐθελήσηθ'*] *ἐθελήσετε* Y^1 *ἕλησθε γρ* Y^2 | *ὡς* om. S^1 add. rec. 4 *τοῦ τόπου* S: *τῆς αὐτοῦ γρ.* S^dFAY 6 post *ἴσως* add. *ὦ ἄνδρες ἀθηναῖοι* FY | *ὑμεῖς νῦν* FY 7 *πορεύετε* A^1 | *ἂν ἐκεῖνος* S: *ἐκεῖνος* FY *ἐκεῖνος ἂν* A | *φροντίσαι* SA: *φροντίσει* FY 8 *ποί* FY^1 11 *λογίσηται*] *ι* et *αι* in ras. F 12 *ἂν* A | *ἐθέλῃ* FY 13 *ἡμῖν* FAY 15 *ἅπαντα* FAY 16 *ἐκεῖνος* om. S 18 *τῶν πεπραγμένων* FY 20 *ἕλληνας ἅπαντας* FAY 21 *μὲν* om. FAY 23 *δοκῇ* S

τοὐναντίον δὲ πρόϊσμεν ἅπαντες ὅτι, ὅσῳ ἂν πλειόνων
ἐάσωμεν ἐκεῖνον γενέσθαι κύριον, τοσούτῳ χαλεπωτέρῳ
καὶ ἰσχυροτέρῳ χρησόμεθ' ἐχθρῷ, ποῖ ἀναδυόμεθα, ἢ τί
μέλλομεν; ἢ πότ' ὦ ἄνδρες Ἀθηναῖοι τὰ δέοντα ποιεῖν
5 ἐθελήσομεν; „ὅταν νὴ Δί' ἀναγκαῖον ᾖ." ἀλλ' ἣν μὲν ἄν 27
τις ἐλευθέρων ἀνθρώπων ἀνάγκην εἴποι, οὐ μόνον ἤδη
πάρεστιν, ἀλλὰ καὶ πάλαι παρελήλυθεν, τὴν δὲ τῶν δού-
λων ἀπεύχεσθαι δήπου μὴ γενέσθαι δεῖ. διαφέρει δὲ
τί; ὅτι ἐστὶν ἐλευθέρῳ μὲν ἀνθρώπῳ μεγίστη ἀνάγκη
10 ἡ ὑπὲρ τῶν γιγνομένων αἰσχύνη, καὶ μείζω ταύτης οὐκ
οἶδ' ἥντιν' ἂν εἴποι τις· δούλῳ δὲ πληγαὶ καὶ ὁ τοῦ
σώματος αἰκισμός, ὃ μήτε γένοιτ' οὔτε λέγειν ἄξιον.

Τὸ μὲν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι πρὸς τὰ τοιαῦτ' 28
ὀκνηρῶς διακεῖσθαι, ἃ δεῖ τοῖς σώμασι καὶ ταῖς οὐσίαις
15 λητουργῆσαι ἕκαστον, ἐστὶ μὲν οὐκ ὀρθῶς ἔχον, οὐδὲ
πολλοῦ δεῖ, οὐ μὴν ἀλλ' ἔχει τινὰ πρόφασιν ὅμως· τὸ δὲ
μηδ' ὅσ' ἀκοῦσαι δεῖ μηδ' ὅσα βουλεύσασθαι προσήκει,
189 μηδὲ ταῦτ' ἐθέλειν [ἀκούειν], τοῦτ' ἤδη πᾶσαν | ἐπι-
δέχεται κατηγορίαν. ὑμεῖς τοίνυν οὐκ ἀκούειν, πρὶν ἂν 29
20 ὥσπερ νῦν αὐτὰ παρῇ τὰ πράγματα, οὐχὶ βουλεύεσθαι
περὶ οὐδενὸς εἰώθατ' ἐφ' ἡσυχίας, ἀλλ' ὅταν μὲν ἐκεῖνος
παρασκευάζηται, ἀμελήσαντες τοῦ ποιεῖν ταὐτὸ καὶ ἀντι-

1 πρόιμεν A[1] corr. A[3] 3 καὶ ἰσχυροτέρῳ] om F[1] add. ead. 4 δέοντα] δεο in ras. A 5 ἀναγκαῖον S: ἀνάγκη τις FAY cf. IV 10. VIII 51. 11 ὃ μήτε] ἃ μὴ A 14 ταῖς οὐσίαις S: τοῖς οὖσι FAY 15 ἕκαστον del. Benseler 16 ἔχει γε FY 17 βουλεύεσθαι A 18 ἀκούειν del. L. Spengel 19 οὐκ S: οὔτ' S rec. F[1] (ὄντ' ἀκούειν, κπ supra, F quod non intellego) AY 20 οὐχὶ S[1]: οὔτε S rec. FAY | βουλεύεσθε S[1]F[1] 21 ἐφ'] φ in ras. A | μὲν] F in ras. 22 παρασκευάζηται ἐφ' ὑμᾶς FA[2] mg. Y | ταὐτὸ SF[1]: τοῦτο F s. v. Y ταῦτα A

παρασκευάζεσθαι ῥᾳθυμεῖτε, καὶ ἄν τι λέγῃ τις, ἐκβάλλετε,
VIII 11 ἐπειδὰν δ' ἀπολωλὸς ᾖ πολιορκούμενόν τι πύθησθε, ἀκρο-
30 ᾶσθε καὶ παρασκευάζεσθε· ἦν δ' ἀκηκοέναι μὲν καὶ
βεβουλεῦσθαι τότε καιρός, ὅθ' ὑμεῖς οὐκ ἠθέλετε, πράτ-
τειν δὲ καὶ χρῆσθαι τοῖς παρεσκευασμένοις νῦν, ἡνίκ' 5
ἀκούετε. τοιγαροῦν ἐκ τῶν τοιούτων ἐθῶν μόνοι τῶν
πάντων ἀνθρώπων ὑμεῖς τοῖς ἄλλοις τοὐναντίον ποιεῖτε.
V 2 οἱ μὲν γὰρ ἄλλοι πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι
τῷ βουλεύεσθαι, ὑμεῖς δὲ μετὰ τὰ πράγματα.

31 Ὃ δὴ λοιπόν ἐστι, καὶ πάλαι μὲν ἔδει, διαφεύγει δ' 10
οὐδὲ νῦν, τοῦτ' ἐρῶ. οὐδενὸς τῶν πάντων οὕτως ὡς
χρημάτων δεῖ τῇ πόλει πρὸς τὰ νῦν ἐπιόντα πράγματα.
συμβέβηκε δ' εὐτυχήματ' ἀπὸ ταὐτομάτου, οἷς ἂν χρη-
σώμεθ' ὀρθῶς, ἴσως ἂν γένοιτο τὰ δέοντα. πρῶτον μὲν
γὰρ οἷς βασιλεὺς πιστεύει καὶ εὐεργέτας ὑπείληφεν ἑαυ- 15
32 τοῦ, οὗτοι μισοῦσι καὶ πολεμοῦσι Φιλίππῳ. ἔπειθ' ὁ
πράττων καὶ συνειδὼς ἅπανθ' ἃ Φίλιππος κατὰ βασι-
λέως παρασκευάζεται, οὗτος ἀνάσπαστος γέγονεν, καὶ
πάσας τὰς πράξεις βασιλεὺς οὐχ ἡμῶν κατηγορούντων
ἀκούσεται, οὓς ὑπὲρ τοῦ συμφέροντος ἂν ἡγήσαιτο τοῦ 20
ἰδίου λέγειν, ἀλλὰ τοῦ πράξαντος αὐτοῦ καὶ διοικοῦντος,
ὥστ' εἶναι πιστάς, | καὶ λοιπὸν λόγον εἶναι τοῖς παρ' ἡμῶν 140

1 ἐάν FAY | ἐκβάλλεταί Y 2 τηνικαῦτ' ἀκροᾶσθε (ex VIII 11) FAY 3 καὶ παρασκευάζεσθε om. FY[1] (add. Y[2]) 4 βουλεύεσθαι A | ἠθελήσατε FY | πράττειν] πρατ S[1] in ras. 9 litt. 5 παρασκευασμένοις Y cf. IV 19 | νῦν om. A 6 τοιούτων om. A 7 τοὐναντίον τοῖς ἄλλοις FAY 8 ἄλλοι πάντες ἄνθρωποι (ex V 2) FA 10 διαφεύγει S corr. A: διαφεύγειν S[1] διαφέρει FY 13 εὐτυχήματα ἀπὸ ταὐτομάτου FAY: εὐτύχημα (τ supr. α m. rec.) ἀπ' αὐτομάτου S 15 αὐτοῦ FY 16 φιλίππωι F[1]AY: φίλιππον SF s. v. 17 πάνθ' ὅσα FY 22 πιστὰς τὰς κατηγορίας S rec. FAY | ὑμῶν FY

πρέσβεσιν, ὃν βασιλεὺς ἥδιστ' ἂν ἀκούσαι, ὡς τὸν ἀμφο- 33
τέρους ἀδικοῦντα κοινῇ τιμωρήσασθαι δεῖ, καὶ ὅτι πολὺ
τῷ βασιλεῖ φοβερώτερός ἐσθ' ὁ Φίλιππος, ἂν προτέροις
ἡμῖν ἐπιθῆται· εἰ γὰρ ἐγκαταλειπόμενοί τι πεισόμεθ'
5 *ἡμεῖς, ἀδεῶς ἐπ' ἐκεῖνον ἤδη πορεύσεται. ὑπὲρ δὴ τού-*
των ἁπάντων οἶμαι δεῖν ὑμᾶς πρεσβείαν ἐκπέμπειν, ἥτις
τῷ βασιλεῖ διαλέξεται, καὶ τὴν ἀβελτερίαν ἀποθέσθαι,
δι' ἣν πολλάκις ἠλαττώθητε, „ὁ δὴ βάρβαρος" καὶ „ὁ
κοινὸς ἅπασιν ἐχθρός", καὶ πάντα τὰ τοιαῦτα. ἐγὼ γὰρ 34
10 *ὅταν τιν' ἴδω τὸν μὲν ἐν Σούσοις καὶ Ἐγβατάνοις δε-*
δοικότα καὶ κακόνουν εἶναι τῇ πόλει φάσκοντα, ὃς καὶ
πρότερον συνεπηνώρθωσε τὰ τῆς πόλεως πράγματα καὶ
νῦν ἐπηγγέλλετο (εἰ δὲ μὴ ἐδέχεσθ' ὑμεῖς, ἀλλ' ἀπεψηφί-
ζεσθε, οὐ τά γ' ἐκείνου αἴτια), ὑπὲρ δὲ τοῦ ἐπὶ ταῖς θύραις
15 *ἐγγὺς ουτωσὶ ἐν μέσῃ τῇ Ἑλλάδι αὐξανομένου λῃστοῦ*
τῶν Ἑλλήνων ἄλλο τι λέγοντα, θαυμάζω, καὶ δέδοικα
τοῦτον, ὅστις ἂν ᾖ ποτ', ἔγωγε, ἐπειδὴ οὐχ οὗτος Φί-
λιππον.

Ἔστι τοίνυν πρᾶγμα καὶ ἄλλο, ὃ λυμαίνεται τὴν πόλιν 35
20 *ὑπὸ βλασφημίας ἀδίκου καὶ λόγων οὐ προσηκόντων διαβε-*
βλημένον, εἶτα τοῖς μηδὲν τῶν ἐν τῇ πολιτείᾳ δικαίων
βουλομένοις ποιεῖν πρόφασιν παρέχει· καὶ πάντων, ὅσ'

2 *ἂν ἀδικοῦντα* Y | *ὅτι ὀϋ* S 3 *ἐσθ' ὁ* in ras. F[1] *ἔσται* Dobree | *ἂν*] *εἰ* A | *πρότερος* F Y[1] 5 *ἤδη* om. A[1] add. A[2] 6 *ἁπάντων* om. A | *οἶμαι* S *γρ.* FY: *οἴομαι* FA | *ὑμᾶς* om. A 7 *ἀβελτηρίαν* F A 8 *καὶ ὁ* S: *καὶ* F A Y Did. 9 *καὶ ἅπασιν* Did. | *ἅπαντα* F Y 10 *τιν'* om Y[1] | *καὶ ἐν* F A[2] Y[1] | *ἐγβατάνοις* A[1] Did.: *ἐκβατάνοις* S F A[2] Y 12 *πρότερον*] *πρῶτον* F | *συνεπηνόρθωσε* S 13 *ἀπεψηφίζεσθε* S A (*ἐπεψ.* A[1] ut vid.) Did.: *ἀπεψηφίσασθε* F (*φι* s. v.) Y 14 *τά γε ἐκείνου* F A Y Did.: *γε* om. S 16 *λέγοντος* S[1]A[1] 17 *οὕτως* S[1] 19 *τι πρᾶγμα* FY Did. 21 *δικαίων ἐν τῆι πολιτείαι* F A Y Did.

ἐκλείπει, δέον παρά του γίγνεσθαι, ἐπὶ τοῦθ' εὑρήσετε
τὴν αἰτίαν ἀναφερομένην. περὶ οὗ πάνυ μὲν φοβοῦμαι,
36 *οὐ μὴν ἀλλ' ἐρῶ· οἶμαι γὰρ ἕξειν καὶ ὑπὲρ τῶν ἀπόρων*
τὰ δίκαι' ἐπὶ τῷ συμφέροντι τῆς πόλεως εἰπεῖν πρὸς τοὺς
εὐπόρους, καὶ ὑπὲρ τῶν κεκτημένων τὰς οὐσίας | πρὸς 141
τοὺς ἐπιδεεῖς. εἰ ἀνέλοιμεν ἐκ μέσου καὶ τὰς βλασφημίας 6
ἃς ἐπὶ τῷ θεωρικῷ ποιοῦνταί τινες οὐχὶ δικαίως, καὶ τὸν
φόβον, ὡς οὐ στήσεται τοῦτ' ἄνευ μεγάλου τινὸς κακοῦ,
οὐδὲν ἂν εἰς τὰ πράγματα μεῖζον εἰσενεγκαίμεθα, οὐδ'
37 *ὅ τι κοινῇ μᾶλλον ἂν ὅλην ἐπιρρώσειε τὴν πόλιν. οὑτωσὶ* 10
δὲ σκοπεῖτε· ἐρῶ δ' ὑπὲρ τῶν ἐν χρείᾳ δοκούντων εἶναι
πρότερον. ἦν ποτ' οὐ πάλαι παρ' ὑμῖν, ὅτ' οὐ προσῄει
τῇ πόλει τάλανθ' ὑπὲρ τριάκοντα καὶ ἑκατόν· καὶ οὐδεὶς
ἐστι τῶν τριηραρχεῖν δυναμένων οὐδὲ τῶν εἰσφέρειν
ὅστις οὐκ ἠξίου τὰ καθήκοντ' ἐφ' ἑαυτὸν ποιεῖν, ὅτι 15
χρήματ' οὐ περιῆν, ἀλλὰ καὶ τριήρεις ἔπλεον καὶ χρήματ'
38 *ἐγίγνετο καὶ πάντ' ἐποιοῦμεν τὰ δέοντα. μετὰ ταῦθ' ἡ*
τύχη, καλῶς ποιοῦσα, πολλὰ πεποίηκε τὰ κοινά, καὶ τε-
τρακόσι' ἀντὶ τῶν ἑκατὸν ταλάντων προσέρχεται, οὐδενὸς
οὐδὲν ζημιουμένου τῶν τὰς οὐσίας ἐχόντων, ἀλλὰ καὶ 20
προσλαμβάνοντος· οἱ γὰρ εὔποροι πάντες ἔρχονται μεθ-
39 *έξοντες τούτου, καὶ καλῶς ποιοῦσι. τί οὖν παθόντες*

1 *παρά του* S A: *παρὰ τοῦτο* F Y *παρ' αὐτοῦ* Did. 2 *φοβοῦμαι λέγειν* F A Y 6 *ἐπιδεεῖς* S F s. v.: *καταδεεῖς* F[1] A Y | post *ἐπιδεεῖς* gravius interpunxit Weil | *καὶ* om. F[1] A Y | post *τὰς* ras. 1 litt. Y 8 *ὡς* om. S[1] add. S[d] | *στή||στήσεται* S in fin. col. | *μεγάλου* om A[1] add. ead. 9 *οὐδὲν* S[1]: *οὐδ'* S corr. A *οὐ οὐδὲν* F (alterum *ου* postea add. in mg. F[1]) Y 11 *σκόπει* S in fin. v. 12 *προτέρων* S | *ἡμῖν* F A Y Did. 14 *ἐστι* S F Did.: *ἦν* A Y secl. Blass | *οὐδὲ*] *οὔτε* A 15 *ἐφ' ἑαυτὸν* S F s. v. Harpocr. s. *καθήκοντα*: *ἀφ' ἑαυτοῦ* F[1] Y *επαυτον* A *ἐφ' ἑαυτοῦ* Did. 18 *τὰ* om. A 21 *προσλαμβανόντων* F Y 22 *παθόντες* Y: *μαθόντες* S A *μαθόντες* (π supra μ) F

τοῦτ' ὀνειδίζομεν ἀλλήλοις καὶ προφάσει χρώμεθα τοῦ
μηδὲν ποιεῖν, πλὴν εἰ τῇ παρὰ τῆς τύχης βοηθείᾳ γεγο-
νυίᾳ τοῖς ἀπόροις φθονοῦμεν; οὓς οὔτ' ἂν αἰτιασαίμην
ἔγωγ' οὔτ' ἀξιῶ. οὐδὲ γὰρ ἐν ταῖς ἰδίαις οἰκίαις ὁρῶ 40
5 τὸν ἐν ἡλικίᾳ πρὸς τοὺς πρεσβυτέρους οὕτω διακείμενον
οὐδ' οὕτως ἀγνώμον' οὐδ' ἄτοπον τῶν ὄντων οὐδένα,
ὥστε, εἰ μὴ ποιήσουσιν ἅπαντες ὅσον αὐτός, οὐ φάσκοντα
ποιήσειν οὐδὲν οὐδ' αὐτόν· καὶ γὰρ ἂν τοῖς τῆς κακώ-
142 σεως εἴη νόμοις οὕτω γ' ἔνοχος· δεῖ γὰρ | οἶμαι τοῖς
10 γονεῦσι τὸν ὡρισμένον ἐξ ἀμφοτέρων ἔρανον, καὶ παρὰ
τῆς φύσεως καὶ παρὰ τοῦ νόμου, δικαίως φέρειν καὶ
ἑκόνθ' ὑποτελεῖν. ὥσπερ τοίνυν ἑνὸς ἡμῶν ἑκάστου τίς 41
ἐστι γονεύς, οὕτω συμπάσης τῆς πόλεως κοινοὺς δεῖ γο-
νέας τοὺς σύμπαντας ἡγεῖσθαι, καὶ προσήκει τούτους
15 οὐχ ὅπως ὧν ἡ πόλις δίδωσιν ἀφελέσθαι τι, ἀλλ' εἰ καὶ
μηδὲν ἦν τούτων, ἄλλοθεν σκοπεῖν ὅπως μηδενὸς ὄντες
ἐνδεεῖς περιοφθήσονται. τοὺς μὲν τοίνυν εὐπόρους ταύτῃ 42
χρωμένους τῇ γνώμῃ οὐ μόνον ἡγοῦμαι τὰ δίκαια ποιεῖν,
ἀλλὰ καὶ τὰ λυσιτελῆ· τὸ γὰρ τῶν ἀναγκαίων τιν' ἀπο-
20 στερεῖν κοινῇ κακόνους ἐστὶ ποιεῖν πολλοὺς ἀνθρώπους
τοῖς πράγμασιν· τοῖς δ' ἐν ἐνδείᾳ, δι' ὃ δυσχεραίνουσι
τὸ πρᾶγμ' οἱ τὰς οὐσίας ἔχοντες καὶ κατηγοροῦσι δικαίως,
τοῦτ' ἀφελεῖν ἂν συμβουλεύσαιμι. δίειμι δέ, ὥσπερ ἄρτι, 43
τὸν αὐτὸν τρόπον καὶ ὑπὲρ τῶν εὐπόρων, οὐ κατοκνή-

2 μηδὲν τῶν δεόντων FY | εἰ μὴ FAY 4 οὐδὲ] οὔτε A
6 ἄτοπον τῶν ὄντων SA: ἀτοπώτατον ὄντα FY 7 ὅσον S:
ὅσ' ἂν FAY 9 οὕτω γε S: οὗτος τότε FY οὑτέγε A[1] οὕτωγε A[3]
13 οὕτως F 14 τοὺς γονέας σύμπαντας Stob. Flor. XLIII 68 Blass
προσήκειν FY Stobaeus | τούτοις A 16 ἦν om. Y | μήθ' ἑνὸς Y
17 τοῖς . . . εὐπόροις S | μέντοι νῦν A 18 χρωμένοις S corr.
χρώμενος A[1] | ποιεῖν SA: ποιεῖν ἂν FY ἂν ποιεῖν Cobet
19 τινὰς FAY 23 ταῦτα A 24 ὑπὲρ] περι A

*σας εἰπεῖν τἀληθῆ. ἐμοὶ γὰρ οὐδεὶς οὕτως ἄθλιος οὐδ'
ὠμὸς εἶναι δοκεῖ τὴν γνώμην, οὔκουν Ἀθηναίων γε, ὥστε
λυπεῖσθαι ταῦτα λαμβάνοντας ὁρῶν τοὺς ἀπόρους καὶ*
44 *τῶν ἀναγκαίων ἐνδεεῖς ὄντας. ἀλλὰ ποῦ συντρίβεται τὸ
πρᾶγμα καὶ ποῦ δυσχεραίνεται; ὅταν τὸ ἀπὸ τῶν κοινῶν* 5
*ἔθος ἐπὶ τὰ ἴδια μεταβιβάζοντας ὁρῶσί τινας, καὶ μέγαν
μὲν ὄντα παρ' ὑμῖν εὐθέως τὸν λέγοντα, ἀθάνατον δ'
ἕνεκ' ἀσφαλείας, ἑτέραν δὲ τὴν κρύβδην ψῆφον τοῦ*
45 *φανερῶς θορύβου. ταῦτ' ἀπιστίαν, ταῦτ' ὀργὴν ἔχει.
δεῖ γὰρ ὦ ἄνδρες Ἀθηναῖοι δικαίως ἀλλήλοις τῆς πολι-* 10
τείας κοινωνεῖν, τοὺς μὲν εὐπό|ρους εἰς μὲν τὸν βίον τὰ **148**
*ἑαυτῶν ἀσφαλῶς ἔχειν νομίζοντας καὶ ὑπὲρ τούτων μὴ
δεδοικότας, εἰς δὲ τοὺς κινδύνους κοινὰ ὑπὲρ τῆς σωτη-
ρίας τὰ ὄντα τῇ πατρίδι παρέχοντας, τοὺς δὲ λοιποὺς τὰ
μὲν κοινὰ κοινὰ νομίζοντας καὶ μετέχοντας τὸ μέρος, τὰ* 15
*δ' ἑκάστου ἴδια τοῦ κεκτημένου. οὕτω καὶ μικρὰ μεγάλη
πόλις γίγνεται καὶ μεγάλη σῴζεται. ὡς μὲν οὖν εἴποι
τις ἄν, ἃ παρ' ἑκατέρων εἶναι δεῖ, ταῦτ' ἴσως ἐστίν· ὡς
δὲ καὶ γένοιτ' ἄν, ἐν νόμῳ διορθώσασθαι δεῖ.*

46 *Τῶν δὲ παρόντων πραγμάτων καὶ τῆς ταραχῆς πολλὰ* 20
*πόρρωθέν ἐστι τὰ αἴτια· ἃ εἰ βουλομένοις ὑμῖν ἀκούειν
ἐστίν, ἐθέλω λέγειν. ἐξέστητ' ὦ ἄνδρες Ἀθηναῖοι τῆς
ὑποθέσεως ἐφ' ἧς ὑμᾶς οἱ πρόγονοι κατέλιπον, καὶ τὸ*

2 ante ὥστε add. *οἶμαι ἀλλ' οὐδὲ τῶν ἄλλων* FY *ἀλλ' οὐδὲ τῶν ἄλλων* A 6 *διαβιβάζοντας* S Did. 8 *ἑτέραν*] in ras. Y[2] *ἑτέρ°αν* F 11 *εἰς μὲν*] *ισμεν* A[1] | *τὰ* Auger: *τὸν* SFAY 12 *ἑαυτὸν* A[1] corr. ead. (*ὑπὲρ* supra) | *ὑπὲρ* SA: *περὶ* F *περὶ* Y 14 *τὰ* om. S 15 alterum *κοινὰ* om. FY[1] 16sq. *μεγάλη* post *πόλις* FAY 18 *ἃ παρ'*] *ἅπερ* A 19 *ἐν νόμωι* S[1]A: *ἐννόμως* S corr. FY *νόμῳ* Blass 23 *ὑποθέσεως*] *τάξεως γρ.* S rec. Hermog. III 250 W. (270, 16 R.). 251 (271, 4); ex III 36? | *κατέλειπον* S

μὲν προΐστασθαι τῶν Ἑλλήνων καὶ δύναμιν συνεστηκυῖαν ἔχοντας πᾶσι τοῖς ἀδικουμένοις βοηθεῖν περίεργον ἐπείσθητ' εἶναι καὶ μάταιον ἀνάλωμ' ὑπὸ τῶν ταῦτα πολιτευομένων, τὸ δ' ἐν ἡσυχίᾳ διάγειν καὶ μηδὲν τῶν
5 δεόντων πράττειν, ἀλλὰ προϊεμένους καθ' ἓν ἕκαστον I 14
πάνθ' ἑτέρους ἐᾶσαι λαβεῖν, θαυμαστὴν εὐδαιμονίαν καὶ πολλὴν ἀσφάλειαν ἔχειν ᾤεσθε. ἐκ δὲ τούτων παρελθὼν 47
ἐπὶ τὴν τάξιν ἐφ' ἧς ὑμῖν τετάχθαι προσῆκεν ἕτερος, οὗτος εὐδαίμων καὶ μέγας καὶ πολλῶν κύριος γέγονεν,
10 εἰκότως· πρᾶγμα γὰρ ἔντιμον καὶ μέγα καὶ λαμπρόν, καὶ περὶ οὗ πάντα τὸν χρόνον αἱ μέγισται τῶν πόλεων πρὸς IX 22
αὑτὰς διεφέροντο, Λακεδαιμονίων μὲν ἠτυχηκότων, Θη- III 27
βαίων δ' ἀσχόλων διὰ τὸν Φωκικὸν πόλεμον γενομένων,
144 ἡμῶν δ' ἀμελούντων, ἔρημον ἀνεί|λετο. τοιγάρτοι τὸ μὲν 48
15 φοβεῖσθαι τοῖς ἄλλοις, τὸ δὲ συμμάχους πολλοὺς ἔχειν καὶ δύναμιν μεγάλην ἐκείνῳ περιγέγονεν, καὶ τοσαῦτα πράγματα καὶ τοιαῦτ' ἤδη περιέστηκε τοὺς Ἕλληνας ἅπαντας, ὥστε μηδ' ὅ τι χρὴ συμβουλεύειν εὔπορον εἶναι.

Ὄντων δ' ὦ ἄνδρες Ἀθηναῖοι τῶν παρόντων πραγ- 49
20 μάτων πᾶσιν, ὡς ἐγὼ κρίνω, φοβερῶν, οὐδένες ἐν μείζονι κινδύνῳ τῶν πάντων εἰσὶν ὑμῶν, οὐ μόνον τῷ μάλισθ' ὑμῖν ἐπιβουλεύειν Φίλιππον, ἀλλὰ καὶ τῷ πάντων ἀργόταθ' αὐτοὶ διακεῖσθαι. εἰ τοίνυν τὸ τῶν ὠνίων πλῆθος ὁρῶντες καὶ τὴν εὐετηρίαν τὴν κατὰ τὴν ἀγοράν,
25 τούτοις κεκήλησθ' ὡς ἐν οὐδενὶ δεινῷ τῆς πόλεως οὔσης, οὔτε προσηκόντως οὔτ' ὀρθῶς τὸ πρᾶγμα κρίνετε· ἀγο- 50

2 πᾶσι] ἀεὶ A 3 ὑπὸ] ὑπὲρ S[1] 4 δὲ ἡσυχίαν ut vid. Y[1] corr. ead. 7 ὤιεσθε S: οἴεσθε FAY 8 ἡμῖν A 14 ἀμελουμένων ut vid. Y[1] | τὸ om. S[1] add. ead. 15 δὲ] μὲν S[1] | πολλοὺς om. A[1] add. A[2] 16 ἔχειν post μεγάλην FAY 17 ἤδη om. A[1] add. A[2] 18 μηδ'] μη A 19 ἄνδρες om. A 20 πᾶσιν om. S 23 τὸ om. S 25 κέκλησθε Y[1]

ρὰν μὲν γὰρ ἄν τις καὶ πανήγυριν ἐκ τούτων ἢ φαύλως
ἢ καλῶς παρεσκευάσθαι κρίνοι· πόλιν δ' ἣν ὑπείληφεν,
ὃς ἂν τῶν Ἑλλήνων ἄρχειν αἰεὶ βούληται, μόνην ἂν
ἐναντιωθῆναι καὶ τῆς πάντων ἐλευθερίας προστῆναι, οὐ
μὰ Δί' ἐκ τῶν ὠνίων, εἰ καλῶς ἔχει, δοκιμάζειν δεῖ, ἀλλ' 5
εἰ συμμάχων εὐνοίᾳ πιστεύει, εἰ τοῖς ὅπλοις ἰσχύει, ταῦθ'
ὑπὲρ τῆς πόλεως δεῖ σκοπεῖν· ἃ σφαλερῶς ὑμῖν καὶ οὐ-
51 δαμῶς ἅπαντα καλῶς ἔχει. γνοίητε δ' ἄν, εἰ σκέψαισθ'
ἐκείνως. πότε μάλιστ' ἐν ταραχῇ τὰ τῶν Ἑλλήνων γέγονε
πράγματα; οὐδένα γὰρ χρόνον ἄλλον ἢ τὸν νυνὶ παρόντ' 10
οὐδ' ἂν εἷς εἴποι. τὸν μὲν γὰρ ἄλλον ἅπαντ' εἰς δύο
ταῦτα διῄρητο τὰ τῶν Ἑλλήνων, Λακεδαιμονίους καὶ
ἡμᾶς, τῶν δ' ἄλλων [Ἑλλήνων] οἱ μὲν ἡμῖν, οἱ δ' ἐκεί-
νοις ὑπήκουον. βασιλεὺς δὲ καθ' αὑτὸν μὲν | ὁμοίως 145
ἅπασιν ἄπιστος ἦν, τοὺς δὲ κρατουμένους τῷ πολέμῳ προσ- 15
λαμβάνων, ἄχρι οὗ τοῖς ἑτέροις ἐξ ἴσου ποιήσαι, διεπι-
στεύετο, ἔπειτ' οὐχ ἧττον αὐτὸν ἐμίσουν οὓς σώσειε
52 τῶν ὑπαρχόντων ἐχθρῶν ἐξ ἀρχῆς. νῦν δὲ πρῶτον μὲν
ὁ βασιλεὺς ἅπασι τοῖς Ἕλλησιν οἰκείως ἔχει (καὶ πάν-
των ἥκιστα δὴ ἡμῖν, ἄν τι μὴ νῦν ἐπανορθωσώμεθα)· 20

2 παρεσκευάσθαι F corr.: παρασκευάσθαι S (cf. IV 19. VIII 3) κατεσκευάσθαι F^1A (θαι in ras.) Y | κρῖναι A^1 corr. A^3 3 ἀεὶ F A om. Y^1 | βούλεται A | ἂν om. S 6 συννοιαι ut vid. S^1 | alterum εἰ om S^1 add. S^d | τοῦθ' S 7 τῆς om. A | σφαλερῶς] φαύλως FY 7sq. οὐδαμῶς ἅπαντα καλῶς A: οὐδαμῶς ἅπαντ' S^1 γρ. οὐδαμῶς καλῶς S^d οὐ καλῶς ἅπαντα FY 8 σκέψεσθε AY 11 τὸν] τῶν Y^1 | εἰς δύο ταῦτα om. S^1 add. S^d 12 διηιρειτο S | τὸ τῶν FY 13 δ' post τῶν om. S^1 add. S^d | Ἑλλήνων secl. Weil | ὑμῖν FY 14 μὲν del. Blass 15 ἅπασιν ὁμοίως FY | τοῖς δὲ κρατουμένοις coni. Weil 16 ἄχρις A | ποιῆσαι SFAY 19 ὁ om. A 19sq. καὶ πάντων ἥκιστα δὴ S: δὴ om. FAY καὶ ⟨πιστῶς⟩, πάντων ἥκιστα δ' Weil [καὶ] πάντων δ' ἥκισθ' coni. Blass; καὶ pertinere videtur ad superlativum (cf. καὶ μάλιστα) 20 ἄν τι] ἅ τί γρ. FY^1 | ἐπανορθωσόμεθα F^1

ἔπειτα προστασίαι πολλαὶ καὶ πανταχόθεν γίγνονται, καὶ
τοῦ πρωτεύειν ἀντιποιοῦνται μὲν πάντες, ἀφεστᾶσιν δ'
ἑνί, καὶ φθονοῦσι καὶ ἀπιστοῦσιν αὑτοῖς, οὐχ οἷς ἔδει,
καὶ γεγόνασι καθ' αὑτοὺς ἕκαστοι, Ἀργεῖοι, Θηβαῖοι,
5 Λακεδαιμόνιοι, Κορίνθιοι, Ἀρκάδες, ἡμεῖς. ἀλλ' ὅμως εἰς 53
τοσαῦτα μέρη καὶ τοσαύτας δυναστείας διῃρημένων τῶν
Ἑλληνικῶν πραγμάτων, εἰ δεῖ τἀληθῆ μετὰ παρρησίας
εἰπεῖν, τὰ παρ' οὐδέσι τούτων ἀρχεῖα καὶ βουλευτήρι'
ἐρημότερ' ἄν τις ἴδοι τῶν Ἑλληνικῶν πραγμάτων ἢ τὰ
10 παρ' ἡμῖν, εἰκότως· οὔτε γὰρ φιλῶν οὔτε πιστεύων οὔτε
φοβούμενος οὐδεὶς ἡμῖν διαλέγεται. αἴτιον δὲ τούτων 54
οὐχ ἓν ὦ ἄνδρες Ἀθηναῖοι (ῥᾴδιον γὰρ ἂν ἦν ἡμῖν μετα- IX 2
θεῖναι), ἀλλὰ πολλὰ καὶ παντοδαπὰ ἐκ παντὸς ἡμαρτημένα
τοῦ χρόνου, ὧν τὸ καθ' ἕκαστον ἐάσας, εἰς ὃ πάντα τείνει
15 λέξω, δεηθεὶς ὑμῶν, ἂν λέγω τἀληθῆ μετὰ παρρησίας,
μηδὲν ἄχθεσθαι. πέπραται τὰ συμφέροντ' ἐφ' ἑκάστου IX 3
τῶν καιρῶν, καὶ μετειλήφαθ' ὑμεῖς μὲν τὴν σχολὴν καὶ
τὴν ἡσυχίαν, ὑφ' ὧν κεκηλημένοι τοῖς ἀδικοῦσιν οὐ πι-
κρῶς ἔχετε, ἕτεροι δὲ τὰς τιμὰς ἔχουσι. καὶ τὰ μὲν περὶ 55
146 τἄλλ' οὐκ ἄξιον ἐξετάσαι νῦν· ἀλλ' ἐπειδάν | τι τῶν πρὸς VII 52 sq.
21 Φίλιππον ἐμπέσῃ, εὐθὺς ἀναστάς τις λέγει, ὡς οὐ δεῖ
ληρεῖν οὐδὲ γράφειν πόλεμον, παραθεὶς εὐθέως ἑξῆς

2 μὲν ἀντιποιοῦνται FY | ἅπαντες FAY 3 ἑνί Nitsche: ἔνιοι SFAY ἔργῳ Weil | ἑαυτοῖς FY | οἷς Weil coll. IX 35: ὡς SFAY num ᾧ δεῖ? 4 αυτοῦ A[1] 6 sq. τῶν Ἑλληνικῶν πραγμάτων suspectat Weil 8 οὐδέσι SA: οὐδενὶ (σι superscr.) F οὐδενὶ Y 10 ὑμῖν FY 11 ὑμῖν FY 12 ἦν ἂν FY | ὑμῖν nonnulla apographa | μεταθεῖναι] ει et pars ν litt. in ras. F 14 ἓν εἰς FAY | πᾶν S | τείνει SA: συντείνει FY 15 ἐὰν A 16 μηδένα A | ἄχθεσθαι S cf. XIX 227 Lyc. 16: ἀχθεσθῆναί μοι FAY | ἐκπέπραται S rec. A | ἐφ'] ἀφ' S 18 κεκλημένοι A[1] corr. ead. Y[1] cf. § 49 19 περὶ τἄλλα SFY[1]: ἄλλα AY corr. 22 οὐδὲ SA: καὶ FY

τὸ τὴν εἰρήνην ἄγειν ὡς ἀγαθὸν καὶ τὸ τρέφειν μεγάλην
δύναμιν ὡς χαλεπόν, καὶ „διαρπάζειν τινὲς τὰ χρήματα
βούλονται“, καὶ ἄλλους λόγους ὡς οἷόν τ' ἀληθεστάτους
56 λέγουσιν. ἀλλὰ δεῖ δήπου τὴν μὲν εἰρήνην ἄγειν οὐχ
ὑμᾶς πείθειν, οἳ πεπεισμένοι κάθησθε, ἀλλὰ τὸν τὰ τοῦ 5
πολέμου πράττοντα (ἂν γὰρ ἐκεῖνος πεισθῇ, τά γ' ἀφ'
ὑμῶν ὑπάρχει)· νομίζειν δ' εἶναι χαλεπὰ οὐχ ὅσ' ἂν εἰς
σωτηρίαν δαπανῶμεν, ἀλλ' ἃ πεισόμεθα, ἂν μὴ ταῦτ'
ἐθέλωμεν ποιεῖν, καὶ τὸ „διαρπασθήσεται τὰ χρήματα“
τῷ φυλακὴν εὑρεῖν δι' ἧς σωθήσεται κωλύειν, οὐχὶ τῷ 10
57 τοῦ συμφέροντος ἀποστῆναι. καίτοι ἔγωγ' ἀγανακτῶ καὶ
τοῦτο, εἰ τὰ μὲν χρήματα λυπεῖ τινὰς ὑμῶν εἰ διαρπα-
σθήσεται, ἃ καὶ φυλάττειν καὶ κολάζειν τοὺς ἁρπάζοντας
ἐφ' ὑμῖν ἐστιν, τὴν δ' Ἑλλάδα πᾶσαν ἐφεξῆς οὑτωσὶ
Φίλιππος ἁρπάζων οὐ λυπεῖ, καὶ ταῦτ' ἐφ' ὑμᾶς ἁρπάζων. 15
58 Τί ποτ' οὖν ὦ ἄνδρες Ἀθηναῖοι τὸν μὲν οὕτω φανε-
ρῶς ἀδικοῦντα καὶ πόλεις καταλαμβάνοντ' οὐδεὶς πώ-
ποτε τούτων εἶπεν ὡς ἀδικεῖ καὶ πόλεμον ποιεῖ, τοὺς δὲ
μὴ ἐπιτρέπειν μηδὲ προΐεσθαι ταῦτα συμβουλεύοντας,

1 τὸ τὴν S corr. AY^2: τῶι την S^1 τὴν FY^1 1 sq. δύναμιν μεγάλην FAY 3 ὡς οἴονται S corr. γρ. FAY corr. 4 γρ. δήπου τον μεν ειρηνην ἄγειν λεγοντα ουχ υμασ S^d | μὲν om. A 5 οἵ γε FY 6 γὰρ om. A | τά s. v. FY | γ in ras. 1 litt. F 7 δ' εἶναι SA: δὲ δεῖ FY 8 μὴ ταῦτ' SF^1: ταῦτα μὴ F corr. AY corr. (ταῦτα om. Y^1) ex X 54 9 διαρπασθήσεται SA: διαρπασθήσεσθαι FY cf. VIII 54 10 ἧς SF corr. Y: ἣν F^1A γρ. Y^2 | κωλύσειν FY 11 ἀποστῆναι SFY: ἀφιστάναι A ἀφεστάναι Index Lambini ex VIII 54 12 αὐτὸ ante τοῦτο add. AY corr. | ἡμῶν S 13 ἃ om. S^1 add. S^d | ἁρπάζοντας SFY^1: ἀδικοῦντας A γρ. Y ex VIII 55 14 ἡμῖν SA | ἅπασαν F 15 ἡμᾶς F^1A 16 sqq. τὸ αἴτιον τὸν μὲν ... οὐδένα ... εἰπεῖν ... ποιεῖν αἰτιᾶσθαι A (ποιεῖν φασιν A^3) 16 οὕτως FY 17 καὶ om. A 18 τοῦτον S corr. | πολεμοποιεῖ S 19 ἐπιτρέπειν F^1AY: προτρέπειν SF s. v. ead. | προίσθαι A^1

τούτους πόλεμον ποιεῖν φασίν; ὅτι τὴν αἰτίαν τῶν ἐκ
τοῦ πολέμου συμβησομένων δυσχερῶν (ἀνάγκη γάρ, ἀνάγ-
κη πολλὰ λυπηρὰ ἐκ τοῦ πολέμου γίγνεσθαι) τοῖς ὑπὲρ
ὑμῶν τὰ βέλτιστα λέγειν αἱρουμένοις ἀναθεῖναι βούλον-
147 ται. ἡγοῦνται γάρ, ἂν μὲν ὑμεῖς ὁμοθυ|μαδὸν ἐκ μιᾶς γνώ- 59
6 μης Φίλιππον ἀμύνησθε, κἀκείνου κρατήσειν ὑμᾶς καὶ
αὐτοῖς οὐκ ἔσεσθαι μισθαρνεῖν, ἂν δ' ἀπὸ τῶν πρώτων
θορύβων αἰτιασάμενοί τινας πρὸς τὸ κρίνειν τράπησθε,
αὐτοὶ μὲν τούτων κατηγοροῦντες ἀμφότερ' ἕξειν, καὶ
10 παρ' ὑμῖν εὐδοκιμήσειν καὶ παρ' ἐκείνου χρήματα λήψε-
σθαι, ὑμᾶς δ' ὑπὲρ ὧν δεῖ παρὰ τούτων δίκην λαβεῖν,
παρὰ τῶν ὑπὲρ ὑμῶν εἰρηκότων λήψεσθαι. αἱ μὲν ἐλ- 60
πίδες αἱ τούτων αὗται καὶ τὸ κατασκεύασμα τὸ τῶν αἰ-
τιῶν, ὡς ἄρα βούλονταί τινες πόλεμον ποιῆσαι. ἐγὼ δ'
15 οἶδ' ἀκριβῶς ὅτι, οὐ γράψαντος Ἀθηναίων οὐδενὸς πόλε-
μον, πολλὰ Φίλιππος ἔχει τῶν τῆς πόλεως καὶ νῦν εἰς
Καρδίαν πέπομφε βοήθειαν. εἰ μέντοι βουλόμεθ' ἡμεῖς
μὴ προσποιεῖσθαι πολεμεῖν ἡμῖν ἐκεῖνον, ἀνοητότατος
πάντων ἂν εἴη, εἰ τοῦτ' ἐξελέγχοι· ὅταν γὰρ οἱ ἀδικού-
20 μενοι ἀρνῶνται, τί τῷ ἀδικοῦντι προσήκει; ἀλλ' ἐπειδὰν 61
ἐφ' ἡμᾶς αὐτοὺς ἴῃ, τί φήσομεν τότε; ἐκεῖνος μὲν γὰρ
οὐ πολεμεῖν, ὥσπερ οὐδ' Ὠρείταις, τῶν στρατιωτῶν

1 πολεμοποιεῖν S τὸν πόλεμον ποιεῖν A[1] τὸν punctis del. A[3] 4 αἱρουμένοις] οἰομένοις SFY εἰθισμένοις A δεῖν οἰομένοις Weil | ἅπαντ' ante ἀναθεῖναι add. FY ἅπαντες L rec. 5 ἐὰν FY | ἐκ μιᾶς γνώμης del. Cobet 7 οὐκ SFY: οὐκέτι A 10 ἡμῖν SF s. v. 13 αἱ om. A[1] αἰτιῶν S: αἰτίων FAY 15 εὖ οἶδ' FAY | ἀκριβῶς om. A | γράψαντος (α s. v.) F 16 καὶ ἄλλα πολλὰ γρ. FA cf. VIII 58 17 τὴν βοήθειαν FY 18 προσποιεῖσθαι] inter σ et π litt. erasa S 21 ἐπ' αὐτοὺς ἡμᾶς A | εἴη A[1] 22 τῶν om. S

ὄντων ἐν τῇ χώρᾳ, οὐδὲ Φεραίοις πρότερον, πρὸς τὰ
τείχη προσβάλλων, οὐδ' Ὀλυνθίοις ἐξ ἀρχῆς, ἕως ἐν αὐτῇ
τῇ χώρᾳ τὸ στράτευμα παρῆν ἔχων. ἢ καὶ τότε τοὺς
ἀμύνεσθαι κελεύοντας πόλεμον ποιεῖν φήσομεν; οὐκοῦν
62 ὑπόλοιπον δουλεύειν· οὐδὲ γὰρ ἄλλο γ' οὐδὲν ἔνι. καὶ 5
μὴν οὐχ ὑπὲρ τῶν ἴσων ὑμῖν καί τισι τῶν ἄλλων ἀν-
θρώπων ἔσθ' ὁ κίνδυνος· οὐ γὰρ ὑφ' αὑτῷ ποιήσασθαι
τὴν πόλιν βούλεται Φίλιππος ὑμῶν, οὔ, ἀλλ' ὅλως ἀν-
ελεῖν. οἶδε γὰρ ἀκριβῶς ὅτι δουλεύειν μὲν | ὑμεῖς οὔτ' ἐθε- 148
λήσετε, οὔτ', ἐὰν ἐθέλητε, ἐπιστήσεσθε (ἄρχειν γὰρ εἰ- 10
ώθατε), πράγματα δὲ παρασχεῖν αὐτῷ, ἂν καιρὸν λάβητε,
πλείω τῶν ἄλλων ἀνθρώπων ἁπάντων δυνήσεσθε. διὰ
ταῦθ' ὑμῶν οὐχὶ φείσεται, εἴπερ ἐγκρατὴς γενήσεται.
63 Ὡς οὖν ὑπὲρ τῶν ἐσχάτων ἐσομένου τοῦ ἀγῶνος, οὕτω
προσήκει γιγνώσκειν, καὶ τοὺς πεπρακότας αὑτοὺς ἐκείνῳ 15
φανερῶς ἀποτυμπανίσαι· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἔξω
τῶν τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ
τῇ πόλει κολάσητ' ἐχθρούς, ἀλλ' ἀνάγκη τούτοις ὥσπερ
64 προβόλοις προσπταίσαντας ὑστερίζειν ἐκείνων. πόθεν
οἴεσθε νῦν αὐτὸν ὑβρίζειν ὑμᾶς (οὐδὲν γὰρ ἄλλ' ἔμοιγε 20

1 πρότερον S: πρότερον ἢ F^1Y^1 πρότερον πρὶν ἢ F corr. A γρ. Y 2 προσβάλλων S: προσβαλὼν FY^1 προσβαλεῖν αὐτῶν A γρ. Y | ἕως ἂν A 5 οὐδὲ S: οὐ FAY | ἔνι] εστι A 6 οὐχ SA: οὐδὲ FY | ὑμῖν τε A | καὶ τοῖς ἄλλοις VIII 60 7 ὑφ'] ἐφ' S 7 sq. τὴν πόλιν ποιήσασθαι φίλιππος βούλεται A 8 ἡμῶν F^1Y ὑμῶν οὔ om. A | ὅλως] ὅμως S^1 10 ἂν FAY | ἐθέλητε SFY: ἐθελήσητε A | ἐπίστασθε γρ. FY 11 αὐτῶι παρασχεῖν A 14 ἐσομένου] ὄντος A | τοῦ om. S | ὑμῖν οὕτω FAY 16 φανερῶς μισεῖν καὶ γρ. FA ex VIII 61 | ἀποτυπανίσαι S^1F^1 γρ. F^1Y | ἔξω τῶν S: τῶν ἔξω FAY 19 προσπταίσαντας S: προσπταίοντας FAY ex VIII 61 | πόθεν S: πόθεν γὰρ S corr. FY ἐπεὶ πόθεν A 20 ἄλλο ἔμοιγε δοκεῖ SY: ἔμοιγε ἄλλο δοκεῖ F ἄλλο δοκεῖ μοι A

δοκεῖ ποιεῖν ἢ τοῦτο) καὶ τοὺς μὲν ἄλλους εὖ ποιοῦντα,
εἰ μηδὲν ἄλλο, ἐξαπατᾶν, ὑμῖν δ' ἀπειλεῖν ἤδη; οἷον
Θετταλοὺς πολλὰ δοὺς ὑπηγάγετ' εἰς τὴν νῦν παροῦσαν
δουλείαν· οὐδ' ἂν εἰπεῖν δύναιτ' οὐδεὶς ὅσα τοὺς ταλαι-
5 πώρους Ὀλυνθίους πρότερον δοὺς Ποτείδαιαν ἐξηπάτη-
σεν καὶ πόλλ' ἕτερα· Θηβαίους τὰ νῦν ὑπάγει τὴν Βοι-
ωτίαν αὐτοῖς παραδοὺς καὶ ἀπαλλάξας πολέμου πολλοῦ
καὶ χαλεποῦ· ὥστε καρπωσάμενοί τιν' ἕκαστοι τούτων 65
πλεονεξίαν, οἱ μὲν ἤδη πεπόνθασιν ἃ δὴ πεπόνθασιν, οἱ
10 δ' ὅτι ἄν ποτε συμβῇ πείσονται. ὑμεῖς δ' ὧν μὲν ἀπε-
στέρησθε σιωπῶ· ἀλλ' ἐν αὐτῷ τῷ τὴν εἰρήνην ποιήσα-
σθαι, πόσ' ἐξηπάτησθε, πόσων ἀπεστέρησθε. οὐχὶ Φωκέας,
οὐ Πύλας, οὐχὶ τὰ ἐπὶ Θρᾴκης, Δορίσκον, Σέρριον, τὸν
149 Κερσοβλέπτην αὐτόν; οὐ νῦν Καρδίαν ἔχει καὶ ὁμολο|γεῖ;
15 τί ποτ' οὖν ἐκείνως τοῖς ἄλλοις καὶ ὑμῖν τοῦτον τὸν 66
τρόπον προσφέρεται; ὅτι ἐν μόνῃ τῶν πασῶν πόλεων τῇ
ὑμετέρᾳ ἄδει' ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται, καὶ λα-
βόντα χρήματ' αὐτὸν ἀσφαλές ἐστι λέγειν παρ' ὑμῖν,
κἂν ἀφῃρημένοι τὰ ὑμέτερ' αὐτῶν ἦτε. οὐκ ἦν ἀσφαλὲς 67
20 λέγειν ἐν Ὀλύνθῳ τὰ Φιλίππου μὴ σὺν εὖ πεπονθότων
τῶν πολλῶν Ὀλυνθίων τῷ Ποτείδαιαν καρποῦσθαι· οὐκ
ἦν ἀσφαλὲς λέγειν ἐν Θετταλίᾳ μὴ σὺν εὖ πεπονθότος
τοῦ πλήθους τοῦ Θετταλῶν τῷ τοὺς τυράννους ἐκβαλεῖν

1 ποιοῦντας S[1]　6 τὰ om. A | ὑπάγεται FY　9 ἤδη FAY: δὴ S | πεπόνθασιν S: πάντες ἴσασιν FAY ex VIII 63　10 ὅταν habent SA VIII 63　13 σέρριον δορίσκον Y　14 Καρδίαν] καρδιανων? F[1] τὴν καρδιανῶν A　15 ἐκείνως F | τοῦτον τὸν S: οὐ τὸν αὐτὸν FAY　17 ἡμετέραι F ἡμετέραι Y | ἀδείαι F[1]　21 τῶι S[1]F corr. AY: τὸ S rec. F[1]　22 post Θετταλίᾳ add. τὰ φιλίππου γρ. FA　23 τοῦ Y: τῶν SFA | τῷ] τὸ S rec. | ἐκβάλλειν S

Φίλιππον αὐτοῖς καὶ τὴν πυλαίαν ἀποδοῦναι· οὐκ ἦν ἐν Θήβαις ἀσφαλές, πρὶν τὴν Βοιωτίαν ἀπέδωκεν καὶ
68 *τοὺς Φωκέας ἀνεῖλεν. ἀλλ' Ἀθήνησιν, οὐ μόνον Ἀμφίπολιν καὶ τὴν Καρδιανῶν χώραν ἀπεστερηκότος Φιλίππου, ἀλλὰ καὶ κατασκευάζοντος ὑμῖν ἐπιτείχισμα τὴν* 5 *Εὔβοιαν καὶ νῦν ἐπὶ Βυζάντιον παριόντος, ἀσφαλές ἐστι λέγειν ὑπὲρ Φιλίππου. καὶ γάρ τοι τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ πλούσιοι γίγνονται καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων ἔνδοξοι καὶ γνώριμοι, ὑμεῖς δὲ τοὐναντίον ἐκ*
69 *μὲν ἐνδόξων ἄδοξοι, ἐκ δ' εὐπόρων ἄποροι· πόλεως γὰρ* 10 *ἔγωγε πλοῦτον ἡγοῦμαι συμμάχους, πίστιν, εὔνοιαν, ὧν πάντων ὑμεῖς ἔστ' ἄποροι. ἐκ δὲ τοῦ τούτων ὀλιγώρως ὑμᾶς ἔχειν καὶ ἐᾶν τοῦτον τὸν τρόπον φέρεσθαι, ὁ μὲν εὐδαίμων καὶ μέγας καὶ φοβερὸς πᾶσιν Ἕλλησιν καὶ βαρβάροις, ὑμεῖς δ' ἔρημοι καὶ ταπεινοί, τῇ μὲν κατὰ τὴν* 15 *ἀγορὰν εὐετηρίᾳ λαμπροί, τῇ δ' ὧν προσῆκε παρασκευῇ*
70 *κατα|γέλαστοι. οὐ τὸν αὐτὸν δὲ τρόπον περί θ' ὑμῶν* **150** *καὶ περὶ αὑτῶν ἐνίους τῶν λεγόντων ὁρῶ βουλευομένους· ὑμᾶς μὲν γὰρ ἡσυχίαν ἄγειν φασὶ δεῖν, κἄν τις ὑμᾶς ἀδικῇ, αὐτοὶ δ' οὐ δύνανται παρ' ὑμῖν ἡσυχίαν ἄγειν,* 20 *οὐδενὸς αὐτοὺς ἀδικοῦντος. καίτοι λοιδορίας εἴ τις χωρὶς ἔροιτο „εἰπέ μοι, τί δὴ γιγνώσκων ἀκριβῶς, Ἀριστόμηδες, (οὐδεὶς γὰρ τὰ τοιαῦτ' ἀγνοεῖ) τὸν μὲν τῶν ἰδιωτῶν βίον ἀσφαλῆ καὶ ἀπράγμονα καὶ ἀκίνδυνον ὄντα, τὸν δὲ*

1 *αὐτοῖς* post *πυλαίαν* ponit A 2 *πρὶν ἢ* S corr. FY 5 *ὑμῖν* VIII 66: *ἡμῖν* SFAY 8 *γίγνονται* SA: *γεγόνασι* FY 12 *ἁπάντων* AY | *ἐστὲ ὑμεῖς* FAY | *τοῦ* s. v. F[1] 13 *φέρεσθαι* A[1]: *προσφέρεσθαι* S cf. § 66 *τὰ πράγματα φέρεσθαι* FA[3] mg. Y 14 *φοβερός ἐστι* FY | *ἅπασι τοῖς* A | *βαρβάροις γέγονεν* A 15 *μὲν γὰρ*? S[1] 16 *προσήκει* A 19 sq. *ἡμᾶς ... ἡμᾶς ... ἡμῖν* S 21 *χωρὶς εἴ τις* FA Did. *εἴ* ut vid. om. Y[1] (habet *ειτ* in ras., *ις* s. v. *χωρὶς* Y[1]) 22 *ἔροιτο σε* A | *ἀριστόμηδες* SA Did.: *ἀριστόδημε* FY

τῶν πολιτευομένων φιλαίτιον καὶ σφαλερὸν καὶ καθ'
ἑκάστην ἡμέραν ἀγώνων καὶ κακῶν μεστόν, οὐ τὸν ἡσύ-
χιον, ἀλλὰ τὸν ἐν τοῖς κινδύνοις αἱρεῖ;" τί ἂν εἴποις; εἰ 71
γὰρ ὃ βέλτιστον εἰπεῖν ἂν ἔχοις, τοῦτό σοι δοίημεν ἀλη-
5 θὲς λέγειν, ὡς ὑπὲρ φιλοτιμίας καὶ δόξης ταῦτα πάντα
ποιεῖς, θαυμάζω τί δήποτε σαυτῷ μὲν ὑπὲρ τούτων ἅπαντα
ποιητέον εἶναι νομίζεις καὶ πονητέον καὶ κινδυνευτέον,
τῇ πόλει δὲ προέσθαι ταῦτα μετὰ ῥᾳθυμίας συμβουλεύεις.
οὐ γὰρ ἐκεῖνό γ' ἂν εἴποις, ὡς σὲ μὲν ἐν τῇ πόλει δεῖ τινὰ
10 φαίνεσθαι, τὴν πόλιν δ' ἐν τοῖς Ἕλλησι μηδενὸς ἀξίαν
εἶναι. καὶ μὴν οὐδ' ἐκεῖνό γ' ὁρῶ, ὡς τῇ πόλει μὲν ἀσφα- 72
λὲς τὸ τὰ αὑτῆς πράττειν, σοὶ δὲ κίνδυνος, εἰ μηδὲν
τῶν ἄλλων πλέον περιεργάσει, ἀλλὰ τοὐναντίον σοὶ μὲν
ἐξ ὧν ἐργάζει καὶ περιεργάζει τοὺς ἐσχάτους ὄντας κιν-
15 δύνους, τῇ πόλει δ' ἐκ τῆς ἡσυχίας. ἀλλὰ νὴ Δία παππῴα 73
σοι καὶ πατρῴα δόξ' ὑπάρχει, ἣν αἰσχρόν ἐστιν ἐν σοὶ
καταλῦσαι· τῇ πόλει δ' ὑπῆρξεν ἀνώνυμα καὶ φαῦλα τὰ
τῶν προγόνων. ἀλλ' οὐδὲ τοῦθ' οὕτως ἔχει· σοὶ μὲν γὰρ
151 ἦν κλέπτης ὁ πα|τήρ, εἴπερ ἦν ὅμοιός σοι, τῇ πόλει δ'
20 ἡμῶν οὓς πάντες ἴσασιν οἱ Ἕλληνες ἐκ τῶν μεγίστων

1 πολιτευόμενον F[1] | φιλαίτιον] ἐρ[γωδη] Did. 2 ἡσύχιον καὶ ἀπράγμονα FAY 3 αἱρεῖ Dindorf: αἱρῆι SFAY | εἴποις FAY: εἴποι τις S 4 ἂν εἰπεῖν A | δοίημεν SA: συγχωρήσαιμεν FY 5 πάντα ταῦτα FY 8 ταῦτα προέσθαι A | μετὰ ῥαιθυμίας SF s. v.: διὰ ῥαιθυμίαν F[1]AY 9 δεῖν S quod erunt qui defendant 11 ὁρῶ] ἐρῶ γρ. Y[3] | μὲν πόλει S 12 κίνδυνος SA: ἐπικίνδυνον FY 13 πλεῖον FY | περιεργάσει S[1] teste Dindorfio Y[1]?: περιεργάσηι S corr. ead. FAY[2] 14 ἐργάζει ... περιεργάζει Dindorf: ἐργάζηι ... περιεργάζηι SFAY 16 σοι ante ὑπάρχει FAY 19 ὅμοιος σοί G.H. Schaefer ut est Hermog. III 171 W. (195, 11 R.). 240 (261, 16) 20 οὓς G.H. Schaefer: ὡς SFAY | δὶς ἐκ γρ. S[d]FAY

74 *κινδύνων σεσῳμένοι. ἀλλὰ γὰρ οὐκ ἴσως οὐδὲ πολιτικῶς ἔνιοι τὰ καθ' αὑτοὺς καὶ τὰ κατ' αὐτὴν πολιτεύονται· πῶς γάρ ἐστιν ἴσον τούτων μέν τινας ἐκ τοῦ δεσμωτηρίου ἥκοντας ἑαυτοὺς ἀγνοεῖν, τὴν πόλιν δ', ἣ προειστήκει τῶν ἄλλων τέως καὶ τὸ πρω-* 5 *τεῖον εἶχεν, νῦν ἐν ἀδοξίᾳ πάσῃ καὶ ταπεινότητι καθεστάναι;*

75 *Πολλὰ τοίνυν ἔχων ἔτι καὶ περὶ πολλῶν εἰπεῖν* Prooem. XVII *παύσομαι· καὶ γὰρ οὐ λόγων ἐνδείᾳ μοι δοκεῖ τὰ πράγματ' οὔτε νῦν οὔτ' ἄλλοτε πώποτε φαύλως ἔχειν,* 10 *ἀλλ' ὅταν πάντ' ἀκούσαντες ὑμεῖς τὰ δέοντα καὶ ὁμογνώμονες ὡς ὀρθῶς λέγεται γενόμενοι, τῶν λυμαίνεσθαι καὶ διαστρέφειν ταῦτα βουλομένων ἐξ ἴσου κάθησθ' ἀκροώμενοι, οὐκ ἀγνοοῦντες αὐτούς (ἴστε γὰρ εὐθὺς ἰδόντες ἀκριβῶς, τίς μισθοῦ λέγει καὶ [τίς]* 15 *ὑπὲρ Φιλίππου πολιτεύεται, καὶ τίς ὡς ἀληθῶς ὑπὲρ τῶν βελτίστων), ἀλλ' ἵν' αἰτιασάμενοι τούτους καὶ τὸ πρᾶγμ' εἰς γέλωτα καὶ λοιδορίαν ἐμβαλόντες μηδὲν* 76 *αὐτοὶ τῶν δεόντων ποιῆτε. ταῦτ' ἐστὶ τἀληθῆ, μετὰ πάσης παρρησίας, ἁπλῶς εὐνοίᾳ τὰ βέλτιστ' εἰρημένα,* 20 *οὐ κολακείᾳ βλάβης καὶ ἀπάτης λόγος μεστός, ἀργύριον τῷ λέγοντι ποιήσων, τὰ δὲ πράγματα τῆς πόλεως τοῖς*

1 *ὑπὸ τῶν προγόνων ἡμῶν* (om. S^{d}) *σεσωσμένοι γρ.* S^{d}FA^{2} mg. Y | *σεσωσμένοι* SFAY cf. XVI 31 | *ἀλλὰ γὰρ* om. S^{1} add. S^{d} 2 *ἑαυτοὺς* FY | *κατ' αὐτὴν* (*υτὴν* in ras.? S^{1}) S: *κατὰ τὴν πόλιν* FAY 4 *ἥκοντας* SA: *προιόντας* FY 5 *ἧι* A | *προσειστήκει* S^{1} | *τῶν ἄλλων* SA cf. XVIII 200: *τῶν ἄλλων ἑλλήνων* FY *τῶν Ἑλλήνων* Cobet 12 *λέγετε* S 13 *διαστρέφειν*] *διαφθείρειν γρ.* FA 14 *κάθησθε* FAY: *καθήσεσθε* S 15 *εὐθὺς*] *αὐτοὺς* S | *τίς* ante *ὑπὲρ* del. Reiske 17 *τοῦ βελτίστου* A 19 *ἐστὶ τἀληθῆ* FAY: *ἐστὶν ἀληθῆ* S 21 *κολακείαι* S^{1} *γρ.* FA: *κολακείας καὶ* S corr. F (*κολακίας* F^{1}) Y | *ἀργύριον μὲν* S^{d}FAY 22 *ποιήσων*] *οἴσων* Cobet *περιποιήσων* Herwerden

ἐχθροῖς ἐγχειριῶν. ἢ οὖν παυστέον τούτων τῶν ἐθῶν, ἢ μηδέν' ἄλλον αἰτιατέον τοῦ πάντα φαύλως ἔχειν ἢ ὑμᾶς αὐτούς.

2 *φαύλως ἔχειν πάντα* A

In SFY subscriptum

ΚΑΤᾺ ΦΙΛΊΠΠΟΥ Δ̅ (post numerum ponit Y)

𐅅 Η̅ Δ̅ Δ̅ Δ̅ Ι̅ Ι̅ Ι̅ Ι̅ (𐅅 Η̅ Δ Δ Δ Η Η FY)

XI

ΠΡΟΣ ΤΗΝ ΕΠΙΣΤΟΛΗΝ ΤΗΝ ΦΙΛΙΠΠΟΥ 152

ΥΠΟΘΕΣΙΣ

Ὁ Φίλιππος πρὸς τοὺς Ἀθηναίους πέπομφεν ἐπιστολήν, κατηγορῶν αὐτῶν καὶ πόλεμον προκηρύττων ἄντικρυς. οὐκέτ' οὖν ὁ ῥήτωρ πείθει τοὺς Ἀθηναίους πολεμεῖν (ἀνάγκη γάρ), ἀλλὰ θαρσύνει πρὸς τὸν κίνδυνον, εὐκαθαίρετον λέγων τὸν Μακεδόνα. 5

Ὅτι μὲν ὦ ἄνδρες Ἀθηναῖοι Φίλιππος οὐκ ἐποιήσατο τὴν εἰρήνην πρὸς ἡμᾶς, ἀλλ' ἀνεβάλετο τὸν πόλεμον, πᾶσιν ὑμῖν φανερὸν γέγονεν· ἐπειδὴ γὰρ Φαρσαλίοις Ἅλον παρέδωκεν καὶ τὰ περὶ Φωκέας διῳκήσατο καὶ τὴν Θρᾴκην κατεστρέψατο πᾶσαν, αἰτίας οὐκ οὔσας πλασάμενος καὶ προφάσεις ἀδίκους ἐξευρὼν τῷ μὲν ἔργῳ πάλαι πολεμεῖ πρὸς τὴν πόλιν, τῷ δὲ λόγῳ νῦν ὁμολογεῖ διὰ 10
2 *τῆς ἐπιστολῆς ἧς ἔπεμψεν· ὅτι δὲ χρὴ μήτ' ὀρρωδεῖν ἡμᾶς τὴν ἐκείνου δύναμιν μήτ' ἀγεννῶς ἀντιταχθῆναι*
Diod. XVIII 10 *πρὸς αὐτόν, ἀλλὰ καὶ σώμασι καὶ χρήμασι καὶ ναυσὶ καὶ* 15

ΠΡΟΣ ΤΗΝ ΕΠΙΣΤΟΛΗΝ ΤΟΥ ΦΙΛΙΠΠΟΥ F *προς τὴν φιλίππου ἐπιστολήν* A *ὑπόθεσις λόγου τοῦ πρὸς φιλίππου · ἐπιστολή* F *ὑπόθεσις τοῦ πρὸς τὴν φιλίππου ἐπιστολήν* Y 1 *ἐπιστολήν* om. F cf. XII 1 7 *ἡμᾶς* SA Did.: *ὑμᾶς* (η s.v.) F *ὑμᾶς* Y | *ἀνεβάλετο* SF[1]A[2]Y corr. Did.: *ἀνεβάλλετο* (prius α in ras ex ε?) A[1]Y[1] *ἀνελάβετο* F s. v. Y s. v. 8 *ὑμῖν* SY Did. X 15: *ἡμῖν* FA Did. X 38 14 *ἡμᾶς* SFY Did.: *ὑμᾶς* A

153 πᾶσιν ὡς ἁπλῶς εἰπεῖν ἀφειδῶς ὁρμῆσαι πρὸς τὸν | πό- XVIII 88
λεμον, ἐγὼ πειράσομαι διδάσκειν. πρῶτον μὲν γὰρ εἰκὸς Xen. An. III
ὦ ἄνδρες Ἀθηναῖοι τοὺς θεοὺς μεγίστους ἡμῖν ὑπάρχειν 2, 10
συμμάχους καὶ βοηθούς, ὧν ἐκεῖνος τὰς πίστεις ὑπεριδὼν
5 καὶ τοὺς ὅρκους ὑπερβὰς λέλυκεν ἀδίκως τὴν εἰρήνην·
ἔπειθ' οἷς πρότερον ηὐξήθη, φενακίζων αἰεί τινας καὶ 3
μεγάλ' ἐπαγγελλόμενος εὐεργετήσειν, ταῦτα πάντα διεξ- II 5 (7) VII 34
ελήλυθεν ἤδη, καὶ γιγνώσκεται μὲν ὑπὸ τῶν Περινθίων
καὶ Βυζαντίων καὶ τῶν ἐκείνοις συμμαχούντων ὡς ἐπι-
10 θυμεῖ προσενεχθῆναι τούτοις τὸν αὐτὸν τρόπον ὅνπερ VIII 64
Ὀλυνθίοις πρότερον, οὐκ ἀγνοεῖται δ' ὑπὸ Θετταλῶν 4
δεσπόζειν, ἀλλ' οὐχ ἡγεῖσθαι τῶν συμμάχων προαιρού-
μενος, ὑποπτεύεται δ' ὑπὸ Θηβαίων Νίκαιαν μὲν φρουρᾷ
κατέχων, εἰς δὲ τὴν ἀμφικτυονίαν εἰσδεδυκώς, τὰς δὲ
15 πρεσβείας τὰς ἐκ Πελοποννήσου πρὸς αὐτὸν ἄγων καὶ
τὴν ἐκείνων συμμαχίαν παραιρούμενος· ὥστε τῶν αὐτῷ
πρὸ τοῦ φίλων ὄντων τοὺς μὲν νῦν πολεμεῖν ἀκαταλ-
λάκτως, τοὺς δὲ μηκέτι προθύμους εἶναι συναγωνιστάς,
ἅπαντας δ' ὑφορᾶσθαι καὶ διαβεβλῆσθαι πρὸς αὐτόν. ἔτι 5
20 τοίνυν (οὐδὲ γὰρ τοῦτ' ἔστι μικρόν) οἱ κατὰ τὴν Ἀσίαν
σατράπαι καθεστῶτες ἔναγχος μὲν ξένους [μισθοφόρους]
εἰσπέμψαντες ἐκώλυσαν ἐκπολιορκηθῆναι Πέρινθον, νῦν
δὲ τῆς ἔχθρας αὐτοῖς ἐνεστώσης καὶ τοῦ κινδύνου πλη-
σίον ὄντος, εἰ χειρωθήσεται Βυζάντιον, οὐ μόνον αὐτοὶ
25 προθύμως συμπολεμήσουσιν, ἀλλὰ καὶ βασιλέα [Περσῶν] 6

3 ἡμῖν F[1]AY: ὑμῖν S ὑμῶν F corr. 4 ὑπερβὰς ... 5 ὑπεριδὼν FY 6 ἀεὶ FAY 7 πάντα ταῦτα FAY 8 τῶν post ὑπὸ suspectum, v. ad v. 13 13 ὑπὸ τῶν FY Did. 16 αὐτῷ] αυτοῦ A 19 δ' om. S[1] 21 μισθοφόρους del. Cobet ξένων τε καὶ μισθοφόρων dicit Dionys. Hal. Arch. V 22, 4 22 νυνὶ FY 25 περσῶν S τῶν περσῶν FAY τὸν Περσῶν Reiske, del. Dindorf

χρήματα χορηγεῖν ἡμῖν προτρέψονται, ὃς τοσοῦτον μὲν κέκτηται πλοῦτον ὅσον οὐδ' οἱ λοιποὶ πάντες, τηλικαύτην δ' ἔχει ῥώμην πρὸς τὰς ἐνθάδε πράξεις, ὥστε καὶ πρότερον, ἡνίκα Λακεδαιμο|νίοις ἐπολεμοῦμεν, ὁποτέροις 154 πρόσθοιτο, τούτους ἐποίει κρατεῖν τῶν ἑτέρων, καὶ νῦν 5 μεθ' ἡμῶν γενόμενος ῥᾳδίως καταπολεμήσει τὴν Φιλίππου δύναμιν.

7 Πρὸς τοίνυν τούτοις τηλικούτοις οὖσιν, οὐκ ἐρῶ μὲν II 9 ὡς οὐ διὰ τὴν εἰρήνην πολλὰ προείληφεν ἡμῶν χωρία καὶ λιμένας καὶ τοιαῦθ' ἕτερα χρήσιμα πρὸς πόλεμον, 10 ὁρῶ δ' ὡς ὅταν μὲν ὑπ' εὐνοίας τὰ πράγματα συνέχηται καὶ πᾶσι ταὐτὰ συμφέρῃ τοῖς μετέχουσι τῶν πολέμων, μένει τὰ συσταθέντα βεβαίως· ὅταν δ' ἐξ ἐπιβουλῆς καὶ πλεονεξίας ἀπάτῃ καὶ βίᾳ κατέχηται, καθάπερ ὑπὸ τούτου νῦν, μικρὰ πρόφασις καὶ τὸ τυχὸν πταῖσμα ταχέως 15 8 αὐτὰ διέσεισε καὶ κατέλυσεν. καὶ πολλάκις εὑρίσκω λογι- II 13 ζόμενος οὐ μόνον ὦ ἄνδρες Ἀθηναῖοι τὰ συμμαχικὰ τῷ Φιλίππῳ πρὸς ὑποψίαν ἥκοντα καὶ δυσμένειαν, ἀλλὰ καὶ I 21 τὰ τῆς ἰδίας ἀρχῆς οὐ συνηρμοσμένα καλῶς οὐδ' οἰκείως II 14 οὐδ' ὡς οἴεταί τις. ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις 20 ἐν μὲν προσθήκης μέρει ῥοπὴν ἔχει τινὰ καὶ χρῆσιν, αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενής ἐστιν καὶ πρὸς τηλικοῦτον ὄγκον II 15 9 πραγμάτων εὐκαταφρόνητος. ἔτι δ' αὐτὴν οὗτος τοῖς πολέ-

1 χρήματα F[1]AY: χρήμασι SF corr. quo servato ἡμᾶς coni. Voemel 2 πάντες] σύμπαντες Cobet 3 ῥώμην] δύναμιν A 6 ῥαιδίως ἂν A[1] 8 τούτοις τοίνυν FAY 11 συνέχητε A[1] 12 πᾶσι ταυτὰ S et II 9: πᾶσι ταῦτα A ταὐτὰ πᾶσι FY | συμφέρει A | τοῦ πολέμου A ex II 9 13 μενεῖ A 14 ἀπὸ (ὑ) F 16 αὐτὰ SA: ἅπαντα FY ex II 9 | διέσεισε καὶ κατέλυσεν S: διέσεισε καὶ διέλυσε FY διέλυσε καὶ διέσεισε A 20 οὐδ' suspectum 23 οὗτος SA: αὐτὸς (οὐ) F αὐτὸς Y

μοις καὶ ταῖς στρατιαῖς καὶ πᾶσιν οἷς ἄν τις αὐτὸν μέγαν
εἶναι νομίσειε, σφαλερωτέραν αὐτῷ πεποίηκε. μὴ γὰρ
οἴεσθ' ὦ ἄνδρες Ἀθηναῖοι τοῖς αὐτοῖς χαίρειν Φίλιππόν
τε καὶ τοὺς ἀρχομένους, ἀλλ' ἐννοεῖσθ' ὡς ὁ μὲν ἐπιθυμεῖ
5 δόξης, οἱ δ' ἀσφαλείας, καὶ αὐτῷ μὲν οὐκ ἔστι τυχεῖν ταύτης
ἀκινδύνως, οἱ δ' οὐδὲν δέονται, καταλείποντες οἴκοι τέκνα,
γονεῖς, γυναῖκας, φθείρεσθαι καὶ καθ' ἑκάστην ἡμέραν
155 κινδυνεύειν ὑπὲρ αὐτῶν. ὥστε τοὺς μὲν πολλοὺς | τῶν 10
Μακεδόνων ἐκ τούτων ἄν τις ἴδοι πῶς διάκεινται πρὸς II 17
10 τὸν Φίλιππον· τοὺς δὲ περὶ αὐτὸν ὄντας ἑταίρους καὶ
τοὺς τῶν ξένων ἡγεμόνας εὑρήσετε δόξαν μὲν ἔχοντας
ἐπ' ἀνδρείᾳ, περιδεῶς δὲ μᾶλλον τῶν ἀδόξων ζῶντας.
τοῖς μὲν γὰρ πρὸς τοὺς πολεμίους μόνον ὑπάρχει κίν-
δυνος, οἱ δὲ τοὺς κόλακας καὶ τοὺς διαβάλλοντας αὐτοὺς II 18 sqq.
15 μᾶλλον ἢ τὰς μάχας δεδίασιν· κἀκεῖνοι μὲν μετὰ πάντων 11
ἀγωνίζονται πρὸς τοὺς ἀντιταχθέντας, τοῖς δὲ καὶ τῶν
ἐν τοῖς πολέμοις κακῶν οὐκ ἐλάχιστον μέρος μέτεστιν,
καὶ χωρὶς ἰδίᾳ τὸν τρόπον τὸν τοῦ βασιλέως φοβεῖσθαι
συμβέβηκεν. ἔτι δὲ τῶν μὲν πολλῶν ἐὰν ἁμάρτῃ τις,
20 ζημίας κατὰ τὴν ἀξίαν εἴληφεν· οἱ δ' ὅταν μάλιστα κατ-
ορθώσωσιν, τότε μάλιστα σκορακίζονται καὶ προπηλα-

1 στρατιαῖς SA cf. Aristoph. eq. 587: στρατείαις FY et II 15
2 σφαλερωτέραν (ον s.l.) F σφαλερώτερον A 3 φίλιππόν τε χαίρειν AY corr. ex II 15 5 αὐτῷ] τῷ Blass 6 οὐδὲν] οὐ S | καταλείποντες S: καταλιπόντες FAY 7 γονέας Weil 8 ὑπὲρ αὐτῶν SA: ὑπὲρ αὐτοῦ FY | ὥστε τοὺς etiam F 9 ὅπως A 10 ἑτέρους A 11 εὑρήσεται S[1] 12 ἀδόξων] ἐνδόξων S[1] corr. rec. s. v. et S[d] in mg. 13 ὁ πρὸς AY corr 17 πολεμίοις A 18 τρόπον τοῦ A | φοβεῖσθαι post. ἰδίᾳ FAY 19 ἐὰν SA Did.: ἐπειδὰν FY 20 ζημίας S: ζημίαν FAY Did. | εἴληφεν] ἔτυχεν Cobet | μάλιστα SA Did.: μέγιστα FY | κατορθώσουσι A κατορθῶσι Did. 21 καὶ προπηλακίζονται om. Y[1]

12 *κίζονται παρὰ τὸ προσῆκον. καὶ τούτοις οὐδ᾽ ἂν εἷς εὖ φρονῶν ἀπιστήσειεν· οὕτω γὰρ φιλότιμον αὐτὸν εἶναί φασιν οἱ συνδιατρίψαντες, ὥστε βουλόμενον τὰ κάλλιστα τῶν ἔργων πάνθ᾽ αὐτοῦ δοκεῖν εἶναι μᾶλλον ἄχθεσθαι τῶν στρατηγῶν καὶ τῶν ἡγεμόνων τοῖς ἄξιον ἐπαίνου τι* 5
13 *πράξασιν ἢ τοῖς ὅλως ἀποτυχοῦσιν. πῶς οὖν, εἴπερ ἐστὶ ταῦτα τοιαῦτα, πιστῶς ἤδη πολὺν χρόνον αὐτῷ παραμένουσιν;* (II 20 sq.) *ὅτι νῦν μὲν ὦ ἄνδρες Ἀθηναῖοι τὸ κατορθοῦν αὐτὸν ἐπισκοτεῖ πᾶσι τοῖς τοιούτοις· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας τῶν ἀν-* 10 *θρώπων εἰσίν· εἰ δέ τι πταίσει, τότ᾽ ἀκριβῶς διακαλυφθήσεται ταῦτα πάντα. συμβαίνει γὰρ ὥσπερ ἐν τοῖς σώ-*
14 *μασιν ἡμῶν· ὅταν μὲν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ᾽ ἕκαστα σαθρῶν, ἐπὰν δ᾽ ἀρρωστήσῃ, πάντα κινεῖται, κἂν | ῥῆγμα κἂν στρέμμα κἂν ἄλλο τι τῶν* **156** *ὑπαρχόντων ᾖ μὴ τελέως ὑγιεινόν· οὕτω καὶ τῶν βασι-* 16 *λειῶν καὶ ἁπασῶν τῶν δυναστειῶν, ἕως μὲν ἂν ἐν τοῖς πολέμοις κατορθῶσιν, ἀφανῆ τὰ κακά ἐστι τοῖς πολλοῖς, ἐπὰν δὲ πταίσωσιν, ὃ νῦν παθεῖν εἰκὸς ἐκεῖνον μεῖζον φορτίον ἢ καθ᾽ αὐτὸν αἰρόμενον, γίγνεται φανερὰ τὰ* 20 *δυσχερῆ πάντα τοῖς ἅπασιν.*

15 *Εἰ δέ τις ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι τὸν Φίλιππον* (II 22 (IV 4)) *ὁρῶν εὐτυχοῦντα φοβερὸν εἶναι νομίζει καὶ δυσπολέμη-*

1 *παρὰ*] *κατὰ* A^1 corr. A^2 2 *αὐτὸν φιλότιμον* FAY 4 *ἅπαντ᾽* FY | *αὑτοῦ* Bekker: *αὐτοῦ* SFAY 6 *ἀτυχοῦσιν* A 7 *τοιαῦτα* om. F^1 add. ead. | *παραμενοῦσιν* FY 9 cf. Senec. controv. IX 13 10 *καὶ*] *ἢ* A | *τὰς ἁμαρτίας*] *τὰ τοιαῦτα ὀνείδη γρ.* S rec. *γρ.* FA *γρ.* Y^3 ex II 20 12 *ταῦτα πάντα* S Stob. XXXXII 13 H.: *πάντα ταῦτα* FAY 16 *ὑγιαῖνον* A 17 *πασῶν* FAY | *τῶν* om. Y^1 18 *κατορθώσειν* ut vid. F^1 *κατορθοῦσιν* A | *τὰ κακὰ τοῖς πολλοῖς ἐστίν* FA *τοῖς πολλοῖς ἐστὶ τὰ κακά* Y 19 *δέ τι* FAY cf. v. 11 | *εἰκὸς παθεῖν* FAY 20 *καταυτὸν* A | *ἀράμενον* FAY 21 *πᾶσιν* A

τον, σώφρονος μὲν ἀνδρὸς χρῆται προνοίᾳ· μεγάλη γὰρ
ῥοπή, μᾶλλον δὲ τὸ ὅλον ἡ τύχη ἐστὶ πρὸς ἅπαντα τὰ
τῶν ἀνθρώπων πράγματα· κατὰ πολλοὺς μέντοι τρόπους
ἕλοιτ' ἄν τις οὐχ ἧττον τὴν ἡμετέραν εὐτυχίαν ἢ τὴν
5 ἐκείνου. παρά τε γὰρ τῶν προγόνων ἐκ πλείονος χρόνου 16
παρειλήφαμεν τὴν εὐδαιμονίαν οὐ τούτου μόνον, ἀλλὰ
συνελόντι φράσαι πάντων τῶν ἐν Μακεδονίᾳ βασιλευ-
σάντων· κἀκεῖνοι μὲν Ἀθηναίοις φόρους ἤνεγκαν, ἡ δ' VII 12
ἡμετέρα πόλις οὐδενί πω τῶν ἁπάντων. ἔτι δὲ τοσούτῳ
10 πλείους ἀφορμὰς αὐτοῦ πρὸς τὴν τῶν θεῶν εὔνοιαν
ἔχομεν, ὅσῳ διατελοῦμεν εὐσεβέστερα καὶ δικαιότερα
πράττοντες. τί ποτ' οὖν ἐκεῖνος ἐν τῷ προτέρῳ πολέμῳ 17
πλείω κατώρθωσεν ἡμῶν; ὅτι ὦ ἄνδρες Ἀθηναῖοι (παρ- II 23
ρησιάσομαι γὰρ πρὸς ὑμᾶς) ὁ μὲν αὐτὸς στρατεύεται καὶ
15 ταλαιπωρεῖ καὶ τοῖς κινδύνοις πάρεστιν, οὔτε καιρὸν
παριεὶς οὔθ' ὥραν ἔτους παραλείπων οὐδεμίαν, ἡμεῖς δὲ
(εἰρήσεται γὰρ τἀληθῆ) οὐδὲν ποιοῦντες ἐνθάδε καθήμεθα,
μέλλοντες ἀεὶ καὶ ψηφιζόμενοι καὶ πυνθανόμενοι κατὰ IV 9
157 τὴν ἀγορὰν | εἴ τι λέγεται νεώτερον. καίτοι τί γένοιτ' IV 10
20 ἂν νεώτερον ἢ Μακεδὼν ἀνὴρ καταφρονῶν Ἀθηναίων
καὶ τολμῶν ἐπιστολὰς πέμπειν τοιαύτας οἵας ἠκούσατε IV 37
μικρῷ πρότερον; καὶ τῷ μὲν ὑπάρχουσιν μισθοφόροι 18
στρατιῶται, καὶ νὴ Δία πρὸς τούτοις τῶν παρ' ἡμῖν ῥη-
τόρων τινές, οἳ τὰς παρ' ἐκείνου δωρεὰς οἴκαδε λαμβά- VII 17

2 τὸ om. Y add. Y² mg. | ἐστὶ om. A 6 εὐδαιμονίαν SA: ἡγεμονίαν FY 7 τῶν om. Y¹ 9 πώποτε A | ἁπάντων ἀνθρώπων FY 10 τὴν παρα την τῶν A τὴν παρὰ τῶν γρ. Y² 16 παρεὶς ... παραλιπὼν A 17 τἀληθὲς FY 18 αἰεὶ Y 23 ἡμῖν AY² mg.: ἡμῶν SFY 24 ἐκείνων S 24 sq. λαμβάνειν νομίζοντες SA: λαμβάνοντες FY

νειν νομίζοντες οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες, οὐδ᾽ αἰσθάνονται πάντα καὶ τὰ τῆς πόλεως καὶ τὰ σφῶν αὐτῶν μικροῦ λήμματος πωλοῦντες. ἡμεῖς δ᾽ οὔτε τῶν ἐκείνου VIII 21 *πραγμάτων οὐδὲν στασιάζειν παρασκευάζομεν, οὔτε ξενο-* 19 *τροφεῖν ἐθέλομεν, οὔτε στρατεύεσθαι τολμῶμεν. οὔκουν* 5 II 23 *ἐστὶν οὐδὲν δεινόν, εἴ τι πεπλεονέκτηκεν ἡμῶν κατὰ τὸν πρότερον πόλεμον, ἀλλὰ μᾶλλον εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν προσήκει τοὺς πολεμοῦντας, νομίζομεν κρατήσειν τοῦ πάντα πράττοντος, ἃ δεῖ τοὺς πλεονεκτήσειν μέλλοντας.*

20 *Ὧν ὦ ἄνδρες Ἀθηναῖοι χρὴ λαβόντας ἔννοιαν, καὶ* 10 IX 8 *λογισαμένους ὡς οὐδ᾽ ἐφ᾽ ἡμῖν ἐστιν τὸ φάσκειν ἄγειν εἰρήνην (ἤδη γὰρ ἐκεῖνος καὶ προηγόρευκε τὸν πόλεμον καὶ τοῖς ἔργοις ἐξενήνοχεν) μηδενὸς μὲν φείδεσθαι μήτε τῶν δημοσίων μήτε τῶν ἰδίων, στρατεύεσθαι δέ, ἄν που καιρὸς ᾖ, προθύμως ἅπαντας, χρῆσθαι δὲ στρατηγοῖς* 15 21 *ἀμείνοσιν ἢ πρότερον. μὴ γὰρ ὑπολάβῃ τις ὑμῶν, δι᾽ ὧν* II 26 *ἐγένετο τὰ πράγματα χείρω τὰ τῆς πόλεως, διὰ τούτων* IV 7 *αὐτὰ πάλιν ἀναλήψεσθαι καὶ γενήσεσθαι βελτίω· μηδὲ νομίσητε ῥᾳθυμούντων ἡμῶν, ὥσπερ πρότερον, ἑτέρους ὑπὲρ τῶν ὑμετέρων ἀγωνιεῖσθαι προθύμως· ἀλλ᾽ ἐννο-* 20 *εῖσθ᾽ ὡς αἰσχρόν ἐστιν τοὺς μὲν* | *πατέρας ἡμῶν πολλοὺς* 158 *πόνους καὶ μεγάλους κινδύνους ὑποστῆναι Λακεδαιμο-*

1 *οὐκ αἰσχ. . . . ζῶντες* om. A[1] add. ead. mg. | *αἰσχύνονται . . . οὐδ᾽* del. Cobet 2 *καὶ τὰ*] *κατὰ* S | *καὶ τὰ σφῶν* FY: *καὶ τὰς φωνὰς* S[1] (m. rec. circumfl. super *ω* et lineolam sub *ας* fecit) *κατὰ τὰ σφῶν* A 3 *οὔτε*] *οὐδε* A 4 sq. *οὔτε . . . ἐθέλομεν* om. A[1] add. A[2] 5 *αὐτοὶ στρατεύεσθαι* FA[2]Y 6 *οὐδέν ἐστι* S rec. *γρ.* FA *δεινὸν* S *γρ.* FA: *θαυμαστὸν* S rec. mg. FY 8 *ὡς*[ν] F 10 *λαβόντα* A 12 *προηγόρευσε* S 14 *δημοσίων* SA: *κοινῶν* FY *ἐάν* FY 17 *ἐκ χρηστῶν ἐγένετο* FAY[2] mg. ex II 26 | *τὰ* om. A schol. p. 213, 8 19 *ὑμῶν* FY 20 *ἡμετέρων* A 21 *ὑ*[η]*μῶν* F *ὑμῶν* Y 22 *κινδύνους μεγάλους* FY

νίοις πολεμοῦντας, ἡμᾶς δὲ μηδ' ὑπὲρ ὧν ἐκεῖνοι δικαίως 22
κτησάμενοι παρέδοσαν ἡμῖν ἐθέλειν ἐρρωμένως ἀμύνε-
σθαι, ἀλλὰ τὸν μὲν ἐκ Μακεδονίας ὁρμώμενον οὕτως VII 7
εἶναι φιλοκίνδυνον, ὥσθ' ὑπὲρ τοῦ μείζω ποιῆσαι τὴν
5 ἀρχὴν κατατετρῶσθαι πᾶν τὸ σῶμα τοῖς πολεμίοις μαχό- XVIII 67
μενον, Ἀθηναίους δέ, οἷς πάτριόν ἐστι μηδενὸς ἀκούειν, XIX 64
ἁπάντων δὲ κρατεῖν ἐν τοῖς πολέμοις, τούτους διὰ ῥαθυ-
μίαν ἢ μαλακίαν ἐγκαταλείπειν τά τε τῶν προγόνων ἔργα
καὶ τὰ συμφέροντα τῆς πατρίδος.

10 Ἵνα δὲ μὴ μακρολογῶ, φημὶ χρῆναι παρεσκευάσθαι 23
μὲν πρὸς τὸν πόλεμον, παρακαλεῖν δὲ τοὺς Ἕλληνας, μὴ XIV 14
λόγοις, ἀλλὰ τοῖς ἔργοις πρὸς τὴν παρ' ἡμῶν συμμαχίαν·
ὡς ἅπας μέν ἐστιν λόγος μάταιος πράξεων ἄμοιρος γενό- II 12
μενος, τοσούτῳ δὲ μάλισθ' ὁ παρὰ τῆς ἡμετέρας πόλεως,
15 ὅσῳ δοκοῦμεν αὐτῷ προχειρότατα χρῆσθαι τῶν ἄλλων
Ἑλλήνων.

1 ὑμᾶς FY | μὴ A 2 παρέδοσαν] ο ex ω corr. F | ὑμῖν apographa | ἀμύνασθαι A 3 λακεδαιμονίας S[1] corr. ead. | δρώμενον S[1] 4 ὥσθ' S γρ. FAY: ὡς F 6 ἀθηναίοις S | ὑπακούειν FAY 7 ἐν om. FY 7 sq. μαλακίαν ἢ ῥαθυμίαν FAY | ἐγκαταλιπεῖν FAY 10 χρῆναι πάντας ἡμᾶς παρασκευάζεσθαι FAY 11 τοὺς ἄλλους ἕλληνας FY 12 ἀλλὰ καὶ FY | ὑμῶν A 13 πράξεως A 15 δοκοῖμεν S[1]

In S subscriptum

ΠΡῸΣ ΤῊΝ ΦΙΛΊΠΠΟΥ ἘΠΙΣΤΟΛΉΝ
Η [Δ] Δ Δ Δ Δ Π Ι

in F ΠΡῸΣ ΤῊΝ ἘΠΙΣΤΟΛῊΝ ΦΙΛΊΠΠΟΥ
Η [Δ] Δ Δ Δ Δ Π Ι διῶρθ αγ (compendio) δυο ἀττικω

in Y
Η [Δ] Δ Δ Δ [Π] ΠΡΟΣ ΤῊΝ ἘΠΙΣΤΟΛῊΝ ΤῊΝ ΦΙΛΊΠΠΟΥ

XII

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ

Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

*Ἐπειδὴ πολλάκις μου πρέσβεις ἀποστείλαντος, ἵν' ἐμμεί-
νωμεν τοῖς ὅρκοις καὶ ταῖς ὁμολογίαις, οὐδεμίαν ἐποι-
εῖσθ' ἐπιστροφήν, ᾤμην δεῖν πέμψαι πρὸς ὑμᾶς ὑπὲρ ὧν
ἀδικεῖσθαι νομίζω. μὴ θαυμάσητε δὲ τὸ μῆκος τῆς ἐπι-* 5
*στολῆς· πολλῶν γὰρ ὑπαρχόντων ἐγκλημάτων ἀναγκαῖόν
ἐστιν ὑπὲρ ἁπάν|των δηλῶσαι καθαρῶς.* 159

2 *Πρῶτον μὲν γὰρ Νικίου τοῦ κήρυκος ἁρπασθέντος ἐκ
τῆς χώρας τῆς ἐμῆς, οὐχ ὅτι τοῖς παρανομοῦσιν ἐπετι-
μήσατε τὴν δίκην, ἀλλὰ τὸν ἀδικούμενον εἵρξατε δέκα* 10
*μῆνας· ἃς δ' ἔφερεν παρ' ἡμῶν ἐπιστολάς, ἀνέγνωτ' ἐπὶ
τοῦ βήματος. ἔπειτα Θασίων ὑποδεχομένων τὰς Βυζαν-
τίων τριήρεις καὶ τῶν λῃστῶν τοὺς βουλομένους οὐδὲν
ἐφροντίζετε, τῶν συνθηκῶν διαρρήδην λεγουσῶν πολε-*
3 *μίους εἶναι τοὺς ταῦτα ποιοῦντας. ἔτι τοίνυν περὶ τοὺς* 15
*αὐτοὺς χρόνους Διοπείθης ἐμβαλὼν εἰς τὴν χώραν Κρω-
βύλην μὲν καὶ τὴν Τιρίστασιν ἐξηνδραποδίσατο, τὴν δὲ
προσεχῆ Θρᾴκην ἐπόρθησεν, τέλος δ' εἰς τοῦτ ἦλθεν*

Epistulam om. SA 2 *πρέσβεις* F *γρ.* Y mg.: *πρεσβείας* Y[1]
9 *οὐχ ὅτι ... ἐπετιμήσατε* Blass post Weilium: *οὐ ... ἐπετιμήσατε
ὅτι* FY *ὅτι τὴν δίκην* om. duo apographa Parisina, *ὅτι* del. Voemel

*παρανομίας, ὥστ' Ἀμφίλοχον ὑπὲρ τῶν αἰχμαλώτων ἐλ-
θόντα πρεσβευτὴν συλλαβὼν καὶ τὰς ἐσχάτας ἀνάγκας
ἐπιθεὶς ἀπελύτρωσεν ταλάντων ἐννέα· καὶ ταῦτα τῷ
δήμῳ συνδοκοῦντ' ἐποίησεν. καίτοι τὸ παρανομεῖν εἰς* 4
5 *κήρυκα καὶ πρέσβεις καὶ τοῖς ἄλλοις ἅπασιν ἀσεβὲς εἶναι
δοκεῖ καὶ μάλισθ' ὑμῖν· Μεγαρέων γοῦν Ἀνθεμόκριτον
ἀνελόντων εἰς τοῦτ' ἐλήλυθεν ὁ δῆμος, ὥστε μυστηρίων
μὲν εἶργον αὐτούς, ὑπόμνημα δὲ τῆς ἀδικίας ἔστησαν
ἀνδριάντα πρὸ τῶν πυλῶν. καίτοι πῶς οὐ δεινόν, ἐφ'*
10 *οἷς παθόντες οὕτως ἐμισήσατε τοὺς δράσαντας, νῦν
αὐτοὺς φαίνεσθαι ποιοῦντας; Καλλίας τοίνυν ὁ παρ'* 5
*ὑμῶν στρατηγὸς τὰς μὲν πόλεις τὰς ἐν τῷ Παγασίτῃ
κόλπῳ κατοικουμένας ἔλαβεν ἁπάσας, ὑμῖν μὲν ἐνόρκους,
ἐμοὶ δὲ συμμαχίδας οὔσας, τοὺς δ' εἰς Μακεδονίαν πλέ-*
15 *οντας ἐπώλει πάντας πολεμίους κρίνων· καὶ διὰ ταῦθ'* |
160 *ὑμεῖς ἐπῃνεῖτ' αὐτὸν ἐν τοῖς ψηφίσμασιν. ὥστ' ἔγωγ'
ἀπορῶ τί ποτ' ἔσται καινότερον, ἐὰν ὁμολογήσητέ μοι
πολεμεῖν· καὶ γὰρ ὅτε φανερῶς διεφερόμεθα, λῃστὰς ἐξε-
πέμπετε καὶ τοὺς πλέοντας ὡς ἡμᾶς ἐπωλεῖτε, τοῖς ἐναν-*
20 *τίοις ἐβοηθεῖτε, τὴν χώραν μου κακῶς ἐποιεῖτε.*

Χωρὶς τοίνυν εἰς τοῦτο παρανομίας ἀφῖχθε καὶ δυσ- 6
μενείας, ὥστε καὶ πρὸς τὸν Πέρσην πρέσβεις ἀπεστάλ-

3 *ἀπηλύτρωσεν* FY[1] (?) 4 *συνδοκοῦντα* Cobet: *εὖ δοκοῦντα* FY | *καίτοι* apographa: *καὶ* FY 5 *καὶ* ante *τοῖς* del. Reiske | *ἅπασιν*] *τε πᾶσιν* FY: *τοῖς τε ἄλλοις ἅπασιν* del. cum Reiskio *καὶ* malebat Hercher 7 *τοῦτ'* ⟨*ὀργῆς*⟩ Wolf 8 *εἶργον* Hercher: *εἵργειν* FY | *ὑπόμνημα* Reiske: *ὑπομνήματα* FY cf. XXII 74, XXIV 182 | *δὲ*] *ε* in ras. F 11 *αὐτοὺς* FY[2]: *αὐτὰ γρ.* FY[1] | *ποιοῦντας* FY[2]: *ποιοῦντες γρ.* FY[1] 12 *παγασειτῆι* F *παγασείτηι* Y 13 *κόμ-πωι* Y[1] | *ἐνόρκους γρ.* FY: *ὅρκους* F 14 *συμμαχίδας* vulgo: *συμμαχίας* F *συμμάχους γρ.* FY 18 ⟨*οὐ*⟩ *φανερῶς* Richards ⟨*οὔπω*⟩ *φανερῶς* Wendland | *διεφερόμεθα* cf. Dionys. H. Arch. V 7, 2 20 *ἐβοηθεῖτε*] *ηθειτε* in ras. F

κατε πείσοντας αὐτὸν ἐμοὶ πολεμεῖν· ὃ μάλιστ' ἄν τις
θαυμάσειεν. πρὸ μὲν γὰρ τοῦ λαβεῖν αὐτὸν Αἴγυπτον
καὶ Φοινίκην ἐψηφίσασθε, ἂν ἐκεῖνός τι νεωτερίζῃ, παρα-
καλεῖν ὁμοίως ἐμὲ καὶ τοὺς ἄλλους Ἕλληνας ἅπαντας
7 ἐπ' αὐτόν· νῦν δὲ τοσοῦτον ὑμῖν περίεστι τοῦ πρὸς ἐμὲ 5
μίσους, ὥστε πρὸς ἐκεῖνον διαλέγεσθε περὶ τῆς ἐπιμαχίας.
καίτοι τὸ παλαιὸν οἱ πατέρες ὑμῶν, ὡς ἐγὼ πυνθάνομαι,
τοῖς Πεισιστρατίδαις ἐπετίμων ὡς ἐπάγουσι τὸν Πέρ-
σην ἐπὶ τοὺς Ἕλληνας· ὑμεῖς δ' οὐκ αἰσχύνεσθε ταῦτα
ποιοῦντες ἃ διετελεῖτε τοῖς τυράννοις ἐγκαλοῦντες. 10

8 Ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ γράφετ' ἐν τοῖς ψηφί-
σμασιν ἐμοὶ προστάττοντες Τήρην καὶ Κερσοβλέπτην ἐᾶν
Θρᾴκης ἄρχειν, ὡς ὄντας Ἀθηναίους. ἐγὼ δὲ τούτους
οὔτε τῶν περὶ τῆς εἰρήνης συνθηκῶν οἶδα μετασχόντας
ὑμῖν οὔτ' ἐν ταῖς στήλαις ἀναγεγραμμένους οὔτ' Ἀθη- 15
ναίους ὄντας, ἀλλὰ Τήρην μὲν μετ' ἐμοῦ στρατευόμενον
ἐφ' ὑμᾶς, Κερσοβλέπτην δὲ τοῖς παρ' ἐμοῦ πρεσβευταῖς
ἰδίᾳ μὲν τοὺς ὅρκους ὀμόσαι προθυμούμενον, κωλυθέντα
δ' ὑπὸ τῶν ὑμετέρων στρατηγῶν ἀποφαινόντων αὐτὸν
9 Ἀθηναίων ἐχθρόν. καίτοι πῶς ἐστι τοῦτ' ἴσον ἢ δίκαιον, 20
ὅταν μὲν ὑμῖν συμφέρῃ, πολέμιον εἶ|ναι φάσκειν αὐτὸν 161
τῆς πόλεως, ὅταν δ' ἐμὲ συκοφαντεῖν βούλησθε, πολίτην
ἀποδείκνυσθαι τὸν αὐτὸν ὑφ' ὑμῶν· καὶ Σιτάλκου μὲν
ἀποθανόντος, ᾧ μετέδοτε τῆς πολιτείας, εὐθὺς ποιήσα-
σθαι πρὸς τὸν ἀποκτείναντα φιλίαν, ὑπὲρ δὲ Κερσο- 25

6 διαλέγεσθε Dobree: διαλέγεσθαι FY | τῆς del. Cobet | ἐπιμαχίας O[1]: ἐπισυμμαχίας FY cf. Xen. inst. Cyri III 2, 23 14 τῶν περὶ vulgo: περὶ τῶν FY 16 τήρη F[1] 22 δέμε Y 23 ὑφ' om. Felicianus ὑφ' ὑμῶν del. Herwerden 25 ἀποκτείνοντα Y[1]

βλέπτου πόλεμον αἵρεσθαι πρὸς ἡμᾶς; καὶ ταῦτα σαφῶς εἰδότας ὅτι τῶν λαμβανόντων τὰς δωρεὰς τὰς τοιαύτας οὐδεὶς οὔτε τῶν νόμων οὔτε τῶν ψηφισμάτων οὐδὲν φροντίζει τῶν ὑμετέρων. οὐ μὴν ἀλλ' εἰ δεῖ πάντα τἄλλα 10
5 *παραλιπόντα συντόμως εἰπεῖν, ὑμεῖς ἔδοτε πολιτείαν Εὐαγόρᾳ τῷ Κυπρίῳ καὶ Διονυσίῳ τῷ Συρακοσίῳ καὶ τοῖς ἐκγόνοις τοῖς ἐκείνων. ἐὰν οὖν πείσητε τοὺς ἐκβαλόντας ἑκατέρους αὐτῶν ἀποδοῦναι πάλιν τὰς ἀρχὰς τοῖς ἐκπεσοῦσι, κομίζεσθε καὶ παρ' ἐμοῦ τὴν Θρᾴκην,*
10 *ὅσης Τήρης καὶ Κερσοβλέπτης ἦρχον. εἰ δὲ τοῖς μὲν ἐκείνων κρατήσασιν μηδ' ἐγκαλεῖν ἀξιοῦτε μηδέν, ἐμὲ δ' ἐνοχλεῖτε, πῶς οὐ δικαίως ὑμᾶς ἀμυνοίμην ἄν;*

Περὶ μὲν οὖν τούτων πολλὰ λέγειν ἔχων ἔτι δίκαια, 11 *παραλιπεῖν προαιροῦμαι· Καρδιανοῖς δέ φημι βοηθεῖν,*
15 *γεγονὼς αὐτοῖς πρὸ τῆς εἰρήνης σύμμαχος, οὐκ ἐθελόντων δ' ὑμῶν ἐλθεῖν εἰς κρίσιν, πολλάκις μὲν ἐμοῦ δεηθέντος, οὐκ ὀλιγάκις δ' ἐκείνων· ὥστε πῶς οὐκ ἂν εἴην πάντων φαυλότατος, εἰ καταλιπὼν τοὺς συμμάχους μᾶλλον ὑμῶν φροντίζοιμι τῶν πάντα μοι τρόπον ἐνοχλούν-*
20 *των ἢ τῶν βεβαίως μοι φίλων ἀεὶ μενόντων;*

Εἰ τοίνυν δεῖ μηδὲ τοῦτο παραλιπεῖν, εἰς τοσοῦτ' ἐληλύθατε πλεονεξίας, ὥστε πρότερον μὲν ἐνεκαλεῖτέ μοι τὰ 12
162 *προειρημένα μόνον, τὰ δ' ὑπογυότατα | Πεπαρηθίων φασκόντων δεινὰ πεπονθέναι προσετάξατε τῷ στρατηγῷ*
25 *δίκην παρ' ἐμοῦ λαβεῖν ὑπὲρ ἐκείνων, οὓς ἐγὼ μὲν ἐτιμωρησάμην ἐνδεεστέρως ἢ προσῆκεν, ἐκεῖνοι δ' εἰρήνης οὔσης*

1 *αἵρεσθαι* G. H. Schaefer: *αἱρεῖσθαι* FY *ἄρασθαι* Dobree cf. XIV 3 *τὸν π. αἱρεῖσθαι* dicit Isocr. VIII 12, Diod. XIII 29, XVIII 10   6 *συρακοσίωι* Y[1]: *συρακουσίωι* FY[2]   10 *ἦρχον* Hercher: *ἦρχεν* FY   14 *παραλειπειν* F[1]   23 *Πεπαρηθίων* Reiske: *πεπαρρηθίων* FY item § 13, 15

καταλαβόντες Ἁλόννησον οὔτε τὸ χωρίον οὔτε τοὺς φρουροὺς ἀπεδίδοσαν πέμψαντος ὑπὲρ αὐτῶν ἐμοῦ πολλάκις.
13 *ὑμεῖς δ' ὧν μὲν ἠδίκησαν ἐμὲ Πεπαρήθιοι, τούτων μὲν οὐδὲν ἐπεσκέψασθε, τὴν δὲ τιμωρίαν, ἀκριβῶς εἰδότες. καίτοι τὴν νῆσον οὔτ' ἐκείνους οὔθ' ὑμᾶς ἀφειλόμην,* 5
ἀλλὰ τὸν λῃστὴν Σώστρατον. εἰ μὲν οὖν αὐτοί φατε παραδοῦναι Σωστράτῳ, λῃστὰς ὁμολογεῖτε καταπέμπειν· εἰ δ' ἀκόντων ὑμῶν ἐκεῖνος ἐκράτει, τί δεινὸν πεπόνθατε λαβόντος ἐμοῦ καὶ τὸν τόπον τοῖς πλέουσιν ἀσφαλῆ παρ-
14 *έχοντος; τοσαύτην δέ μου ποιουμένου πρόνοιαν τῆς* 10
ὑμετέρας πόλεως, καὶ διδόντος αὐτῇ τὴν νῆσον, οἱ ῥήτορες λαμβάνειν μὲν οὐκ εἴων, ἀπολαβεῖν δὲ συνεβούλευον, ὅπως ὑπομείνας μὲν τὸ προσταττόμενον τὴν ἀλλοτρίαν ἔχειν ὁμολογῶ, μὴ προέμενος δὲ τὸ χωρίον ὕποπτος γένωμαι τῷ πλήθει. γνοὺς ἐγὼ ταῦτα προὐκα- 15
λούμην κριθῆναι περὶ τούτων πρὸς ὑμᾶς, ἵν' ἐὰν μὲν ἐμὴ γνωσθῇ, παρ' ἐμοῦ δοθῇ τὸ χωρίον ὑμῖν, ἐὰν δ'
15 *ὑμετέρα κριθῇ, τότ' ἀποδῶ τῷ δήμῳ. ταῦτα δ' ἐμοῦ πολλάκις ἀξιοῦντος, ὑμεῖς μὲν οὐ προσείχετε, Πεπαρήθιοι δὲ τὴν νῆσον κατέλαβον. τί οὖν ἐχρῆν με ποιεῖν; οὐ δί-* 20
κην λαβεῖν παρὰ τῶν ὑπερβεβηκότων τοὺς ὅρκους; οὐ τιμωρήσασθαι τοὺς οὕτως ὑπερηφάνως ἀσελγαίνοντας; καὶ γὰρ εἰ Πεπαρηθίων ἦν ἡ νῆσος, τί προσῆκεν ἀπαι-

4 *ἐπεσκέψασθε* Y[2] mg.: *ἐπεσκήψασθε* FY[1] | comma post *τιμωρίαν* posuit Weil | *εἰδότες*] del. Herwerden *ἐξετάζετε* coni. Weil *εἴδετε* Blass; num *ἐλέγχετε*? 5 *καίτοι*] *ὅτι* Felicianus 8 *ἐκράτει* F: *κατεκράτει* Y 13 *προσταττόμενον* Dindorf: *προστασσόμενον* FY 14 *προέμενος* Cobet: *προειμένος* F corr. (*προκειμενος*? F[1]) Y 15 *γνοὺς* ⟨*δ'*⟩ vel ⟨*οὖν*⟩ Reiske 16 *ἡμᾶς* Felicianus | *ἐὰν* G. H. Schaefer: *εἰ* FY 18 *δέμου* Y 21 *ὑπερβεβηκότων* (παρα supra) F *παραβεβηκότων* Y

168 τεῖν Ἀθηναίους; εἰ δ' ὑμε|τέρα, πῶς οὐκ ἐκείνοις ὀργίζεσθε καταλαβοῦσι τὴν ἀλλοτρίαν;

Εἰς τοῦτο δὲ προβεβήκαμεν ἔχθρας, ὥστε βουλόμενος 16 ταῖς ναυσὶν εἰς τὸν Ἑλλήσποντον παραβαλεῖν ἠναγκάσθην
5 αὐτὰς παραπέμψαι διὰ Χερρονήσου τῇ στρατιᾷ, τῶν μὲν κληρούχων κατὰ τὸ Πολυκράτους δόγμα πολεμούντων ἡμῖν, ὑμῶν δὲ τοιαῦτα ψηφιζομένων, τοῦ δὲ στρατηγοῦ Βυζαντίους τε παρακαλοῦντος καὶ διαγγέλλοντος πρὸς ἅπαντας ὅτι πολεμεῖν αὐτῷ προστάττετε, ἂν καιρὸν λάβῃ.
10 τοιαῦτα δὲ πάσχων ὅμως τῆς πόλεως καὶ τῶν τριήρων καὶ τῆς χώρας ἀπεσχόμην, ἱκανὸς ὢν τὰ πλεῖστα λαβεῖν ἢ πάντα, καὶ διατετέλεκα προκαλούμενος ὑμᾶς εἰς κρίσιν ἐλθεῖν ὑπὲρ ὧν αἰτιώμεθ' ἀλλήλους. καίτοι σκοπεῖσθε 17 πότερον κάλλιόν ἐστιν ὅπλοις ἢ λόγοις διακρίνεσθαι, καὶ
15 πότερον αὐτοὺς εἶναι βραβευτὰς ἢ πεῖσαί τινας ἑτέρους· καὶ λογίζεσθ' ὡς ἄλογόν ἐστιν Ἀθηναίους Θασίους μὲν καὶ Μαρωνίτας ἀναγκάσαι περὶ Στρύμης διακριθῆναι λόγοις, αὐτοὺς δὲ πρὸς ἐμὲ μὴ διαλύσασθαι περὶ ὧν ἀμφισβητοῦσι τὸν τρόπον τοῦτον, ἄλλως τε καὶ γιγνώσκοντας
20 ὅτι νικηθέντες μὲν οὐδὲν ἀποβαλεῖτε, κρατήσαντες δὲ λήψεσθε τὰ νῦν ὑφ' ἡμῖν ὄντα.

Πάντων δέ μοι δοκεῖ παραλογώτατον εἶναι, διότι πέμ- 18 ψαντος ἐμοῦ πρέσβεις ἀπὸ τῆς συμμαχίας πάσης, ἵν' ὦσι μάρτυρες, καὶ βουλομένου ποιήσασθαι πρὸς ὑμᾶς δικαίας

1 ὠργίζεσθε Blass 6 Πολυκράτους] α in ras. F 8 διαγγέλλοντος Felicianus: διαγγέλλειν FY 9 πολεμεῖν Felicianus: πόλιν FY | προστάττετε] αττετ in ras. F 10 τῶν πόλεων Blass 12 ὑμᾶς προκαλούμενος Y 13 ἀλλήλοις ut vid. F[1]Y[1] 17 μαρωνίτας (?) F[1] cod. Coisl. ap. Montefalconium Blass: μαρωνείτας F corr. Y cf. ad XVII 23, Meisterhans Gramm. d. Att. Inschr.[3] 64 18 ἀμφισβητοῦμεν apographa nonnulla (non F) 21 λήψεσθαι? F[1]

ὁμολογίας ὑπὲρ τῶν Ἑλλήνων, οὐδὲ τοὺς περὶ τούτων
λόγους ἐδέξασθε παρὰ τῶν πρεσβευόντων, ἐξὸν ὑμῖν ἢ
τῶν κινδύνων ἀπαλλάξαι τοὺς δυσχερὲς ὑποπτεύοντάς
τι καθ' ἡμῶν, ἢ φανερῶς ἐξε|λέγξαι με φαυλότατον ὄντα 164
19 τῶν ἁπάντων. τῷ μὲν οὖν δήμῳ ταῦτα συνέφερεν, τοῖς 5
δὲ λέγουσιν οὐκ ἐλυσιτέλει. φασὶ γὰρ οἱ τῆς πολιτείας
τῆς παρ' ὑμῖν ἔμπειροι τὴν μὲν εἰρήνην πόλεμον αὐτοῖς
Is. V 73 εἶναι, τὸν δὲ πόλεμον εἰρήνην· ἢ γὰρ συναγωνιζομένους
Diod. XVIII 10 τοῖς στρατηγοῖς ἢ συκοφαντοῦντας ἀεί τι λαμβάνειν παρ'
αὐτῶν, ἔτι δὲ τῶν πολιτῶν τοῖς γνωριμωτάτοις καὶ 10
τῶν ἔξωθεν τοῖς ἐνδοξοτάτοις λοιδορουμένους ἐπὶ τοῦ
βήματος περιποιεῖσθαι παρὰ τοῦ πλήθους δόξαν ὡς εἰσὶ
δημοτικοί.

20 Ῥᾴδιον μὲν οὖν ἐστί μοι παῦσαι τῆς βλασφημίας αὐ-
τοὺς μικρὰ πάνυ προεμένῳ, καὶ ποιῆσαι λέγειν ἐπαίνους 15
ὑπὲρ ἡμῶν. ἀλλ' αἰσχυνοίμην ἄν, εἰ τὴν πρὸς ὑμᾶς εὔ-
νοιαν παρὰ τούτων φαινοίμην ὠνούμενος, οἳ πρὸς τοῖς
ἄλλοις εἰς τοῦτο τόλμης ἥκουσιν, ὥστε καὶ περὶ Ἀμφιπό-
λεως πρὸς ἡμᾶς ἀμφισβητεῖν ἐπιχειροῦσιν, ὑπὲρ ἧς τῶν
ἀντιποιουμένων αὐτῆς οἴομαι πολὺ δικαιότερα λέγειν 20
21 αὐτός. εἴτε γὰρ τῶν ἐξ ἀρχῆς κρατησάντων γίγνεται,
πῶς οὐ δικαίως ἡμεῖς αὐτὴν ἔχομεν, Ἀλεξάνδρου τοῦ
προγόνου πρώτου κατασχόντος τὸν τόπον, ὅθεν καὶ τῶν
αἰχμαλώτων Μήδων ἀπαρχὴν ἀνδριάντα χρυσοῦν ἀνέ-
στησεν εἰς Δελφούς; εἴτε τούτων μὲν ἀμφισβητήσειέ τις, 25
ἀξιοῖ δὲ γίγνεσθαι τῶν ὕστερον γενομένων κυρίων, ὑπάρ-

7 ἔμπειροι γρ. O Par. 5: ἔμποροι FY 9 ἀεί τι λαμβάνειν Felicianus: ἀντιλαμβάνειν FY 11 τῶν Palatinus 113: τοῖς FY | ἐνδοξάτοις Y[1] 20 οἴομαι F[1]: οἶμαι F corr. Y 22 ἡμεῖς] η in ras. F 24 post Μήδων duae litt. eras. F μήδων ὧν Y

χει μοι καὶ τοῦτο τὸ δίκαιον· ἐκπολιορκήσας γὰρ τοὺς ὑμᾶς μὲν ἐκβαλόντας, ὑπὸ Λακεδαιμονίων δὲ κατοικισθέντας, ἔλαβον τὸ χωρίον. καίτοι πάντες οἰκοῦμεν τὰς 22 πόλεις ἢ τῶν προγόνων παραδόντων ἢ κατὰ πόλεμον
5 κύριοι καταστάντες. ὑμεῖς δ' οὔτε πρῶτοι λαβόντες οὔτε
165 νῦν ἔχοντες, ἐλάχι|στον δὲ χρόνον ἐν τοῖς τόποις ἐμμείναντες, ἀντιποιεῖσθε τῆς πόλεως, καὶ ταῦτα πίστιν ὑπὲρ ἡμῶν αὐτοὶ βεβαιοτάτην ἐπιθέντες· πολλάκις γὰρ ἐμοῦ γράφοντος ἐν ταῖς ἐπιστολαῖς ὑπὲρ αὐτῆς, ἐγνώκατε δι-
10 καίως ἔχειν ἡμᾶς, τότε μὲν ποιησάμενοι τὴν εἰρήνην ἔχοντος ἐμοῦ τὴν πόλιν, κατα συμμαχίαν ἐπὶ ταῖς αὐταῖς ὁμολογίαις. καίτοι πῶς ἂν ἑτέρα γένοιτο βεβαιοτέρα 23 ταύτης κτῆσις, τῆς τὸ μὲν ἐξ ἀρχῆς καταλειφθείσης Is. VI 30. 32 ἡμῖν ὑπὸ τῶν προγόνων, πάλιν δὲ κατὰ πόλεμον ἐμῆς
15 γεγενημένης, τρίτον δὲ συγχωρηθείσης ὑφ' ὑμῶν τῶν εἰθισμένων ἀμφισβητεῖν καὶ τῶν οὐδὲν ὑμῖν προσηκόντων;

Ἃ μὲν οὖν ἐγκαλῶ, ταῦτ' ἐστίν· ὡς δὲ προϋπαρχόντων καὶ διὰ τὴν ἐμὴν εὐλάβειαν μᾶλλον ἤδη τοῖς
20 πράγμασιν ἐπιτιθεμένων καὶ καθ' ὅσον ἂν δύνησθε

7 ἀντιποιεῖσθε Vind. 2: ἀντεποιεῖσθε FY 9 ἐγνώκατε Felicianus: ἐγνωκότες FY ἐγνωκότες ⟨φαίνεσθε⟩ Cobet; servato ἐγνωκότες v. 10 post ἡμᾶς lacunam indicavit Weil 11 κατα γρ. Index Lambini: κατὰ FY 16 οὐδὲν Ald.: οὐθὲν FY quod tum iam in usu erat, cf. Meisterhans § 90, 5 19 post ὑπαρχόντων inserendum videtur ὑμῶν, cf. Did. col. X 24 sqq. (v. etiam Crönert, Gött. gel. Anz. 1907, 268) προυπαρχόντων οὖν ὑμῶν καὶ διὰ τὴν ἐμὴν εὐλάβειαν μᾶλλον ἐπικειμένων καὶ διὰ τέλους ὡς μάλιστα δύνασθε πραγματευομένων ὅπως [.] λ [.] ιτ . . ἐμὲ πολ . . . . . ν πρότερον ὑμ (des. 19 litt.) [μετὰ] τοῦ δικαίου ἀμ[υνοῦμαι πάσῃ δυνάμει] ἀντιπαραταττόμενος, quae tamen verba non ex hac epistula sumpta esse docuit Laqueur (Herm. XLVI p. 333)

κακοποιούντων, ὑμᾶς ἀμυνοῦμαι μετὰ τοῦ δικαίου, καὶ μάρτυρας τοὺς θεοὺς ποιησάμενος διαλήψομαι περὶ τῶν καθ' ὑμᾶς.

1 *κακὸν ποιούντων* Y | „ad participia addet lector attentus tacita cogitatione *ὑμῶν*" Reiske | *ὑμῶν, ἀμυνοῦμαι* Cobet

In FY subscriptum

ἘΠΙΣΤΟΛῊ ΦΙΛΊΠΠΟΥ

in F add. Δ (i. e. *διώρθωται*)

ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΙ

XIII

ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ

ΥΠΟΘΕΣΙΣ

Ὁ λόγος οὗτος οὐκέτι Φιλιππικός ἐστιν, ἀλλ' ἁπλῶς συμβουλευτικός. ἐκκλησίαν γὰρ ἀγόντων τῶν Ἀθηναίων περὶ τῶν 166 θεωρικῶν χρημάτων, | παρελθὼν ὁ Δημοσθένης πείθει συνταχθῆναί τ' αὐτοὺς καὶ τὸ ἀρχαῖον ἀναλαβεῖν ἀξίωμα στρατευο- 5 μένους καὶ τῶν Ἑλλήνων προκινδυνεύοντας, καὶ συγκρίνει τὰ νῦν τοῖς ἐπὶ τῶν προγόνων, πολὺ φαυλότερα καὶ ταπεινότερα τῶν παλαιῶν δεικνύς.

Περὶ μὲν τοῦ παρόντος ἀργυρίου καὶ ὧν ἐκκλησίαν ποιεῖσθ' ὦ ἄνδρες Ἀθηναῖοι οὐδέτερόν μοι δοκεῖ τῶν 10 χαλεπῶν εἶναι, οὔτ' ἐπιτιμήσαντα τοῖς νέμουσιν καὶ διδοῦσιν τὰ κοινὰ εὐδοκιμῆσαι παρὰ τοῖς βλάπτεσθαι διὰ τούτων ἡγουμένοις τὴν πόλιν, οὔτε συνειπόντα καὶ παραινέσανθ' ὡς δεῖ λαμβάνειν χαρίσασθαι τοῖς σφόδρ'

Tit. *Συμβ.* om. S[1], superscr. Δ F
2 *γὰρ*] *δὲ* F 3 *πείθει παρελθὼν ὁ δημοσθένης* Y 4 *τ'* om. F 5 *ἑλληνικῶν* Y[1] 7 *τὰ παρὰ τῶν παλαιῶν* Y[1] 8 *ὧν* S[1] Did.: *ὧν ἕνεκα* S rec. et S[d]FAY | *ἐκκλησίαν αὐτοὶ* A mg. pr. m. 9 *ποιεῖσθε γρ.* S[d]: *ποιεῖτε* SFAY Did. 10sq. *τὰ κοινὰ καὶ διδοῦσιν* A 12sq. *καὶ παραινέσαντα ὡς δεῖ λαμβάνειν* del. Cobet

ἐν χρείᾳ τοῦ λαβεῖν οὖσιν· οὐδέτεροι γὰρ πρὸς τὸ τῇ
πόλει συμφέρον σκοποῦντες οὔτ' ἐπαινοῦσιν οὔτε δυσ-
χεραίνουσι τὸ πρᾶγμα, ἀλλ' ὡς ἑκάτεροι χρείας καὶ περι-
2 ουσίας ἔχουσιν. ἐγὼ δὲ τοῦτο μὲν οὔτ' ἂν εἰσηγησαίμην,
οὔτ' ἂν ἀντείποιμ' ὡς οὐ δεῖ λαμβάνειν· παραινῶ μέν- 5
τοι σκοπεῖν καὶ λογίζεσθαι πρὸς ὑμᾶς αὐτοὺς ὅτι τὸ ἀρ-
γύριον μέν ἐστι τοῦθ', ὑπὲρ οὗ βουλεύεσθε, μικρόν, τὸ
δ' ἔθος μέγα, ὃ γίγνεται μετὰ τούτου. εἰ μὲν οὖν μετὰ
τοῦ πράττειν ἃ προσήκει καὶ τὸ λαμβάνειν κατασκευά-
σεσθε, οὐ μόνον οὐ βλάψετε, ἀλλὰ καὶ τὰ μέγιστ' ὠφε- 10
λήσετε τὴν πόλιν καὶ ὑμᾶς αὐτούς· εἰ δὲ τοῦ μὲν λαμ-
βάνειν καὶ ἑορτὴ καὶ πᾶσ' ἀρ|κέσει πρόφασις, τοῦ δ' ἃ 167
πρὸς τούτοις δεῖ ποιεῖν μηδὲ τοὺς λόγους ἀκούειν ἐθε-
λήσετε, ὁρᾶτε μή ποθ', ἃ νῦν ὀρθῶς ἡγεῖσθε πράττειν,
3 σφόδρ' ἡμαρτηκέναι νομίσητε. ἐγὼ δέ φημι δεῖν (καί 15
μοι μὴ θορυβήσητ' ἐφ' ᾧ μέλλω λέγειν, ἀλλ' ἀκούσαντες
κρίνατε), ὡς περὶ τοῦ λαβεῖν ἐκκλησίαν ἀπεδώκαμεν,
οὕτω καὶ περὶ τοῦ συνταχθῆναι καὶ παρασκευασθῆναι
τὰ πρὸς τὸν πόλεμον ἐκκλησίαν ἀποδοῦναι, καὶ παρα-
σχεῖν ἕκαστον αὑτὸν μὴ μόνον ταῦτ' ἀκούειν ἐθέλοντα, 20
ἀλλὰ καὶ πράττειν βουλόμενον, ἵν' ὦ ἄνδρες Ἀθηναῖοι
III 35 τῶν ἀγαθῶν τὰς ἐλπίδας δι' ὑμῶν αὐτῶν ἔχητε, καὶ μὴ
4 τὸν δεῖνα μηδὲ τὸν δεῖνα πυνθάνησθε τί πράττει. καὶ
τὰ μὲν προσιόντα τῇ πόλει πάντα, καὶ ἃ νῦν ἐκ τῶν

1 πρὸς del. Cobet 3 sq. καίπερ ουσιας S[1] παρουσίας legisse vid. Harpocr. s. v. 4 οὐδ' ανεισηγησαιμην S 5 ἂν om. FAY[1] (habet γρ. Y[2]) | μέντοι] τοι s. v. S 7 ὑπὲρ S: περὶ FAY | βουλευσεσθε S[1] 9 κατασκευάσαισθε A 10 οὐδὲν βλάπεσθε A 12 ἀρκέσηι ut vid. S[1] 17 ὡς περὶ τοῦ G. H. Schaefer: ὥσπερ τοῦ S ὥσπερ τῶι FAY 18 καὶ ante περὶ om. AY (habet γρ. Y[3]) 20 ἑαυτὸν A αὑτῶν Y[1] 23 πυνθάνησθε] η in ras. F 24 προσιόντα γρ. S[d]FAY: προσόντα S[1] γρ. Y[3] | ἃ in ras. A

ἰδίων παραναλίσκετ' εἰς οὐδὲν δέον καὶ ὅσ' ἐκ τῶν
συμμάχων ὑπάρχει, λαμβάνειν ὑμᾶς φημὶ χρῆναι τὸ ἴσον III 34
ἕκαστον, τοὺς μὲν ἐν ἡλικίᾳ στρατιωτικόν, τοὺς δ' ὑπὲρ
τὸν κατάλογον ἐξεταστικὸν ἢ ὅπως ἄν τις ὀνομάσαι τοῦτο,
5 στρατεύεσθαι δ' αὐτοὺς καὶ μηδενὶ τούτου παραχωρεῖν,
ἀλλὰ τὴν δύναμιν τῆς πόλεως οἰκείαν εἶναι, κατεσκευ- 5
ασμένην ἀπὸ τούτων, ἵν' εὐπορῆτε καὶ τὰ δέοντα ποιῆτε,
καὶ τὸν στρατηγὸν ἡγεῖσθαι ταύτης, ἵν' ὑμῖν ὦ ἄνδρες IV 39
Ἀθηναῖοι μὴ τοιαῦθ' οἷάπερ νυνὶ συμβαίνῃ (τοὺς στρα- II 29
10 τηγοὺς κρίνετε, καὶ περίεσθ' ὑμῖν ἐκ τῶν πραγμάτων
„ὁ δεῖνα τοῦ δεῖνος τὸν δεῖν' εἰσήγγειλεν", ἄλλο δ'
οὐδέν), ἀλλὰ τί ὑμῖν γένηται; πρῶτον μὲν οἱ σύμμαχοι 6
μὴ φρουραῖς, ἀλλὰ τῷ ταὐτὰ συμφέρειν ὑμῖν κἀκείνοις XVIII 85
ὦσιν οἰκεῖοι, ἔπειθ' οἱ στρατηγοὶ μὴ ξένους ἔχοντες τοὺς
15 μὲν συμμάχους ἄγωσι καὶ φέρωσι, τοὺς δὲ πολεμίους | LI 13
168 μηδ' ὁρῶσιν, ἀφ' ὧν αἱ μὲν ὠφέλειαι τούτων εἰσὶν ἴδιαι,
τὰ δὲ μίση καὶ τὰ ἐγκλήματ' ἐφ' ὅλην ἔρχεται τὴν πόλιν,
ἀλλὰ πολίτας τοὺς ἀκολουθοῦντας ἔχοντες τοὺς ἐχθρούς,
ἃ νῦν τοὺς φίλους, ποιῶσιν. χωρὶς δὲ τούτων πολλὰ 7
20 τῶν πραγμάτων τὴν ὑμετέραν ποθεῖ παρουσίαν, καὶ ἄνευ
τοῦ πρὸς τοὺς οἰκείους πολέμους οἰκείᾳ χρῆσθαι δυνά-
μει συμφέρειν, καὶ πρὸς τἄλλα πράγματ' ἀναγκαῖόν ἐστιν.

1 παραναλίσκετε S (παρ videtur a pr. m. postea additum) AY[3] mg.: προσαναλίσκετε FY[1] 5 μηδεν S[1] 6 καὶ κατεσκευασμένην FY (καὶ om. Y[3] mg.) 7 ἅμα τ' εὐπορῆτε γρ. S[d] γρ. F de τε v. XXIII 126 8 ἡγεῖσθε? F[1] 9 τοιαῦτα οἷάπερ SA: ταῦτα ἅπερ FY δή (δ corr. ex μ? ead. m.) τοιαῦτα οἷαπερ γρ. F | νῦν A | συμβαίνει F 13 ταῦτα A | ὑμῖν τε FAY 14 sq. τοὺς μὲν συμμάχους om. Y add. Y[2] mg. 16 ὠφελίαι Y[1] 19 συμμάχους καὶ φίλους FY cf. IX 11 20 καὶ ἄνευ SA: ἄνευ γὰρ FY 21 οἰκείους del. Cobet | πολέμους H. Wolf: πολέμου SFAY | οἰκείᾳ χρῆσθαι om. S[1] (add. in mg. m. ant.) 22 συμφέρειν Vind. 4: συμφέρει SFAY | πράγματα] τα s. v. F

εἰ μὲν γὰρ ἡσυχίαν ἔχειν ὑμῖν ἀπέχρη καὶ μηδὲν τῶν
Ἑλληνικῶν περιηργάζεσθ' ὅπως ἔχει, ἄλλος ἂν ἦν λόγος·
8 νῦν δὲ πρωτεύειν μὲν ὑμεῖς ἀξιοῦτε καὶ τὰ δίκαι' ὁρί-
ζειν τοῖς ἄλλοις, τὴν δὲ ταῦτ' ἐφοδεύσουσαν καὶ φυλά-
ξουσαν δύναμιν οὔτε κατεσκευάσθ' οὔτε κατασκευάζεσθε, 5
ἀλλ' ἐπὶ πολλῆς μὲν ἡσυχίας καὶ ἐρημίας ὑμῶν ὁ Μυ-
τιληναίων δῆμος καταλέλυται, ἐπὶ πολλῆς δ' ἡσυχίας ὁ
Ῥοδίων, ἐχθρός γ' ὢν ἡμῖν, φαίη τις ἄν· ἀλλὰ μείζω
XV 17 χρὴ νομίζειν ὦ ἄνδρες Ἀθηναῖοι τὴν πρὸς τὰς ὀλιγαρ-
χίας ὑπὲρ αὐτῆς τῆς προαιρέσεως ἔχθραν ἢ τὴν πρὸς 10
9 τοὺς δήμους ὑπὲρ ὧν ποτ' ἂν ᾖ. ἀλλ' ἵν' ἐκεῖσ' ἐπαν-
III 35 έλθω, φημὶ δεῖν ὑμᾶς συντετάχθαι, καὶ τὴν αὐτὴν τοῦ
I 20 τε λαβεῖν καὶ τοῦ ποιεῖν ἃ προσήκει σύνταξιν εἶναι.
διελέχθην δ' ὑμῖν περὶ τούτων καὶ πρότερον, καὶ διεξ-
ῆλθον ὡς ἂν συνταχθείητε, οἵ θ' ὁπλῖται καὶ οἱ ἱππεῖς 15
καὶ ὅσοι τούτων ἐκτός ἐστε, καὶ εὐπορία τις ἂν ἅπασι
10 γένοιτο κοινή. ὃ δέ μοι πλείστην ἀθυμίαν παρέσχεν
VI 31 ἁπάντων, ἐρῶ πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι, ὅτι πολ-

1 ἡμῖν S[1] | ὑμῖν ἔχειν A | ἀπέχρηι S[1] 2 περιειργάζεσθε Did. (coni. Blass coll. IV 42): περιεργάζεσθαι SFAY | ὅπως ἔχει del. Cobet | ἔχηι F[1]A | λόγος FY Did.: ὁ λόγος S λόγος οὗτος A cf. IX 16 3 ὑμεῖς S γρ. F: om. F[1]AY μὲν ὑμεῖς om. Did. | ἀξιοῦται A[1] 4 ἐφοδεύσουσαν γρ. Y[2] (Reiske) Cobet: ἐφοδευουσαν S[1] (ut videtur) et A corr. pr. m. (quid A[1] habuerit incertum; fuit ἐφ, non puto οδ propter lacunae spatium) ἐφεδρεύουσαν S corr. ἐφεδρεύσουσαν γρ. F ἐφορεύσουσαν Weil ἐποπτεύουσαν γρ. S
π ρ
ἐποπτεύσουσαν FY ἐφο . . . . ουσαν Did. | φυλάξασαν A 5 κατα-σκευάζεσθε F παρασκευάζεσθε γρ. S[d] κατεσκευάζεσθε A οὐδὲ κατεσκεύασθε om. verbis οὔτε κατασκευάζεσθε Did. 6 ἐρημίας SF[1]A γρ. Y[3]: ἠρεμίας γρ. FY 7 καταλέλυται] λυται in ras. F 8 ὢν ἡμῖν] γ' ἡμῶν γρ. S[d] γρ. F 12 ἡμᾶς FY 17 κοινηι S[1] κοινῆι γένοιτο A 17 sq. ἁπάντων παρέσχηκεν FY

λῶν καὶ μεγάλων καὶ καλῶν ὄντων τούτων ἁπάντων,
169 τῶν μὲν ἄλλων | οὐδενὸς οὐδεὶς μέμνηται, τοῖν δυοῖν
δ' ὀβολοῖν ἅπαντες. καίτοι τοὺς μὲν οὐκ ἔστι πλεί-
ονος ἢ δυοῖν ὀβολοῖν ἀξίους εἶναι, τἄλλα δὲ μετὰ
5 τούτων ὧν εἶπον τῶν βασιλέως ἄξι' ἐστὶ χρημάτων,
πόλιν τοσούτους ὁπλίτας ἔχουσαν καὶ τριήρεις καὶ ἵπ-
πους καὶ χρημάτων πρόσοδον συντετάχθαι καὶ παρε-
σκευάσθαι.

Τί οὖν ταῦτα νῦν [, φαίη τις ἄν,] λέγω; ὅτι φημὶ δεῖν 11
10 ὑμᾶς, ἐπειδὴ τὸ μὲν πάντας μισθοφορεῖν δυσχεραίνουσί I 14
τινες, τὸ δὲ συνταχθῆναι καὶ παρασκευασθῆναι παρὰ
πάντων χρήσιμον εἶναι δοκιμάζεται, ἐντεῦθεν ἄρξασθαι
τοῦ πράγματος, καὶ προθεῖναι περὶ τούτων τῷ βουλομένῳ
γνώμην ἀποφήνασθαι. ὡς οὕτως ἔχει· ἂν μὲν ὑμεῖς νῦν
15 πεισθῆτε τούτων καιρὸν εἶναι, ὅταν αὐτῶν εἰς χρείαν
ἔλθητε, ἕτοιμ' ὑπάρξει· ἂν δ' ἀκαιρίαν ἡγησάμενοι παρί-
δητε, ὅταν δέῃ χρῆσθαι, τότ' ἀναγκασθήσεσθε παρα-
σκευάζεσθαι.

Ἤδη δέ τις εἶπεν ὦ ἄνδρες Ἀθηναῖοί που λέγων, οὐχ 12
20 ὑμῶν τῶν πολλῶν, ἀλλὰ τῶν διαρρηγνυμένων εἰ ταῦτα XVIII 51

1 καλῶν καὶ μεγάλων FY | τούτων ἁπάντων] ὧν συμβουλεύω schol. p. 220, 18 4 τἄλλα δὲ S γρ. F: τὰ δὲ ἄλλα FAY | μετὰ S γρ. FAY corr.: ἃ μετὰ FY^1 5 τῶν S γρ. FA: om. F^{1}Y | ἔστ' ἄξια A 6 πόλιν] πολ ex τοσο corr. S^1 | ἱππέας S corr. rec. A cf. X 19 7 παρασκευασθαι S^{1}Y cf. ad X 49 9 φαίη τις ἂν post οὖν FY del. Cobet 10 ὑμᾶς αὐτοὺς A | ἅπαντας FAY | μισθο in ras. S 12 δοκιμάζετε SAY 13 καὶ postea add. vid. S τούτου A 14 οὕτως] ω in ras. A sed ω a principio fuisse videtur 14 ἐὰν ... 16 ἐὰν FAY 15 εἶναι νομίσαντες FA^3 mg. Y | εἰς χρείαν αὐτῶν FY 15 sq. ἐν χρείαι καταστῆτε A 16 ὑπάρχει A | παρείδητε A^1 17 δέοι A 20 διαρηγνυμένων S cf. Meisterhans § 34, 5 d | ⟨ἂν⟩ εἰ Nitsche

VIII 73 γενήσεται· „τί δ' ἡμῖν ἀπὸ τῶν Δημοσθένους λόγων
XVIII 308 ἀγαθὸν γέγονεν; παρελθὼν ἡμῶν, ὁπόταν αὐτῷ δόξῃ,
ἐνέπλησε τὰ ὦτα λόγων, καὶ διέσυρε τὰ παρόντα, καὶ
τοὺς προγόνους ἐπῄνεσεν, καὶ μετεωρίσας καὶ φυσήσας
13 ἡμᾶς κατέβη.“ ἐγὼ δ' εἰ μὲν ὑμᾶς δυναίμην ὧν λέγω τι 5
πεῖσαι, τηλικαῦτ' ἂν οἶμαι τὴν πόλιν πρᾶξαι ἀγαθά, ὥστ',
εἰ νῦν εἰπεῖν ἐπιχειρήσαιμι, πολλοὺς ἂν ἀπιστῆσαι ὡς
μείζοσιν ἢ δυνατοῖς· οὐ μὴν οὐδὲ τοῦτο μικρὸν ὠφελεῖν
οἶμαι, εἰ τὰ βέλτιστ' ἀκούειν ὑμᾶς συνεθίζω. δεῖ γὰρ
ὦ ἄνδρες Ἀθηναῖοι τὸν βου|λόμενόν τι ποιῆσαι τὴν πό- 170
λιν ἡμῶν ἀγαθὸν τὰ ὦτα πρῶτον ὑμῶν ἰάσασθαι· δι- 11
έφθαρται γάρ· οὕτω πολλὰ καὶ ψευδῆ καὶ πάντα μᾶλλον
14 ἢ τὰ βέλτιστ' ἀκούειν συνειθισθε. οἷον (ὅπως δὲ μὴ
θορυβήσει μοι μηδείς, πρὶν ἂν ἅπαντ' εἴπω) ἀνέῳξαν
δήπου πρῴην τινὲς τὸν ὀπισθόδομον. οὐκοῦν οἱ παρ- 15
ιόντες ἅπαντες τὸν δῆμον καταλελύσθαι, τοὺς νόμους
οὐκέτ' εἶναι, τοιαῦτ' ἔλεγον. καίτοι ὦ ἄνδρες Ἀθηναῖοι
(καὶ σκοπεῖτ' ἂν ἀληθῆ λέγω) οἱ μὲν ταῦτα ποιοῦντες
ἄξι' ἐποίουν θανάτου, ὁ δῆμος δ' οὐ διὰ τούτων κατα-
λύεται. πάλιν κώπας τις ὑφείλετο· μαστιγοῦν, στρε- 20
βλοῦν πάντες οἱ λέγοντες, τὸν δῆμον καταλύεσθαι. ἐγὼ

1 ὑμῖν A 2 ὃς ante παρελθὼν add. S^d s. v. γρ. F γρ. Y^3 | ἡμῶν S^{1}FA^3 mg. Y: ὑμῶν S rec. s. v. om. A^1 | ὁπόταν S γρ. Y^3: ὅταν FY ἤδη ὁπόταν A | αὐτῷ] αντῶι A^1 4 ἐπαινέσας FY | μετεωρίσας] μετεωρήσας A^1 ἐπάρας Blass coll. Lib. IV 292, 28, Dione Cass. XLVI p. 298 E, [Dem.] LIX 38 5 τι om. S^1 add. ead. 7 νῦν εἰπεῖν SA: λέγειν νῦν FY 13 συνείθισθε] συνεισθε S^1 εἴθισθε S^d mg. | δὲ om. S^1 add. S^d 14 θορυβήσει S: θορυβήσηι FAY | ἂν om. FY^1 15 δήπου πρῴην τινὲς SA Harpocr. s. ὀπισθόδομος: τινες πρώιην δήπου FY 17 οὐκέτ'] οὐκ SA 18 καὶ om. A | ἐὰν A 21 πάντες om. A^1 add. A^2 mg. | ἐβόων post πάντες add. FAY | οἱ SA: om. FY | καταλύεσθαι τὸν δῆμον FY

δὲ τί φημί; τὸν μὲν ὑφαιρούμενον θανάτου ποιεῖν ἄξια,
ὥσπερ ἐκεῖνοι, τὸν δῆμον δ' οὐ διὰ τούτων καταλύεσθαι.
ἀλλὰ πῶς καταλύεται, οὐδεὶς λέγει οὐδὲ παρρησιάζεται. 15
ἐγὼ δὲ φράσω· ὅταν ὑμεῖς ὦ ἄνδρες Ἀθηναῖοι φαύλως
5 ἡγμένοι, πολλοὶ καὶ ἄποροι καὶ ἄοπλοι καὶ ἀσύντακτοι
καὶ μὴ ταὐτὰ γιγνώσκοντες ἦτε, καὶ μήτε στρατηγὸς μήτ'
ἄλλος μηδεὶς ὧν ἂν ὑμεῖς ψηφίσησθε φροντίζῃ, καὶ ταῦτα
μηδεὶς λέγειν ἐθέλῃ μηδ' ἐπανορθοῖ, μηδ' ὅπως παύ-
σεται τοιαῦτ' ὄντα πράττῃ, ὃ νῦν ἀεὶ συμβαίνει. καὶ νὴ 16
10 Δί' ὦ ἄνδρες Ἀθηναῖοι ἕτεροί γε λόγοι παρερρυήκασι
πρὸς ὑμᾶς ψευδεῖς καὶ πολλὰ τὴν πολιτείαν βλάπτοντες,
οἷον „ἐν τοῖς δικαστηρίοις ὑμῖν ἐστιν ἡ σωτηρία", καὶ
„δεῖ τῇ ψήφῳ τὴν πολιτείαν ὑμᾶς φυλάττειν". ἐγὼ δ' Lyc. c. Leocr. 4
οἶδ' ὅτι ταῦτα μὲν ὑμῖν τὰ δικαστήρια τῶν πρὸς ἀλλή-
171 λους | δικαίων ἐστὶν κύρια, ἐν δὲ τοῖς ὅπλοις δεῖ κρατεῖν
15 τῶν ἐχθρῶν, καὶ διὰ τούτων ἐστὶν ἡ σωτηρία τῆς πολι-
τείας. οὐ γὰρ τὸ ψηφίσασθαι τοῖς ἐν τοῖς ὅπλοις ποιήσει 17
τὸ νικᾶν, ἀλλ' οἱ μετὰ τούτων κρατοῦντες τοὺς ἐχθροὺς
καὶ ψηφίζεσθαι καὶ ἄλλ' ὅ τι ἂν βούλησθε ποιεῖν ὑμῖν
20 ἐξουσίαν καὶ ἄδειαν παρασκευάσουσιν· δεῖ γὰρ ἐν μὲν VIII 33
τοῖς ὅπλοις φοβερούς, ἐν δὲ τοῖς δικαστηρίοις φιλανθρώ-
πους εἶναι.

1 ὑφαιρούμενόν τι A 5 ⟨οἱ⟩ πολλοὶ Dobree 6 καὶ ante μὴ om. Y^{1} add. γρ. Y^{3} | ταῦτα A 8 post μηδεὶς ras. 3 litt. Y | ἐπανορθοῖ SFA: ἐπανορθοῦν F mg. Y | μηδ' ὅπως] μηδεπως S | παυσετε S παύσηται A 9 πράττει S | νῦν ἀεὶ S: νυνὶ FAY | νὴ δία γε S 10 γε post ἕτεροί om. A 13 δεῖ] ει in ras. F 14 τὰ δικαστήρια ἡμῖν A τὰ δικαστήρια suspectat Weil 15 κύρια Madvig: κοινὰ SFAY 17 τοῖς ἐν SA γρ. Y^{2}: τοὺς ἐν FY^{1} 18 τὸ $SF^{1}A$ γρ. Y^{2}: om. F corr. Y^{1} 19 ψηφίσασθαι FY | ἂν βούλησθε S: βούλεσθε FAY | ὑμῖν SA γρ. Y^{3}: ὑμᾶς FY 20 παρασκευάσουσιν SA γρ. Y^{3}: παρασκευάζουσιν FY^{1}

18 *Εἰ δέ τῳ δοκῶ μείζους ἢ κατ' ἐμαυτὸν λέγειν λόγους, αὐτὸ τοῦτ' ὀρθῶς αὐτῶν ἔχει· τὸν γὰρ ὑπὲρ τηλικαύτης πόλεως ῥηθησόμενον λόγον καὶ τοιούτων πραγμάτων παντὸς ἑνὸς τοῦ λέγοντος ἀεὶ μείζω φαίνεσθαι δεῖ, καὶ τῆς ἀξίας τῆς ὑμετέρας ἐγγὺς εἶναι, μὴ τῆς τοῦ λέγοντος.* 5 *ὅτι δ' οὐδεὶς τῶν ὑφ' ὑμῶν τιμωμένων ταῦτα λέγει, τὰς*

19 *προφάσεις ἐγὼ διέξειμ' ὑμῖν. οἱ μὲν πρὸς ἀρχαιρεσίας καὶ ταύτην τὴν τάξιν προσιόντες δοῦλοι τῆς ἐπὶ τῷ χειροτονεῖσθαι χάριτος περιέρχονται, τελεσθῆναι στρατηγὸς ἕκαστος σπουδάζων, οὐκ ἀνδρὸς ἔργον οὐδὲν πρᾶξαι.* 10 *εἰ δέ τις καὶ τοιοῦτός ἐστιν οἷος ἐγχειρεῖν ἔργῳ τῳ, νῦν μὲν ἡγεῖται τὴν τῆς πόλεως δόξαν ἀφορμὴν ἔχων καὶ* IV 49 *τοὔνομα, τῆς τῶν ἐναντιωσομένων ἐρημίας ἀπολαύων, τὰς ἐλπίδας ὑμῖν ὑποτείνων, ἄλλο δ' οὐδὲ ἕν, κληρονο-* XXIII 210 *μήσειν αὐτὸς τῶν ὑμετέρων ἀγαθῶν, ὅπερ ἐστίν, ἂν δ'* 15 *ὑμεῖς δι' ὑμῶν αὐτῶν ἕκαστα πράττητε, ἴσον τοῖς ἄλλοις ὥσπερ τῶν ἔργων αὐτῶν, οὕτω καὶ τῶν ἐκ τούτων ἕξειν.*

20 *οἱ δὲ πολιτευόμενοι καὶ περὶ ταῦτ' ὄντες, τὸ τὰ βέλτιστα σκοπεῖν ὑμῖν ἀφέντες, προσκεχωρή|κασι πρὸς τούτους·* 172 II 29 *καὶ πρότερον μὲν κατὰ συμμορίας εἰσεφέρετε, νυνὶ δὲ* 20 *πολιτεύεσθε κατὰ συμμορίας. ῥήτωρ ἡγεμὼν καὶ στρα-*

2 *αὐτῶν ἔχει* S: *ἔχειν* (*ἔχει* F[1]) *αὐτῶι δοκῶ* FY *ἔχει* A[1] *δοκῶ* post *αὐτὸ* ponit A[3] 4 *ἑνὸς*] *ἐντὸς* A | *αἰεὶ* Y 6 *ταῦτα* H. Wolf: *ταύτας* SFAY 7 *διεξίειμι* S | *αρχερεσίας* SA[1] corr. A[3] *ἀρχαιρεσίαν* (s suprascr.) F 8 *τῷ*] *τὸ* FAY 9 *τελεσθῆναι*] prooem. 55, 3 contulit Weil, Liban. in Herm. 1874, p. 39, 18 Nitsche 14 *δ'* post *τὰς* add. A rec. | *ὑποτίνων* SF[1] corr. ead. *ἀποτίνων* A[1] *ἀποτείνων* A[3] | *ουδεεν* S: *οὐδὲν* FAY 16 *ἴσον* S cf. Isocr. XII 179. XVIII 23: *τὸ ἴσον* FAY 17 *αὐτῶν* S γρ. FA: om. FY | *οὕτως* FY | *τῶν ἐκ* SF rec. AY: *τοῖς ἐκ* F[1] 19 *σκοπεῖν* S γρ. FA: *λέγειν* F[1]Y 20 *νῦν* FAY

τηγὸς ὑπὸ τούτῳ καὶ οἱ βοησόμενοι μεθ' ἑκατέρων· οἱ δ' ἄλλοι προσνενέμησθε οἱ μὲν ὡς τούτους, οἱ δ' ὡς ἐκείνους. τοιγαροῦν ὑμῖν περίεστιν ἐκ τούτων ὁ δεῖνα χαλκοῦς καὶ ὁ δεῖν' εὐδαίμων, εἷς ἢ δύο, ὑπὲρ τὴν πόλιν· Prooem. LV 2
5 οἱ δ' ἄλλοι μάρτυρες τῆς τούτων εὐδαιμονίας κάθησθε, XXIII 210
τῆς καθ' ἡμέραν ῥᾳθυμίας πολλὴν καὶ μεγάλην ὑπάρχουσαν ὑμῖν εὐδαιμονίαν τούτοις προϊέμενοι.

Καίτοι σκέψασθε πῶς ἐπὶ τῶν προγόνων ταῦτ' εἶχεν· 21
οὐ γὰρ ἀλλοτρίοις ὑμῖν παραδείγμασιν χρησαμένοις, ἀλλ' III 23
10 οἰκείοις ἔξεσθ' ἃ προσήκει πράττειν εἰδέναι. ἐκεῖνοι Θεμιστοκλέα τὸν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν στρατη- XXIII 196
γοῦντα καὶ Μιλτιάδην τὸν ἡγούμενον Μαραθῶνι καὶ πολλοὺς ἄλλους, οὐκ ἴσα τοῖς νῦν στρατηγοῖς ἀγάθ' εἰργασμένους, μὰ Δί' οὐ χαλκοῦς ἵστασαν, ἀλλ' ὡς οὐ- XXIII 197
15 δὲν αὐτῶν κρείττους ὄντας, οὕτως ἐτίμων. καὶ γάρ τοι 22
τῶν ἔργων οὐδενὸς ὦ ἄνδρες Ἀθηναῖοι τῶν τότ' ἀπε- XXIII 198
στέρησαν αὐτούς, οὐδ' ἔστ' οὐδεὶς ὅστις ἂν εἴποι τὴν ἐν Σαλαμῖνι ναυμαχίαν Θεμιστοκλέους, ἀλλ' Ἀθηναίων, οὐδὲ τὴν [ἐν] Μαραθῶνι μάχην Μιλτιάδου, ἀλλὰ τῆς
20 πόλεως. νῦν δὲ πολλοὶ τοῦτο λέγουσιν, ὡς Κέρκυραν εἷλε Τιμόθεος καὶ τὴν μόραν κατέκοψεν Ἰφικράτης καὶ τὴν περὶ Νάξον ναυμαχίαν ἐνίκα Χαβρίας· δοκεῖτε γὰρ

1 τριακόσιοι post ἑκατέρων add. FA[1] (?) s. v. Y ex II 29 7 προϊέμενοι SA: προέμενοι FY 8 πῶς SAY corr.: ὅπως FY[1] 10 ἐξέσται A 11 στρατηγοῦντα SA γρ. Y[2]: στρατηγήσαντα FY[1] (νικήσαντα XXIII 196) 12 ἐν μαραθῶνι FY[1] (ἐν punctis del. Y corr.) 14 εἰργασαμένους F[1] | οὐ μὰ δί' οὐ A | χαλκοῦς] λκ in ras. F rec. | οὐδ' ὑπερηγάπων post ἵστασαν add. FA[3] mg. Y ex XXIII 196 15 οὕτως om. FY[1] add. Y[3] 16 sq. ἀπέστησαν αὐτοῖ· Cobet 17 ἑαυτοὺς FAY[1] 19 ἐν del. Cobet, cf. § 21. XIV 30 XXIII 198 20 οἱ πολλοὶ FY[1] | τοῦτο πολλοὶ A[1] 22 ἐνίκα ναυμαχίαν FY ex XXIII 198

αὐτοὶ τῶν ἔργων τούτων παραχωρεῖν τῶν τιμῶν ταῖς
23 *ὑπερβολαῖς αἷς δεδώκατ' ἐπ' αὐτοῖς ἑ|κάστῳ τούτων. τὰς* **173**
XXIII 199 *μὲν δὴ πολιτικὰς δωρεὰς οὕτως ἐκεῖνοί τε καλῶς καὶ*
ὑμεῖς οὐκ ὀρθῶς· τὰς δὲ τῶν ξένων πῶς; ἐκεῖνοι Μέ-
νωνι τῷ Φαρσαλίῳ δώδεκα μὲν τάλαντ' ἀργυρίου δόντι 5
πρὸς τὸν ἐπ' Ἠιόνι τῇ πρὸς Ἀμφιπόλει πόλεμον, διακο-
σίοις δ' ἱππεῦσιν πενέσταις ἰδίοις βοηθήσαντι, οὐκ ἐψη-
24 *φίσαντο πολιτείαν, ἀλλ' ἀτέλειαν ἔδωκαν μόνον. καὶ*
XXIII 200 *πρότερον τούτου Περδίκκᾳ τῷ κατὰ τὴν τοῦ βαρβάρου*
ποτ' ἐπιστρατείαν βασιλεύοντι Μακεδονίας, τοὺς ἀνα- 10
χωροῦντας ἐκ Πλαταιῶν τῶν βαρβάρων ἀπὸ τῆς ἥττης
διαφθείραντι καὶ τέλειον τἀτύχημα ποιήσαντι τῷ βασι-
λεῖ, οὐκ ἐψηφίσαντο πολιτείαν, ἀλλ' ἀτέλειαν ἔδωκαν
μόνον, μεγάλην καὶ τιμίαν οἶμαι καὶ σεμνὴν τὴν αὑτῶν
πατρίδ' ἡγούμενοι καὶ πάσης μεῖζον' εὐεργεσίας. νῦν 15
δ' ὦ ἄνδρες Ἀθηναῖοι φθόρους ἀνθρώπους οἰκοτρίβων
οἰκότριβας, τιμὴν ὥσπερ ἄλλου του τῶν ὠνίων λαμβά-
25 *νοντες, ποιεῖσθε πολίτας. ταῦτα δ' ὑμῖν ἐπελήλυθε*
III 30 sq. *πράττειν, οὐχ ὅτι τὰς φύσεις χείρους ἐστὲ τῶν προγό-*
νων, ἀλλ' ὅτι τοῖς μὲν ἐφ' αὑτοῖς παρειστήκει μέγα 20
φρονεῖν, ὑμῶν δ' ὦ ἄνδρες Ἀθηναῖοι περιῄρηται
III 32. *τοῦτο. ἔστι δ' οὐδέποτ' οἶμαι δυνατὸν μικρὰ καὶ*

2 *αἷς* S et XΣIII 198: *ἃς* FAY | *ἐπ'* om. S *ἔν τινι ἀπὸ διορθώσεως δεδώκατε αὐτοῖς* Y^3 3 *πολιτικὰς* SFAY^3: *πολιτείας* Y^1 | *οὕτως* S *γρ.* FA *γρ.* Y^3: om. FY^1 | post *καλῶς* add. *ἐδίδοσαν* A ex XXIII 199 *ἔνεμον* FY 6 *διακοσίοις*] *τριακοσίοις* XXIII 199 9 *τούτωι* S^1 corr. ead. 10 *ἐπιστρατιαν* S (-*ὰν*) A | *ἀναχωρήσαντας* A 11 *πλαταιῶν* Y corr.: *πλατεων* S *πλαταιέων* FAY^1 12 *ἀτύχημα* S^1 (*τὸ* add. S^2) 14 *τιμίαν* (o suprascr.) F *τίμιον* Y | *οἶμαι* post *μεγάλην* F 17 *οἰκοτρίβας* SFA | *ἄλλο* A^1 corr. ead. vel A^2 | *του* SA: *τινος* FY 19 *ἐστὲ χείρους* FY^1 20 *αὑτοῖς* SY^2 mg.: *ἑαυτοῖς* FAY^1 | *παρειστήκει* A *γρ.* F: *παριστήκει* S *παρέστηκε* FY 21 *φρονεῖ* S^1

φαῦλα πράττοντας μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, ὥσπερ οὐδὲ λαμπρὰ καὶ καλὰ πράττοντας μικρὸν καὶ ταπεινὸν φρονεῖν· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημ'
5 ἔχειν.

Σκέψασθε δ' ἅ τις κεφάλαι' ἂν ἔχοι τῶν πραγμάτων 26
εἰπεῖν, ἵν' ἀκούσαντες τῶν τ' ἐκείνοις πεπραγμένων καὶ III 23
174 τῶν ὑμῖν ** ἂν ἄρ' ὑμῶν | αὐτῶν ἀλλ' ἐκ τούτων γε δύνησθε γενέσθαι. πέντε μὲν καὶ τετταράκοντ' ἔτη τῶν III 24
10 Ἑλλήνων ἦρξαν ἑκόντων ἐκεῖνοι, πλείω δ' ἢ μύρια τάλαντ' εἰς τὴν ἀκρόπολιν ἀνήγαγον, πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαια, ἐφ' οἷς ἔτι καὶ νῦν ἡμεῖς φιλοτιμούμεθα. καίτοι νομίζετ' αὐτοὺς XV 35
[ταῦτα] στῆσαι, οὐχ ἵνα θαυμάζωμεν ἡμεῖς θεωροῦντες
15 αὐτά, ἀλλ' ἵνα καὶ μιμώμεθα τὰς τῶν ἀναθέντων ἀρετάς. ἐκεῖνοι μὲν δὴ ταῦτα· ἡμεῖς δ', ὅσης ἅπαντες ὁρᾶτ' ἐρημίας ἐπειλημμένοι, σκέψασθ' εἰ παραπλήσια. οὐ πλείω 27 III 27 sq
μὲν ἢ χίλια καὶ πεντακόσια τάλαντ' ἀνήλωται μάτην εἰς Is. VII 9
τοὺς τῶν Ἑλλήνων ἀπόρους, ἐξανήλωνται δ' οἵ τ' ἴδιοι

4 τοιοῦτο F[1]Y[1] | ἀνάγκηι A 6 κεφάλαι'] αι in ras. F | τῶν πραγμάτων om. FY Cobet 7 ἵν' ἀκούσαντες SA: περὶ FY ἵν' ἀκούσαντες om. Cobet ἵν' om. Weil 8 post ὑμῖν excidisse videtur τὰ δέοντα ποιῆτε vel sim. quid | s. ἄρα add. μη ἀφ S[d] | ἀλλ' om. FAY 9 δύνησθε SY corr.: δυνήσεσθε FAY[1] | γενέσθαι H. Wolf: γεν. κρείττους SY[3] mg. κρείττους γεν. A γεν. βελτίους FY cf. IV 7 | Y[3] habet in mg. σκέψασθε δὲ ἃ τις κεφάλαια ἂν ἔχοι τῶν πραγμάτων εἰπεῖν ἵν' ἀκούσαντες τῶν τ' ἐκείνοις πεπραγμένων καὶ τῶν ἡμῖν ἂν ἄρα μὴ ἀφ' ὑμῶν (aliquot verba evanuisse videntur) δύνησθε γενέσθαι κρείττους | μὲν τοίνυν FAY 10 ἐκεῖνοι om. III 24 del. Blass 11 ἀνήγαγον SF rec.: συνήγαγον F[1]AY 13 ἡμεῖς om. FY 13 sq. ταῦτα νομίζετ' αὐτοὺς FY νομίζετε ταῦτα αὐτοὺς A ταῦτα del. Blass 14 θαυμάζωμεν μόνον FAY | αὐτὰ θεωροῦντες FAY 16 ὁρᾶτε πάντες A 17 ἐπιλημμενοι SF[1] (?) | εἰ in ras. F 19 ἄλλων ante Ἑλλήνων add. S[1] in fine v. γρ. F | ἀπόρους] ἀποστόλους F mg. Y[1] mg.

πάντες οἶκοι [καὶ τὰ κοινὰ] τῇ πόλει καὶ τὰ παρὰ τῶν
συμμάχων, οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα,
28 οὗτοι νῦν ἐν τῇ εἰρήνῃ ἀπολώλασιν; ἀλλὰ νὴ Δία ταῦτα
III 29 μόνον τότ' εἶχε βέλτιον ἢ νῦν, τὰ δ' ἄλλα χεῖρον. πολ-
III 25 λοῦ γε καὶ δεῖ, ἀλλ' ὅ τι βούλεσθ' ἐξετάσωμεν. οἰκοδο- 5
μήματα μέν γε καὶ κόσμον τῆς πόλεως, ἱερῶν καὶ
λιμένων καὶ τῶν ἀκολούθων τούτοις, τοιοῦτον καὶ
XXIII 207 τοσοῦτον κατέλιπον ἐκεῖνοι, ὥστε μηδενὶ τῶν ἐπιγιγνο-
μένων ὑπερβολὴν λελεῖφθαι, προπύλαια ταῦτα, νεώσ-
οικοι, στοαί, τἄλλα, οἷς ἐκεῖνοι κοσμήσαντες τὴν πόλιν 10
29 ἡμῖν παρέδωκαν· τὰς δ' ἰδίας οἰκίας τῶν ἐν δυνάμει
γενομένων οὕτω μετρίας καὶ τῷ τῆς πολιτείας ὀνόματι
III 26 ἀκολούθους, ὥστε τὴν Θεμιστοκλέους καὶ τὴν Κίμωνος
καὶ τὴν Ἀριστείδου καὶ τῶν τότε λαμπρῶν οἰ|κίαν, εἴ τις 175
ἄρ' ὑμῶν οἶδεν ὁποία ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος 15
30 οὐδὲν σεμνοτέραν οὖσαν. νῦν δ' ὦ ἄνδρες Ἀθηναῖοι
III 19 δημοσίᾳ μὲν ἡ πόλις ἡμῶν τὰς ὁδοὺς ἀγαπᾷ κατασκευά-
ζουσα καὶ κρήνας καὶ κονιάματα καὶ λήρους (καὶ οὐ τοῖς
εἰσηγησαμένοις ταῦτ' ἐπιτιμῶ, πολλοῦ γε καὶ δέω, ἀλλ'
ὑμῖν, εἰ ταῦθ' ἱκανὰ ὑμῖν αὐτοῖς ὑπολαμβάνετ' εἶναι), 20
ἰδίᾳ δ' οἱ τῶν κοινῶν ἐπί τῳ γεγενημένοι οἱ μὲν τῶν
δημοσίων οἰκοδομημάτων σεμνοτέρας τὰς ἰδίας οἰκίας

1 καὶ τὰ κοινὰ om. SA[1] add. A[3] 2 s. πολέμῳ συμμάχους habet γρ. ἀποστόλους F cf. ad p. 205, 19 4 μόνον] μὲν Cobet 5 ἀλλ' ὅτι S γρ. FY: ἀλλὰ τί FA 6 καὶ ἱερῶν A 8 κατελειπον S | γιγνομενων S[1] corr. ead. ἐπιγενομένων A 9 ὁ Παρθενὼν ante νεώσοικοι add. Aristides IX 363, 3 W. cf. XXII 76 10 στωαί A[1] ut semper | τἄλλα om. S[1] add. ead. 11 παρέδωκαν (οσ supra ωκ) F παρέδοσαν γρ. Y | δ' om. Y[1] | δυνάμει τότε A γρ. Y[2] 12 πολιτείας S γρ. FAY corr. et Y[1] mg.: πόλεως FY[1] text. 14 ἀριστείδου καὶ μιλτιάδου A ex III 26 15 οἶδεν ὑμῶν FY ex III 26 | ὁρᾶτε A[1] 19 τουτ S[1] 20 prius ὑμῖν eras. in Y habet Y[3] mg. | εἶναι διοικεῖν γρ. S[d]FAY 21 οἱ ante μὲν postea add. S[1]

κατεσκευάκασιν, οὐ μόνον τῶν πολλῶν ὑπερηφανωτέρας, οἱ δὲ γῆν συνεωνημένοι γεωργοῦσιν ὅσην οὐδ' ὄναρ XIX 275 ἤλπισαν πώποτε. τούτων δ' αἴτιον ἁπάντων, ὅτι τότε 31 μὲν ὁ δῆμος δεσπότης ἦν καὶ κύριος ἁπάντων, καὶ ἀγα- III 30 sq.
5 πητὸν ἦν παρ' ἐκείνου τῶν ἄλλων ἑκάστῳ καὶ τιμῆς καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινὸς μεταλαμβάνειν· νῦν δὲ τοὐναντίον κύριοι μὲν τῶν ἀγαθῶν οὗτοι, καὶ διὰ τούτων ἅπαντα [πράττεται], ὁ δὲ δῆμος ἐν ὑπηρέτου καὶ προσθήκης μέρει, καὶ ὑμεῖς ἀγαπᾶθ' ἃ ἂν οὗτοι μεταδι-
10 δῶσι λαμβάνοντες.

Τοιγαροῦν ἐκ τούτων τοιαῦτα τὰ πράγματα τῆς πό- 32 λεώς ἐστιν, ὥστε, εἴ τις ἀναγνοίη τὰ ψηφίσμαθ' ὑμῶν καὶ τὰς πράξεις ἐφεξῆς διέλθοι, οὐδ' ἂν εἷς πιστεῦσαι τῶν αὐτῶν εἶναι ταῦτα κἀκεῖνα. οἷον ἃ πρὸς τοὺς
15 καταράτους Μεγαρέας ἐψηφίσασθ' ἀποτεμνομένους τὴν ὀργάδα, ἐξιέναι, κωλύειν, μὴ ἐπιτρέπειν· ἃ πρὸς Φλειασίους, ὅτ' ἐξέπεσον ἔναγχος, βοηθεῖν, μὴ ἐπιτρέπειν τοῖς σφαγεῦσι, τῶν ἐν Πελοποννήσῳ τοὺς βουλομένους παρακαλεῖν. ἅπαντα καλὰ ὦ ἄνδρες Ἀθηναῖοι ταῦτα 33
176 καὶ | δίκαια καὶ τῆς πόλεως ἄξια· τὰ ἔργα δὲ τὰ ἀπὸ
21 τούτων οὐδαμοῦ. οὐκοῦν τὴν μὲν ἀπέχθειαν διὰ τῶν ψηφισμάτων ἐκφέρεσθε, τῶν δ' ἔργων οὐδενὸς κύριοι γίγνεσθε· τὰ μὲν γὰρ ψηφίσματα πρὸς τὸ τῆς πόλεως

3 πάντων FY 4 ἦν δεσπότης FAY | δεσπότης καὶ κύριος ἦν ἁπάντων τῶν ἀγαθῶν (ex III 30) Hermog. III 266 W. (285, 5 R.) 6 μεταλαμβάνειν ὑμᾶς A | νυνὶ F 8 πράττεται om. S cf. III 31 9 ἃ ἂν S γρ. FA: ἄν τι FY ἂν Voemel | οὗτοι S: αὐτοὶ FY ὑμῖν οὗτοι A 13 πιστευσαι S: πιστεῦσαι A πιστεύσειε FY 15 μεγαρεῖς Did. | ἐψήφισθε A 16 sq. ἃ ... ἐπιτρέπειν om. S[1] add. S[d] mg. 17 τὸ ἔναγχος FY[1] 20 ἔργα δὲ τὰ ἀπὸ S γρ. FY corr.: ἔργα δ' ἀπὸ F[1]Y[1] δ' ἔργα τὰ ἀπὸ A 21 οὐδαμῶς γρ. F 23 γίγνεσθαι S[1] corr. S[d]

ἀξίωμα ψηφίζεσθε, τὴν δύναμιν δ' οὐκ ἀκόλουθον ὧν
34 ψηφίζεσθ' ἔχετε. ἐγὼ δὲ παραινέσαιμ' ἂν ὑμῖν (καί μοι
μηδὲν ὀργισθῆτε) ἔλαττον φρονεῖν καὶ τὰ ὑμέτερ' αὐτῶν
ἀγαπᾶν πράττοντας, ἢ μείζω δύναμιν παρασκευάζεσθαι.
εἰ μὲν οὖν Σιφνίοις ἢ Κυθνίοις ἢ τισιν ἄλλοις τοιού- 5
τοις οὖσιν συνῄδειν ὑμῖν, ἔλαττον φρονεῖν συνεβού-
λευον ἄν· ἐπειδὴ δ' ἔστ' Ἀθηναῖοι, τὸ τὴν δύναμιν
παρασκευάσασθαι παραινῶ· αἰσχρὸν γὰρ ὦ ἄνδρες
III 36 Ἀθηναῖοι, αἰσχρὸν λιπεῖν τὴν τοῦ φρονήματος τάξιν, ἣν
35 ὑμῖν οἱ πρόγονοι παρέδωκαν. πρὸς δὲ τούτοις οὐδ' ἔστιν 10
ἐφ' ὑμῖν, οὐδ' ἂν ἀποστῆναι τῶν Ἑλληνικῶν βούλησθε·
πολλὰ γὰρ ὑμῖν ἐκ παντὸς τοῦ χρόνου πέπρακται, καὶ
τοὺς μὲν φίλους τοὺς ὑπάρχοντας αἰσχρὸν προέσθαι, τοῖς
δ' οὖσιν ἐχθροῖς οὐκ ἔνι πιστεῦσαι καὶ μεγάλους ἐᾶσαι
γενέσθαι. ὅλως δ' ὅπερ οἱ πολιτευόμενοι πεπόνθασιν 15
πρὸς ὑμᾶς (οὐκ ἔνεστιν αὐτοῖς, ὅταν βούλωνται, παύσα-
σθαι) τοῦτο καὶ ὑμῖν περιέστηκεν· πεπολίτευσθε γὰρ ἐν
τοῖς Ἕλλησιν.

36 Ἔστι δ' ὦ ἄνδρες Ἀθηναῖοι κεφάλαιον ἁπάντων
τῶν εἰρημένων· οὐδέποθ' ὑμᾶς οἱ λέγοντες οὔτε πονη- 20
ροὺς οὔτε χρηστοὺς ποιοῦσιν, ἀλλ' ὑμεῖς τούτους,
ὁπότερ' ἂν βούλησθε· οὐ γὰρ ὑμεῖς ὧν οὗτοι βού-
λονται στοχάζεσθε, ἀλλ' οὗτοι ὧν ἂν ὑμᾶς ἐπιθυμεῖν
οἴωνται. ὑμᾶς οὖν ὑπάρξαι δεῖ χρηστὰ βουλομένους,

1 ὧν] οἷς A 3 μηδὲν ὀργισθῆτε S: μηδεὶς ὀργισθῆι γρ. S[d]FAY cf. XX 102 | ἢ ante ἔλαττον add. Reiske 8 παρασκευάζεσθαι FAY | αἰσχρὸν om. A 9 λείπειν A | φρονήματος iter. Y[1] 10 οὐδ' ἔστιν] οὐκ ἔστιν A 11 ἂν SA: ἐὰν FY | ἑλλήνων A 13 τοὺς ante ὑπάρχοντας om. A 16 ἔνεστ' FAY | βούλονται F[1] 21 ποιήσουσιν FAY 22 ὁπότερ' SA: ὁποίους FY | βούλωνται S 23 ὑμεῖς A 24 οἴονται SF | βουλευομένους A

177 *καὶ | πάνθ' ἕξει καλῶς· ἢ γὰρ οὐδεὶς ἐρεῖ φλαῦρον οὐδέν, ἢ οὐδὲν αὐτῷ πλέον ἔσται μὴ ἔχοντι τοὺς πεισομένους.*

1 *φλαῦρον* A: *φαῦλον* SFY cf. XXI 119. 121 2 *πλεῖον* A | *πειθομένους* A

In S[1]A subscriptum

ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ
addidit S[d] Η Η Η Δ Δ Δ
Δ (i. e. *διώρθωται*)

in FY (numerus ante titulum)

ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ
Η Η Η Δ Δ Δ

XIV

ΠΕΡΙ ΤΩΝ ΣΥΜΜΟΡΙΩΝ

ΥΠΟΘΕΣΙΣ

Φήμης γενομένης τὸν Περσῶν βασιλέα παρασκευάζεσθαι στρατεύειν ἐπὶ τοὺς Ἕλληνας, ὁ μὲν τῶν Ἀθηναίων δῆμος κεκίνηται καὶ συγκαλεῖν ὥρμηται τοὺς Ἕλληνας καὶ τὸν πόλεμον ἐκφέρειν ἤδη, ὁ δὲ Δημοσθένης συμβουλεύει μὴ προεξανίστασθαι, ἀλλ' ἀναμένειν τὸν βασιλέα νεωτερίσαι. νῦν μὲν γάρ, 5 *φησίν, οὐ πείσομεν τοὺς Ἕλληνας συμμαχεῖν ἡμῖν, ἐπ' ἀδείας εἶναι δοκοῦντας, τότε δ' αὐτοὺς ὁ κίνδυνος αὐτὸς συστήσεται. παραινεῖ τοίνυν ἡσυχάζοντας συντάξασθαι καὶ πρὸς τὸν πόλεμον παρασκευάσασθαι, καὶ δὴ καὶ διέξεισιν ὃν τρόπον ἂν συνταχθεῖεν. ὅθεν καὶ περὶ συμμοριῶν ὁ λόγος ἐπιγράφεται· συμ-* 10 *μορία γὰρ παρὰ τοῖς Ἀττικοῖς τὸ τῶν λειτουργούντων σύνταγμα.*

Prooem. VII *Οἱ μὲν ἐπαινοῦντες ὦ ἄνδρες Ἀθηναῖοι τοὺς προγόνους ὑμῶν λόγον εἰπεῖν μοι δοκοῦσιν προαιρεῖσθαι κεχαρισμένον, οὐ μὴν συμφέροντά γ' ἐκείνοις οὓς ἐγκω-* 178

In titulo om. articulum FY [Dion.] ars rhet. p. 351 (Harpocr. s. *ὅτι ἐξακισχ.* et *συμμορία* aliquot codices) Suid., habent SA Dion. ad Amm. 725, ars rhet. 292, Harp. s. *κληροῦχοι, κοινωνικῶν, τίμημα*, alii rhetores et grammatici.

Ὑπόθεσις λόγου τοῦ περὶ τῶν συμμοριῶν F 3 *καὶ κεκίνηται* Y | *καὶ τὸν* Y: *εἰς τὸν* F *καὶ εἰς τὸν* m 7 *συστήσει* Y (*συνστ-* Y[1]) 9 *συνταχ εἶεν* F[1] corr. rec. 11 *λειτουργιῶν* Y[1] | *συμμορία τὸ τῶν λειτουργούντων σύνταγμα παρὰ τοῖς Ἀττικοῖς* schol. Y[3]

μιάζουσι ποιεῖν· περὶ γὰρ πραγμάτων ἐγχειροῦντες λέ-
γειν ὧν οὐδ' ἂν εἷς ἀξίως ἐφικέσθαι τῷ λόγῳ δύναιτο,
αὐτοὶ μὲν τοῦ δοκεῖν δύνασθαι λέγειν δόξαν ἐκφέρονται,
τὴν δ' ἐκείνων ἀρετὴν ἐλάττω τῆς ὑπειλημμένης παρὰ
5 τοῖς ἀκούουσιν φαίνεσθαι ποιοῦσιν. ἐγὼ δ' ἐκείνων μὲν
ἔπαινον τὸν χρόνον ἡγοῦμαι μέγιστον, οὗ πολλοῦ γεγενη-
μένου μείζω τῶν ὑπ' ἐκείνων πραχθέντων οὐδένες ἄλλοι
παραδείξασθαι δεδύνηνται· αὐτὸς δὲ πειράσομαι τὸν τρό- 2
πον εἰπεῖν ὃν ἄν μοι δοκεῖτε μάλιστα δύνασθαι παρα-
10 σκευάσασθαι. καὶ γὰρ οὕτως ἔχει· εἰ μὲν ἡμεῖς ἅπαντες
οἱ μέλλοντες λέγειν δεινοὶ φανείημεν ὄντες, οὐδὲν ἂν τὰ
ὑμέτερ' εὖ οἶδ' ὅτι βέλτιον σχοίη· εἰ δὲ παρελθὼν εἷς
ὁστισοῦν δύναιτο διδάξαι καὶ πεῖσαι, τίς παρασκευὴ καὶ
πόση καὶ πόθεν πορισθεῖσα χρήσιμος ἔσται τῇ πόλει,
15 πᾶς ὁ παρὼν φόβος λελύσεται. ἐγὼ δὲ τοῦτ', ἂν ἄρ' οἷός
τ' ὦ, πειράσομαι ποιῆσαι, μικρὰ προειπὼν ὑμῖν ὡς ἔχω
γνώμης περὶ τῶν πρὸς τὸν βασιλέα.

Ἐγὼ νομίζω κοινὸν ἐχθρὸν ἁπάντων τῶν Ἑλλήνων 3
εἶναι βασιλέα, οὐ μὴν διὰ τοῦτο παραινέσαιμ' ἂν μόνοις

1 ἐγχειροῦντες S, prooem. VII: ἐπιχειροῦντες FAY 2 ὧν om. S[1] add. S[2] | ἐφικνεῖσθαι A | δύναιτο τῶι λόγωι FAY 3 δοκεῖν δύνασθαι λέγειν S γρ. Y[3]: δοκεῖν λέγειν δύνασθαι A δοκεῖν εὖ λέγειν FY ex V 2 δοκεῖν om. prooem. VII del. Dindorf 4 δ' s. v. S[2] 6 μέγιστον εἶναι FAY 8 παραδείξασθαι prooem. VII: παραδέξασθαι SFAY | δεδεδυνηνται S[1] | τοῦτον τὸν τρόπον A 9 δύνασθαι om. FY[1] hab. γρ. Y[3] secl. Reiske | παρασκευάσασθαι SA γρ. Y[3]: παρεσκευάσθαι FY[1] 11 οἱ μέλλοντες et ὄντες om. FY[1] hab. γρ. Y[3] 13 πεῖσαι] φράσαι (πει s. v.) F π̣ε̣ι̣ φράσαι Y[1] πεῖσαι γρ. Y[2] καὶ πεῖσαι del. Tournier 14 ἔσται νῦν A 15 λελύσεται S: λέλυται γρ. S[d]FY λυθήσεται A cf. Dion. de comp. p. 43 ὁ λέγων 'λελύσεται' τὸ λυθήσεται | ἐὰν A 16 προεῖπον F[1] 17 τῶν] τον S[1] | τὸν om. FY 18 τῶν ὄντων Ἑλλ. [Dion.] ars rh. 294 (non 352) 19 τοῦτο S Aristides: ταῦτα (o s. v.) F ταῦτα AY [Dion.] 294. 352

τῶν ἄλλων ὑμῖν πόλεμον πρὸς αὐτὸν ἄρασθαι· οὐδὲ
γὰρ | αὐτοὺς τοὺς Ἕλληνας ὁρῶ κοινοὺς ἀλλήλοις ὄντας 179
φίλους, ἀλλ' ἐνίους μᾶλλον ἐκείνῳ πιστεύοντας ἤ τισιν
αὑτῶν. ἐκ δὴ τῶν τοιούτων νομίζω συμφέρειν ὑμῖν τὴν
μὲν ἀρχὴν τοῦ πολέμου ζητεῖν ὅπως ἴση καὶ δικαία γε- 5
νήσεται, παρασκευάζεσθαι δ' ἃ προσήκει πάντα καὶ τοῦθ'
4 ὑποκεῖσθαι. ἡγοῦμαι γὰρ ὦ ἄνδρες Ἀθηναῖοι τοὺς Ἕλ-
ληνας, εἰ μὲν ἐναργές τι γίγνοιτο καὶ σαφὲς ὡς βασιλεὺς
αὐτοῖς ἐπιχειρεῖ, κἂν συμμαχῆσαι καὶ χάριν μεγάλην
ἔχειν τοῖς πρὸ αὐτῶν καὶ μετ' αὐτῶν ἐκεῖνον ἀμυνο- 10
μένοις· εἰ δ' ἔτ' ἀδήλου τούτου καθεστηκότος προ-
απεχθησόμεθ' ἡμεῖς, δέδι' ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τού-
τοις μετ' ἐκείνου πολεμεῖν ἀναγκασθῶμεν, ὑπὲρ ὧν προ-
5 νοούμεθα. ὁ μὲν γὰρ ἐπισχὼν ὧν ὥρμηκεν, εἰ ἄρ'
ἐγχειρεῖν ἔγνωκε τοῖς Ἕλλησι, χρήματα δώσει τισὶν αὐ- 15
τῶν καὶ φιλίαν προτενεῖται, οἱ δὲ τοὺς ἰδίους πολέμους
ἐπανορθῶσαι βουλόμενοι καὶ τοῦτον τὸν νοῦν ἔχοντες
τὴν κοινὴν ἁπάντων σωτηρίαν παρόψονται. εἰς δὲ τὴν
ταραχὴν ταύτην καὶ τὴν ἀγνωμοσύνην παραινῶ μὴ προ-
6 καθεῖναι τὴν πόλιν ἡμῶν. οὐδὲ γὰρ οὐδ' ἀπ' ἴσης ὁρῶ 20

1 ἄρασθαι γρ. S[d]FAY Arist. IX 380 W. c. Vind. (cf. § 10): αιρεισθαι S αἵρεσθαι [Dion.] p. 294 (συνάγειν p. 352) Arist. c. Paris. | οὐδὲ] ου S[1] corr. S[2] 2 ὁρῶ τοὺς ἕλληνας A 3 ἢ σφίσιν αὐτοῖς FY 4 τῶν (τούτων m. II) τοιούτων S[1]: τούτων τοιούτων ὄντων FAY 5 μὲν om. FAY | ζητεῖν SFY: τηρεῖν A cf. IV 31 | ἴση καὶ S γρ. F: om. F[1]AY 7 τῇ γνώμῃ post ὑποκεῖσθαι add. FA[3]Y 8 ἐναργές τι SA: τι ἐναργὲς F (ι in ras. F τοι O) Y τι del. Cobet | γένοιτο FAY 9 κἂν S (coni. Tournier): καὶ FAY | συμμαχήσειν O corr. vulgo | μεγάλην χάριν ἕξειν FY 11 προϋπαχθησόμεθα Ind. Ald. Cobet cf. § 35 12 ἡμεῖς iteratum lineolis del. S | τούτους S 13 ὧν] ἂν A 16 προτενεῖ Cobet cf. XIX 2 Plat. Soph. 247[d] 17 ἐπανορθώσασθαι FY 19 ταραχὴν S γρ. FAY corr.: ἀρχὴν FY[1] et γρ. Y 20 posterius οὐδ' om. FAY | ἐπισης Y

τοῖς τ' ἄλλοις Ἕλλησιν καὶ ὑμῖν περὶ τῶν πρὸς τὸν βασιλέα τὴν βουλὴν οὖσαν, ἀλλ' ἐκείνων μὲν πολλοῖς ἐνδέχεσθαί μοι δοκεῖ τῶν ἰδίᾳ τι συμφερόντων διοικουμένοις τῶν ἄλλων Ἑλλήνων ἀμελῆσαι, ὑμῖν δ' οὐδ'
5 *ἀδικουμένοις παρὰ τῶν ἀδικούντων καλόν ἐστι λαβεῖν ταύτην τὴν δίκην, ἐᾶσαί τινας αὐτῶν ὑπὸ τῷ βαρβάρῳ γενέσθαι. ὅτε δ' οὕτως ταῦτ' ἔχει, σκεπτέον ὅπως μήθ'* 7 *ἡμεῖς ἐν τῷ πολέμῳ γενησόμεθ' οὐκ ἴσοι, μήτ' ἐκεῖνος,*
180 *ὃν | ἡμεῖς ἐπιβουλεύειν ἡγούμεθα τοῖς Ἕλλησιν, τὴν τοῦ*
10 *φίλος αὐτοῖς δοκεῖν εἶναι πίστιν λήψεται. πῶς οὖν ταῦτ' ἔσται; ἂν ἡ μὲν δύναμις τῆς πόλεως ἐξητασμένη καὶ παρεσκευασμένη πᾶσιν ᾖ φανερά, φαίνηται δὲ δίκαια φρονεῖν ἐπὶ ταύτῃ τῇ προαιρέσει. τοῖς δὲ θρασυνομένοις* 8 *καὶ σφόδρ' ἑτοίμως πολεμεῖν κελεύουσιν ἐκεῖνο λέγω,*
15 *ὅτι οὐκ ἔστι χαλεπὸν οὔθ' ὅταν βουλεύεσθαι δέῃ, δόξαν ἀνδρείας λαβεῖν, οὔθ' ὅταν κίνδυνός τις ἐγγὺς ᾖ, δεινὸν εἰπεῖν φανῆναι, ἀλλ' ἐκεῖνο καὶ χαλεπὸν καὶ προσῆκον, ἐπὶ μὲν τῶν κινδύνων τὴν ἀνδρείαν ἐνδείκνυσθαι, ἐν δὲ τῷ συμβουλεύειν φρονιμώτερα τῶν ἄλλων εἰπεῖν ἔχειν.*
20 *ἐγὼ δ' ὦ ἄνδρες Ἀθηναῖοι νομίζω τὸν μὲν πόλεμον* 9 *τὸν πρὸς βασιλέα χαλεπὸν τῇ πόλει, τὸν δ' ἀγῶνα τὸν ἐκ τοῦ πολέμου ῥᾴδιον ἂν συμβῆναι. διὰ τί; ὅτι τοὺς μὲν πολέμους ἅπαντας ἀναγκαίως ἡγοῦμαι τριήρων καὶ*

1 *περὶ τῶν* S *γρ.* FA: om. FY 4 *οὐδ'*] *οὐκ* S 6 *αὐτῶν* om. A 7 *ὅτε* SA: *ὅτι* FY | *οὕτω* A | *χρὴ ὅπως* FY 8 *τῷ* om. A | *ἴσωι* A 9 *ἡμεῖς γρ.* S[d]FAY: *ἡμῖν* S[1] 12 *φαίνεται* A 13 *ἐπὶ ταύτηι φρονεῖν αἱρουμένη* FY 17 *καὶ* ante *χαλεπὸν* om. A 18 *κινδυνον* (?) S[1] | *ἐπιδείκνυσθαι* FAY 21 *τὸν* ante *πρὸς* om. A 22 *ῥᾴδιον ἂν συμβῆναι* Cobet: *συμβηναι ῥάιδιον ἂν* S *ῥάιδιον ἂν συμβάντα* FAY verbum suspectum est 23 *ἀναγκαίως* SY corr: *ἀναγκαίους* (ον superscr.) F *ἀναγκαίους* Y[1] om. A

χρημάτων καὶ τόπων δεῖσθαι, ταῦτα δὲ πάντ' ἀφθονώτερ'
ἐκεῖνον ἔχονθ' ἡμῶν εὑρίσκω· τοὺς δ' ἀγῶνας οὐδενὸς
οὕτω τῶν ἄλλων ὁρῶ δεομένους ὡς ἀνδρῶν ἀγαθῶν,
τούτους δ' ἡμῖν καὶ τοῖς μεθ' ἡμῶν κινδυνεύουσιν
10 πλείους ὑπάρχειν νομίζω. τὸν μὲν δὴ πόλεμον διὰ ταῦτα 5
παραινῶ μηδ' ἐξ ἑνὸς τρόπου προτέρους ἀνελέσθαι, ἐπὶ
δὲ τὸν ἀγῶν' ὀρθῶς φημι παρεσκευασμένους ὑπάρχειν
χρῆναι. εἰ μὲν οὖν ἕτερός τις τρόπος ἦν δυνάμεως ᾧ
τοὺς βαρβάρους οἷόν τ' ἦν ἀμύνασθαι, ἕτερος δέ τις ᾧ
τοὺς Ἕλληνας, εἰκότως ἂν ἴσως φανεροὶ πρὸς ἐκεῖνον 10
11 ἐγιγνόμεθ' ἀντιταττόμενοι· ἐπεὶ δὲ πάσης ἐστὶν παρα-
σκευῆς ὁ αὐτὸς τρόπος καὶ δεῖ ταὔτ' εἶναι κεφάλαια τῆς
δυνάμεως, τοὺς ἐχθροὺς ἀμύ|νασθαι δύνασθαι, τοῖς οὖσι 181
συμμάχοις βοηθεῖν, τὰ ὑπάρχοντ' ἀγαθὰ σῴζειν, τί τοὺς
XV 6 ὁμολογουμένους ἐχθροὺς ἔχοντες ἑτέρους ζητοῦμεν; ἀλλὰ 15
παρασκευασώμεθα μὲν πρὸς αὐτούς, ἀμυνούμεθα δὲ
12 κἀκεῖνον, ἂν ἡμᾶς ἀδικεῖν ἐπιχειρῇ. καὶ νῦν μὲν καλεῖτε

1 ἀφθονώτερον A 3 ἀγαθῶν ἀνδρῶν FAY 4 τοῖς] τους S[1]A 6 ἐκ μηδενὸς A 7 δὲ τὸν] τὸν δ' Flagg 8 ἕτερος μὲν Y | οὖν] τοίνυν [Dion.] ars rh. 353 | ἦν τις τρόπος FY τις ἦν τρόπος Dion. | ᾧ] ᾗ Dion. 9 ἀμύνασθαι om. S[1] add. ead.? | ᾧ] ᾗ Dion. 10 εἰκότως φαν. πᾶσιν ἐγιγν. πρὸς ἐκεῖνον Dion. 11 ἐπεὶ] εἰ Dion. | παρασκευῆς ἐστιν FY Dion. 12 post αὐτὸς 3-4 litt. eras. Y (αυτο?) | τρόπος ὁ αὐτὸς οὗτος Dion. verbis καὶ ... δυνάμεως om. | ταυτ' S ταῦτ' A τὰ αὐτὰ FY | τῆς δυνάμεως secl. Dobree, Blass coll. Liban. I 399 14 καὶ τὰ Dion. | ἀγαθὰ del. Vind. 6 secl. Blass coll. XVIII 302 15 ὁμολογουμένους S γρ. F γρ. Y[3]: ὁμολογοῦντας FAY[1] ὡμολογημένους Dion. ὁμολογουμένως dubitanter Dobree | ἑτέρους SFY: ἄλλους A Dion. | ἀλλὰ S Dion.: ἀλλ' οὐ FAY 16 παρασκευασώμεθα S: παρασκευαζόμεθα FAY παρασκευαζώμεθα Dion. | αὐτοὺς S: τούτους FAY Dion. | ἀμυνούμεθα S: ἀμυνόμεθα FAY ἀμυνώμεθα Dion. 17 ἂν S Dion.: ἐὰν FAY | ἀδικεῖν ἡμᾶς F | ἐπιχειρει S | ἀδικεῖν ἐπιχ.] πείσηι Dion. in quo δεήσῃ Blass, πιέσῃ Usener latere suspicatur cf. § 41 | μέν γε A

πρὸς ὑμᾶς αὐτοὺς τοὺς Ἕλληνας· ἂν δ' ἃ κελεύουσιν οὗτοι μὴ ποιῆτε, οὐχ ἡδέως ἐνίων ὑμῖν ἐχόντων, πῶς χρὴ προσδοκᾶν τιν' ὑπακούσεσθαι; „ὅτι νὴ Δί' ἀκούσονται παρ' ἡμῶν ὡς ἐπιβουλεύει βασιλεὺς αὐτοῖς.“ αὐ-
5 *τοὺς δ' οὐ προορᾶν, ὦ πρὸς τοῦ Διός, οἴεσθε τοῦτο; ἐγὼ μὲν γὰρ οἶμαι. ἀλλ' οὔπω μείζων ἔσθ' ὁ φόβος τῶν πρὸς ὑμᾶς καὶ πρὸς ἀλλήλους ἐνίοις διαφορῶν. οὐδὲν οὖν ἀλλ' ἢ ῥαψῳδήσουσιν οἱ πρέσβεις περιόντες. τότε δ', ἂν ἄρ' ἃ νῦν οἰόμεθ' ἡμεῖς πράττηται, οὐδεὶς* 13
10 *δήπου τῶν πάντων Ἑλλήνων τηλικοῦτον ἐφ' αὑτῷ φρονεῖ, ὅστις ὁρῶν ὑμῖν χιλίους ἱππέας, ὁπλίτας δ' ὅσους ἂν θέλῃ τις, ναῦς δὲ τριακοσίας, οὐχ ἥξει καὶ δεήσεται, μετὰ τούτων ἀσφαλέστατ' ἂν ἡγούμενος σωθῆναι. οὐκοῦν ἐκ μὲν τοῦ καλεῖν ἤδη τὸ δεῖσθαι κἂν μὴ τύχητ'*
15 *ἀφαμαρτεῖν, ἐκ δὲ τοῦ μετὰ τοῦ παρεσκευάσθαι τὰ ὑμέτερ' αὐτῶν ἐπισχεῖν δεομένους σῴζειν καὶ εὖ εἰδέναι πάντας ἥξοντάς ἐστιν.*

Ἐγὼ τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι ταῦτά τε καὶ παραπλήσια τούτοις λογιζόμενος λόγον μὲν οὐδέν' ἐβουλόμην 14
20 *θρασὺν οὐδ' ἔχοντα μάταιον μῆκος εὑρεῖν· τὴν μέντοι παρασκευήν, ὅπως ὡς ἄριστα καὶ τάχιστα γενήσεται, πάνυ πολλὰ πράγματ' ἔσχον σκοπῶν. οἴομαι δὴ δεῖν*

1 *ἐὰν* FAY 2 *ὑμῶν* S[1] *ὑμῖν* (ω supra) F 3 *ὑπακούσασθαι* (ε supra) F *ὑπακούσασθαι* Y[1] 4 *ὑμῶν* S *ἡμῶν* (υ supra) F | *ὡς* S *γρ.* FA: *ὅτι* FY 6 post *μείζων* add. *οὗτος* S[d]FAY | *ἐστ'* A 8 *ἀλλ' ἢ*] *ἀλλὰ* A 9 *πράττητε* FA Dion. de Thucyd. 946 10 *ἁπάντων* FAY | *ἑαυτῶι* FAY Dion. | *φρονεῖ* S corr. Dion.: *εφρονει* S[1] *φρονήσει* FAY 11 *χιλίους ὑμῖν* A *ὑμῖν* om. Dion. | *μὲν ἱππέας* FY | *δ' ὅσους*] *οὓς* A 12 *ἐθέλῃι* A Dion. | *ἥκει* A | *δεησετε* S[1] 14 *κἂν*] *καὶ* Dion. 15 *παρεσκευάσθαι* SA: *παρασκευάσασθαι* FY Dion. | *ἡμέτερ'* A 16 *καὶ* del. Dobree 18 *καὶ τὰ* AY schol. p. 229, 22 19 *λογιζομενοις* S 20 *μάταιον ἔχοντα* FY | *μῆκος*] *ς* in ras. 3 litt. Y 21 *ὡς* om. FY 22 *οἴομαι* SF[1]: *οἶμαι* F corr. AY

ἀκούσαντας ὑμᾶς αὐτήν, ἂν ὑμῖν ἀρέ|σκῃ, ψηφίζεσθαι. 182
ἔστι τοίνυν πρῶτον μὲν τῆς παρασκευῆς ὦ ἄνδρες Ἀθη-
ναῖοι καὶ μέγιστον, οὕτω διακεῖσθαι τὰς γνώμας ὑμᾶς
ὡς ἕκαστον ἑκόντα προθύμως ὅ τι ἂν δέῃ ποιήσοντα.
15 ὁρᾶτε γὰρ ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι, ὅσα μὲν πώποθ' 5
ἅπαντες ἠβουλήθητε καὶ μετὰ ταῦτα τὸ πράττειν αὐτὸς
ἕκαστος ἑαυτῷ προσήκειν ἡγήσατο, οὐδὲν πώποθ' ὑμᾶς
ἐξέφυγεν, ὅσα δ' ἠβουλήθητε μέν, μετὰ ταῦτα δ' ἀπεβλέ-
ψατ' εἰς ἀλλήλους ὡς αὐτὸς μὲν ἕκαστος οὐ ποιήσων,
τὸν δὲ πλησίον πράξοντα, οὐδὲν πώποθ' ὑμῖν ἐγένετο. 10
16 ἐχόντων δ' ὑμῶν οὕτω καὶ παρωξυμμένων, τοὺς διακο-
σίους καὶ χιλίους ἀναπληρῶσαί φημι χρῆναι καὶ ποιῆσαι
δισχιλίους, ὀκτακοσίους αὐτοῖς προσνείμαντας· ἐὰν γὰρ
τοῦτ' ἀποδείξητε τὸ πλῆθος, ἡγοῦμαι, τῶν ἐπικλήρων
καὶ τῶν ὀρφανῶν καὶ τῶν κληρουχικῶν καὶ τῶν κοινω- 15
νικῶν καὶ εἴ τις ἀδύνατος ἀφαιρεθέντων, ἔσεσθαι χίλια
17 καὶ διακόσια ταῦθ' ὑμῖν σώματα. ἐκ τοίνυν τούτων
οἶμαι δεῖν ποιῆσαι συμμορίας εἴκοσιν, ὥσπερ νῦν εἰσιν,
ἑξήκοντα σώματ' ἔχουσαν ἑκάστην. τούτων δὲ τῶν συμ-
μοριῶν ἑκάστην διελεῖν κελεύω πέντε μέρη κατὰ δώδεκ' 20
ἄνδρας, ἀνταναπληροῦντας πρὸς τὸν εὐπορώτατον ἀεὶ

1 αὐτὴν SY[2] schol. p. 229, 25: αὐτοὺς FAY[1] | ὑμῖν S schol.: om. FAY | ψηφίζεσθαι S: ψηφίσασθαι (ζε supra) F ψηφίσασθαι AY schol. 2 τοίνυν] δὲ Dion. de Thucyd. p. 947 | μὲν om. Dion. 3 ὑμᾶς A Dion.: ὑμῶν SFY 6 ἅπαντες πώποτ' A ἅπαντες om. Dion. | ἐβουλήθητε FY Dion. item v. 8 | τὸ om. A 7 ἕκαστος om. Dion. | αυτῶι A 9 εἰς S Dion.: προς (εἰς supra) F πρὸς AY 10 τὰ δέοντα πράξοντα Dion. 11 παρωξυμμένων SA γρ. Y[3]: παροξυνομένων FY[1] 13 καὶ ὀκτακοσίους S 15 ὀρφανικῶν A 18 οἴομαι F[1] | εἴκοσι Y[1] 19 σώματα ξ' ἑκάστην ἔχουσαν Harpocr. s. συμμορία 20 κατὰ δώδεκα] καλωδεκα ut videtur S[1] corr. ead. 21 ἀεὶ] ἀ in ras. S (fuit δει?)

τοὺς ἀπορωτάτους. καὶ τὰ μὲν σώματα ταῦθ' οὕτω
συντετάχθαι φημὶ δεῖν· δι' ὃ δ', εἴσεσθε, ἐπειδὰν ὅλον
τὸν τρόπον τῆς συντάξεως ἀκούσητε. τὰς δὲ τριήρεις 18
πῶς; τὸν ἅπαντ' ἀριθμὸν κελεύω τριακοσίας ἀποδείξαν-
5 τας, κατὰ πεντεκαιδεκαναΐαν εἴκοσι ποιῆσαι μέρη, τῶν
πρώτων ἑκατὸν πέντε, καὶ τῶν δευτέρων ἑκατὸν πέντε,
183 καὶ τῶν τρίτων ἑκατὸν πένθ' | ἑκάστῳ μέρει διδόντας,
εἶτα συγκληρῶσαι συμμορίᾳ σωμάτων ἑκάστῃ τὴν πεντε-
καιδεκαναΐαν, τὴν δὲ συμμορίαν ἑκάστῳ τῷ μέρει σφῶν
10 αὐτῶν τρεῖς ἀποδοῦναι τριήρεις. ἐπειδὰν δὲ ταῦθ' οὕτως 19
ἔχονθ' ὑπάρχῃ, κελεύω, ἐπειδὴ τὸ τίμημ' ἐστὶν τῆς χώρας
ἑξακισχιλίων ταλάντων, ἵν' ὑμῖν καὶ τὰ χρήματ' ᾖ συν-
τεταγμένα, διελεῖν τοῦτο καὶ ποιῆσαι καθ' ἑξήκοντα
τάλανθ' ἑκατὸν μέρη, εἶτα πένθ' ἑξηκονταταλαντίας εἰς
15 ἑκάστην τῶν μεγάλων τῶν εἴκοσι συμμοριῶν ἐπικληρῶ-
σαι, τὴν δὲ συμμορίαν ἑκάστῳ τῶν μερῶν μίαν ἑξηκον-
ταταλαντίαν ἀποδοῦναι, ὅπως, ἂν μὲν ὑμῖν ἑκατὸν δέῃ 20
τριήρων, τὴν μὲν δαπάνην ἑξήκοντα τάλαντα συντελῇ,
τριήραρχοι δ' ὦσιν δώδεκα, ἂν δὲ διακοσίων, τριάκοντα
20 μὲν ᾖ τάλαντα τὴν δαπάνην συντελοῦντα, ἓξ δὲ σώματα
τριηραρχοῦντα, ἐὰν δὲ τριακοσίων, εἴκοσι μὲν ᾖ τάλαντα
τὴν δαπάνην διαλύοντα, τέτταρα δὲ σώματα τριηραρ-
χοῦντα. τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ νῦν ὀφειλόμεν' 21

1 ἀπόρους A | ταῦθ' om. FY 2 φημὶ δεῖν συντετάχθαι FY | ὃ δ' εἴσεσθε] ὁ δεησεσθε S[1] 6 sq. καὶ τῶν δευτέρων ... τρίτων ἑκατὸν πέντε om. S[1] in fine col. καὶ τ. δ. ἑ. π. add. S[d1] καὶ τ. τρ. ἑ. π. S[d2] 7 μέρη ut vid. F[1] 8 συνκληρωσαι S[1] cf. Meisterhans § 41, 5 10 ἀπο-διδόναι A 11 τῆς S Harpocr. s. ὅτι ἑξακισχίλια: τὸ τῆς FAY 14 ἑκατὸν μέρη om. A[1] add. A[3] | ἑξηκονταλαντείας FY item v. 16 | εἰς ἑκάστην SFY: ἑκάστηι A γρ. Y[3] cf. § 21 15 τῶν μεγάλων iter. Y[1] | τῶν ante εἴκοσι om. A 17 ἐὰν FY 19 ἐὰν FAY | δὲ δέηι FY 20 τάλαντα τὰ FY[1] 21 et 22 τριηραρχοῦντα del. Dobree

ὦ ἄνδρες Ἀθηναῖοι τῶν σκευῶν ἐπὶ τὰς τριήρεις
τιμήσαντας ἅπαντ' ἐκ τοῦ διαγράμματος νεῖμαι κελεύω
μέρη εἴκοσιν, ἔπειτα ταῖς μεγάλαις ἐπικληρῶσαι συμμο-
ρίαις μέρος ἓν χρήστων ἑκάστῃ, τὴν δὲ συμμορίαν ἑκάστην
διανεῖμαι τῶν αὑτῆς μερῶν ἑκάστῳ τὸ ἴσον, τοὺς δὲ 5
δώδεκα τοὺς ἐν ἑκάστῳ τῷ μέρει ταῦτ' εἰσπράξαντας τὰς
τριήρεις, ἃς ἂν ἕκαστοι λάχωσιν, παρεσκευασμένας παρέ-
22 χειν. τὴν μὲν δαπάνην καὶ τὰ σκάφη καὶ τοὺς τριηράρ-
χους καὶ τὴν τῶν σκευῶν εἴσπραξιν οὕτως ἂν ἄρισθ'
ἡγοῦμαι καὶ πορισθῆναι καὶ παρασκευασθῆναι· πλήρω- 10
σιν δ', ᾗ καὶ σαφὴς ἔσται καὶ ῥᾳδία, μετὰ ταῦτα | λέγω. 184
φημὶ τοὺς στρατηγοὺς δεῖν διανεῖμαι τόπους δέκα τῶν
νεωρίων, σκεψαμένους ὅπως ὡς ἐγγύτατ' ἀλλήλων κατὰ
τριάκοντ' ὦσιν νεώσοικοι, ἐπειδὰν δὲ τοῦτο ποιήσωσιν,
δύο συμμορίας καὶ τριάκοντα τριήρεις τούτων ἑκάστῳ 15
23 προσνεῖμαι τῶν τόπων, εἶτ' ἐπικληρῶσαι τὰς φυλάς· τὸν
δὲ ταξίαρχον ἕκαστον, ὃν ἂν ἡ φυλὴ τόπον λάχῃ, διελεῖν
τρίχα καὶ τὰς ναῦς ὡσαύτως, εἶτ' ἐπικληρῶσαι τὰς τριτ-
τῦς, ὅπως ἂν τῶν μὲν ὅλων νεωρίων ἓν ἑκάστῃ μέρος ᾖ
τῶν φυλῶν, τοῦ δὲ μέρους ἑκάστου τὸ τρίτον μέρος ἡ 20
τριττὺς ἔχῃ, εἰδῆτε δ', ἄν τι δέῃ, πρῶτον μὲν τὴν φυλήν,
ὅπου τέτακται, μετὰ ταῦτα δὲ τὴν τριττύν, εἶτα τριή-

1 ὦ ἄνδρες Ἀθηναῖοι ponunt post τρόπον p. 217, 23 FY 2 τιμή-σαντας] ας in ras. A | ἅπαντας A^1 4 χρήστων S: χρηστῶν FAY 5 ἑαυτῆς FAY | τὸ ἴσον om. Y^1 6 τῷ del. F om. Y^1 | τὰς del. F om. Y^1 7 ἕκαστοι] ι in ras. F 10 καὶ παρασκευασθῆναι om. Y^1 add. Y^2 | πλήρωσιν S: πλήρωσις γρ. S^{d}FAY 11 ᾗ S corr. Y corr.: εἰ S^1 τίς ἡ FY^1 om. A γρ. Y^3 ὅθεν γρ. S^d | σαφὴς ὅθεν A γρ. Y^3 | εστιν S^1 corr. ead. | λέγω SA γρ. Y^3: λέξω FY^1 14 νεωσοικον vel νεωσοικους S^1 17 ταξίαρχον SA (ἔν τισι) Y^3: τριήραρχον FY^1 | post ἕκαστον add. καθ' ἕκαστον νεώριον ἵνα ὦσιν συμμορίαι δύο, τριήρεις τριάκοντα, φυλὴ μία FA^{3}Y: om. SA^1 | τόπον om. Y^1 19 ἑκάστης FY 21 ἔχει A

ραρχοι τίνες καὶ τριήρεις ποῖαι[, καὶ τριάκοντα μὲν ἡ φυλή, δέκα δ' ἡ τριττὺς ἑκάστη τριήρεις ἔχῃ]. ἐὰν γὰρ ταῦθ' οὕτως εἰς ὁδὸν καταστῇ, εἴ τι καὶ παραλείπομεν νῦν (πάντα γὰρ ἴσως εὑρεῖν οὐ ῥᾴδιον), αὐτὸ τὸ πρᾶγμ' ἑαυτῷ εὑρήσει, 5 καὶ μία σύνταξις καὶ πασῶν τῶν νεῶν καὶ μέρους ἔσται.

Ὑπὲρ δὲ χρημάτων καὶ πόρου φανεροῦ τινὸς ἤδη παράδοξον μὲν οἶδα λόγον μέλλων λέγειν, ὅμως δ' εἰρήσεται· πιστεύω γάρ, ἐάν τις ὀρθῶς σκοπῇ, μόνος τἀληθῆ καὶ τὰ γενησόμεν' εἰρηκὼς φανεῖσθαι. ἐγώ φημι χρῆναι μὴ 10 λέγειν νυνὶ περὶ χρημάτων· εἶναι γὰρ πόρον, ἂν δέῃ, μέγαν καὶ καλὸν καὶ δίκαιον, ὃν ἂν μὲν ἤδη ζητῶμεν, οὐδ' εἰς τόθ' ὑπάρχειν ἡγησόμεθ' ἡμῖν (οὕτω πολὺ τοῦ πορίσαι νῦν ἀποσχήσομεν), ἐὰν δ' ἐῶμεν, ἔσται. τίς οὖν ἔσθ' οὗτος ὁ νῦν μὲν οὐκ ὤν, ὑπάρξων δ' εἰς τότε; αἰ- 185 νίγματι | γὰρ ὅμοιον τοῦτό γε. ἐγὼ φράσω. ὁρᾶτε τὴν 16 πόλιν ὦ ἄνδρες Ἀθηναῖοι πᾶσαν ταύτην. ἐν ταύτῃ χρήματ' ἔνεστιν ὀλίγου δέω πρὸς ἁπάσας τὰς ἄλλας εἰπεῖν πόλεις. ταῦτα δ' οἱ κεκτημένοι τοιοῦτον ἔχουσι νοῦν, ὥστ', εἰ πάντες οἱ λέγοντες φοβοῖεν ὡς ἥξει βασι-

[margin: 24, 25]

1 ποῖαι γρ. FY: πόσαι SF¹A 1 sq. καὶ τριάκοντα … ἔχῃ del. Dobree 2 δ' ἡ] δε S¹ | τριήρης (?) F¹ 3 καταστάιη F | παραλείπομεν Y: παρ(ε)αλείπομεν F παρελείπομεν S παραλείπομαι A 4 ἴσως SA¹: ἀκριβῶς A³ mg. ἀκριβῶς (πως) F ἀκριβῶς πως Y | ραιον S¹ | αὔθ' ἑαυτῷ τὸ πρᾶγμ' coni. Weil | ἑαυτὸ A 5 καὶ πασῶν … μέρους secl. Blass sec. Tournier 7 λόγον μέλλων c. Rehd. Reiske: λόγον ὃν μέλλω SF (articulo opus esset) λέγω μέλλων A μέλλων λόγον Y 9 φανήσεσθαι FY 10 ἐὰν AY 11 cf. Hermog. III 450 W. (426, 13 R.) | ἐὰν FAY 12 ἡμῖν AY³ mg.: ὑμῖν SY¹ ἡ(υ)μῖν F 13 ἀποσχήσομεν] ἀποχρησόμεθα A 14 οὗτος om. Y | ὑπάρχων A | δ' εἰς SA: δὲ FY 15 cf. Arist. IX 388 ubi exemplum Aesch. III 17 intercidisse vid. 16 ταυτηνί FY 17 ἔνεστιν] εστιν S¹ corr. ead. cf. Plat. Alc. I 122ᵉ | πάσας AY 19 νοῦν SF¹A: τὸν νοῦν F corr. Y | οἱ ἐνταυθὶ λέγοντες A

λεύς, ὡς πάρεστιν, ὡς οὐδ' οἷόν τε ταῦτ' ἄλλως ἔχειν, καὶ μετὰ τῶν λεγόντων ἴσοι τὸ πλῆθος τούτοις χρησμῳδοῖεν, οὐ μόνον οὐκ ἂν εἰσενέγκαιεν, ἀλλ' οὐδ' ἂν δεί-
26 *ξαιεν οὐδ' ἂν ὁμολογήσαιεν κεκτῆσθαι. εἰ μέντοι τὰ νῦν διὰ τῶν λόγων φοβερὰ ἔργῳ πραττόμεν' αἴσθοιντο,* 5 *οὐδεὶς οὕτως ἠλίθιός ἐστιν ὅστις οὐχὶ κἂν δοίη καὶ πρῶτος εἰσενέγκαι· τίς γὰρ αἱρήσεται μᾶλλον αὐτὸς καὶ τὰ ὄντ' ἀπολωλέναι ἢ μέρος τῶν ὄντων ὑπὲρ αὐτοῦ καὶ τῶν λοιπῶν εἰσενεγκεῖν; χρήματα μὲν δή φημ' εἶναι τότε, ἂν ὡς ἀληθῶς δέῃ, πρότερον δ' οὔ. διὸ μηδὲ* 10 *ζητεῖν παραινῶ· ὅσα γὰρ | νῦν πορίσαιτ' ἄν, εἰ προέλοι-*
27 *σθε πορίζειν, πλείων ἐστὶ γέλως τοῦ μηδενός. φέρε γάρ, ἑκατοστήν τις εἰσφέρειν ἐρεῖ νῦν; οὐκοῦν ἑξήκοντα τάλαντα. ἀλλὰ πεντηκοστήν τις ἐρεῖ, τὸ διπλοῦν; οὐκοῦν ἑκατὸν καὶ εἴκοσι. καὶ τί τοῦτ' ἔστιν πρὸς διακοσίας* 15 *καὶ χιλίας καμήλους, ἃς βασιλεῖ τὰ χρήματ' ἄγειν φασὶν οὗτοι; ἀλλὰ θῶ βούλεσθε δωδεκάτην ἡμᾶς εἰσοίσειν, πεντακόσια τάλαντα; ἀλλ' οὔτ' ἂν ἀνάσχοισθ' οὔτ', εἰ*
28 *καταθεῖτε, ἄξια τοῦ πολέμου τὰ χρήματα. δεῖ τοίνυν ὑμᾶς τὰ μὲν ἄλλα παρασκευάσασθαι, τὰ δὲ χρήματα νῦν* 20 *μὲν ἐᾶν τοὺς κεκτημένους ἔχειν (οὐδαμοῦ γὰρ ἂν ἐν καλλίονι σῴζοιτο τῇ πόλει), ἐὰν δέ ποθ' οὗτος ὁ καιρὸς*

1 *οὐδ'* S: *οὐχ* FAY 2 *χρησμῳδοῖεν*] *χρησμῳδοὶ* Reiske 3 *δείξαιεν*] *δόξειεν* Cobet secl. verbis v. 4 *οὐδ' ἂν ὁμολογήσαιεν* 6 *οὐχὶ κἂν* (*ουχικαν*) S: *οὐχ ἱκανὸν* FY *οὐκ ἂν* AY[3] mg. *οὐχ ἑκὼν ἂν* Reiske 7 *εἰσενέγκοι* AY[3] 8 *ὄντα πάντ'* FAY 9 *εἰσενεγκεῖν* etiam F 11 *γὰρ γρ.* FAY: *γὰρ ἂν* SF[1] | *νυνὶ* FAY | *πορίσαισθ'* FAY | *ἂν* S *γρ.* FAY: om. F[1] | *εἰ γρ.* FAY: *ἡ* S *ἢ* F[1] 12 *πλείω* S | post *γὰρ* add. *τὴν* S rec. s. v. FY 13 *εἰσφέρει* Y[1] | *νῦν* om. A | *τάλαντα ἐρεῖ* FAY 18 *οὔτ' ἂν* FAY: *ουτ'* S | *οὔτ' εἰ* SAY corr.: *οὔτ' ἂν εἰ* FY[1] 20 *ἡμᾶς* (υ s. v.) F | *τὰ μὲν ἄλλα* S: *τἆλλα* FAY 22 *ὁ καιρὸς οὗτος* FY

186 ἔλθῃ, τόθ' | ἑκόντων εἰσφερόντων αὐτῶν λαμβάνειν. ταῦτα δὲ καὶ δυνατά ἐστιν ὦ ἄνδρες Ἀθηναῖοι καὶ πράττειν καλὰ καὶ συμφέροντα καὶ βασιλεῖ περὶ ὑμῶν ἐπιτήδει' ἀπαγγελθῆναι, καὶ φόβος οὐκ ὀλίγος γένοιτ' ἂν
5 ἐκείνῳ διὰ τούτων. οἶδε μέν γε διακοσίαις τριήρεσιν, 29 ὧν ἑκατὸν παρεσχόμεθ' ἡμεῖς, τοὺς προγόνους αὐτοῦ χιλίας ἀπολέσαντας ναῦς, ἀκούσεται δὲ τριακοσίας αὐτοὺς ἡμᾶς νῦν παρεσκευασμένους τριήρεις· ὥστε μὴ κομιδῇ, μηδ' εἰ πάνυ μαίνοιτο, νομίσαι ῥᾴδιόν τι τὸ τὴν
10 ἡμετέραν πόλιν ἐχθρὰν ποιήσασθαι. ἀλλὰ μὴν εἴ γ' ἐπὶ χρήμασιν αὐτῷ μέγ' ἐπέρχεται φρονεῖν, καὶ ταύτην ἀσθενεστέραν ἀφορμὴν τῆς ὑμετέρας εὑρήσει. ὁ μέν γε 30 χρυσίον, ὥς φασιν, ἄγει πολύ. τοῦτο δ' ἐὰν διαδῷ ζητήσει· καὶ γὰρ τὰς κρήνας καὶ τὰ φρέατ' ἐπιλείπειν πέ-
15 φυκεν, ἐάν τις ἀπ' αὐτῶν ἀθρόα καὶ πολλὰ λαμβάνῃ. ἡμῖν δὲ τὸ τῆς χώρας τίμημ' ὑπάρχον ἀφορμὴν [ἑξακισχίλια τάλαντα] ἀκούσεται, ὑπὲρ ἧς ὡς μὲν τοὺς ἐπιόντας ἐκείνων ἀμυνόμεθα, οἱ Μαραθῶνι τῶν προγόνων αὐτοῦ μάλιστ' ἂν εἰδεῖεν, ἕως δ' ἂν κρατῶμεν, οὐκ ἔνι
20 δήπου χρήμαθ' ἡμᾶς ἐπιλείπειν.

3 περὶ] παρ S cf. § 38   5 τούτων] τοῦτο A | διακοσίαις SF[1] (ut vid.) schol. p. 232, 1: τριακοσίαις F corr. AY   6 post ὧν 2 litt. eras. Y | παρεχόμεθ' S   7 αὐτοὺς ἡμᾶς S: αὐτοὺς ὑμᾶς FY ὑμᾶς αὐτοὺς A   8 νῦν om. FY | τριήρεις om. A incl. Bekker | μὴ om. A   9 μενοιτο ut vid. S[1] | τι SFY: εἶναι A   13 πολύ om. FAY | δ' ἂν FAY   14 αἱ κρῆναι A | ἐπιλείπειν SAY corr.: ἐπιλιπεῖν FY[1]   15 ἀθρόα FAY: αθροα S | καὶ om. A, cf. XXI 131 at v. Plat. remp. 344[d] | λαμβάνῃ] ηι in ras. S 16 sq. τὸ τῆς ... ἀκούσεται] τὴν χώραν ὑπάρχειν (ὑπάρχειν cum Harp. Phot.) ἀφορμὴν ἀκούσεται Dobree | ὀκτακισχίλια F „ἤτοι γραφικὸν ἁμάρτημά ἐστιν ἤ ..." Harp. s. ὅτι ἑξακ. | ἑξακισχίλια τάλαντα secl. G. H. Schaefer   17 ειποντας S[1]   18 ἀμυνόμεθα Ald. Tayl. Cobet: ἀμυνούμεθα SFAY | μαραθῶνι AY mg. (ἔν τινι): ἐν μαραθῶνι SFY[1] | καὶ σαλαμῖνι ante τῶν add. S γρ. F   20 ἐπιλιπεῖν FAY

31 *Καὶ μὴν οὐδ' ὅ τινες δεδίασιν, μὴ ξενικὸν πολὺ συστήσηται χρήματ' ἔχων, ἀληθὲς εἶναί μοι δοκεῖ. ἐγὼ γὰρ ἡγοῦμαι ἐπὶ μὲν Αἴγυπτον καὶ Ὀρόνταν καί τινας τῶν ἄλλων βαρβάρων πολλοὺς ἂν ἐθελῆσαι τῶν Ἑλλήνων μισθοφορεῖν παρ' ἐκείνῳ, οὐχ ἵν' ἐκεῖνος ἕλῃ τινὰ τού-* 5 *των, ἀλλ' ἵν' εὐπορίαν τιν' ἕκαστος ἑαυτῷ κτησάμενος ἀπαλλαγῇ τῆς ὑπαρχούσης πενίας· ἐπὶ δὲ τὴν* | *Ἑλλάδα* 187 *Ἕλλην' οὐδέν' ἂν ἐλθεῖν ἡγοῦμαι. ποῖ γὰρ αὐτὸς τρέ-*
32 *ψεται μετὰ ταῦτα; εἰς Φρυγίαν ἐλθὼν δουλεύσει; οὐ γὰρ ὑπὲρ ἄλλου τινός ἐστιν ὁ πρὸς τὸν βάρβαρον πόλεμος ἢ* 10 *περὶ χώρας καὶ βίου καὶ ἐθῶν καὶ ἐλευθερίας καὶ πάντων τῶν τοιούτων. τίς οὖν οὕτως δυστυχής ἐστιν ὅστις ἑαυτόν, γονέας, τάφους, πατρίδ' ἕνεκα κέρδους βραχέος προέσθαι βουλήσεται; ἐγὼ μὲν οὐδέν' ἡγοῦμαι. οὐ μὴν οὐδ' ἐκείνῳ συμφέρει ξένους κρατῆσαι τῶν Ἑλληνικῶν·* 15 *οἱ γὰρ ἡμῶν κρατήσαντες ἐκείνου γε πάλαι κρείττους ὑπάρχουσιν· βούλεται δ' ἐκεῖνος οὐκ ἀνελὼν ἡμᾶς ἐπ' ἄλλοις εἶναι, ἀλλὰ μάλιστα μὲν πάντων, εἰ δὲ μή γε, τῶν ὑπαρχόντων δούλων ἑαυτῷ νῦν ἄρχειν.*

33 *Εἰ τοίνυν τις οἴεται Θηβαίους ἔσεσθαι μετ' ἐκείνου,* 20 *ἔστι μὲν χαλεπὸς πρὸς ὑμᾶς ὁ περὶ τούτων λόγος (διὰ*

1 *διδόασι* A[1] corr. A[3] | *πολυν* S 3 *ἐπ' Αἴγυπτον μὲν* Flagg | *ὀρρόνταν* (prius *ρ* in ras.) Y 4 *θελῆσαι* Flagg 5 *μισθοφορεῖν* SF[1]A *γρ.* Y[2] *μισθοφορῆσαι* F rec. Y[1] 6 *τιν'* om. Y | *αὐτῶι* FY 7 *τὴν δ'* Flagg | *ἄλλην ἑλλάδα* F, 5 litt. ante *ἑλ.* eras. Y 8 *ἂν ἐλθεῖν οὐδένα* A | *ἐλθεῖν* SAY mg.: *ἐθέλειν* F (sed *θελ* in ras.) Y[1] 12 *ἐστὶ δυστυχὴς* FY 14 *οὐ* SA: *καὶ* FY 15 *ξένοις* A cf. schol. p. 232, 23 *διὰ τῶν ξένων*, Dobree; at cf. *οἱ ... κρατήσαντες* | *ἑλληνικῶν* SAF: *ἑλλήνων γρ.* F mg. Y 16 *κρατήσαντες* SFA[1]Y: *κρατήσοντες* A[3], Dobree 17 *ὑπάρχουσιν* SA: *εἰσὶν* FY 18 *μή γε τῶν* SFY: *μή τῶν γ'* A cf. Dion. Arch. III 29, 3. V 76, 1. VI 23, 3 saepius 21 *χαλαιπος* S[1] | *τούτων* SA: *ἐκείνων* FY

γὰρ τὸ μισεῖν αὐτοὺς οὐδ' ἂν ἀληθὲς οὐδὲν ἡδέως ἀγα-
θὸν περὶ αὐτῶν ἀκούσαιτε)· οὐ μὴν ἀλλὰ δεῖ τοὺς περὶ
πραγμάτων μεγάλων σκοποῦντας μηδένα συμφέροντα λο-
γισμὸν παραλιπεῖν διὰ μηδεμίαν πρόφασιν. ἐγὼ τοίνυν
5 *οἶμαι τοσοῦτον ἀπέχειν Θηβαίους τοῦ μετ' ἐκείνου ποτ'*
ἂν ἐλθεῖν ἐπὶ τοὺς Ἕλληνας, ὥστε πολλῶν ἂν χρημάτων, 34
εἰ ἔχοιεν δοῦναι, πρίασθαι γενέσθαι τιν' αὐτοῖς καιρὸν
δι' οὗ τὰς προτέρας ἀναλύσονται πρὸς τοὺς Ἕλληνας
ἁμαρτίας. εἰ δ' ἄρα παντάπασί τις οὕτως οἴεται φύσει
10 *δυστυχεῖς Θηβαίους εἶναι, ἐκεῖνό γε δήπουθεν ἅπαντες*
ἐπίστασθε, ὅτι Θηβαίων τἀκείνου φρονούντων ἀνάγκη
τοὺς τούτων ἐχθροὺς τὰ τῶν Ἑλλήνων φρονεῖν.

188 *Ἡγοῦμαι τοίνυν | ἐγὼ ταύτην τὴν τάξιν τοῦ δικαίου* 35
καὶ τοὺς μετ' αὐτῆς ὄντας κρείττους τῶν προδοτῶν καὶ
15 *τοῦ βαρβάρου ἔσεσθαι πρὸς ἅπαντα. ὥστ' οὔτε φοβεῖ-*
σθαί φημι δεῖν πέρα τοῦ μετρίου, οὔθ' ὑπαχθῆναι προ-
τέρους ἐκφέρειν τὸν πόλεμον. καὶ μὴν οὐδὲ τῶν ἄλλων
οὐδέν' ἂν εἰκότως Ἑλλήνων φοβηθέντα τὸν πόλεμον
τοῦτον ὁρῶ. τίς γὰρ οὐκ οἶδεν αὐτῶν ὅτι, τέως μὲν κοι- 36
20 *νὸν ἐχθρὸν ἐκεῖνον ὑπειληφότες ὡμονόουν ἀλλήλοις,*
πολλῶν ἀγαθῶν ἦσαν κύριοι, ἐπειδὴ δὲ φίλον αὐτὸν
νομίσαντες αὐτοῖς ὑπάρχειν περὶ τῶν πρὸς ἑαυτοὺς διη-

1 *οὐδὲν* om. FY | *ἡδέως* Dobree: *ἡδέως οὐδ'* SFAY | *ἀγαθόν τι* FAY 2 *ἀκούσαιτε* Y corr.: *ἀκούσετε* S *ἀκούσεσθε*[σετε] F *ἀκούσεται* A *ἀκούσεσθε* ut vid. Y[1] 5 *οἴομαι τοσοῦτ'* A 8 *διαλύσονται γρ.* S[d]FY 11 *ἀνάγκηι* A 14 *τῶν προδοτῶν κρείττους* FY 15 *ἅπαντα* G. H. Schaefer, cf. XXXVI 50: *ἅπαντας* SFAY | *οὔτε*] *οὐδὲ* Y[1] 17 *οὐδὲ* om. A 18 *Ἑλλήνων* om. F 19 *τέως* SF[1] *γρ.* FA[1] (*τε ὡς*) Y[1] Suidas: *ἕως* F corr. A[s]Y corr. 19 sq. *ἐκεῖνον κοινὸν ἐχθρὸν* FY 22 *αὑτοὺς* F *αὐτοὺς* Y

νέχθησαν διαφόρων, ὅσ' ἂν οὐδὲ καταρώμενος ηὗρέ τις
αὐτοῖς, τοσαῦτα πεπόνθασιν κακά; εἶθ' ὃν ἡ τύχη καὶ
τὸ δαιμόνιον φίλον μὲν ἀλυσιτελῆ, συμφέροντα δ' ἐχθρὸν
ἐμφανίζει, τοῦτον ἡμεῖς φοβώμεθα; μηδαμῶς· ἀλλὰ μηδ'
ἀδικῶμεν αὐτόν, ἡμῶν ἕνεκα καὶ τῆς τῶν ἄλλων Ἑλλή- 5
37 νων ταραχῆς καὶ ἀπιστίας· ἐπεὶ εἴ γ' ὁμοθυμαδὸν ἦν
μετὰ πάντων ἐπιθέσθαι μόνῳ, οὐδ' ἀδικεῖν ἡμᾶς ἐκεῖνον
ἀδίκημ' ἂν ἔθηκα. ἐπειδὴ δὲ τοῦτ' οὐχ οὕτως ἔχει, φυ-
λάττεσθαί φημι δεῖν μὴ πρόφασιν δῶμεν βασιλεῖ τοῦ τὰ
δίκαι' ὑπὲρ τῶν ἄλλων Ἑλλήνων ζητεῖν· ἡσυχίαν μὲν 10
γὰρ ἐχόντων ὑμῶν ὕποπτος ἂν εἴη τοιοῦτόν τι πράττων,
πόλεμον δὲ ποιησαμένων προτέρων εἰκότως ἂν δοκοίη
διὰ τὴν πρὸς ὑμᾶς ἔχθραν τοῖς ἄλλοις φίλος εἶναι βού-
38 λεσθαι. μὴ οὖν ἐξελέγξηθ' ὡς κακῶς ἔχει τὰ Ἑλληνικά,
συγκαλοῦντες ὅτ' οὐ πείσονται, καὶ πολεμοῦντες ὅτ' οὐ 15
δυνήσεσθε· ἀλλ' ἔχεθ' ἡσυχίαν θαρροῦντες καὶ παρα-
σκευαζόμενοι, καὶ βούλεσθ' ἀπαγγέλλεσθαι μὲν περὶ ὑμῶν |
πρὸς βασιλέα, μὴ μὰ Δί' ὡς ἀποροῦσιν ἢ φοβοῦνται ἢ 189
θορυβοῦνται πάντες [οἱ Ἕλληνες καὶ Ἀθηναῖοι], πολλοῦ
39 γε καὶ δεῖ, ἀλλ' ὅτι, εἰ μὲν μὴ τοῖς Ἕλλησιν ὁμοίως 20
αἰσχρὸν ἦν τὸ ψεύδεσθαι καὶ ἐπιορκεῖν ὥσπερ ἐκείνῳ κα-

1 διαφόρων Vind. 4 Vat.[b]: διαφορῶν SFAY | ὅσ'] ὅσα F σα in ras. | ἂν οὐδὲ] οὐδ' ἂν Tournier 3 ἀλυσιτελῆι Y 4 φοβούμεθα A Hermog. III 151 W. (177, 17 R.) | μηδ' AY[3] mg.: μὴ SFY[1] 5 αὐτὸν ἡμῶν SF: αὐτὸν ἡμῶν αὐτῶν γρ. FAY[3] mg. ἡμῶν αὐτῶν Y[1] αὐτῶν ἡμῶν Par. Coisl. 6 ἀπιστειας S[1] | ὁμοθυμον S[1]F 7 ἀδικεῖν ἂν S[2] mg. FY | ἀδικεῖν ἡμᾶς ἐκεῖνον secl. Blass 7 sq. ἐκεῖνον ἀδίκημ' ἂν ἔθηκα SFY: ἔθηκα ἐκεῖνον A 8 οὐχ] υ post add. F

11 πράττων (ειν supra) F πράττειν Y[3] 12 πρότερον A 13 φιλοις S[1] 15 πείσονται SF[1]: πείσετε F rec. AY 17 βουλεσθαι S | ἐπαγγέλλεσθαι A | μὲν om. FY del. Tournier | περὶ] παρὰ Tournier 19 οἱ Ἕλληνες καὶ Ἀθηναῖοι secl. Weil 20 μὲν om. FY

λόν, πάλαι ἂν ἐπ' αὐτὸν ὑμεῖς ἐπορεύεσθε, νῦν δὲ τοῦτο μὲν οὐκ ἂν ποιήσαιτε, ὑμῶν ἕνεκ' αὐτῶν, εὔχεσθε δὲ πᾶσι τοῖς θεοῖς τὴν αὐτὴν λαβεῖν παράνοιαν ἐκεῖνον ἥνπερ ποτὲ τοὺς προγόνους αὐτοῦ. καὶ ταῦτ' ἂν ἐπίῃ
5 *σκοπεῖν αὐτῷ, οὐκ ὀλιγώρως ὑμᾶς βουλευομένους εὑρήσει. ἐκ μέν γε τῶν πρὸς τοὺς ἑαυτοῦ προγόνους πολέμων* 40 *σύνοιδεν τὴν πόλιν εὐδαίμονα καὶ μεγάλην γεγενημένην, ἐκ δὲ τῆς ἡσυχίας ἧς ἦγέν ποτε, οὐδεμιᾶς τῶν ἄλλων Ἑλληνίδων πόλεων τοσοῦτον ὅσον νῦν ὑπεραίρουσαν.*
10 *καὶ μὴν καὶ τοὺς Ἕλληνας ὁρᾷ δεομένους ἤτοι τινὸς ἑκουσίου ἢ ἀκουσίου διαλλακτοῦ, τοῦτον δ' αὐτὸν ἂν οἶδεν φανέντ' αὐτοῖς, εἰ πόλεμον κινοίη. ὥστε καὶ γνώριμα καὶ πίστ' αὐτῷ τῶν ἀπαγγελλόντων ἀκούειν ἔσται.*

15 *Ἵνα δ' ὦ ἄνδρες Ἀθηναῖοι μὴ μακρὰ λίαν λέγων* 41 *ἐνοχλῶ, τὰ κεφάλαι' ὧν συμβουλεύω φράσας ἄπειμι. παρασκευάζεσθαι μὲν πρὸς τοὺς ὑπάρχοντας ἐχθροὺς κελεύω, ἀμύνεσθαι δὲ βασιλέα καὶ πάντας, ἐὰν ἀδικεῖν ἐπιχειρῶσιν, ταύτῃ τῇ αὐτῇ δυνάμει φημὶ δεῖν, ἄρχειν δὲ μηδε-*
20 *νὸς μήτε λόγου μήτ' ἔργου ἀδίκου, τὰ δ' ἔργ' ἡμῶν ὅπως ἄξια τῶν προγόνων ἔσται σκοπεῖν, μὴ τοὺς ἐπὶ τοῦ βή-*

1 *ἐπ' αὐτὸν ὑμεῖς* S: *ὑμεῖς ἐπ' αὐτὸν* A *ὑμεῖς ἐπ' ἐκεῖνον* FY 2 *ποιήσαιτε* Y corr.: *ποιήσετε* SFAY[1] | *εὔχεσθαι* S 4 *ἐπίῃ*] *ἐπειηι* S 5 *ὀλιγώρως*] *ἀλόγως γρ.* S[d] *γρ.* F 6 *τοὺς* om. S[1] 8 *ἧς* S: *ἧς* (ην superscr.) F *ἣν* AY | *ποτε* SF: *πρὸ τοῦ γρ.* S[d]Y *πρὸ τούτων* A (dittographia) | *οὐδεμιᾶς* post *πόλεων* v. 9 pon. AY | *ἄλλων* om. Y 11 *ἂν* om. A 13 *τὰ τῶν* A | *ἀγγελλόντων* A 15 *μακρὰ λίαν λέγων* S: *μακρὰ λέγων λίαν* FY *μακρολογίαν λέγων* A 17 *μὲν* om. Y 18 *ἀμύνασθαι* Y | *δὲ καὶ* FAY | *ἂν* FY 19 *αὐτῇ* om. FAY 20 *ἀδίκου* suspectum; post *ἄρχειν δὲ* transp. Blass, post *μηδενὸς* Weil | *δ'* om. S 21 *σκοπεῖν* SA: *σκοπῶμεν* FY (ω in ras. Y[1]) | *μὴ*] *δὴ* S | *τοῦ* om. F

ματος λόγους. κἂν ταῦτα ποιῆτε, καὶ ὑμῖν αὐτοῖς καὶ τοῖς τἀναντία πείθουσι συμφέροντα πράξετε· οὐ γὰρ ὀργιεῖσθ᾽ αὐτοῖς ὕστερον, νῦν ἁμαρτόντες.

2 *ὀργισθήσεσθε* FY 3 *αμαρτῶντες* S corr. *ἁμαρτάνοντες* A

In SF subscriptum

ΠΕΡΙ ΤΩΝ (om. F) ΣΥΜΜΟΡΙΩΝ

Η̄ Η̄ Η̄ [Δ] Δ̄ Δ̄ Δ̄ Δ̄

addidit S[d] ⍋ (i. e. *διώρθωται*) et m. rec. ⍋

in AY ΠΕΡΙ ΤΩΝ (om. Y) ΣΥΜΜΟΡΙΩΝ

XV

190 ΥΠΕΡ ΤΗΣ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ

ΥΠΟΘΕΣΙΣ

*Τὸν συμμαχικὸν κληθέντα πόλεμον ⟨ἤραντο⟩ πρὸς Ἀθη-
ναίους Χῖοι καὶ Ῥόδιοι καὶ Βυζάντιοι, πρότερον μὲν αὐτῶν
ὑπήκοοι γεγονότες, τότε δ' ἀλλήλοις συμμαχίαν πεποιημένοι
κατὰ τῶν Ἀθηναίων. γείτονες δ' ὄντες οἱ Ῥόδιοι τῇ Καρίᾳ
5 πρὸς τὸν ταύτης ὕπαρχον Μαύσωλον οἰκείως ἔχειν ἐδόκουν.
ὁ δὲ κατ' ὀλίγον πιστευόμενος ὑπ' αὐτῶν ἐπιβουλὴν κατὰ τοῦ
δήμου συνεστήσατο, καὶ τὴν δημοκρατίαν τῶν Ῥοδίων ἀφελό-
μενος ὀλίγοις τοῖς δυνατωτάτοις τὴν πόλιν κατεδούλωσεν. συμ-
βουλεύει τοίνυν ὁ Δημοσθένης μὴ περιορᾶν ταῦτα, ἀλλὰ βοηθεῖν
10 τῷ δήμῳ τῶν Ῥοδίων, συμφέρειν λέγων τοῖς Ἀθηναίοις τὸ
δημοκρατεῖσθαι τὰς πόλεις. εἰ δ' ἠδικήκασιν ἡμᾶς Ῥόδιοι,
φησίν, ἀλλὰ πρέπον ἐστὶν ἡμῖν καὶ σύνηθες τὸ καὶ τοὺς λυ-
πήσαντάς τι τῶν Ἑλλήνων ἐλευθεροῦν καὶ μὴ μνησικακεῖν
ἁμαρτάνουσιν εἰς τὴν πόλιν.*

15 Οἶμαι δεῖν ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι περὶ τηλικούτων Prooem XXVII
βουλευομένους διδόναι παρρησίαν ἑκάστῳ τῶν συμβου-

In titulo ΤΗΣ ΤΩΝ Α ΠΕΡΙ ΤΗΣ ΤΩΝ Υ (non in arg.) *ὑπόθεσις τῆς ῥοδίων ἐλευθερίας* F 1 *ἤραντο* add. Felicianus; post *ἀθηναίους* habet signum ∴ Y, quid in mg. scriptum sit non dispicio 5 *ναύσωλον* F 6 *πιστευόμενος*] *πεισθεὶς* F („voluit *πιστευθεὶς*" Voemel) 8 *δυνατωτέροις* codd. 10 *λέγων* Y corr.: om FY¹ cf. arg. ad or. XVI 11 sq. *φησὶ ῥόδιοι* Y 12 *ὑμῖν* Y 15 *ὑμᾶς* om. S¹ add. ead. ut vid.

λευόντων. ἐγὼ δ' οὐδεπώποθ' ἡγησάμην χαλεπὸν τὸ διδά-
ξαι τὰ βέλτισθ' ὑμᾶς (ὡς γὰρ εἰπεῖν ἁπλῶς, ἅπαντες | ὑπάρ- 191
χειν ἐγνωκότες μοι δοκεῖτε), ἀλλὰ τὸ πεῖσαι πράττειν
ταῦτα· ἐπειδὰν γάρ τι δόξῃ καὶ ψηφισθῇ, τότ' ἴσον τοῦ
2 πραχθῆναι ἀπέχει ὅσονπερ πρὶν δόξαι. ἔστι μὲν οὖν ἓν 5
ὧν ἐγὼ νομίζω χάριν ὑμᾶς τοῖς θεοῖς ὀφείλειν, τὸ τοὺς
διὰ τὴν αὑτῶν ὕβριν ὑμῖν πολεμήσαντας οὐ πάλαι, νῦν
ἐν ὑμῖν μόνοις τῆς αὑτῶν σωτηρίας ἔχειν τὰς ἐλπίδας.
ἄξιον δ' ἡσθῆναι τῷ παρόντι καιρῷ· συμβήσεται γάρ,
ἐὰν ἃ χρὴ βουλεύσησθ' ὑπὲρ αὐτοῦ, τὰς παρὰ τῶν δια- 10
βαλλόντων τὴν πόλιν ἡμῶν βλασφημίας ἔργῳ μετὰ δό-
3 ξης καλῆς ἀπολύσασθαι. ᾐτιάσαντο μὲν γὰρ ἡμᾶς ἐπι-
βουλεύειν αὐτοῖς Χῖοι καὶ Βυζάντιοι καὶ Ῥόδιοι, καὶ διὰ
ταῦτα συνέστησαν ἐφ' ἡμᾶς τὸν τελευταῖον τουτονὶ πό-
λεμον· φανήσεται δ' ὁ μὲν πρυτανεύσας ταῦτα καὶ πεί- 15
σας Μαύσωλος, φίλος εἶναι φάσκων Ῥοδίων, τὴν ἐλευ-
θερίαν αὐτῶν ἀφῃρημένος, οἱ δ' ἀποδείξαντες ἑαυτοὺς
συμμάχους Χῖοι καὶ Βυζάντιοι τοῖς ἀτυχήμασιν αὐτῶν οὐ
4 βεβοηθηκότες, ὑμεῖς δ', οὓς ἐφοβοῦντο, μόνοι τῶν πάν-
των τῆς σωτηρίας αὐτοῖς αἴτιοι. ἐκ δὲ τοῦ ταῦθ' ὑφ' 20
ἁπάντων ὀφθῆναι ποιήσετε τοὺς πολλοὺς ἐν ἁπάσαις ταῖς

1 τὸ om. FY 2 ἁπλῶς εἰπεῖν A prooem. XXVII (positio usitata cf. XX 124. XI 2) | πάντες prooem. 3 ἐγνωκότες ὑπάρχειν FAY | ἔμοιγε prooem. | πράττειν πεῖσαι FY 4 τότε ἴσον S prooem.: τοσοῦτον γρ. S[d] FY τότε τοσοῦτον A | τοῦ om. Y[1] 5 ὅσον FY | ἓν SFY: ἐξ A om. prooem. 6 νομίζω δεῖν A | τὸ] om. S[1] prooem. ὁρῶντας A | τοὺς SFY: τούτους A prooem. 7 ὑμῖν μὲν ... νῦν δ' A 8 ἐν ἡμῖν S 9 ὑμῖν post γάρ add. FAY prooem. 10 ὑπὲρ γρ. S[d] Y prooem: περὶ SA γρ. Y[2] ὑπερ (περὶ) F | αὐτοῦ SAY: αυτων γρ. S[d] αὐτοῦ (ῶν) F | τὰς om. S[1] add. S[d] 14 τουτονὶ τὸν τελευταῖον A | τοῦτο Y 17 αὐτῶν S: αὐτοὺς FA αὑτοὺς Y 18 ἀτυχήσασιν FAY 20sq. ὑπὸ πάντων FAY 21 ποιήσεται S[1]

πόλεσι τοῦτο ποιεῖσθαι σύμβολον τῆς αὑτῶν σωτηρίας,
ἐὰν ὑμῖν ὦσιν φίλοι, οὗ μεῖζον οὐδὲν ἂν ὑμῖν γένοιτ' ἀγα-
θόν, ἢ παρὰ πάντων ἑκόντων ἀνυπόπτου τυχεῖν εὐνοίας.
Θαυμάζω δ' ὅτι τοὺς αὐτοὺς ὁρῶ ὑπὲρ μὲν Αἰγυπτίων 5
5 τἀναντία πράττειν βασιλεῖ τὴν πόλιν πείθοντας, ὑπὲρ
δὲ τοῦ Ῥοδίων δήμου φοβουμένους τὸν ἄνδρα τοῦτον.
καίτοι τοὺς μὲν Ἕλληνας ὄντας ἅπαντες ἴσασιν, τοὺς δ'
192 ἐν τῇ ἀρχῇ | τῇ 'κείνου μεμερισμένους. οἶμαι δ' ὑμῶν 6
μνημονεύειν ἐνίους, ὅτι ἡνίκ' ἐβουλεύεσθ' ὑπὲρ τῶν
10 βασιλικῶν, παρελθὼν πρῶτος ἐγὼ παρῄνεσα, οἶμαι δὲ
μόνος ἢ δεύτερος εἰπεῖν, ὅτι μοι σωφρονεῖν ἂν δοκεῖτε,
εἰ τὴν πρόφασιν τῆς παρασκευῆς μὴ τὴν πρὸς ἐκεῖνον
ἔχθραν ποιοῖσθε, ἀλλὰ παρασκευάζοισθε μὲν πρὸς τοὺς XIV 11. 41
ὑπάρχοντας ἐχθρούς, ἀμύνοισθε δὲ κἀκεῖνον, ἐὰν ὑμᾶς
15 ἀδικεῖν ἐπιχειρῇ. καὶ οὐκ ἐγὼ μὲν εἶπον ταῦθ', ὑμῖν δ'
οὐκ ἐδόκουν ὀρθῶς λέγειν, ἀλλὰ καὶ ὑμῖν ἤρεσκεν ταῦτα.
ἀκόλουθος τοίνυν ὁ νῦν λόγος ἐστί μοι τῷ τότε ῥηθέντι. 7
ἐγὼ γάρ, εἰ βασιλεὺς παρ' αὐτὸν ὄντα με σύμβουλον
ποιοῖτο, ταὔτ' ἂν αὐτῷ παραινέσαιμ' ἅπερ ὑμῖν, ὑπὲρ μὲν
20 τῶν αὑτοῦ πολεμεῖν, ἐάν τις ἐναντιῶται τῶν Ἑλλήνων,
ὧν δὲ μηδὲν αὐτῷ προσήκει, τούτων μηδ' ἀντιποιεῖσθαι
τὴν ἀρχήν. εἰ μὲν οὖν ὅλως ἐγνώκατ' ὦ ἄνδρες Ἀθηναῖοι, 8

1 σύμβουλον Y[1] 2 ἐὰν] ἂν A | ἂν ὑμῖν οὐδὲν A 4 ὅτι] ὅταν Gebauer; fortasse ὅτι deleto ὁρῶν scribendum est 6 τὸν αὐτὸν ἄνδρα τοῦτον (ὑπὲρ superscr.) FAY 7 ἅπαντας F 9 ὑπὲρ SA: περὶ F περὶ Y 10 ἐγὼ πρῶτος A 11 μόνος S: καὶ μόνος FAY | δοκεῖτε SY[1]: δοκοῖτε FAY corr. 13 ποιοῖσθε FY: ποιεῖσθε SA 14 ἀμύνοισθε FAY: ἀμύνεσθε S | ἂν A 15 ἐπιχειρῆι ἀδικεῖν A[1] corr. ead. | ταῦτα εἶπον FY 17 ὁ νῦν om. FY 18 εἰ om. Y[1] 19 ταὔτ' Baiter: ταῦτ' SFAY 20 ἐναντιοῦται A 21 ὧν om. Y[1] | προσήκειν Y corr.

ὅσων ἂν βασιλεὺς ἐγκρατὴς γένηται φθάσας ἢ παρακρουσάμενός τινας τῶν ἐν ταῖς πόλεσιν, παραχωρεῖν, οὐ καλῶς ἐγνώκατε, ὡς ἐγὼ κρίνω· εἰ δ' ὑπὲρ τῶν δικαίων καὶ πολεμεῖν, ἂν τούτου δέῃ, καὶ πάσχειν ὁτιοῦν οἴεσθε χρῆναι, πρῶτον μὲν ὑμῖν ἧττον δεήσει τούτων, ὅσῳ ἂν μᾶλλον 5 ἐγνωκότες ἦτε ταῦτα, ἔπειθ' ἃ προσήκει φρονεῖν δόξετε.

9 Ὅτι δ' οὐδὲν καινὸν οὔτ' ἐγὼ λέγω νῦν κελεύων Ῥοδίους ἐλευθεροῦν, οὔθ' ὑμεῖς, ἂν πεισθῆτε, ποιήσετε, τῶν γεγενημένων ὑμᾶς τι καὶ συνενηνοχότων ὑπομνήσω. ὑμεῖς ἐξεπέμψατε Τιμόθεόν ποτ' ὦ ἄνδρες Ἀθηναῖοι 10 βοηθήσοντ' Ἀριοβαρζάνῃ, προσγράψαντες τῷ ψη|φίσματι 193 „μὴ λύοντα τὰς σπονδὰς τὰς πρὸς τὸν βασιλέα". ἰδὼν δ' ἐκεῖνος τὸν μὲν Ἀριοβαρζάνην φανερῶς ἀφεστῶτα τοῦ βασιλέως, Σάμον δὲ φρουρουμένην ὑπὸ Κυπροθέμιδος, ὃν κατέστησε Τιγράνης ὁ βασιλέως ὕπαρχος, τῷ μὲν 15 ἀπέγνω μὴ βοηθεῖν, τὴν δὲ προσκαθεζόμενος καὶ βοη-

10 θήσας ἠλευθέρωσεν· καὶ μέχρι τῆς τήμερον ἡμέρας οὐ γέγονεν πόλεμος διὰ ταῦθ' ὑμῖν. οὐ γὰρ ὁμοίως οὐδεὶς ὑπέρ τε τοῦ πλεονεκτεῖν πολεμήσειεν ἂν καὶ τῶν ἑαυτοῦ, ἀλλ' ὑπὲρ μὲν ὧν ἐλαττοῦνται μέχρι τοῦ δυνατοῦ πάντες 20

1 ἢ SA: καὶ FY 2 πόλεσιν F[1]Y: πόλεσι SF corr. A 3 ὑπέρ γε FAY 4 ὁτιοῦν SAY corr.: ὁτιοῦν ἂν F ὅτι ἂν οὖν Y[1] | οἴεσθαι S 5 τούτου (ων supra) F τούτου Y 6 προσήκει om. A 7 καινὸν οὔτ' SFY: οὔτ' ἐκεῖνον ἀδικεῖν A 8 ἂν SFY[1]: εἰ AY corr. | πεισθῆτε S[1]: πεισθῆτε μοι S corr. A πεισθείητέ μοι FY 9 συνενηχότων A συνενεγκόντων γρ. F 11 post Ἀριοβαρζάνῃ add. φανερως αφεστωτα του βασιλεως S ex v. 13 12 τὸν om. FY | ειδων S[1] | post ἰδὼν eras. δε F 13 μὲν om. A | αριοβαρζανη S | τοῦ om. hic S 14 κυπροθέσμιδος S[1] 16 μὴ om. A | βοηθήσας SA: πολεμήσας FY 18 γέγονεν Blass: γέγονε SFAY 19 ὑπὲρ τῶν ἑαυτοῦ FY 20 μὲν om. F[1] add. mg. | ὧν] τῶν ut vid. S[1] ἂν ἐλαττῶνται Stob. flor. LIV 33 | μέχρι in fin. et initio fol. iteratum in A, prius erasum

πολεμοῦσιν, ὑπὲρ δὲ τοῦ πλεονεκτεῖν οὐχ οὕτως, ἀλλ' ἐφίενται μέν, ἐάν τις ἐᾷ, ἐὰν δὲ κωλυθῶσιν, οὐδὲν ἠδικηκέναι τοὺς ἐναντιωθέντας αὐτοῖς ἡγοῦνται.

Ὅτι δ' οὐδ' ἂν ἐναντιωθῆναί μοι δοκεῖ τῇ πράξει ταύτῃ 11
5 νῦν Ἀρτεμισία τῆς πόλεως οὔσης ἐπὶ τῶν πραγμάτων, μίκρ' ἀκούσαντες σκοπεῖτ' εἴτ' ὀρθῶς λογίζομαι ταῦτ' εἴτε μή. ἐγὼ νομίζω, πράττοντος μὲν ἐν Αἰγύπτῳ πάνθ' ὡς ὥρμηκεν βασιλέως, σφόδρ' ἂν Ἀρτεμισίαν πειραθῆναι περιποιῆσαι Ῥόδον αὐτῷ, οὐ τῇ βασιλέως εὐνοίᾳ, ἀλλὰ
10 τῷ βούλεσθαι πλησίον αὐτῆς διατρίβοντος ἐκείνου μεγάλην εὐεργεσίαν καταθέσθαι πρὸς αὐτόν, ἵν' ὡς οἰκειότατ' αὐτὴν ἀποδέχηται· πράττοντος δ' ὡς λέγεται, καὶ διημαρτηκότος οἷς ἐπεχείρησεν, ἡγεῖσθαι τὴν νῆσον ταύτην, 12
ὅπερ ἔστιν, ἄλλο μὲν οὐδὲν ἂν εἶναι βασιλεῖ χρησίμην
15 ἐν τῷ παρόντι, τῆς δ' αὐτῆς ἀρχῆς ἐπιτείχισμα πρὸς τὸ μηδ' ὁτιοῦν παρακινεῖν. ὥστε μοι δοκεῖ μᾶλλον ἂν ὑμᾶς ἔχειν, μὴ φανερῶς αὐτῆς ἐνδούσης, ἢ 'κεῖνον λαβεῖν βού-|
194 λεσθαι. οἶμαι μὲν οὖν οὐδὲ βοηθήσειν αὐτήν, ἂν δ' ἄρα τοῦτο ποιῇ, φαύλως καὶ κακῶς. ἐπεὶ καὶ βασιλέα γε, ὅ τι 13
20 μὲν ποιήσει μὰ Δί' οὐκ ἂν εἴποιμ' ἔγωγ' ὡς οἶδα, ὅτι μέντοι συμφέρει τῇ πόλει δῆλον ἤδη γενέσθαι πότερ' ἀντιποιήσεται τῆς πόλεως τῆς Ῥοδίων ἢ οὔ, τοῦτ' ἂν ἰσχυρισαίμην· οὐ γὰρ ὑπὲρ Ῥοδίων βουλευτέον, ὅταν

1 πολεμήσουσιν A 3 αὐτοῖς om. FY 4 ἂν om. FY[1] 6 ὀρθῶς ἐγὼ FY 7 εἴτε καὶ μή FY 8 ὡς SFY[1]: ὅσ' AY[3] mg. | βασιλέως] βασιλευς ὡς S | αρτεμισειαν S[1] 9 οὐ τῇ] οὐχὶ Tournier | ἀλλὰ τῷ] αμα του S[1] 11 sq. οικειοτατα ταυτην S 12 ἀποδέχοιτο FY 13 οἷς] οἱ S ὅσ' Tournier 14 ἂν om. FY 16 ὥστ' ἐμοὶ A 19 φαύλω F[1] | γε om. FY 20 ποτε post μὲν add. FY 22 αντιποιησετε S ἀντιποιεῖται Blass | τοῦτ' S: ταῦτα F ταῦτ' AY 23 ὅταν S: ἂν FAY

ἀντιποιῆται, μόνον, ἀλλ' ὑπὲρ ἡμῶν αὐτῶν καὶ τῶν πάντων Ἑλλήνων.

14 *Οὐ μὴν οὐδ' ἂν εἰ δι' αὐτῶν εἶχον τὴν πόλιν οἱ νῦν ὄντες ἐν αὐτῇ Ῥόδιοι, παρῄνεσ' ἂν ὑμῖν τούτους ἑλέσθαι, οὐδ' εἰ πάνθ' ὑπισχνοῦνθ' ὑμῖν ποιήσειν. ὁρῶ* 5 *γὰρ αὐτοὺς τὸ μὲν πρῶτον, ὅπως καταλύσωσιν τὸν δῆμον, προσλαβόντας τινὰς τῶν πολιτῶν, ἐπειδὴ δὲ τοῦτ' ἔπραξαν, πάλιν ἐκβαλόντας τούτους· τοὺς οὖν μηδετέροις πιστῶς κεχρημένους οὐδ' ἂν ὑμῖν βεβαίους ἡγοῦμαι γενέσθαι συμμάχους.* 15 *καὶ ταῦτ' οὐδεπώποτ' εἶπον ἄν, εἰ* 10 *τῷ Ῥοδίων δήμῳ μόνον ἡγούμην συμφέρειν· οὔτε γὰρ προξενῶ τῶν ἀνδρῶν οὔτ' ἰδίᾳ ξένος αὐτῶν οὐδείς ἐστί μοι. οὐ μὴν οὐδ' εἰ ταῦτ' ἀμφότερ' ἦν, εἰ μὴ συμφέρειν ὑμῖν ἡγούμην, εἶπον ἄν, ἐπεὶ Ῥοδίοις γ', εἰ οἷόν τε τοῦτ' εἰπεῖν τῷ συναγορεύοντι τῇ σωτηρίᾳ αὐτῶν, συγχαίρω* 15 *τῶν γεγενημένων. τοῦ κομίσασθαι γὰρ τὰ ὑμέτερ' ὑμῖν φθονήσαντες τὴν ἑαυτῶν ἐλευθερίαν ἀπολωλέκασιν, καὶ παρὸν αὐτοῖς Ἕλλησι καὶ βελτίοσιν αὐτῶν [ὑμῖν] ἐξ ἴσου συμμαχεῖν, βαρβάροις καὶ δούλοις, οὓς εἰς τὰς ἀκροπόλεις παρεῖνται, δουλεύουσιν.* 16 *ὀλίγου δὲ δέω λέγειν, ἐὰν* 20 *αὐ|τοῖς ὑμεῖς ἐθελήσητε βοηθῆσαι, ὡς καὶ συνενήνοχε* 195

1 *αντιποιειτε* S | *ὑμῶν* AY | *πάντων τῶν* FAY 3 *ἂν* om. A[1] add. A[2] 4 *παρῄνεσ' ἂν*] *παρήινεσαν* A 5 *ἡμῖν* Y | *ποιήσειν ὑμῖν* A 8 *ἔπραξεν* (superscr. *αν*) F 9 *γεγενῆσθαι βεβαίους ἡγοῦμαι* A 10 *οὐδέποτ'* FY[1] 12 *προξενῶν* F corr. Y[1] | *ἰδιαιξενος* (superscr. *ο*) F (voluit *ἰδιόξενος* quo verbo Dion. Arch. I 84, 3 al. utitur) *ἰδιοξένως* ut vid. Y[1] | *οὐδεὶς αὐτῶν* A 13 *οὐδ'*] *ειδ* A[1] corr. ead. 14 *ἡμῖν* S[1] *ὑμῶν* Y[1] | *ἐπὶ* S[1] | *εἰ* om. A 15 *αὐτῶν* ante *συναγορεύοντι* deleto *τῷ* Tournier 16 *τοῦ κομίσασθαι γὰρ* S: *ὅτι τοῦ κομίσασθαι* FAY | *ὑμῖν τὰ ὑμέτερ' αὐτῶν* A 17 *αὐτῶν* FAY | *τε καὶ* A 18 *αὐτῶν* Tournier: *αὐτῶν ὑμῖν* SA | *ὑμῖν αὐτῶν* FY 19 *οὓς*] *τους* S 20 *δὲ* om. S 20 sq. *ἂν ὑμεῖς αὐτοῖς* FY

ταῦτ' αὐτοῖς· εὖ μὲν γὰρ πράττοντες οὐκ οἶδ' εἴ ποτ'
ἂν εὖ φρονῆσαι ἠθέλησαν, ὄντες Ῥόδιοι, ἔργῳ δὲ πει- Prooem. XXIV 4
ραθέντες καὶ διδαχθέντες ὅτι πολλῶν κακῶν ἡ ἄνοι'
αἰτία τοῖς πολλοῖς γίγνεται, τάχ' ἄν, εἰ τύχοιεν, σωφρο-
5 νέστεροι πρὸς τὸν λοιπὸν τοῦ χρόνου γένοιντο. τοῦτο
δ' οὐ μικρὰν ὠφέλειαν αὐτοῖς ἡγοῦμαι. φημὶ δὴ χρῆναι
πειρᾶσθαι σῴζειν τοὺς ἄνδρας καὶ μὴ μνησικακεῖν, ἐν-
θυμουμένους ὅτι πολλὰ καὶ ὑμεῖς ὑπὸ τῶν ἐπιβουλευ-
σάντων ἐξηπάτησθε, ὧν οὐδενὸς αὐτοὶ δοῦναι δίκην δί-
10 καιον ἂν εἶναι φήσαιτε.

Ὁρᾶτε δὲ κἀκεῖν' ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι πολλοὺς 17
ὑμεῖς πολέμους πεπολεμήκατε καὶ πρὸς δημοκρατίας καὶ
πρὸς ὀλιγαρχίας. καὶ τοῦτο μὲν ἴστε καὶ αὐτοί· ἀλλ' ὑπὲρ
ὧν πρὸς ἑκατέρους ἔσθ' ὑμῖν ὁ πόλεμος, τοῦτ' ἴσως ὑμῶν
15 οὐδεὶς λογίζεται. ὑπὲρ τίνων οὖν ἐστίν; πρὸς μὲν τοὺς
δήμους ἢ περὶ τῶν ἰδίων ἐγκλημάτων, οὐ δυνηθέντων
δημοσίᾳ διαλύσασθαι ταῦτα, ἢ περὶ γῆς μέρους ἢ ὅρων
ἢ φιλονικίας ἢ τῆς ἡγεμονίας, πρὸς δὲ τὰς ὀλιγαρχίας
ὑπὲρ μὲν τούτων οὐδενός, ὑπὲρ δὲ τῆς πολιτείας καὶ τῆς
20 ἐλευθερίας· ὥστ' ἔγωγ' οὐκ ἂν ὀκνήσαιμ' εἰπεῖν μᾶλλον 18
ἡγεῖσθαι συμφέρειν δημοκρατουμένους τοὺς Ἕλληνας
ἅπαντας πολεμεῖν ὑμῖν ἢ ὀλιγαρχουμένους φίλους εἶναι.

2 ἂν om. FY[1] | ἠθέλησαν εὖ φρονῆσαι Tournier 4 πολλοῖς αἰτία FY 5 τὸν SF[1]A: τὸ F corr. Y | τοῦ om. S[1] add. ead. (?) mg. 6 οὐ] οὐχὶ A γρ. Y[3] | μικρὰν ὠφέλειαν αὐτοῖς SA γρ. Y[3]: μικρὸν αὐτοῖς ὠφέλημα FY[1] | δὴ] δεῖ A[1] corr. ead. 8 ὑπὸ] ἐπὶ S | βουλευσάντων Y 9 δίκην δοῦναι FY 10 ει ανεῖναι S[1] | φήσετε SFA 12 ὑμεῖς πολέμους πεπολ. S: ὑμεῖς πεπολ. πολέμους FY πολέμους ὑμεῖς πεπολ. A 13 μὲν ἴστε SAY corr.: ἴστε μὲν F ἴστε Y[1] 14 ὑμῶν] ὑμῖν F[1] 18 φιλονικίας Blass: φιλονεικίας SAY[3] mg. φιλοτιμίας FY[1] | ἡγεμονείας A[1] 19 δὲ om. S[1] 22 ὑμῖν O: ἡμῖν SFAY

πρὸς μὲν γὰρ ἐλευθέρους ὄντας οὐ χαλεπῶς ἂν εἰρήνην
ὑμᾶς ποιήσασθαι νομίζω, ὁπότε βουληθείητε, πρὸς δ'
ὀλιγαρχουμένους οὐδὲ τὴν φιλίαν ἀσφαλῆ νομίζω· οὐ γὰρ
ἔσθ' ὅπως ὀλίγοι πολλοῖς καὶ ζητοῦντες ἄρχειν τοῖς μετ'
ἰσηγορίας ζῆν ᾑρημένοις εὖνοι γένοιντ' ἄν. 5

19 Θαυμάζω δ' εἰ | μηδεὶς ὑμῶν ἡγεῖται Χίων ὀλιγαρχου- 196
μένων καὶ Μυτιληναίων, καὶ νυνὶ Ῥοδίων καὶ πάντων
ἀνθρώπων ὀλίγου δέω λέγειν εἰς ταύτην τὴν δουλείαν
ὑπαγομένων συγκινδυνεύειν τὴν παρ' ἡμῖν πολιτείαν,
μηδὲ λογίζεται τοῦθ' ὅτι οὐκ ἔστιν ὅπως, εἰ δι' ὀλιγαρ- 10
χίας ἅπαντα συστήσεται, τὸν παρ' ὑμῖν δῆμον ἐάσουσιν.
ἴσασιν γὰρ οὐδένας ἄλλους πάλιν εἰς ἐλευθερίαν τὰ πράγ-
ματ' ἂν ἐξάγοντας· ὅθεν δὴ κακὸν αὐτοῖς ἄν τι γενέσθαι
20 προσδοκῶσιν, τοῦτ' ἀνελεῖν βουλήσονται. τοὺς μὲν οὖν
ἄλλους τοὺς ἀδικοῦντάς τινας αὐτῶν τῶν κακῶς πεπον- 15
θότων ἐχθροὺς ἡγεῖσθαι χρή· τοὺς δὲ τὰς πολιτείας
καταλύοντας καὶ μεθιστάντας εἰς ὀλιγαρχίαν κοινοὺς
ἐχθροὺς παραινῶ νομίζειν ἁπάντων τῶν ἐλευθερίας
21 ἐπιθυμούντων. ἔπειτα δίκαιον ὦ ἄνδρες Ἀθηναῖοι δημο-
κρατουμένους αὐτοὺς τοιαῦτα φρονοῦντας φαίνεσθαι 20
περὶ τῶν ἀτυχούντων δήμων, οἷάπερ ἂν τοὺς ἄλλους

1 sq. ὑμᾶς εἰρήνην FY 2 βούλησθε F[1] corr. rec. | πρὸς δὲ τοὺς FY 4 τοῖς πολλοῖς G. H. Schaefer 5 γένοιτ' Y[1] 9 συγκινδυνεύειν (ι supra) S[1] cf. ad XIV 18 | τι ante τὴν add. S corr. FAY | ἡμῶν (ι supra) F ὑμῶν A 10 λογίζετε S[1] λογίζεσθε S corr. | ὀλιγαρχιῶν (ας supra) F ὀλιγαρχιῶν AY 12 ἄλλος Y[1] | ἐλευθερίαν] inter υ et θ ras. 5-6 litt. F 13 ἂν FY: om. SA post ἄλλους vel ἐλευθερίαν ponit Butcher | ἐξάγοντας S: ἐξαγαγόντας A ἐπανάξοντας F ἐπάξοντας Y 14 τοῦτ' SA: τούτους FY | τοὺς] τούτους (?) Y[1] 15 ἄλλους τοὺς FAY: ἄλλους S 16 χρή om. S[1] 18 πάντων FY 19 καὶ δίκαιον FAY 21 οἷάπερ ἂν SA: οἷα FY

ἀξιώσαιτε φρονεῖν περὶ ὑμῶν, εἴ ποθ', ὃ μὴ γένοιτο, τοιοῦτό τι συμβαίη. καὶ γὰρ εἰ δίκαιά τις φήσει Ῥοδίους πεπονθέναι, οὐκ ἐπιτήδειος ὁ καιρὸς ἐφησθῆναι· δεῖ γὰρ τοὺς εὐτυχοῦντας περὶ τῶν ἀτυχούντων ἀεὶ φαίνεσθαι 5 τὰ βέλτιστα βουλευομένους, ἐπειδήπερ ἄδηλον τὸ μέλλον ἅπασιν ἀνθρώποις.

Ἀκούω δ' ἐγὼ πολλάκις ἐνταυθὶ παρ' ὑμῖν τινῶν λε- 22 γόντων ὡς, ὅτ' ἠτύχησεν ὁ δῆμος ἡμῶν, συνεβουλήθησάν τινες αὐτὸν σωθῆναι· ὧν ἐγὼ μόνων Ἀργείων ἐν τῷ 10 παρόντι μνησθήσομαι βραχύ τι. οὐ γὰρ ἂν ὑμᾶς βουλοίμην, δόξαν ἔχοντας τοῦ σῴζειν τοὺς ἀτυχοῦντας ἀεί, | 197 χείρους Ἀργείων ἐν ταύτῃ τῇ πράξει φανῆναι, οἳ χώραν ὅμορον τῇ Λακεδαιμονίων οἰκοῦντες, ὁρῶντες ἐκείνους γῆς καὶ θαλάττης ἄρχοντας, οὐκ ἀπώκνησαν οὐδ' ἐφο- 15 βήθησαν εὐνοϊκῶς ὑμῖν ἔχοντες φανῆναι, ἀλλὰ καὶ πρέσβεις ἐλθόντας ἐκ Λακεδαίμονος, ὥς φασιν, ἐξαιτήσοντάς τινας τῶν φυγάδων τῶν ὑμετέρων ἐψηφίσαντο, ἐὰν μὴ πρὸ ἡλίου δύντος ἀπαλλάττωνται, πολεμίους κρινεῖν. εἶτ' οὐκ αἰσχρὸν ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὸ μὲν Ἀργείων 23 20 πλῆθος οὐκ ἐφοβήθη τὴν Λακεδαιμονίων ἀρχὴν ἐν ἐκείνοις τοῖς καιροῖς οὐδὲ τὴν ῥώμην, ὑμεῖς δ' ὄντες Ἀθη-

1 ἀξιώσαιτε Lambinus: ἀξιώσετε SFAY 2 τοιοῦτό τι del. Dobree, cf. prooem. XXII 2 2 sq. εἰ ... οὐκ ἐπιτήδειος SFY: οὐδ' εἰ ... ἐπιτήδειος A 2 φήσει S: ἂν φήσειε FAY 5 βουλευομένους (βουλομένους AY corr.) τὰ βέλτιστα FAY | ἐπείπερ Y 7 ἔγωγε FAY | ἐνταυθοῖ FY corr. | ὑμῶν A 8 ὅτε S corr. FAY: ὅτι S[1] | ὁ δῆμος SA: ἡ πόλις FY | συνεβουλήθησάν Dobree: συνεβουλεύθησάν SFAY 9 αὐτὸν SA: αὐτὴν (ρ superscr.) F αὐτὴν Y 11 ἀτυχοῦντας SA: ἀτυχήσαντας FY | αἰεὶ Y 13 τὴν λακεδαιμ. F 14 ἄρχοντας SFY: κρατοῦντας A 18 δύντος SF[1] γρ. Y[3]: δύνοντος F corr. pr. m AY[1] | κρινεῖν Y[3] mg.: κρίνειν SFAY[1] 21 ἡμεῖς A

ναῖοι βάρβαρον ἄνθρωπον, καὶ ταῦτα γυναῖκα, φοβήσεσθε; καὶ μὴν οἱ μὲν ἔχοιεν ἂν εἰπεῖν ὅτι πολλάκις ἥττηνται [ὑπὸ] Λακεδαιμονίων, ὑμεῖς δὲ νενικήκατε μὲν πολλάκις βασιλέα, ἥττησθε δ' οὐδ' ἅπαξ οὔτε τῶν δούλων τῶν βασιλέως οὔτ' αὐτοῦ ἐκείνου· εἰ γάρ τί που 5 *κεκράτηκε τῆς πόλεως βασιλεύς, ἢ τοὺς πονηροτάτους τῶν Ἑλλήνων καὶ προδότας αὐτῶν χρήμασι πείσας ἢ*

24 *οὐδαμῶς ἄλλως κεκράτηκε. καὶ οὐδὲ τοῦτ' αὐτῷ συνενήνοχεν, ἀλλ' ἅμ' εὑρήσετ' αὐτὸν τήν τε πόλιν διὰ Λακεδαιμονίων ἀσθενῆ ποιήσαντα καὶ περὶ τῆς αὐτοῦ βασι-* 10 *λείας κινδυνεύσαντα πρὸς Κλέαρχον καὶ Κῦρον. οὔτ' οὖν ἐκ φανεροῦ κεκράτηκεν οὔτ' ἐπιβουλεῦσαι συνενήνοχεν αὐτῷ. ὁρῶ δ' ὑμῶν ἐνίους Φιλίππου μὲν ὡς ἄρ' οὐδενὸς ἀξίου πολλάκις ὀλιγωροῦντας, βασιλέα δ' ὡς ἰσχυρὸν ἐχθρὸν οἷς ἂν προέληται φοβουμένους. εἰ δὲ* 15 *τὸν μὲν ὡς φαῦλον οὐκ ἀμυνούμεθα, τῷ δ' ὡς φοβερῷ πάνθ' ὑπείξομεν, πρὸς τίνας | ὦ ἄνδρες Ἀθηναῖοι παρα-* 198 *ταξόμεθα;*

25 *Εἰσὶ δέ τινες ὦ ἄνδρες Ἀθηναῖοι παρ' ὑμῖν δεινότατοι τὰ δίκαια λέγειν ὑπὲρ τῶν ἄλλων πρὸς ὑμᾶς, οἷς* 20

1 *φοβήσεσθε* F: *φοβήσεσθαι* S *φοβηθήσεσθε* AY 2 *ἂν ἔχοιεν* Y 2 *ὑπὸ* del. Benseler 4 *ἥττησθε*] alterum *τ* s. v. alterum in ras. F (*ἥγησθε*?) | *οὐδὲ*] ante *ου* 2 litt. eras. Y | *οὔτε τῶν* FY Bekk. Anecd. 147, 2: *ὑπὸ τῶν* S *οὔθ' ὑπὸ τῶν* A | *δούλων τῶν* AY: *δούλων τοῦ* S *δούλων τοῦ* (*ων* s. v.) F 5 *οὔτ'* SFY: *οὔθ' ὑπὸ* A 6 *καὶ κεκράτηκε* FA 8 *τοῦτ'* SFY: *ταῦτ'* A 9 *ἀλλ' ἅμα* AY corr.: *ἀλλα μην* SY[1] ut vid. *αλλα μὴν* *τε* F | *αὐτὸν*] *αὐτοῦ* A[1] corr. A[4] | *διὰ* SF[1] (punctis del.) Y corr.: *τὴν* A om. Y[1] 12 *ἐκ τοῦ* FY | *ἐπιβουλεῦσαι*] *αι* in ras. S | *συνενηχε* F[1] 15 *δὲ*] *δὴ* A 16 *ἀμυνόμεθα* A cf. [Dion. H.] Ars 354 19 *δὲ*] *δὴ* Y | *ὦ ἄνδ. ἀθ.* in ras. 2 litt. Y[2] | *ἡμῖν* (*υ* s. v.) F *ἡμῖν* Y 20 *τὰ* om. S

παραινέσαιμ' ἂν ἔγωγε τοσοῦτον μόνον, ὑπὲρ ὑμῶν πρὸς
τοὺς ἄλλους ζητεῖν τὰ δίκαια λέγειν, ἵν' αὐτοὶ τὰ προσ-
ήκοντα πρῶτοι φαίνωνται ποιοῦντες· ὡς ἔστ' ἄτοπον
περὶ τῶν δικαίων ὑμᾶς διδάσκειν αὐτὸν οὐ δίκαια ποι-
5 οῦντα· οὐ γάρ ἐστι δίκαιον ὄντα πολίτην τοὺς καθ' ὑμῶν
λόγους, ἀλλὰ μὴ τοὺς ὑπὲρ ὑμῶν ἐσκέφθαι. φέρε γὰρ 26
πρὸς θεῶν σκοπεῖτε, τί δήποτ' ἐν Βυζαντίῳ οὐδεὶς ἔσθ'
ὁ διδάξων ἐκείνους μὴ καταλαμβάνειν Χαλκηδόνα, ἣ
βασιλέως μέν ἐστιν, εἴχετε δ' αὐτὴν ὑμεῖς, ἐκείνοις δ'
10 οὐδαμόθεν προσῆκεν· μηδὲ Σηλυμβρίαν, πόλιν ὑμετέραν
ποτὲ σύμμαχον οὖσαν, ὡς αὐτοὺς συντελῆ ποιεῖν καὶ
Βυζαντίων ὁρίζειν τὴν τούτων χώραν παρὰ τοὺς ὅρκους
καὶ τὰς συνθήκας, ἐν αἷς αὐτονόμους τὰς πόλεις εἶναι
γέγραπται; οὐδὲ Μαύσωλον ζῶντα, οὐδὲ τελευτήσαντος 27
15 ἐκείνου τὴν Ἀρτεμισίαν οὐδεὶς ἔσθ' ὁ διδάξων μὴ κατα-
λαμβάνειν Κῶν καὶ Ῥόδον καὶ ἄλλας ἑτέρας πόλεις Ἑλλη-
νίδας, ὧν βασιλεὺς ὁ 'κείνων δεσπότης ἐν ταῖς συνθήκαις
ἀπέστη τοῖς Ἕλλησι, καὶ περὶ ὧν πολλοὺς κινδύνους καὶ
καλοὺς ἀγῶνας οἱ κατ' ἐκείνους τοὺς χρόνους Ἕλληνες
20 ἐποιήσαντο. εἰ δ' ἄρα καὶ λέγει τις ἀμφοτέροις αὐτοῖς,

1 ἡμῶν F 3 φαίνονται Y[1] | ἔστ'] ἐστι S[1] ν add. rec. ἔστιν FAY 4 αὐτοὺς ... ποιοῦντας AY corr. 6 λόγους] γ in ras. 2–3 litt. F 7 τῶν θεῶν Y | σκοπεῖτε suspectat Gebauer | δηποθ S 8 διδάσκων FY[1] 9 ὑμεῖς αὐτὴν FY 10 προσήκει FAY | σηλυμβραν S | ὑμετέραν] ὑστέραν A[1] corr. A[2] 11 οὖσαν σύμμαχον A | αὐτοὺς] αυτους S αὑτοὺς FY αυτὸς A | ποιεῖν] ει in ras. F 12 Βυζαντίων Dobree: βυζαντίους SF s. v. βυζάντιον F[1]AY | τούτων AY: τούτου S τούτων (ου s. v.) F 13 τὰς πόλεις om. FY[1] 14 μαύσωλον ζῶντα SAY corr.: μαυσώλου (ον s. v.) ζῶντος (α s. v.) F μαυσώλου ζῶντος Y[1] 16 κῶ FY[1] | πόλεις ἑτέρας FY ἑτέρας del. Cobet 17 καὶ βασιλεὺς FAY 18 κινδύνους del. Cobet 20 ἀμφοτέροις αὐτοῖς secl. Weil

28 ἀλλ' οἵ γε πειθόμενοι τούτοις, ὡς ἔοικεν, οὐκ εἰσίν. ἐγὼ
δὲ δίκαιον μὲν εἶναι νομίζω κατάγειν τὸν Ῥοδίων δῆμον·
οὐ μὴν ἀλλὰ καὶ εἰ μὴ δίκαιον ἦν, ὅταν εἰς ἃ ποιοῦσιν
οὗτοι βλέψω, προσήκειν οἶμαι παραινεῖν | κατάγειν. διὰ **199**
τί; ὅτι πάντων μὲν ὦ ἄνδρες Ἀθηναῖοι τὰ δίκαια ποιεῖν 5
ὡρμηκότων αἰσχρὸν ἡμᾶς μόνους μὴ 'θέλειν, ἁπάντων
δὲ τῶν ἄλλων ὅπως ἀδικεῖν δυνήσονται παρασκευαζο-
μένων μόνους ἡμᾶς τὰ δίκαια προτείνεσθαι, μηδενὸς
ἀντιλαμβανομένους, οὐ δικαιοσύνην ἀλλ' ἀνανδρίαν
ἡγοῦμαι· ὁρῶ γὰρ ἅπαντας πρὸς τὴν παροῦσαν δύναμιν 10
29 τῶν δικαίων ἀξιουμένους. καὶ παράδειγμα λέγειν ἔχω
τούτου πᾶσιν ὑμῖν γνώριμον. εἰσὶ συνθῆκαι τοῖς Ἕλλησι
διτταὶ πρὸς βασιλέα, ἃς ἐποιήσαθ' ἡ πόλις ἡ ἡμετέρα,
ἃς ἅπαντες ἐγκωμιάζουσι, καὶ μετὰ ταῦθ' ὕστερον Λακε-
δαιμόνιοι, ταύτας ὧν δὴ κατηγοροῦσι· κἂν ταύταις οὐχὶ 15
ταὐτὰ δίκαι' ἀμφοτέραις ὥρισται. τῶν μὲν γὰρ ἰδίων
δικαίων τῶν ἐν ταῖς πολιτείαις οἱ νόμοι κοινὴν τὴν μετ-
ουσίαν ἔδοσαν καὶ ἴσην καὶ τοῖς ἀσθενέσι καὶ τοῖς ἰσχυ-
ροῖς· τῶν δ' Ἑλληνικῶν δικαίων οἱ κρατοῦντες ὁρισταὶ
τοῖς ἥττοσι γίγνονται. 20

30 Ἐπειδὴ τοίνυν ὑμῖν ἐγνωκέναι τὰ δίκαια ποιεῖν ὑπάρ-
χει, ὅπως καὶ πρᾶξαι ταῦτ' ἐφ' ὑμῖν ἔσται δεῖ σκοπεῖν.
ἔσται δὲ ταῦτ', ἐὰν ὑποληφθῆτε κοινοὶ προστάται τῆς

4 παραινεῖν SA: παραινέσαι FY, 8 προτινεσθαι S 9 ἀντι-λαμβανομένους] σ puncto notatum S | ἀνανδρίαν F corr. Y: αν-δρειαν S^1 ανανδρειαν S corr. F^1A 11 καὶ ante τῶν add. S corr. FY 11sq. τούτου λέγειν ἔχω FY 13 διτταὶ πρὸς βασιλέα SFY: πρὸς βασιλέα διτταὶ A διτταὶ del. Ald. Tayl. Blass 16 ταῦτα A | ἀμφοτέραις SA: ἀμφοτέροις FY 18 ἰσχυροῖς] ἀγαθοῖς A 20 ἥττω Y^1 21 ποιεῖν SA: καὶ ποιεῖν FY del. H. Wolf cf. IV 13 | υπαρχειν S 23 ἔσται δὲ FAY: ἐστι δε S | προστάται τῆς] προστατης ut vid. S^1 corr. m. ant.

πάντων ἐλευθερίας εἶναι. εἰκότως δέ μοι δοκεῖ χαλεπώ-
τατον ὑμῖν εἶναι πρᾶξαι τὰ δέοντα. τοῖς μὲν γὰρ ἄλλοις
ἅπασιν ἀνθρώποις εἷς ἀγών ἐστιν ὁ πρὸς τοὺς προδή-
λους ἐχθρούς, ὧν ἂν κρατήσωσιν, οὐδὲν ἐμποδὼν αὐτοῖς
5 κυρίοις τῶν ἀγαθῶν εἶναι· ὑμῖν δ' ὦ ἄνδρες Ἀθηναῖοι 31
δύο, οὗτός θ' ὁ καὶ τοῖς ἄλλοις καὶ πρόσεσθ' ἕτερος
τούτου πρότερος καὶ μείζων· δεῖ γὰρ ὑμᾶς βουλευομέ-
200 νους κρατῆσαι τῶν τἀναντία τῇ πόλει παρ' ὑμῖν | πράτ-
τειν προῃρημένων. ὅταν οὖν μηδὲν ᾖ διὰ τούτους ἀκο-
10 νιτὶ τῶν δεόντων γενέσθαι, πολλῶν διαμαρτάνειν ὑμᾶς
εἰκότως συμβαίνει. τοῦ μέντοι πολλοὺς ἀδεῶς ταύτην 32
τὴν τάξιν αἱρεῖσθαι τῆς πολιτείας, ἴσως μὲν αἱ παρὰ
τῶν μισθοδοτούντων αὐτοὺς ὠφέλειαι μάλιστ' αἴτιαι, οὐ
μὴν ἀλλὰ καὶ ὑμᾶς ἄν τις ἔχοι δικαίως αἰτιᾶσθαι. ἐχρῆν
15 γὰρ ὦ ἄνδρες Ἀθηναῖοι τὴν αὐτὴν ἔχειν διάνοιαν ὑμᾶς
περὶ τῆς ἐν τῇ πολιτείᾳ τάξεως ἥνπερ περὶ τῆς ἐν ταῖς
στρατείαις ἔχετε. τίς οὖν ἐστιν αὕτη; ὑμεῖς τὸν λιπόντα
τὴν ὑπὸ τοῦ στρατηγοῦ τάξιν ταχθεῖσαν ἄτιμον οἴεσθε
προσήκειν εἶναι καὶ μηδενὸς τῶν κοινῶν μετέχειν. χρῆν 33
20 τοίνυν καὶ τοὺς τὴν ὑπὸ τῶν προγόνων τάξιν ἐν τῇ

1 ἁπάντων Y 4 ἐὰν FAY 5 ἔσται κυρίοις εἶναι τῶν ἀγα-
θῶν A 6 ὁ postea add. F mg. | πρόσεσθ' SFAY[1]: προσέθ'
Y[3] mg. 8 ἐναντία Y 9 ἡιρημένων A | μηδὲν ᾖ διὰ τού-
τους ἀκονιτὶ (ἀκονητι SF[1], corr. F[2], ἀκονιτεὶ Blass cf. Berl. Phil.
Woch. 1909, 255) SF: μηδενὸς ἀκούητε γρ. S[d] γρ. FY μηδενὸς
ἀκούητέ τι A 10 γενέσθαι SF: γίγνεσθαι γρ. S[d] γρ. FAY
11 εἰκότως ὑμῖν Y | τοῦ] τοὺς A 13 μισθοδοτούντων SA: μι-
σθοδοτῶν FY | αὐτοῖς FAY | ὠφελίαι Y[1] | αἴτιοι A 14 αἰτιά-
σασθαι A 16 τῇ om. A 16 sq. ταῖς στρατείαις SA (στρατιαῖς):
τῆι στρατείαι τάξεως FY 17 λιπόντα F[1], Dindorf: λειπόντα S
λείποντα F[2]AY 18 οἴεσθαι Y[1] 19 χρῆν Weil (ἐχρῆν Cobet):
χρὴ SFAY

πολιτείᾳ παραδεδομένην λιπόντας καὶ πολιτευομένους ὀλιγαρχικῶς ἀτίμους τοῦ συμβουλεύειν ὑμῖν αὐτοῖς ποιεῖσθαι· νῦν δὲ τῶν μὲν συμμάχων τοὺς τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον ὑμῖν ⟨νομιεῖν⟩ ὀμωμοκότας νομίζετ' εὐνουστάτους, τῶν δὲ πολιτευομένων οὓς ἴστε σαφῶς 5 *τοὺς τῆς πόλεως ἐχθροὺς ᾑρημένους, τούτους πιστοτάτους ἡγεῖσθε.*

34 *Ἀλλὰ γὰρ οὐχ ὅ τι τις κατηγορήσει τούτων ἢ τοῖς ἄλλοις ὑμῖν ἐπιπλήξει χαλεπὸν εὑρεῖν, ἀλλ' ἀφ' ὁποίων λόγων ἢ πράξεως ποίας ἐπανορθώσεταί τις ἃ νῦν οὐκ* 10 *ὀρθῶς ἔχει, τοῦτ' ἔργον εὑρεῖν. ἴσως μὲν οὖν οὐδὲ τοῦ παρόντος καιροῦ περὶ πάντων λέγειν· ἀλλ' ἐὰν ἃ προῄρησθε δυνηθῆτ' ἐπικυρῶσαι συμφερούσῃ τινὶ πράξει,*
35 *καὶ τἄλλ' ἂν ἴσως καθ' ἓν ἀεὶ βέλτιον ἔχοι. ἐγὼ μὲν οὖν οἶμαι δεῖν ὑμᾶς ἀντιλαμβάνεσθαι τῶν πραγμάτων* 15 *τούτων ἐρρωμένως, καὶ | πράττειν ἄξια τῆς πόλεως, ἐν-* 201 *θυμουμένους ὅτι χαίρετ' ἀκούοντες, ὅταν τις ἐπαινῇ τοὺς προγόνους ὑμῶν καὶ τὰ πεπραγμέν' ἐκείνοις διεξίῃ καὶ τὰ τρόπαια λέγῃ. νομίζετε τοίνυν ταῦτ' ἀναθεῖναι τοὺς προγόνους ὑμῶν οὐχ ἵνα θαυμάζητ' αὐτὰ θε-* 20

1 *λιπόντας* Y^{1}: *λειποντας* S *λείποντας* FAY corr. 2 *αὐτοῖς*] *αὐτοὺς* A^{1}, corr. A^{1} vel A^{2} 3 sq. *τοὺς τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον* SAY corr.: *τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους* FY^{1} 4 *νομιεῖν* add. Cobet: *ἕξειν* post *ὀμωμοκότας* Wolf (cf. Dion. Ant. VI 6, 2), *ὑμῖν* in *κρινεῖν* mutat Blass sec. Aristid. I 662. 829; at *νομίζειν* est apud script. Atticos verbum sollemne | *νομίζετ'*] *νομίζειν* Voemel 6 *εχθρυς* S^{1} 7 *ἡγεῖσθαι* A^{1} 9 *ὑμῖν* FAY: *ὑμῶν* S 9 sq. *ἀπὸ ποίων λόγων ἢ ἀπὸ* A 10 *ποίας πράξεως* FAY 13 *δύνησθε* FAY 14 *ἂν* F in fin. v. mg. | *ἀεὶ* SAY corr.: *ἂν* FY^{1} | *ἔχοι* S: *σχοίη* FAY 15 sq. *τούτων τῶν πραγμάτων* FY 17 *επαινεῖ* S 18 *διεξείη* S 19 *λεγει* S | *νομίζητε* S^{1} | *ἀναθεῖναι*] *ει* in ras. F (*η*?) 20 *αὐτὰ* SAY: *ταῦτα* F

ωροῦντες μόνον, ἀλλ' ἵνα καὶ μιμῆσθε τὰς τῶν ἀναθέντων ἀρετάς.

1 *μόνον* om. S[1] add. ead. mg. | *μιμεισθε* S

In S F subscriptum

ʽΥΠῈΡ ΤΗ͂Σ (ΤΩ͂Ν add. F) ʽΡΟΔΊΩΝ ʼΕΛΕΥΘΕΡΊΑΣ
H̄ H H Δ̄ Δ̄ Δ̄ Δ̄ Π Ι Ī (numer. add. S[d])
add. S[d] Δ (i. e. *διώρθωται*)

in AY

ʽΥΠῈΡ ΤΗ͂Σ (ΤΩ͂Ν add. A) ʽΡΟΔΊΩΝ ʼΕΛΕΥΘΕΡΊΑΣ

XVI

ΥΠΕΡ ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ

ΥΠΟΘΕΣΙΣ

Ὅτε Λακεδαιμόνιοι νικηθέντες ὑπὸ Θηβαίων ἐν Λεύκτροις τῆς Βοιωτίας εἰς κίνδυνον μέγαν κατέστησαν, ἀποστάντων Ἀρκάδων καὶ προσθεμένων τοῖς Θηβαίοις, Ἀθηναῖοι σύμμαχοι Λακεδαιμονίοις γενόμενοι διέσωσαν αὐτούς. ὕστερον δὲ Λακεδαιμόνιοι τῶν κινδύνων ἀπαλλαγέντες καὶ προϊόντες πάλιν 5 *εἰς δύναμιν ἐπὶ Μεγάλην πόλιν τῆς Ἀρκαδίας ἤρχοντο, καὶ τοὺς Ἀθηναίους παρεκάλουν διὰ πρεσβείας κοινωνεῖν αὐτοῖς τοῦ πολέμου. πεπόμφασι δὲ καὶ οἱ Μεγαλοπολῖται πρέσβεις Ἀθήναζε παρακαλοῦντες ὑπὲρ αὐτῶν. ὁ τοίνυν Δημοσθένης συμβουλεύει μὴ περιορᾶν ἀναιρεθεῖσαν Μεγάλην πόλιν μηδ'* 10 *εἰς ἰσχὺν προελθόντας Λακεδαιμονίους, συμφέρειν λέγων τοῖς Ἀθηναίοις τὸ μὴ φοβερὰν εἶναι τὴν Λακεδαίμονα.*

Prooem. VIII *Ἀμφότεροί μοι δοκοῦσιν ἁμαρτάνειν ὦ ἄνδρες Ἀθηναῖοι καὶ οἱ τοῖς Ἀρκάσιν καὶ οἱ τοῖς Λακεδαιμονίοις* 202 *συνειρηκότες· ὥσπερ γὰρ ἀφ' ἑκατέρων ἥκοντες, οὐχ* 15 *ὑμῶν ὄντες πολῖται, πρὸς οὓς ἀμφότεροι πρεσβεύονται, κατηγοροῦσι καὶ διαβάλλουσιν ἀλλήλους. ἦν δὲ τοῦτο*

ΠΕΡΙ ΜΕΓΑΠΟΛΙΤΩΝ Y 6 *ἔρχονται* Ioannes Sic. Rhet. VI 433 W. 9 *ἑαυτῶν* Y 10 *ὁρᾶν . . . μεγάλην* om. F | *ἀναιρεθεῖσαν* Ioannes Sic.: *αἱρεθεῖσαν* Y 16 *πολῖται* om. prooem. VIII del. Cobet | *πρεσβεύονται* FAY prooem.: *πρεσβεύουσι* S

μὲν τῶν ἀφιγμένων ἔργον, τὸ δὲ κοινῶς ὑπὲρ τῶν πραγ-
μάτων λέγειν καὶ τὰ βέλτισθ' ὑπὲρ ὑμῶν σκοπεῖν ἄνευ
φιλονικίας τῶν ἐνθάδε συμβουλεύειν ἀξιούντων. νῦν δ' 2
ἔγωγε, εἴ τις αὐτῶν ἀφέλοι τὸ γιγνώσκεσθαι καὶ τὸ τῇ
5 φωνῇ λέγειν Ἀττικιστί, πολλοὺς ἂν οἶμαι τοὺς μὲν Ἀρκά-
δας, τοὺς δὲ Λάκωνας αὐτῶν εἶναι νομίσαι. ἐγὼ δ' ὁρῶ
μὲν ὡς χαλεπὸν τὰ βέλτιστα λέγειν ἐστίν· συνεξηπατη-
μένων γὰρ ὑμῶν, καὶ τῶν μὲν ταυτί, τῶν δὲ ταυτὶ βουλο-
μένων, ἂν τὰ μεταξύ τις ἐγχειρῇ λέγειν κᾆθ' ὑμεῖς μὴ
10 περιμένητε μαθεῖν, χαριεῖται μὲν οὐδετέροις, διαβεβλή-
σεται δὲ πρὸς ἀμφοτέρους· οὐ μὴν ἀλλ' αἱρήσομαι μᾶλλον 3
αὐτός, ἂν ἄρα τοῦτο πάθω, δοκεῖν φλυαρεῖν ἢ παρ' ἃ
βέλτιστα νομίζω τῇ πόλει, προέσθαι τισὶν ὑμᾶς ἐξαπατῆ-
σαι. τὰ μὲν οὖν ἄλλ' ὕστερον, ἂν ὑμῖν βουλομένοις ᾖ,
15 δείξω· ἀπὸ δὲ τῶν ὁμολογουμένων ὑφ' ἁπάντων ἄρξομαι
ἃ κράτιστα νομίζω διδάσκειν.

Οὔκουν οὐδ' ἂν εἷς ἀντείποι, ὡς οὐ συμφέρει τῇ πόλει 4
203 καὶ Λα|κεδαιμονίους ἀσθενεῖς εἶναι καὶ Θηβαίους του- XXIII 102
τουσί. ἔστι τοίνυν ἔν τινι τοιούτῳ καιρῷ τὰ πράγματα
20 νῦν, εἴ τι δεῖ τοῖς εἰρημένοις πολλάκις παρ' ὑμῖν λόγοις

3 νῦν δ' ἔγωγε SFY: καὶ τοίνυν (voluit καίτοι νῦν) A 5 Ἀττι-κιστί prooem. Cobet: ἀττικῶς SFAY 6 ὁρῶ] οἶδα Cobet cum prooem. 7 post μὲν add. ὦ ἄνδρες ἀθηναῖοι A | ἐστίν] εστ in ras. S[1] | συνεξηπατημένων SFY et prooem.: ἐξηπατημένων A, Aristides IX 379 W. 8 ταῦτα A | βουλομένων, τῶν δὲ ταυτί FAY 9 ἐὰν FAY | τὰ] τι S | ἐγχειρεῖ SA | κᾆτα Bekker in prooem. (ibi κατα S): καθ' A[1] καθὰ Aristid. καὶ SFA[2]Y | μὴ om. S, Tournier 10 περιμένητε S Aristid.: περιμείνητε FAY | χαριειτε S[1] 12 ἢ παρ' SY Aristid.: ἤπερ γρ. S[d]FA 14 ἀκούειν ᾖι A 15 δείξω S: λέξω δεῖξω F λέξω γρ. S[d]AY et prooem. cf. φράσω καὶ δείξω IV 22 | ἀπὸ τῶν δ' Flagg ἐκ δὲ τῶν Cobet cum prooem 17 οὔκουν Cohn: οὐκοῦν SFAY 19 καιρῶι τοιού-τωι Y 20 νυνὶ Y

τεκμήρασθαι, ὥστε Θηβαίους μὲν Ὀρχομενοῦ καὶ Θεσπιῶν
καὶ Πλαταιῶν οἰκισθεισῶν ἀσθενεῖς ⟨ἂν⟩ γενέσθαι, Λα-
κεδαιμονίους δ', εἰ ποιήσονται τὴν Ἀρκαδίαν ὑφ' ἑαυ-
τοῖς καὶ Μεγάλην πόλιν ἀναιρήσουσιν, πάλιν ἰσχυροὺς
5 *γενήσεσθαι. σκεπτέον τοίνυν μὴ πρότερον τούσδε γενέ-* 5
σθαι φοβεροὺς καὶ μεγάλους ἐάσωμεν ἢ 'κεῖνοι μικροὶ
γεγενήσονται, καὶ λάθωσιν ἡμᾶς πλείονι μείζους οἱ Λα-
κεδαιμόνιοι γενόμενοι ἢ ὅσῳ τοὺς Θηβαίους ἐλάττους
συμφέρει γενέσθαι. οὐ γὰρ ἐκεῖνό γ' ἂν εἴποιμεν, ὡς
ἀνταλλάξασθαι βουλόμεθ' ἀντιπάλους Λακεδαιμονίους 10
ἀντὶ Θηβαίων, οὐδὲ τοῦτ' ἔσθ' ὃ σπουδάζομεν, ἀλλ' ὅπως
μηδέτεροι δυνήσονται μηδὲν ἡμᾶς ἀδικεῖν· οὕτω γὰρ ἂν
ἡμεῖς μετὰ πλείστης ἀδείας εἴημεν.

6 *Ἀλλὰ νὴ Δία ταῦτα μὲν οὕτως δεῖν ἔχειν φήσομεν,*
δεινὸν δ' εἰ, πρὸς οὓς παρεταττόμεθ' ἐν Μαντινείᾳ, τού- 15
τους συμμάχους αἱρησόμεθα, εἶτα βοηθήσομεν τούτοις
ἐναντί' ἐκείνοις μεθ' ὧν τότ' ἐκινδυνεύομεν. κἀμοὶ ταῦτα
δοκεῖ, προσδεῖσθαι δ' ἔτι τοῦ „τὰ δίκαια ποιεῖν ἐθελόν-
7 *των τῶν ἑτέρων". εἰ μὲν τοίνυν ἐθελήσουσιν εἰρήνην*
ἅπαντες ἄγειν, οὐ βοηθήσομεν τοῖς Μεγαλοπολίταις· 20
οὐδὲν γὰρ δεήσει· ὥστ' οὐδ' ὁτιοῦν ὑπεναντίον ἡμῖν

1 *ορχομενους* S^1 | *θεσπιέων* FY^1 2 *πλατεων* S *πλαταιέων* FY^1 | *⟨ἂν⟩ γενέσθαι* Dreher: *γενέσθαι* del. Dindorf 3 *τὴν* om. FY 4 *ἀναιρήσουσι* SA: *αἱρήσουσι* FY 5 *γενήσεσθαι* del. Dobree 7 *γεγενήσονται* Weil: *τε γενησονται* S *γενήσονται* FAY | *λάθουσι* A | *πλείονι*] *ει* in ras. F *πλέονι* A 9 *εκεινοι* S^1 10 *βουλόμεθα* Madvig: *βουλοίμεθα* SFAY *βουλοίμεθ' ἂν* Dreher 11 *ὅπως*] *ομως* S^1 12 *δυνήσωνται* AY | *ἂν* post *ἀδείας* Y 14 *οὔτω* FAY | *δεῖν* om. schol. p. 248, 15 secl. Blass 15 *μαντινέα* Y 17 *ἐκείνοις*] *ἐκείνων* A | *καίμοι* SFY^1 18 *δ' ἔτι* H. Wolf: *δε τί* S *δέ τι* FAY 19 *τῶν* om. S 19 sq. *εἰρήνην ἅπαντες* S: *εἰρήνην πάντες* A *πάντες εἰρήνην* FY 21 *ὑμῖν* FAY

ἔσται πρὸς τοὺς συμπαραταξαμένους, σύμμαχοι δ' ἡμῖν
οἱ μὲν ὑπάρχουσιν, ὥς φασιν, οἱ δὲ προσγενήσονται νυνί
(καὶ τί ἂν ἄλλο βουλοίμεθα;)· ἐὰν δ' ἀδικῶσι καὶ πολε- 8
μεῖν οἴωνται δεῖν, εἰ μὲν ὑπὲρ τούτου μόνον βουλευτέον,
204 εἰ χρὴ Μεγάλην πόλιν ἡμᾶς προέσθαι Λακε|δαιμονίοις ἢ
5 μή, δίκαιον μὲν οὔ, συγχωρῶ δ' ἔγωγ' ἐᾶσαι καὶ μηδὲν
ἐναντιωθῆναι τοῖς γε τῶν αὐτῶν μετασχοῦσι κινδύνων·
εἰ δ' ἅπαντες ἐπίστασθ' ὅτι, ταύτην ἂν ἕλωσιν, ἴασιν
ἐπὶ Μεσσήνην, φρασάτω τις ἐμοὶ τῶν νῦν χαλεπῶν τοῖς
10 Μεγαλοπολίταις, τί τόθ' ἡμῖν συμβουλεύσει ποιεῖν. ἀλλ'
οὐδεὶς ἐρεῖ. καὶ μὴν πάντες ἐπίστασθ' ὡς, καὶ παραι- 9
νούντων τούτων καὶ μή, βοηθητέον, καὶ διὰ τοὺς ὅρκους
οὓς ὀμωμόκαμεν Μεσσηνίοις καὶ διὰ τὸ συμφέρον εἶναι
κατοικεῖσθαι ταύτην τὴν πόλιν. σκοπεῖσθε δὴ πρὸς ὑμᾶς
15 αὐτοὺς ποτέραν τὴν ἀρχὴν καλλίονα καὶ φιλανθρωπο-
τέραν ποιήσεσθε τοῦ μὴ ἐπιτρέπειν ἀδικεῖν Λακεδαιμο-
νίοις, τὴν ὑπὲρ Μεγάλης πόλεως ἢ τὴν ὑπὲρ Μεσσήνης.
νῦν μέν γε βοηθεῖν δόξετ' Ἀρκάσιν καὶ τὴν εἰρήνην 10
σπουδάζειν εἶναι βεβαίαν, ὑπὲρ ἧς ἐκινδυνεύσατε καὶ
20 παρετάξασθε· τότε δ' εὔδηλοι πᾶσιν ἔσεσθ' οὐ τοῦ δικαίου
μᾶλλον ἕνεκα Μεσσήνην εἶναι βουλόμενοι ἢ τοῦ πρὸς
Λακεδαιμονίους φόβου. δεῖ δὲ σκοπεῖν μὲν καὶ πράττειν

1 συμπαραταξαμένους AY: ἀντιπαραταξαμένους S ἀντι συμπαραταξαμένους F | ἡμῖν om. aliquot apographa, secl. Dobree 2 οἱ μὲν om. A 4 μόνον A 5 ἢ] ει S[1] 6 οὔ] οὖν A[1] 7 γε S: τότε FAY 8 ἂν ἕλωσιν] ανελωσιν A | ἴσασιν Y[1] 10 συμβουλεύσει SAY[2]: συμβουλεύει (σ superscr.) F συμβουλεύει Y[1] 11 καὶ ante παραινούντων om. S 13 μεσσινιοις S[1] 14 δὲ F δὴ (superscr.) δὲ Y 15 ποτερ' ἂν A 16 ἐπιτρέπειν ἀδικεῖν A: ἐπιτρέπειν ὑμᾶς ἀδικεῖν SF ἀδικεῖν ἐπιτρέπειν Y 17 μεγαλοπόλεως A | μεσσινης S[1] it. 21 19 ἐκινδυνεύσατε del. Dobree 20 παραταξασθε ut vid. S[1]

ἀεὶ τὰ δίκαια, συμπαρατηρεῖν δ' ὅπως ἅμα καὶ συμφέροντ' ἔσται ταῦτα.

11 Ἔστι τοίνυν τοιοῦτός τις λόγος παρὰ τῶν ἀντιλεγόντων, ὡς κομίσασθαι τὸν Ὠρωπὸν ἡμᾶς ἐγχειρεῖν δεῖ, εἰ δὲ τοὺς βοηθήσαντας ἂν ἡμῖν ἐπ' αὐτὸν ἐχθροὺς κτη- 5 σόμεθα, οὐχ ἕξομεν συμμάχους. ἐγὼ δὲ τὸ μὲν κομίσασθαι Ὠρωπὸν πειρᾶσθαι δεῖν φημι καὶ αὐτός· τὸ δ' ἐχθροὺς ἡμῖν Λακεδαιμονίους ἔσεσθαι νῦν, ἐὰν ποιώμεθα συμμάχους Ἀρκάδων τοὺς βουλομένους ἡμῖν εἶναι φίλους, μόνοις οὐδ' εἰπεῖν ἐξεῖναι νομίζω τοῖς πείσασιν ὑμᾶς, 10

12 ὅτ' ἐκινδύνευον Λακεδαιμό|νιοι, βοηθεῖν. οὐ γὰρ ταῦτα 205 λέγοντες ἔπεισαν ὑμᾶς, πάντων Πελοποννησίων ἐλθόντων ὡς ὑμᾶς καὶ μεθ' ὑμῶν ἀξιούντων ἐπὶ τοὺς Λακεδαιμονίους ἰέναι, τοὺς μὲν μὴ προσδέξασθαι (καὶ διὰ τοῦθ', ὅπερ ἦν ὑπόλοιπον αὐτοῖς, ἐπὶ Θηβαίους ἦλθον), 15 ὑπὲρ δὲ τῆς Λακεδαιμονίων σωτηρίας καὶ χρήματ' εἰσφέρειν καὶ τοῖς σώμασιν κινδυνεύειν· οὐδ' ἂν ὑμεῖς ἠθελήσατε δήπου σῴζειν αὐτούς, εἰ τοῦτο προὔλεγον ὑμῖν, ὅτι σωθέντες, ἐὰν μὴ ποιεῖν ὅ τι βούλονται πάλιν αὐτοὺς ἐᾶτε καὶ ἀδικεῖν, οὐδεμίαν ὑμῖν χάριν ἕξουσι 20

13 τῆς σωτηρίας. καὶ μὴν εἰ σφόδρ' ἐναντίον ἐστὶν τοῖς

1 ἀεὶ ante καὶ πράττειν p. 245, 22 pon. FY 3 καὶ τοιοῦτός FAY 5 βοηθήσαντας SA[1]Y corr.: βοηθήσαντας F[1] ras. in σοντας mut. deinde rursus α corr. et ο superscr. βοηθήσοντας A corr. Y[1] | ἂν om. S | ἐπ' αὐτὸν ἐχθροὺς A: νυν επ αυτους εχθρους S ἐχθροὺς ἐπ' αὐτὸν νῦν FY | τὸν ante Ὠρωπὸν add. Benseler 7 φημὶ δεῖν FY 8 ἔσεσθαι λακεδαιμονίους FY | ἐὰν] ἐν F[1] | ποιώμεθα SA: ποιησώμεθα FY προσώμεθα Blass, coll. schol. p. 249, 27 10 ἐξεῖναι] ἐξεϊνεῖναι S 11 βοηθεῖν αὐτοῖς γρ. S[d]FAY | οὐ S (cf. schol. p. 249, 28): οἱ FAY 13 ὡς om. Y[1] 14 μὴ om. A[1] add. A[3] ut vid. 16 τῆς om. Y[1] 17 οὐδ' S schol. 250, 4: καίτοι οὐδ' FAY (τὸ καίτοι ἐν ἐνίοις (?) οὐ κεῖται Y[3] mg.) 19 βούλωνται SF[1] ἂν βούλωνται Cobet 20 χάριν ὑμῖν FY ὑμῖν del. Blass 21 εἰ καὶ FAY

Λακεδαιμονίων ἐπιχειρήμασι τὸ τοὺς Ἀρκάδας ἡμᾶς συμμάχους ποιήσασθαι, προσήκει δήπου πλείω χάριν αὐτοὺς ἔχειν ὧν ἐσώθησαν ὑφ' ἡμῶν εἰς τοὺς ἐσχάτους ἐλθόντες κινδύνους ἢ ὧν ἀδικεῖν κωλύονται νῦν ὀργίζεσθαι.
5 *ὥστε πῶς οὐ βοηθήσουσιν ἡμῖν ἐπ' Ὠρωπόν, ἢ κάκιστοι πάντων ἀνθρώπων δόξουσιν εἶναι; μὰ τοὺς θεοὺς ἔγωγ' οὐχ ὁρῶ.*

Θαυμάζω τοίνυν καὶ τῶν λεγόντων τοῦτον τὸν λόγον, 14 *ὡς εἰ συμμάχους ποιησόμεθ' Ἀρκάδας καὶ ταῦτα πράξο-*
10 *μεν, μεταβάλλεσθαι δόξει καὶ οὐδὲν ἔχειν πιστὸν ἡ πόλις. ἐμοὶ μὲν γὰρ δοκεῖ τοὐναντίον ὦ ἄνδρες Ἀθηναῖοι. διὰ τί; ὅτι τῶν πάντων οὐδέν' ἂν ἀντειπεῖν οἴομαι, ὡς οὐ καὶ Λακεδαιμονίους καὶ πρότερον Θηβαίους καὶ τὸ τελευταῖον Εὐβοέας ἔσωσεν ἡ πόλις, καὶ μετὰ ταῦτα*
15 *συμμάχους ἐποιήσατο, ἕν τι καὶ ταὐτὸ βουλομένη [ἀεὶ] πράττειν. ἔστιν δὲ τοῦτο τί; τοὺς ἀδικουμένους σῴζειν.* 15 *εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, οὐκέτ' ἂν ἡμεῖς εἴημεν οἱ*
206 *μεταβαλλόμενοι, ἀλλ' οἱ μὴ 'θέλοντες | τοῖς δικαίοις ἐμμένειν, καὶ φανήσεται τὰ πράγματ' ἀεὶ διὰ τους πλεον-*
20 *εκτεῖν βουλομένους μεταβαλλόμενα, οὐχ ἡ πόλις ἡμῶν.*

Δοκοῦσι δέ μοι Λακεδαιμόνιοι μάλα δεινῶν ἔργον 16 *ἀνθρώπων ποιεῖν. νῦν γάρ φασιν ἐκεῖνοι δεῖν Ἠλείους*

1 *λακεδαιμονίοις* ut vid. Y[1] | *ἡμᾶς* vulg.: *ὑμᾶς* SFAY 3 *ὑμῶν* FY 5 *ἡμῖν* S: *ὑμῖν* FAY | *ἢ ου* A 6 *ὃ μὰ* FY 8 *καὶ* om. FAY | *τὸν λόγον τοῦτον* FY 9 *ἀρκάδες* A[1] corr. A[3] 11 *μὲν* om. FY 12 *ἁπάντων* FY | *οὐδένα*] *να* in ras. F | *ἂν* om. FAY[1] | *οἶμαι* FAY 15 *καὶ* om. S[1] add. S[d] | *βουλομένη* [*ἀεὶ*] Voemel: *βουλομένη ἀεὶ* S *ἀεὶ* (*αἰεὶ* Y) *βουλομένη* FY *βουλομένη πᾶσιν ἀεὶ* A *ἀεὶ* post *πράττειν* pon. Blass 16 *ἀεὶ* ante *σῴζειν* add. S[d] 17 *ταῦθ'* S: *τοῦθ'* FAY 19 *ἀεὶ διὰ τοὺς* SA: *διὰ τοὺς ἀεὶ* FY 21 *μάλα* om. Hermog. III 333 W. (349, 25 R.) | *ἔργον ἀνθρώπων* FAY Hermog. Aristid. IX 367 W. cf. XVIII 269. XXIII 123: *ἀνθρώπων ἔργον* S 22 *νυνὶ* FAY

μὲν τῆς Τριφυλίας τινὰ κομίσασθαι, Φλειασίους δὲ τὸ Τρικάρανον, ἄλλους δέ τινας τῶν Ἀρκάδων τὴν αὑτῶν, καὶ τὸν Ὠρωπὸν ἡμᾶς, οὐχ ἵν' ἑκάστους ἡμῶν ἴδωσιν ἔχοντας τὰ αὑτῶν, οὐδ' ὀλίγου δεῖ (ὀψὲ γὰρ ἂν φιλάν-
17 *θρωποι γένοιντο)· ἀλλ' ἵνα πᾶσι δοκῶσι συμπράττειν* 5
ὅπως ἕκαστοι κομίσωνται ταῦθ' ἅ φασιν αὑτῶν εἶναι, ἵν' ἐπειδὰν ἴωσιν ἐπὶ Μεσσήνην αὐτοί, συστρατεύωνται πάντες αὐτοῖς οὗτοι καὶ βοηθῶσι προθύμως, ἢ δοκῶσιν ἀδικεῖν, περὶ ὧν ἔφασαν ἕκαστοι σφῶν αὐτῶν εἶναι συμψήφους λαβόντες ἐκείνους, μὴ τὴν ὁμοίαν αὐτοῖς χάριν 10
18 *ἀποδιδόντες. ἐγὼ δὲ νομίζω τὴν πόλιν πρῶτον μὲν καὶ χωρὶς τοῦ καθυφεῖναί τινας Λακεδαιμονίοις Ἀρκάδων, Ὠρωπὸν ἂν κομίσασθαι, καὶ μετ' ἐκείνων, ἂν τὰ δίκαια ποιεῖν ἐθέλωσιν, καὶ μετὰ τῶν ἄλλων τῶν οὐκ οἰομένων δεῖν Θηβαίους ἐᾶν ἔχειν τἀλλότρια. εἰ δ' ἄρα τοῦτ' εὔδη-* 15
λον ἡμῖν γένοιτο, ὅτι μὴ Λακεδαιμονίους ἐῶντες τὴν Πελοπόννησον καταστρέψασθαι οὐχ οἷοί τ' ἐσόμεθ' Ὠρωπὸν λαβεῖν, αἱρετώτερον, εἰ οἷόν τ' εἰπεῖν, ἡγοῦμαι τὸν Ὠρωπὸν ἐᾶν ἢ Λακεδαιμονίοις Μεσσήνην προέσθαι καὶ Πελοπόννησον. οὐ γὰρ ἂν ἡγοῦμαι περὶ τούτου μόνου ἡμῖν εἶναι 20
τὸν λόγον πρὸς ἐκείνους, ἀλλ' — ἐάσω τό γ' ἐπελθὸν εἰπεῖν μοι· περὶ πολλῶν δ' ἂν οἶμαι κίνδυνον ἡμῖν γενέσθαι.

3 *είδωσιν* A 4 *ἑαυτῶν* F Y | *δεῖν* A 5 *γένοιντο* S: *γεγονότες εἶεν γρ.* S^dFAY 6 *ὅπως* SAFY^2 mg.: *ὅπως ἂν* Y^1 | *κομίζωνται* A *κομιοῦνται* Tournier | *ἑαυτῶν* AY 7 *ἵν' ἐπειδὰν* SFY: *ἐπειδ' ἂν δ'* A | *καὶ αὐτοὶ* FY | *συστρατεύονται* S^1A 8 *βοηθήσωσι* A 9 *εἰ περὶ* Y *ἐν ἐνίοις τοῦ εἰ οὐ κειμένου ἀποδιδόντες γράφεται* Y^3 mg. 10 *χάριν* del. Cobet 11 *ἀποδιδόασιν* Y^1, corr. Y^2 s. v. 12 *λακεδαιμονίοις τινὰς* FY 14 *βοηθούντων* ante *καὶ* add. FAY 15 *ἔχειν ἐᾶν* Y 18 *εἰ οἷόν*] *ειον* S^1 20 sq. *ἂν ἡγοῦμαι* et *μόνον ... ἐκείνους* om. Hermog. III 346 W. (361, 16 R.) 21 post *ἀλλ'* interpunxit Gebauer

207 Ἀλλὰ μὴν ἅ γέ φασι πεπρᾶχθαι διὰ Θη|βαίους τοῖς 19
Μεγαλοπολίταις ὑπεναντία πρὸς ἡμᾶς, ἄτοπον νῦν [μὲν]
ἐν κατηγορίας μέρει ποιεῖσθαι, βουλομένων δὲ γενέσθαι
φίλων αὐτῶν, ἵνα τοὐναντίον εὖ ποιῶσιν ἡμᾶς, βασκαί-
5 νειν καὶ σκοπεῖν ἐξ ὅτου τρόπου μὴ γενήσονται, καὶ μὴ
γιγνώσκειν ὅτι, ὅσῳ ἂν σπουδαιοτέρους τούτους περὶ
Θηβαίους γεγενημένους ἀποδείξωσιν, τοσούτῳ πλείονος
ὀργῆς αὐτοὶ δικαίως ἂν τυγχάνοιεν, εἰ τοιούτων συμ-
μάχων τὴν πόλιν, ὅτ' ἐφ' ὑμᾶς προτέρους ἦλθον ἢ
10 Θηβαίους, ἀπεστέρησαν. ἀλλ' οἶμαι ταῦτα μέν ἐστι 20
δεύτερον ἀνθρώπων βουλομένων ἑτέρων ποιῆσαι τού-
τους συμμάχους. ἐγὼ δ' οἶδα, ὅσ' ἂν ἐκ λογισμοῦ σκο-
πῶν τις εἰκάσαι (καὶ τοὺς πολλοὺς οἶμαι ὑμῶν ἐμοὶ ταὐτὰ
φήσειν), ὅτι εἰ λήψονται Μεγάλην πόλιν Λακεδαιμόνιοι,
15 κινδυνεύσει Μεσσήνη· εἰ δὲ καὶ ταύτην λήψονται, φήμ'
ἡμᾶς ἔσεσθαι συμμάχους Θηβαίων. πολὺ δὴ κάλλιον 21
καὶ ἄμεινον τὴν μὲν Θηβαίων συμμαχίαν αὐτοὺς παρα-
λαβεῖν, τῇ δὲ Λακεδαιμονίων πλεονεξίᾳ μὴ ἐπιτρέψαι,
ἢ νῦν ὀκνοῦντας μὴ τοὺς Θηβαίων σῴσωμεν συμμάχους,
20 τούτους μὲν προέσθαι, πάλιν δὲ σῴζειν αὐτοὺς τοὺς
Θηβαίους, καὶ προσέτ' ἐν φόβῳ καθεστάναι περὶ ἡμῶν
αὐτῶν. οὐ γὰρ ἔγωγ' ἀδεὲς τοῦθ' ὑπολαμβάνω τῇ πόλει, 22

2 ὑμᾶς FY | νῦν] ταῦτα Tournier | μὲν secl. Weil ⟨ταῦτα⟩ μὲν Fox 4 αὐτῶν del. Cobet | ποιήσωσιν A | ὑμᾶς FY 7 ἐπι-δείξωσι A 8 τοιουτον F^1 9 τὴν] ην S^1 corr. ead. 9 sq. ἢ Θηβαίους secl. Blass, coll. schol. p. 251, 23 11 ἑτέροις Tournier | τούτους] τους S 12 οἶδα SAY^3: om. FY^1 13 sq. καὶ ... φήσειν SAY corr.: καὶ ... φῆσαι FY^1 κἂν ... φῆσαι Blass 13 οἶμαι (οἴομαι Y) ὑμῶν ἐμοὶ SAY^3: ὑμῶν οἴομαι FY^1 | ταυτὰ SY: ταῦτα FA 15 κινδυνεύσει Μεσσήνη] κίνδυνος μεσσήνηι A^1 corr. A^2 16 ὑμᾶς FY 17 μὲν SA: μὲν F om. Y | παραβεῖν F^1 18 ἐπιτρέπειν FY 19 ὀκνοῦντες A | θηβαίους A 21 καθε-στηκέναι γρ. S^{d}A

τὸ λαβεῖν Μεγάλην πόλιν Λακεδαιμονίους καὶ πάλιν γενέσθαι μεγάλους. ὁρῶ γὰρ αὐτοὺς καὶ νῦν οὐχ ὑπὲρ τοῦ μὴ παθεῖν τι κακὸν πολεμεῖν αἱρουμένους, ἀλλ' ὑπὲρ τοῦ κομίσασθαι τὴν πρότερον οὖσαν αὐτοῖς δύναμιν· ὧν δ', ὅτ' ἐκείνην εἶχον, ὠρέγοντο, ταῦθ' ὑμεῖς μᾶλλον 5 ἴσως εἰδότες ἢ ἐγὼ φοβοῖσθ' ἂν εἰκότως.

23 Ἡδέως δ' ἂν πυθοίμην καὶ τῶν [λεγόντων] τοὺς Θηβαίους μι|σεῖν φασκόντων καὶ τοὺς Λακεδαιμονίους, πό- 208 τερ' ἑκάτεροι μισοῦσιν, οὓς δὴ μισοῦσιν, ὑπὲρ ὑμῶν καὶ τοῦ συμφέροντος ὑμῖν, ἢ ὑπὲρ Λακεδαιμονίων μὲν Θη- 10 βαίους, ὑπὲρ δὲ Θηβαίων Λακεδαιμονίους ἑκάτεροι. εἰ μὲν γὰρ ὑπὲρ ἐκείνων, οὐδετέροις ὡς μαινομένοις πείθεσθαι προσήκει· εἰ δ' ὑπὲρ ὑμῶν φήσουσιν, τί πέρα 24 τοῦ καιροῦ τοὺς ἑτέρους ἐπαίρουσιν; ἔστιν γάρ, ἔστι Θηβαίους ταπεινοὺς ποιεῖν ἄνευ τοῦ Λακεδαιμονίους 15 ἰσχυροὺς καθιστάναι, καὶ πολύ γε ῥᾷον· ὡς δ', ἐγὼ πειράσομαι πρὸς ὑμᾶς εἰπεῖν. ἴσμεν ἅπαντες τοῦθ', ὅτι τὰ μὲν δίκαια πάντες, ἐὰν καὶ μὴ βούλωνται, μέχρι τού γ' αἰσχύνονται μὴ πράττειν, τοῖς δ' ἀδίκοις ἐναντιοῦνται φανερῶς, ἄλλως τε κἄν τινες βλάπτωνται· καὶ τοῦτο 20 λυμαινόμενον πάνθ' εὑρήσομεν, καὶ ταύτην ἀρχὴν οὖσαν πάντων τῶν κακῶν, τὸ μὴ 'θέλειν τὰ δίκαια πράττειν

2 νυνὶ FY 3 πολεμεῖν αἱρουμένους SAY^3: πόλεμον ἀραμένους FY^1 4 πρότερον FY^1: προτεραν S πρότερόν ποτε A γρ. Y^3 | ἑαυτοῖς Y^1 5 ὑμῖν S^1 6 ἴσως om. Y | δοτες S^1 | φοβεισθ' S 7 καὶ τῶν Cobet post H. Wolfium et G. H. Schaeferum: καὶ τῶν λεγόντων καὶ FY^1 τῶν λεγόντων καὶ SAY corr. 8 πότερα δὴ FY 9 ἑκάτεροι del. Cohn | ἡμῶν A^2 10 ἡμῖν A^1 | μὲν post ὑπὲρ FAY 10sq. θηβαίων λακεδαιμονίους ... λακεδαιμονίων θηβαίους A 14 καιροῦ] κληρου S^1 16 πολύ SA: πάνυ FY 18 του S: τούτου FAY 19 ἀδίκοις SA: ἀδικοῦσιν FY 20 τοῦτο SY corr.: τοῦτο τὸ FAY^1 21 τὴν ἀρχὴν A 22 ἀπάντων A

ἁπλῶς. ἵνα τοίνυν μὴ τοῦτ' ἐμποδὼν γένηται τῷ Θη- 25
βαίους γενέσθαι μικρούς, τὰς μὲν Θεσπιὰς καὶ τὸν Ὀρ-
χομενὸν καὶ τὰς Πλαταιὰς κατοικίζεσθαι φῶμεν δεῖν
καὶ συμπράττωμεν αὐτοῖς καὶ τοὺς ἄλλους ἀξιῶμεν
5 (ταῦτα γὰρ καὶ καλὰ καὶ δίκαια, μὴ περιορᾶν πόλεις
ἀρχαίας ἐξανεστώσας), τὴν δὲ Μεγάλην πόλιν καὶ τὴν
Μεσσήνην μὴ προώμεθα τοῖς ἀδικοῦσιν, μηδ' ἐπὶ τῇ
προφάσει τῇ Πλαταιῶν καὶ Θεσπιῶν τὰς οὔσας καὶ
κατοικουμένας πόλεις ἀναιρεθείσας περιίδωμεν. κἂν ᾖ 26
10 ταῦτα πρόδηλα, οὐδεὶς ὅστις οὐ βουλήσεται παύσασθαι
Θηβαίους ἔχοντας τὴν ἀλλοτρίαν· εἰ δὲ μή, πρῶτον μὲν
ἐναντίους ἕξομεν πρὸς ἐκεῖνα τούτους εἰκότως, ὅταν
ἡγῶνται τὴν ἐκείνων κατοίκισιν αὐτοῖς ὄλεθρον φέρειν,
209 εἶτ' ἀνήνυτα | πράγμαθ' ἕξομεν αὐτοί· τί γὰρ ὡς ἀληθῶς
15 ἔσται πέρας, ὅταν αἰεὶ τὰς μὲν οὔσας πόλεις ἐῶμεν ἀναι-
ρεῖν, τὰς δ' ἀνῃρημένας ἀξιῶμεν οἰκίζειν; Thuc. VI 76, 2

Λέγουσι τοίνυν οἱ μάλιστα δοκοῦντες δίκαια λέγειν 27
ὡς δεῖ τὰς στήλας καθελεῖν αὐτοὺς τὰς πρὸς Θηβαίους,
εἴπερ ἡμέτεροι βεβαίως ἔσονται σύμμαχοι. οἱ δέ φασιν
20 μὲν αὐτοῖς οὐ[κ εἶναι] στήλας, ἀλλὰ τὸ συμφέρον εἶναι
τὸ ποιοῦν τὴν φιλίαν, τοὺς δὲ βοηθοῦντας ἑαυτοῖς, τού-
τους νομίζειν εἶναι συμμάχους. ἐγὼ δ', εἰ τὰ μάλιστ'
εἰσὶν τοιοῦτοι, ὡδί πως ἔχω. φημὶ δεῖν ἅμα τούτους

1 τῶι SAY corr.: τὸ τοὺς F τὸ vel τῶ τοὺς Y[1] 3 πλατεας S | φῶμεν SFY: φημὶ A 5 γὰρ καλὰ FY 6 ἐξαναστάσας A 8 πλατεων καὶ θεσπιων S πλαταιέων καὶ θεσπιέων A θεσπιέων καὶ πλαταιέων FY | καὶ post οὔσας om. F 9 περιειδωμεν SA[1] 10 πρόδηλα ταῦτα FY | βούλεται A 13 κατοίκισιν FY: κατοίκησιν SA[1] κατοικιεῖν A[2] | ἑαυτοῖς FY 15 ἀεὶ FAY | τὰς μὲν] τὰ μὲν F[1] 17 δίκαια] δικαι S[1] 18 αὐτοὺς om. FY 20 οὐ Dobree: οὐκ εἶναι SFAY 21 ἑαυτοῖς] αυτοις A 22 εἶναι del. Tournier 23 τούτους τε FAY

ἀξιοῦν καθαιρεῖν τὰς στήλας καὶ Λακεδειμονίους ἄγειν εἰρήνην, ἐὰν δὲ μὴ ’θέλωσι ποιεῖν ὁπότεροι ταῦτα, τότ’
28 *ἤδη μετὰ τῶν ἐθελόντων ἡμᾶς γίγνεσθαι. εἴτε γὰρ εἰρήνης γιγνομένης αὐτοῖς οἱ Μεγαλοπολῖται ἔτι τῆς Θηβαίων συμμαχίας ἕξονται, φανεροὶ πᾶσιν ἔσονται τὴν πλεονεξίαν* 5
τὴν Θηβαίων, οὐ τὸ δίκαιον αἱρούμενοι· εἴτε συμμάχους ἡμᾶς ἀδόλως τῶν Μεγαλοπολιτῶν ποιουμένων μὴ ’θελήσουσιν ἄγειν εἰρήνην οἱ Λακεδαιμόνιοι, δῆλοι δήπου πᾶσιν ἔσονται, οὐχ ἵνα Θεσπιαὶ κατοικισθῶσι ποιούμενοι τὴν σπουδήν, ἀλλ’ ἵνα τοῦ πολέμου περιεστηκότος Θη- 10
29 *βαίοις τὴν Πελοπόννησον ὑφ’ αὐτοῖς ποιήσωνται. θαυμάζω δ’ ἐνίων, εἰ τὸ μὲν Θηβαίων συμμάχους εἶναι τοὺς Λακεδαιμονίων ἐχθροὺς φοβοῦνται, εἰ δὲ καταστρέψονται Λακεδαιμόνιοι τούτους, μηδὲν ἡγοῦνται φοβερόν, καὶ ταῦτ’ ἔργῳ πεῖραν ἡμῖν δεδωκότος τοῦ χρόνου, ὅτι Θηβαῖοι* 15
μὲν τούτοις συμμάχοις ἐπὶ Λακεδαιμονίους ἀεὶ χρῶνται, | Λακεδαιμόνιοι δ’ ὅτ’ εἶχον αὐτούς, ἐφ’ ἡμᾶς ἐχρῶντο. **210**

30 *Οἶμαι τοίνυν ἔγωγε κἀκεῖν’ ἐνθυμεῖσθαι δεῖν, ὅτι μὴ προσδεξαμένων μὲν ὑμῶν τοὺς Μεγαλοπολίτας, ἐὰν μὲν ἀναιρεθῶσιν καὶ διοικισθῶσιν, ἰσχυροῖς Λακεδαιμονίοις* 20
ἔστιν εὐθὺς εἶναι, ἐὰν δὲ σωθῶσιν ἄρα, ὡς ἤδη τι καὶ παρ’ ἐλπίδας ἐξέβη, βέβαιοι σύμμαχοι Θηβαίων δικαίως

4 *γενομένης* A | *ἔτι* om. B del. Benseler transpon. ante *συμμαχίας* Fox, post *συμμαχίας* H. Meylan 5 *φανεροὶ δήπου* FY 7 *ἀδόλως ἡμᾶς* FY | *ποιουμένους* S[1] corr. S[d], *ποιουμένων* (*ους* supra) F 8 *εἰρήνην ἄγειν* Y 9 *κατοικισθῶσι* FY: *κατοικισθῶσι μόνον* SA 10 *πολέμου τούτου* FAY | *Θηβαίους* H. Wolf; at cf. XVIII 179. 188. 238 al. 11 *ἑαυτοῖς* FAY | *ποιήσωνται*] ω in ras. F 12 *θηβαίων* (*οις* supra) F *θηβαίων* Y[2] 14 *τούτους αὐτοὺς* FAY 15 *ὑμῖν* A 17 *ὑμᾶς* A 20 *διοικηθῶσιν* A[1] corr. A[2] | *ἰσχυροὺς Λακεδαιμονίους* Blass sec. Aristid. I 630, 6 Dind. 21 *εὐθύς ἐστιν* FY | *ἂν* A

ἔσονται· ἂν δὲ προσδέξησθε, τούτοις μὲν ὑπάρξει ἤδη σωθῆναι δι' ὑμᾶς, τὸ δὲ συμβησόμενον, [καὶ] τὸν τοῦ κινδύνου λογισμὸν μετενεγκόντες, σκοπῶμεν ἐπὶ Θηβαίων καὶ Λακεδαιμονίων. ἂν μὲν τοίνυν καταπολεμηθῶσιν 31
5 *οἱ Θηβαῖοι, ὥσπερ αὐτοὺς δεῖ, οὐκ ἔσονται μείζους τοῦ δέοντος οἱ Λακεδαιμόνιοι, τούτους ἔχοντες ἀντιπάλους τοὺς Ἀρκάδας ἐγγὺς οἰκοῦντας· ἂν δ' ἀνενέγκωσιν ἄρ' οἱ Θηβαῖοι καὶ σωθῶσιν, ἀλλ' οὖν ἀσθενέστεροί γ' ἔσονται, ἡμῖν συμμάχων γεγενημένων τῶνδε καὶ δι' ἡμᾶς*
10 *σεσωμένων. ὥστε πανταχῇ συμφέρει μήτε προέσθαι τοὺς Ἀρκάδας μήτε δι' αὐτούς, ἂν ἄρα σωθῶσιν, περιγεγονέναι δοκεῖν, μηδὲ δι' ἄλλους τινάς, ἀλλὰ δι' ὑμᾶς.*

Ἐγὼ μὲν οὖν ὦ ἄνδρες Ἀθηναῖοι μὰ τοὺς θεοὺς οὔτε 32
φιλῶν οὐδετέρους οὔτε μισῶν ἰδίᾳ εἴρηκα, ἀλλ' ἃ νομίζω
15 *συμφέρειν ὑμῖν· καὶ παραινῶ μὴ προέσθαι Μεγαλοπολίτας, μηδ' ἄλλον ἁπλῶς μηδένα τῶν ἐλαττόνων τῷ μείζονι.*

1 *ἐὰν* FY item v. 4. 7 | *τούτους* Tournier | *ἤδη*] *δὴ* Weil del. Reiske 2 *καὶ* om. Vind. 6, del. Dobree 6 *τούτους* SFA: *τοὺσ δὲ* Y^1 *τούσδε* Y corr. 7 *ανανέγκωσιν* A^1 corr. ead. 8 *οἱ* om. Y | *καὶ μὴ πέσωσιν* post *σωθῶσιν* add. FY | *οὖν*] *οταν* S^1 corr. S^d 10 *σεσωμένων* S: *σεσωσμένων* FAY 12 *μηδὲ* FAY^1: *μήτε* SY corr. 13 *οὖν* om. FY 14 *ἀλλ' ἃ νομίζω* SFY: *ἃ νομίζω* A, Blass commate post *εἴρηκα* deleto; *ἀλλὰ νομίζων* Dobree 16 *ἄλλον* SFY: *ἄλλων* A

In SF subscriptum

ΠΕΡΙ (ΥΠΈΡ F) ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ
H̄ H̄ 𐅄̄ Δ̄ Δ̄ Δ̄ Δ̄ I I I H̄ („immo H H 𐅄 Δ Δ Δ Δ Π I I I“ Sauppe, H del. Voemel et Burger)
add. S^d ⍭ (i. e. *διώρθωται*)

in AY ῾ΥΠΕΡ ΜΕΓΑΛΟΠΟΛΙΤΩ͂Ν

XVII

ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ ΣΥΝΘΗΚΩΝ

211

ΥΠΟΘΕΣΙΣ

Ἀλεξάνδρου τοῦ Μακεδόνος καταγαγόντος εἰς Μεσσήνην τοὺς Φιλιάδου τοῦ τυράννου παῖδας, αἰτιᾶται παρὰ τὰς συνθήκας εἶναι τοῦτο τὰς πρὸς Ἀθηναίους καὶ Ἕλληνας γενομένας· παραβεβηκέναι δὲ καὶ ἐν ἄλλοις πολλοῖς τὰς συνθήκας φησὶ τοὺς Μακεδόνας, καὶ μὴ περιορᾶν ταῦτα παραινεῖ. ὁ δὲ λόγος 5 *ψευδεπίγραφος εἶναι δοκεῖ· οὐ γὰρ ἔοικε κατὰ τὴν ἰδέαν τοῖς ἄλλοις τοῖς τοῦ Δημοσθένους, ἀλλὰ τῷ Ὑπερείδου χαρακτῆρι μᾶλλον προσχωρεῖ, τά τ' ἄλλα καὶ λέξεις τινὰς ἔχει κατ' ἐκεῖ-* § 23 *νον μᾶλλον εἰρημένας ἢ τὸν Δημοσθένην, οἷον νεόπλουτοι* § 11 *καὶ βδελυρεύεσθαι.* 10

Ἄξιον ἀποδέχεσθαι ὦ ἄνδρες Ἀθηναῖοι σφόδρα τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν, εἴπερ αὐτὸ πεπεισμένοι ποιοῦσιν· οἶμαι γὰρ οὐδὲν οὔ-

ΥΠΕΡ ΤΩΝ Α   1 *κατάγοντος* F | *εἰς Μεσσήνην* om. Y[1] add. rec. mg. (*ἐν ἑτέρῳ*)   3 *πρὸς Ἀθηναίους καὶ Ἕλληνας* Wolf: *παρ' ἀθηναίοις καὶ ἕλλησι* FY m *Ἀθηναίοις καὶ Ἕλλησι* Sauppe   5 *ὁρᾶν* F   7 sqq. cf. Phot. bibl. p. 491 a 23 | *ὑπερίδου* Y   9 *δημοσθένη* FY | *νεόπλουτοι* m: *νεοπλούτους* FY *νεόπλουτος* Phot.   10 *βδελυρεύεσθαι* Y Phot: *βδελυρευμένους* F[1] *βδελυρευομένους* F corr. *βδελυρεύσετε* m *βδελυρεύσεται* vulg. ex § 11   13 *ποιῶσιν* A | *οὐδὲν*] *οὐδὲ τῶν* A[1] *οὐδὲν τῶν ἄλλων* A[s]Y[s] mg. *ἐν ἑτέρῳ*

τως τοῖς δημοκρατουμένοις πρέπειν ὡς περὶ τὸ ἴσον καὶ
τὸ δίκαιον σπουδάζειν. δεῖ τοίνυν τοὺς λίαν ἐπ' αὐτὰ
212 παρακαλοῦντας μὴ | τῷ μὲν λόγῳ καταχρωμένους ἐνοχλεῖν,
πάντα δὲ μᾶλλον πράττειν, ἀλλ' ὑπομείναντας νυνὶ τὸν
5 ἐξετασμὸν ἢ καὶ τὸ λοιπὸν πειθομένους ὑμᾶς ἔχειν περὶ
αὐτῶν, ἢ παραχωρήσαντας ἐᾶν συμβουλεύειν τοὺς ἀλη-
θέστερα περὶ τῶν δικαίων ἀποφαινομένους, ἵν' ἢ ἑκόντες 2
ἀδικούμενοι ἀνέχησθε καὶ αὐτὸ τοῦτο χαρίζησθε τῷ ἀδι-
κοῦντι, ἢ προελόμενοι περὶ πλείστου ποιήσασθαι τὸ
10 δίκαιον ἀνεγκλήτως πρὸς ἅπαντα χρῆσθε τῷ συμφέροντι
μηκέτι μέλλοντες. ἐξ αὐτῶν δὲ τῶν συνθηκῶν καὶ τῶν
ὅρκων σκεψαμένους τῶν περὶ τῆς κοινῆς εἰρήνης ἔξεστιν
ἰδεῖν ἤδη, τίνες εἰσὶν οἱ παραβεβηκότες. ὡς δὲ περὶ
μεγάλων συντόμως διδάξω.

15 Εἰ δή τις ἐρωτήσειεν ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τίνι ἂν 3
μάλιστ' ἀγανακτήσαιτ' εἴ τις ἀναγκάζοι, οἶμαι, εἰ ἦσαν
κατὰ τὸν νυνὶ χρόνον οἱ Πεισιστρατίδαι καί τις ἐβιάζετο
κατάγειν αὐτοὺς δευρί, ἁρπάσαντας ἂν ὑμᾶς τὰ ὅπλα
πάντα κίνδυνον ὑπομεῖναι ἀντὶ τοῦ παραδέξασθαι, ἢ
20 πεισθέντας γε δουλεύειν ἀντὶ τῶν ἀργυρωνήτων, καὶ
τοσούτῳ μᾶλλον, ὅσῳ τὸν μὲν οἰκέτην οὐδεὶς ἂν ἑκὼν

1 ὡς περὶ F corr. (I?) AY: ὥσπερ SF[1] 2 αὐτὰ S: αὐτὸ (α supra) F αὐτὸ Y ταῦτα A 5 τὸ] τὸν F[1] 6 τἀληθέστερα A[1] 9 ποιή-σασθαι SFY: ποιεῖσθε A (i. e. ποιεῖσθαι) 10 απαντα S: ἅπαν-τας FAY | χρῆσθαι SAY[1] | τῷ συμφέροντι secl. Weil 12 σκεψα-μένους SA: σκοπουμένοις FY | κοινῆς om. A[1] add. A[3] 15 ἐρω-τήσειεν S: ὑμᾶς (ex ὑμῶν corr. A[2]) ἐρωτήσειεν A ἐρωτήσειεν ὑμᾶς FY 16 ἀγανακτήσετε FAY[1] | εἴ τις ἀναγκάζοι οἶμαι S: εἴ τις ἀναγκάζοι οἶμαι ἂν A[1] εἴποιτ' ἂν πάντες ante εἴ τις add. A[3] mg. εἴποιτ' ἂν οἶμαι πάντες εἴ τις ἀναγκάζοι ἂν (ἂν om. Y) FY 17 νῦν FY | πισιστρατιδαι S | καὶ εἰ FY[1] 18 δευρί] δευρ' ει S 19 παραδέχεσθαι FY

ἀποκτείνειεν, τοὺς δὲ τυραννουμένους ἀκρίτους ἔστιν
ὁρᾶν ἀπολλυμένους ἅμα καὶ ὑβριζομένους εἰς παῖδας καὶ
4 γυναῖκας. παρὰ τοὺς ὅρκους τοίνυν καὶ τὰς συνθήκας
τὰς ἐν τῇ κοινῇ εἰρήνῃ γεγραμμένας Ἀλέξανδρος εἰς
Μεσσήνην καταγαγὼν τοὺς Φιλιάδου παῖδας, ὄντας 5
τυράννους, ἆρ' ἐφρόντισεν τοῦ δικαίου, ἀλλ οὐκ ἐχρή-
σατο τῷ αὑτοῦ ἔθει τῷ τυραννικῷ, βραχὺ φροντίσας
5 ὑμῶν καὶ τῆς κοινῆς ὁμολογίας; οὐ | δὴ δεινόν, εἰ μέν 213
τις ὑμᾶς ταῦτα βιάζοιτο, μάλιστ' ἂν ἀγανακτῆσαι, εἰ δ'
ἑτέρωθί που γέγονεν παρὰ τοὺς πρὸς ὑμᾶς ὅρκους, μὴ 10
φυλάξασθαι, καὶ ἡμῖν μὲν διακελεύεσθαί τινας ἐνταυθὶ
ἐμμένειν τοῖς ὅρκοις, τοῖς δ' αὐτοὺς οὕτως περιβοήτως
6 ἀνῃρηκόσι καταλείπειν ταύτην τὴν ἐξουσίαν; ἀλλ οὐχ
οἷόν τε ταῦθ' οὕτως ἔχειν, ἐὰν βούλησθε τῷ δικαίῳ
χρῆσθαι· καὶ γὰρ ἔτι προσγέγραπται ἐν ταῖς συνθήκαις 15
πολέμιον εἶναι τὸν ἐκεῖν' ἅπερ Ἀλέξανδρος ποιοῦντα
ἅπασι τοῖς τῆς εἰρήνης κοινωνοῦσι, καὶ τὴν χώραν αὐ-
τοῦ, καὶ στρατεύεσθαι ἐπ' αὐτὸν ἅπαντας. οὐκοῦν ἐὰν
ποιῶμεν τὰ συγκείμενα, πολεμίῳ χρησόμεθα τῷ καταγα-
7 γόντι. ἀλλὰ γὰρ εἴποιεν ἂν οἱ τυραννίζοντες οὗτοι, ὅτι 20
πρὶν τὰς συνθήκας γενέσθαι ἐτυράννουν Μεσσήνης οἱ
Φιλιάδου παῖδες· διὸ καὶ καταγαγεῖν τὸν Ἀλέξανδρον

1 ἀκρίτως (ους supra) F 6 τυράννους ὄντας A 7 εθει S: ἤθει (ἔ supra) F ἤθει AY 8 δὴ δεινὸν Reiske (signo interrogationis posito): δη δει S δ' ἤδει F δὴ (η in ras. Y) δεῖ AY 9 αναγανακτησαι S ἀγανακτῆσαι FAY 10 πρὸς] προ A[1] corr. ead. | μὴ φυλάξασθαι SF[1]A[1]: τοῦτο πράως ὑμᾶς ἔχειν καὶ ὅρκους μὴ φυλάξασθαι F mg. A[3] mg. μὴ φυλάξασθαι τοῦτο πράως ὑμᾶς ἔχειν καὶ ὅρκους μὴ φυλάξασθαι Y 11 ἐνταυθοῖ γρ. F rec. AY corr. 12 οὕτω A 13 ανειρηκοσι S | καταλιπειν S καταλιπεῖν FY 14 ἂν A 19 καταγαγόντι FA corr. (I?) Y: κατάγοντι SA[1] 21 Μεσσήνης schol. p. 257, 12: μεσσηνην S μεσσηνίων FAY et Anecd. Bekk. p. 174 22 καταγαγεῖν Ald. Voem.: κατάγειν SFAY

αὐτούς. ἀλλὰ καταγέλαστος ὁ λόγος, τοὺς μὲν ἐκ Λέσβου
τυράννους, οἷον ἐξ Ἀντίσσης καὶ Ἐρέσου, ἐκβαλεῖν ὡς
ἀδικήματος ὄντος τοῦ πολιτεύματος, τοὺς πρὸ τῶν ὁμο-
λογιῶν τυραννήσαντας, ἐν δὲ Μεσσήνῃ μηδὲν οἴεσθαι
5 διαφέρειν, τῆς αὐτῆς δυσχερείας ὑπαρχούσης. ἔπειτα 8
καὶ ἐπιτάττει ἡ συνθήκη εὐθὺς ἐν ἀρχῇ ἐλευθέρους εἶναι
καὶ αὐτονόμους τοὺς Ἕλληνας. διὸ καὶ πῶς οὐχ ὑπερ-
άτοπον, ἡγεῖσθαι μὲν τῶν συνθηκῶν τὸ αὐτονόμους εἶναι
καὶ ἐλευθέρους, τὸν δ' εἰς δουλείαν ἀγαγόντα μὴ οἴεσθαι
10 τἀναντία ταῖς κοιναῖς ὁμολογίαις διαπεπρᾶχθαι; οὐκοῦν
214 ἀναγκαῖόν ἐστιν ἡμῖν ὦ ἄνδρες Ἀθηναῖοι, | εἴπερ τοῖς
ὅρκοις καὶ ταῖς συνθήκαις ἐμμενοῦμεν καὶ τὰ δίκαια
ποιήσομεν, ἐφ' ἃ ὑμᾶς παρακαλοῦσιν, καθάπερ ἄρτι εἶπον,
λαβοῦσι τὰ ὅπλα στρατεύεσθαι ἐπὶ τοὺς παραβεβηκότας
15 μετὰ τῶν βουλομένων. ἢ νομίζετε τὸν μὲν καιρόν ποτ' 9
ἰσχύειν καὶ ἄνευ τοῦ δικαίου τὸ συμφέρον πράττειν·
νυνὶ δ', ὅτ' εἰς ταὐτὸν τὸ δίκαιον ἅμα καὶ ὁ καιρὸς καὶ
τὸ συμφέρον συνδεδράμηκεν, ἄλλον ἄρα τινὰ χρόνον
ἀναμενεῖτε τῆς ἰδίας ἐλευθερίας ἅμα καὶ τῆς τῶν ἄλλων
20 Ἑλλήνων ἀντιλαβέσθαι;

Ἐπ' ἄλλο δὲ δίκαιον ἔρχομαι τῶν κατὰ τὰς συνθήκας. 10
ἔστι γὰρ γεγραμμένον, ἐάν τινες τὰς πολιτείας τὰς παρ'
ἑκάστοις οὔσας, ὅτε τοὺς ὅρκους τοὺς περὶ τῆς εἰρήνης
ὤμνυσαν, καταλύωσι, πολεμίους εἶναι πᾶσι τοῖς τῆς εἰρή-

2 αἱρέσου FY[1] 4 τυραννεύσαντας A | οιεσθε S 9 ἀγα-
γόντα S: ἄγοντα FY αναγαγόντα A 11 sq. τοῖς ὅρκοις καὶ
ταῖς συνθήκαις S corr. FAY: ταις συνθηκαις και τοις ορκοις S[1]
15 ποτ' AY[1]: τοτε SY corr. ποτ' (τ supra) F 17 ταυτὸ FY | καὶ post
ἅμα in ras. F 18 ἄρα om. A 22 post γεγραμμένον desinit S |
τινες FA[3]Y: τις A[1] 24 καταλύωσι A: καταλύσωσι FY

νης μετέχουσι. σκέψασθε δ' ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι Ἀχαιοὶ μὲν οἱ ἐν Πελοποννήσῳ ἐδημοκρατοῦντο, τούτων δ' ἐν Πελλήνῃ νῦν καταλέλυκε τὸν δῆμον ὁ Μακεδὼν ἐκβαλὼν τῶν πολιτῶν τοὺς πλείστους, τὰ δ' ἐκείνων τοῖς οἰκέταις δέδωκε, Χαίρωνα δὲ τὸν παλαιστὴν τύραννον 5
11 ἐγκατέστησεν. ἡμεῖς δὲ τῆς εἰρήνης μετέχομεν τῆς προσταττούσης πολεμίους ἡγεῖσθαι τοὺς ταῦτα πράττοντας. ἐκ δὴ τούτων πότερα πειθόμεθα τοῖς κοινοῖς προστάγμασι πολεμίοις αὐτοῖς χρώμενοι, ἢ βδελυρεύσεταί τις οὐ φάσκων, τούτων τῶν μισθοφορούντων παρὰ τοῦ 10
12 Μακεδόνος, τῶν καθ' ὑμῶν πεπλουτηκότων; οὐ γὰρ δὴ λέληθέ γ' αὐτοὺς οὐδὲν τούτων· ἀλλ' εἰς τοῦθ' ὕβρεως ἥκουσιν, ὥστε δορυφορούμενοι τοῖς τοῦ τυράννου στρατοπέδοις ἐν μὲν τοῖς παραβεβασμέ|νοις ὅρκοις ἐμμένειν 215 ὑμῖν διακελεύονται, ὡς καὶ τῆς ἐπιορκίας αὐτοκράτορος 15 ὄντος ἐκείνου, τοὺς δ' ἰδίους ὑμᾶς νόμους ἀναγκάζουσι λύειν, τοὺς μὲν κεκριμένους ἐν τοῖς δικαστηρίοις ἀφιέντες, ἕτερα δὲ παμπληθῆ τοιαῦτα βιαζόμενοι παρανομεῖν·
13 εἰκότως· τοῖς γὰρ πεπρακόσιν ἑαυτοὺς εἰς τἀναντία τοῖς τῇ πατρίδι συμφέρουσιν οὐκ ἔνι μέλειν νόμων οὐδ' ὅρ- 20 κων· τοῖς δ' ὀνόμασι μόνον αὐτῶν ἀποχρώμενοι παρακρούονται τοὺς παρέργως ἐνταυθί, ἀλλ' οὐκ ἐξεταστικῶς ἐκκλησιάζοντας, καὶ νομίζοντας τὴν παραυτίχ' ἡσυχίαν οὐκ ἔσεσθαί ποτ' αἰτίαν ταραχῆς ἀτόπου [μεγάλης].

1 δ'] δὴ Y 3 τὸν δῆμον AY: τὴν πόλιν F cf. XV 22 6 τῆς εἰρήνης μετέχομεν FY: μετέχομεν τῆς εἰρήνης A 8 πότερα A: πότερον FY | πειθόμεθα A: πειθώμεθα FY 12 τοῦθ' FY corr. (ante θ 2 litt. eras.): τοσοῦθ' A 14 ἐν (ἐμ? A[1]) μὲν τοῖς] τοῖς μὲν Herwerden, cf. § 14 16 ἡμᾶς A 17 λύειν om. Y[1] | ἀφέντες FY 20 μέλειν FY: μετέχειν A 21 μόνον αὐτῶν A: αὐτῶν μόνοις FY 22 ἐνταυθὶ F[1]A: ἐνταυθοῖ F corr. Y 24 μεγάλης FY καὶ μεγάλης A secl. Reiske

κελεύω δ᾽ ἔγωγε, καθάπερ ἐν ἀρχῇ προεῖπον, πείθεσθαι 14
τούτοις τοῖς φάσκουσι δεῖν ἐν ταῖς κοιναῖς ὁμολογίαις
ἐμμένειν, εἰ μὴ ἐκεῖνο νομίζουσιν, ὅταν μὲν λέγωσιν ὡς
ἐμμενετέον τοῖς ὅρκοις, οὐ λέγειν αὐτοὺς τὸ μηδὲν ἀδι-
5 κεῖσθαι, οὐδένα δ᾽ οἴονται αἰσθήσεσθαι, τυραννίδων
ἀντὶ δημοκρατιῶν καθισταμένων καὶ τῶν πολιτειῶν
καταλυομένων.

Τὸ δ᾽ ἔτι καταγελαστότερον· ἔστι γὰρ ἐν ταῖς συνθή- 15
καις ἐπιμελεῖσθαι τοὺς συνεδρεύοντας καὶ τοὺς ἐπὶ τῇ
10 κοινῇ φυλακῇ τεταγμένους ὅπως ἐν ταῖς κοινωνούσαις
πόλεσιν τῆς εἰρήνης μὴ γίγνωνται θάνατοι καὶ φυγαὶ
παρὰ τοὺς κειμένους ταῖς πόλεσι νόμους, μηδὲ χρημάτων
δημεύσεις, μηδὲ γῆς ἀναδασμοί, μηδὲ χρεῶν ἀποκοπαί,
μηδὲ δούλων ἀπελευθερώσεις ἐπὶ νεωτερισμῷ. οἱ δὲ
15 τοσούτου δέουσι τούτων τι κωλύειν, ὥστε καὶ συγκατα-
σκευάζουσιν· οὓς πῶς οὐ προσήκει ἀπολωλέναι; οἳ τη-
216 λικαύτας συμφορὰς παρασκευάζουσιν ἐν ταῖς πόλε|σιν, ἃς
διὰ τὸ μέγεθος αὐτοῖς τοσούτοις οὖσι μὴ περιορᾶν ἐπέ-
ταξαν.

20 Ἔτι δ᾽ ἕτερον δείξω τὸ λελυκὸς τὰς συνθήκας. ἔστι 16
γὰρ γεγραμμένον, ἐκ τῶν πόλεων τῶν κοινωνουσῶν τῆς
εἰρήνης μὴ ἐξεῖναι φυγάδας ὁρμήσαντας ὅπλ᾽ ἐπιφέρειν
ἐπὶ πολέμῳ μηδεμιᾷ πόλει τῶν μετεχουσῶν τῆς εἰρήνης·

2 ἐν del. Herwerden, cf. § 12 3 μὲν suspectabat Reiske
4 αὐτοὺς τὸ μηδὲν ἀδικεῖσθαι om. A^1 add. A^3 mg. 5 δ᾽ om. A |
αἰσθάνεσθαι A 8 τὸ δ᾽ ἔτι A: τοῦτο δ᾽ ἐστὶ FY | καταγελα-
στότερον Reiske: καταγελαστότατον FAY τὸ δὲ καταγελαστότατον
Dindorf | post συνθήκαις 2 litt. eras. Y 11 πόλεσιν om. A^1
add. A^3 mg. 14 ἐλευθερώσεις A^1 corr. A^3 15 τοσούτου FY^1:
τοσοῦτοι A^1 τοσοῦτο A corr. Y corr. 18 ἐπέταξεν FY 23 μη-
δεμιᾶι πόλει FY^1: ἐπὶ μηδεμίαν πόλιν A γρ. Y^3 schol. p. 258, 4
(om. πόλιν) ex dittographia ortum

εἰ δὲ μή, ἔκσπονδον εἶναι τὴν πόλιν ἐξ ἧς ἂν ὁρμήσωσιν. οὕτω τοίνυν ῥᾳδίως τὰ ὅπλ' ἐπήνεγκεν ὁ Μακεδών, ὥστ' οὐδὲ κατέθετο πώποτε, ἀλλ' ἔτι καὶ νῦν ἔχων περιέρχεται καθ' ὅσον δύναται, καὶ τοσούτῳ νῦν μᾶλλον ἢ πρότερον, ὅσῳ ἐκ προστάγματος ἄλλους θ' ἑτέρωσε 5
17 *καὶ τὸν παιδοτρίβην εἰς Σικυῶνα κατήγαγεν. οὐκοῦν εἰ δεῖ πείθεσθαι ταῖς κοιναῖς ὁμολογίαις, καθάπερ οὗτοί φασιν, ἔκσπονδοι ἡμῖν εἰσιν αὗται αἱ πόλεις αἱ ταῦτα διαπεπραγμέναι. εἰ μὲν οὖν δεῖ ἐπικρύπτεσθαι τἀληθῆ, οὐδὲν δεῖ λέγειν ὅτι εἰσὶν αἱ Μακεδονικαί· εἰ δ' οὐκ* 10 *ἀνιᾶσιν οἱ καθ' ὑμῶν τῷ Μακεδόνι ὑπηρέται προστάττοντες πράττειν τὰ ἐν ταῖς κοιναῖς ὁμολογίαις, πεισθῶμεν αὐτοῖς, ἐπειδὴ τὰ δίκαια λέγουσι, καί, καθάπερ κελεύει ὁ ὅρκος, ἐκσπόνδους αὐτοὺς ποιήσαντες βουλευσώμεθα πῶς δεῖ χρῆσθαι τοῖς δεσποτικῶς καὶ ἀσελγῶς* 15 *διακειμένοις καὶ διὰ τέλους τὰ μὲν ἐπιβουλεύουσι, τὰ*
18 *δ' ἐπιτάττουσι, καὶ καταγελῶσι τῆς κοινῆς εἰρήνης. διὰ τί γὰρ οὐ φήσουσιν οὗτοι δεῖν ταῦθ' οὕτως ἔχειν; ἢ ὁμολογίαν τὴν μὲν κατὰ τῆς πόλεως οὖσαν βεβαίαν ἀξιοῦσιν εἶναι, τὴν δὲ σῴζουσαν οὐ συγχωρήσουσιν;* 20 *ἆρα δίκαιον ταῦτα γίγνεσθαι; κἂν μέν τι ᾖ πρὸς τῶν ἐχθρῶν κατὰ τῆς πόλεως ἐν τοῖς ὅρκοις, τοῦτο μὲν ἰσχυρὸν ἀεὶ ποιή|σουσιν· ἐὰν δέ τι ἡμέτερον ᾖ κατ' ἐκείνων* **217**

1 *ὁρμήσωσιν* FY^1: *ὁρμηθῶσιν* A *γρ.* Y^3 2 *τὰ ὅπλα ἐπήνεγκεν* FY: *ἐπήνεγκε τὰ ὅπλα* A 4 *καὶ τοσούτωι* A: *τοσούτωι δὲ* FY cf. § 3 5 *ὅσῳ* FA *γρ.* Y^3: *ὅτι* Y^1 | *προστάγματος* FA^3Y: *πράγματος* A^1 | *ἑτέρωσε* Cobet: *ἑτέρωθι* FAY 6 *κατήγαγεν* FY schol. p. 258, 5: *κατῆγεν* A 17 *δ' ἐπιτάττουσι* A: *δὲ πράττουσι* FY *δὲ προστάττουσι* coni. Reiske 19 *ὁμολογίαν τὴν μὲν* A: *τὴν μὲν ὁμολογίαν τὴν* FY 20 *συγχωροῦσιν* FY 21 *δίκαιον ταῦτα* A^1: *γε δοκεῖ δίκαιον ταῦτα* A^3 mg. *γε δοκεῖ δίκαια* FY 22 *πόλεως* F^1AY^3 mg.: *πόλεως ὡς* F corr. Y^1 23 *αἰεὶ* Y | *ὑμέτερον* FY

ἅμα δίκαιον καὶ συμφέρον, πρὸς τοῦτο δὲ μαχομένους
οὐδέποτε παύσασθαι οἰήσονται δεῖν ἑαυτούς;

Ἵνα δ' εἰδῆτ' ἔτι σαφέστερον ὅτι οὐδεὶς ὑμῖν ἐγκαλεῖ 19
ποτε τῶν Ἑλλήνων ὡς ἄρα παρέβητέ τι τῶν κοινῇ ὁμο-
5 λογηθέντων, ἀλλὰ καὶ χάριν ἕξουσιν ὅτι μόνοι ἐξηλέγ-
ξατε τοὺς ταῦτα ποιοῦντας, μικρὰ ἐπιδραμοῦμαι περὶ
αὐτῶν πολλῶν ὄντων. ἔστι γὰρ δήπου ἐν ταῖς συνθή-
καις τὴν θάλατταν πλεῖν τοὺς μετέχοντας τῆς εἰρήνης,
καὶ μηδένα κωλύειν αὐτοὺς μηδὲ κατάγειν πλοῖον μηδε-
10 νὸς τούτων· ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ, πολέμιον εἶναι
πᾶσι τοῖς τῆς εἰρήνης μετέχουσιν. οὐκοῦν ὦ ἄνδρες 20
Ἀθηναῖοι ἐναργέστατ' ἴστε τοῦθ' ὑπὸ τῶν Μακεδόνων
γεγενημένον· εἰς τοῦτο γὰρ παρανομίας ἦλθον, ὥστε εἰς
Τένεδον ἅπαντα τὰ ἐκ τοῦ Πόντου πλοῖα κατήγαγον,
15 καὶ σκευωρούμενοι περὶ αὐτὰ οὐ πρότερον ἀνεῖσαν, πρὶν
ὑμεῖς ἐψηφίσασθε τριήρεις ἑκατὸν πληροῦν [καὶ καθέλ-
κειν] εὐθὺς τότε, καὶ στρατηγὸν ἐπ' αὐταῖς ἐτάξατε
Μενεσθέα. πῶς οὖν οὐκ ἄτοπον τοσαῦτα μὲν εἶναι καὶ 21
τηλικαῦτα τὰ ἡμαρτημέν' ἑτέροις, τοὺς δ' ἐνταῦθα φί-
20 λους αὐτῶν μὴ ἐκείνους ἀποτρέπειν τοὺς παραβαίνοντας,
ἀλλ' ἡμῖν συμβουλεύειν ἐμμένειν τοῖς οὕτως ὠλιγωρη-
μένοις; ὥσπερ καὶ τούτου προσγεγραμμένου, τοῖς μὲν

1 δὲ μαχομένους F^{1}AY^3 mg.: διαμαχομένους F corr. Y^1 2 δεῖ Y^1 | ἑαυτούς FY: αὑτούς A 3 δὲ om. Y^1 | ἐγκαλεῖ Cobet: ἐγκαλέσει FAY 7 δήπου A: που FY 9 μηδενὸς G. H. Schaefer: μηδένα FAY μηδενὸς interpon. Reiske 12 ὑμεῖς μὲν ante ἐναργέστατα add. FY | ἴστε FY: ἑωράκατε A cf. Plat. leg. XI 927 D εἴσεται ἐναργῶς et v. l. ad XVIII 25 13 παρανομίας FY: ὑπεροψίας A cf. § 22 παρενόμουν 14 πλοῖα om. FY 15 ἀνεῖσαν Weil coll. § 17: ἀφεῖσαν FAY | πρὶν οὗ FY^1 16 καὶ καθέλκειν om. A^1 (add. A^3) schol. p. 258, 11 cf. Isocr. IV 90. VIII 12 19 τὰ om. FY 21 ἡμῖν FY: ὑμῖν A | ὀλιγωρημένους A

22 ἐξεῖναι πλημμελεῖν, τοῖς δὲ μηδ' ἀμύνεσθαι. πῶς δ'
οὐχ ἅμα τε παρενόμουν ἐκεῖνοι καὶ ἀναίσθητοι ἦσαν, οἵ
γε τηλικοῦτον παρέβησαν τῶν ὅρκων, ὃ παρ' ἐλάχιστον
ἐποίησεν αὐτοὺς ἀφαιρεθῆναι δικαίως τὴν κατὰ θάλατ-
ταν ἡγεμονίαν; καὶ νῦν ἔτι παραδεδώκασι τοῦτο τὸ 5
δίκαιον | ἀνεγκλήτως ἡμῖν, ὅταν βουληθῶμεν πράττειν· 218
οὐ γὰρ ὅτι ἐπαύσανθ' ἁμαρτάνοντες, ἧττόν τι δήπου
23 παραβεβήκασι τὰς κοινὰς ὁμολογίας, ἀλλ' εὐτυχοῦσιν,
ὅτι ἐναποχρῶνται τῇ ὑμετέρᾳ ῥᾳθυμίᾳ τῇ οὐδὲ τῶν
δικαίων ἀπολαύειν προαιρουμένῃ. ὃ καὶ ὑβριστικώτατον 10
συμβέβηκεν, εἰ οἱ μὲν ἄλλοι Ἕλληνες καὶ βάρβαροι ἅπαν-
τες τὴν πρὸς ὑμᾶς ἔχθραν φοβοῦνται, οὗτοι δ' οἱ νεό-
πλουτοι μόνοι καταφρονεῖν ὑμᾶς ὑμῶν αὐτῶν ἀναγκά-
ζουσι, τὰ μὲν πείθοντες, τὰ δὲ βιαζόμενοι, ὥσπερ ἐν
Ἀβδηρίταις ἢ Μαρωνίταις, ἀλλ' οὐκ ἐν Ἀθηναίοις πολι- 15
24 τευόμενοι. καὶ ἅμα μὲν μικρὰ τὰ ὑμέτερα ποιοῦσι, τὰ
δὲ τῶν ἐχθρῶν ἰσχυρά, ἅμα δὲ λανθάνουσιν ἑαυτοὺς
ἀνυπόστατον τὴν πόλιν ὁμολογοῦντες εἶναι, διακελευό-
μενοι τὸ δίκαιον οὐ δικαίως διαφυλάττειν, ὡς τῷ συμ-
φέροντί γε προελομένην χρῆσθαι κρατεῖν ἂν τῶν πολε- 20
25 μίων ῥᾳδίως δυνηθεῖσαν. εἰκότως δ' αὐτὸ πεπόνθασιν·
ἕως γὰρ ἂν ἐξῇ τῶν κατὰ θάλατταν καὶ μόνοις ἀναμφι-
σβητήτως εἶναι κυρίοις, τοῖς γε κατὰ γῆν πρὸς τῇ ὑπαρ-

1 τοῖς δὲ FY: τοὺς δὲ A 2 τε om. FY 3 τηλικούτων F[1] | τῶν ὅρκων secl. Blass | ὅπερ οὐκ ἐλάχιστον ὂν A 5 τὸ om. Y[1] 7 ἐπαύσατο F[1] | ἁμαρτάνοντες FY: ἐξαμαρτάνοντες A cf. v. l. ad Isocr. I 49. III 53 al. | τι om. FY[1] 9 ἐναποχρῶνται] εὖ ἀποχρῶνται G. H. Schaefer | οὐδὲ A: οὐδὲν FY 10 ὃ om. F 15 μαρωνίταις F[1] ut vid. A: μαρωνείταις F corr. Y cf. XII 17 16 μὲν μικρὰ FY: μικρὰ μὲν A | ὑμέτερα A[1]: ὑμέτερα πράγματα A[3] ἡμέτερα πράγματα FY 21 δυνηθεῖσαν] ει in ras. F 22 μόνοις A: μόνων FY

χούσῃ δυνάμει ἔστι προβολὰς ἑτέρας [ἰσχυροτέρας] εὑρέσθαι, ἄλλως τε καὶ πεπαυμένων ὑπὸ τῆς τύχης τῶν δορυφορουμένων ὑπὸ τῶν τυραννικῶν στρατοπέδων, καὶ τῶν μὲν ἐφθαρμένων, τῶν δὲ ἐξεληλεγμένων οὐδενὸς ἀξίων ὄντων.

5 *Τὸ μὲν οὖν περὶ τὰ πλοῖα πρὸς τοῖς ἄλλοις τοῖς* 26 *προειρημένοις ὁ Μακεδὼν τηλικοῦτον παρέβη· τὸ δὲ ὑβριστικώτατον καὶ ὑπεροπτικώτατον τῶν Μακεδόνων τὸ πρῴην γεγενημένον ἐστί, τὸ τολμῆσαι εἰσπλεῦσαι εἰς* 219 *τὸν Πειραιᾶ | παρὰ τὰς κοινὰς ἡμῖν πρὸς αὐτοὺς ὁμολο-* 10 *γίας. καὶ τοῦτ' ὦ ἄνδρες Ἀθηναῖοι οὐχ ὅτι μία τριήρης ἦν, μικρὸν ὑποληπτέον, ἀλλ' ὅτι ἀπόπειρα ἐγένετο, εἰ περιοψόμεθα, ἵνα μετὰ πλειόνων αὐτοῖς ἐγγένηται τοῦτο πράττειν, καὶ ὅτι οὐκ ἐφρόντισαν τῶν κοινῶν δογμάτων, καθάπερ οὐδὲ τῶν προειρημένων. ἐπεὶ ὅτι γε τοῦτο* 27 15 *παράδυσις ἦν κατὰ μικρὸν καὶ ἐθισμὸς τοῦ ἀνέχεσθαι ἡμᾶς τοὺς τοιούτους εἴσπλους, κἀκεῖθεν δῆλον· τὸ γὰρ τὸν τότε ἐπὶ τῆς νεὼς εἰσπλεύσαντα, ὃν ἔδει εὐθὺς μετὰ τῆς τριήρους ὑφ' ὑμῶν ἀπολωλέναι, αἰτεῖσθαι ναυπηγήσασθαι μικρὰ πλοῖα ἐν τοῖς ἡμετέροις λιμέσι πῶς οὐ* 20 *καταφανὲς ποιεῖ, ὅτι ἀντὶ τοῦ εἰσπλεῖν τὸ εὐθὺς ἔνδον εἶναι ἐμηχανῶντο; καὶ εἰ λεπτὰ πλοῖα ὑπομενοῦμεν, ὀλίγον ὕστερον καὶ τριήρεις· καὶ εἰ τὸ πρῶτον ὀλίγας, μικρῷ ὕστερον πολλάς. οὐ γὰρ δὴ ἔστι γ' εἰπεῖν ὡς* 28

1 *ἔστι* om. Y[1] | *προβολὰς* Harpocr. Phot. Suid.: *προσβολὰς* FAY | *ἰσχυροτέρας* om. FY | *εὑρέσθαι*] *εσ* in ras. F 8 *τὸ* ante *τολμ.* om. F[1] 9 *ὁμολογίας* A: *συνθήκας* FY 14 *τῶν*] *ἐπὶ τῶν* Blass 16 *τὸ* F corr. AY: *τωι* ut vid. F[1] 17 *ἐπὶ τῆς νεὼς εἰσπλεύσαντα* A schol. p. 259, 5: *εἰσπλεύσαντα ἐπὶ τῆς νεὼς* FY 18 *ἡμῶν* A 19 *μακρὰ* A 20 *καταφανὲς ποιεῖ* F corr. AY corr.: *καταφανὲς* (*ατ* s. v.) *ἦν ποιεῖ* F[1]Y[1] (*ἦν* punctis del. F eras. Y) superscr. s. *ποιεῖ* ead. m. *γρ. ἦν* F; del. verbum A. Spengel; at cf. XIX 55 23 *μικρὸν* Y

Ἀθήνησι μὲν ἀφθόνων ὄντων τῶν ναυπηγησίμων ξύλων,
τῶν πόρρωθεν καὶ μόγις εἰσκομιζομένων, ἐν δὲ τῇ Μα-
κεδονίᾳ ἐπιλελοιπότων, τῇ καὶ τοῖς ἄλλοις τοῖς βουλο-
μένοις εὐτελέστατα καθισταμένῃ, ἀλλ' ᾠονθ' ἅμα τε
ναυπηγήσεσθαι ἐνταῦθα καὶ πληρώσεσθαι ἐν τῷ λιμένι 5
[τῷ προειρημένῳ], ἐν ταῖς κοιναῖς ὁμολογίαις διειρημένον
μηδὲν τοιοῦτον εἰσδέχεσθαι, καὶ τοῦτ' ἐξέσεσθαι ἐπὶ
29 πλέον ἀεὶ ποιεῖν. οὕτω πανταχόθεν καταπεφρονηκότως
ἐκεῖνοι τῇ πόλει χρῶνται διὰ τοὺς ἐντεῦθεν διδασκάλους
τοὺς ὑπαγορεύοντας αὐτοῖς ἃ δεῖ ποιεῖν· οὕτω δὲ κατε- 10
γνώκασι μετὰ τούτων ἀδιήγητόν τινα τῆς πόλεως ἔκλυ-
σιν καὶ μαλακίαν, καὶ οὔτε πρόνοιαν περὶ | τῶν μελλόν- 220
των εἶναι, οὔτε λογισμὸν οὐδένα παραγίγνεσθαι τίνα
30 τρόπον χρῆται ὁ τύραννος ταῖς κοιναῖς ὁμολογίαις. αἷς
ἐγὼ διακελεύομαι ὦ ἄνδρες Ἀθηναῖοι πείθεσθαι, καθά- 15
περ ἐδίδαξα, καὶ διαβεβαιωσαίμην ἄν, ὡς τοῦθ' ἡλικίας
ἔχων, ἅμα καὶ τῷ δικαίῳ ἡμᾶς ἀνεγκλήτως καὶ τοῖς και-
ροῖς ἀσφαλέστατα χρήσεσθαι τοῖς ἐπὶ τὸ συμφέρον
κατεπείγουσιν. καὶ γὰρ ἔτι προσγέγραπται ταῖς συνθή-
καις, „ἐὰν βουλώμεθα τῆς κοινῆς εἰρήνης μετέχειν“· τὸ 20

1 ναυπηγησίμων] σιμ in ras. A[1] ναυπηγισίμων Y 2 πόρ-
ρωθεν καὶ μόλις FY μόγις καὶ πόρρωθεν A 4 καθισταμένοις (ηι superscr.) F
5 ναυπηγήσεσθαι AY mg.: ναυπηγηθήσεσθαι FY[1] | ἐνταῦθα καὶ
πληρώσεσθαι om. Y[1] | πληρωθήσεσθαι A 6 τῷ προειρημένῳ om.
Vind. 6, secl. Reiske: defendit Weil, commate post λιμένι posito
et deleto διειρημένον | διειρημένον Baiter: διειρημένου F (ει in
ras.) AY 7 τοῦτο A: ταῦτα FY | ἐξέσεσθαι H. Wolf: ἐξέσται
FAY 8 πλεῖον A | οὕτως? F[1]Y | πανταχόθεν A: πάντοθεν FY
Thomas M. 9 τῇ πόλει AY[3]: om. FY[1] Thomas M. 12 περὶ
A: ὑπὲρ FY 16 διαβεβαιωσαίμην H. Wolf: διεβεβαιωσάμην
FAY 17 τῶι τῶι Y[1] 18 χρήσεσθαι G. H. Schaefer: χρῆσθαι
FY χρήσασθαι A 19 ἔτι] ε in ras. F (εσ?) | ⟨ἐν⟩ ταῖς coll. § 6
Herwerden, cf. Dion. H. Arch. IV 46, 3

*δ' „ἐὰν βουλώμεθα“ ἐστὶν ἅμα καὶ τοὐναντίον, εἰ ἄρα ποτὲ δεῖ παύσασθαι αἰσχρῶς ἑτέροις ἀκολουθοῦντας. ἀλλὰ ** μηδ' ἀναμνησθῆναι μηδεμιᾶς φιλοτιμίας τῶν ἐξ ἀρχαιοτάτου καὶ πλείστων καὶ μάλιστα πάντων ἀνθρώ-*
5 *πων ὑμῖν ὑπαρχουσῶν. ἐὰν οὖν κελεύητ' ὦ ἄνδρες Ἀθηναῖοι γράψω, καθάπερ αἱ συνθῆκαι κελεύουσι, πολεμεῖν τοῖς παραβεβηκόσιν.*

1 sq. *ἢ ἄρ' οὔποτε δεῖ* Weil 2 ⟨*μὴ*⟩ *παύσασθαι* Sauppe 3 post *ἀλλὰ* plura excidisse videntur, cf. schol. p. 259, 15 *ὁ δὲ πρὸς τὸ χρήσιμον τὸ οἰκεῖον λαβὼν πολλὰ μὲν ὑπέμνησε τῶν προγόνων τῆς δόξης, πολλὰ δὲ τοῦ πρέποντος* | *ἀλλὰ*] *ἢ* H. Wolf 4 *πλείστων* A: *πλείστου* FY 5 *ὑμῖν* FY: *ἡμῖν* A

Subscriptum in FAY

ΠΕΡῚ ΤΩ͂Ν (om. Y) ΠΡῸΣ ᾽ΑΛΈΞΑΝΔΡΟΝ ΣΥΝΘΗΚΩ͂Ν

DEMOSTHENIS ORATIONES

EDIDIT

CAROLUS FUHR

EDITIO MAIOR

VOLUMEN I · PARS II

ORATIONEM XVIII CONTINENS



LIPSIAE IN AEDIBUS B. G. TEUBNERI MCMXIV

Conspectus notarum.

S = cod. Parisinus 2934

S^d = scriptura eius correctoris qui subscripsit διώρθωται

[L = Laurentianus conv. sopp. 136; pendet a cod. Parisino S]

F = cod. Marcianus 416

[B = cod. Bavaricus, nunc Monacensis 85, ex cod. F descriptus]

Q = cod. Marcianus 418

V = cod. F et cod. Q

A = cod. Augustanus primus, nunc Monacensis 485

Y = cod. Parisinus 2935

[O = cod. Bruxellensis 11295, ex cod. Y descriptus]

U = cod. Urbinas 113

Libanii vitae et argumentorum codices adhibui F, Y, cod. Ambrosianum Q 12 sup. (= m)

γρ. semper a n t e, corr. p o s t codicis notam posui

ΔΗΜΟΣΙΟΙ

XVIII

ΥΠΕΡ ΚΤΗΣΙΦΩΝΤΟΣ ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ

*Τεῖχος μὲν ὑπὲρ Ἀθηναίων ὁ ῥήτωρ προὐβάλετο τῶν συνή-
θων τούτων καὶ χειροποιήτων ἀρραγέστερον καὶ βέλτιον, τήν
τ' εἰς τὴν πόλιν εὔνοιαν καὶ περὶ λόγους δεινότητα, ὡς αὐτὸς
§ 295 εἴρηκεν „οὐ λίθοις καὶ πλίνθοις τὰς Ἀθήνας ὠχύρωσα, ἀλλὰ
μεγάλαις δυνάμεσι καὶ πολλῇ τινι συμμαχίᾳ, τῇ μὲν ἐκ γῆς, 5
τῇ δ' ἐκ θαλάττης“· οὐ μὴν ἀλλὰ καὶ εἰς τὸν χειροποίητον
περίβολον οὐ μικρὰ τῇ πόλει | συνεβάλετο. πεπονηκότος γὰρ 221
κατὰ πολλὰ μέρη τοῦ τείχους τοῖς Ἀθηναίοις, ἐπειδὴ ἔδοξεν
ἀνορθοῦν αὐτό, ᾑρέθησαν ἐπὶ τὸ ἔργον ἄνδρες δέκα, φυλῆς
ἑκάστης εἷς, οὓς ἔδει τὴν ἐπιμέλειαν παρέχεσθαι τοῦ ἔργου· 10
2 τὸ γὰρ ἀνάλωμα δημόσιον. εἷς τοίνυν τούτων καὶ ὁ ῥήτωρ γε-
νόμενος οὐχ ὁμοίως τοῖς ἄλλοις τὴν ἐπιμέλειαν μόνην εἰσήνεγκε
τῇ χρείᾳ, ἀλλὰ τὸ μὲν ἔργον ἀμέμπτως ἀπετέλεσε, τὰ δὲ χρή-*

ΔΗΜΟΣΘΕΝΟΥΣ ΥΠΕΡ ΤΟΥ ΣΤΕΦΑΝΟΥ S *περὶ* corr. S[d] *Ὑπὲρ τοῦ στεφάνου* V ΔΗΜΟΣΘΕΝΟΥΣ *περὶ στεφάνου* A
1 *ὑπὲρ*] *ὑπὸ* F | *ὁ ῥήτωρ ὑπὲρ ἀθηναίων* Y | *προυβάλλετο* F¹m
2 *τε καὶ βέλτιον* Ym 7 *συνεβάλλετο* F¹m 9 *ὀρθοῦν* F 10 *εἷς*] *εἰς* Y | *παρέχεσθαι* Ym: *περαίνεσθαι* F | *τοῦ ἔργου* F: *ψιλὴν* Ym
13 *ἐπετέλεσε* Y

ματ' ἔδωκεν οἴκοθεν τῇ πόλει. ἐπῄνεσεν αὐτοῦ τὴν εὔνοιαν
ταύτην ἡ βουλή, καὶ τὴν προθυμίαν ἠμείψατο στεφάνῳ χρυσῷ·
ἕτοιμοι γὰρ Ἀθηναῖοι πρὸς τὰς χάριτας τῶν εὖ ποιούντων.
Κτησιφῶν δ' ἦν ὁ τὴν γνώμην εἰπὼν ὡς δεῖ στεφανῶσαι τὸν 3
5 Δημοσθένην, ἐν μὲν καιρῷ τοῖς Διονυσίοις, ἐν δὲ τόπῳ τῷ
τοῦ Διονύσου θεάτρῳ, ἐν δὲ θεαταῖς πᾶσι τοῖς Ἕλλησιν, οὓς
ἡ πανήγυρις συνήγαγε· καὶ τούτων ἐναντίον ἀνειπεῖν τὸν κή-
ρυκα, ὅτι στεφανοῖ Δημοσθένην Δημοσθένους Παιανιέα ἡ
πόλις ἀρετῆς συμπάσης ἕνεκα καὶ εὐνοίας τῆς πρὸς αὐτήν.
10 ἦν οὖν πανταχόθεν ἡ τιμὴ θαυμαστή· διὸ καὶ φθόνος αὐτῆς 4
ἥψατο, καὶ τοῦ ψηφίσματος ἀπηνέχθη παρανόμων γραφή.
Αἰσχίνης γὰρ ἐχθρὸς ὢν τοῦ Δημοσθένους ἀγῶνα παρανόμων
ἐπήγγειλε Κτησιφῶντι, λέγων ἄρχοντα γεγονότα τὸν Δημοσθένην
καὶ μὴ δόντα λόγον ὑπεύθυνον εἶναι, νόμον δὲ κελεύειν τοὺς
15 ὑπευθύνους μὴ στεφανοῦν, καὶ πάλιν νόμον παρεχόμενος τὸν
κελεύοντα, ἐὰν μέν τιν' ὁ δῆμος ὁ Ἀθηναίων στεφανοῖ, ἐν τῇ
ἐκκλησίᾳ τὸν στέφανον ἀναγορεύεσθαι, ἐὰν δ' ἡ βουλή, ἐν τῷ
222 βουλευτηρίῳ, | ἀλλαχόθι δὲ μὴ ἐξεῖναι. φησὶ δὲ καὶ τοὺς ἐπαί- 5
νους εἶναι τοὺς ἐπὶ τῷ Δημοσθένει ψευδεῖς· μὴ γὰρ πεπο-
20 λιτεῦσθαι καλῶς τὸν ῥήτορα, ἀλλὰ καὶ δωροδόκον εἶναι καὶ
πολλῶν κακῶν αἴτιον τῇ πόλει. καὶ τάξει γε ταύτῃ τῆς κατη-
γορίας Αἰσχίνης κέχρηται, πρῶτον εἰπὼν περὶ τοῦ τῶν ὑπευ-
θύνων νόμου καὶ δεύτερον περὶ τοῦ τῶν κηρυγμάτων καὶ τρί-
τον περὶ τῆς πολιτείας· ἠξίωσε δὲ καὶ τὸν Δημοσθένην τὴν
25 αὐτὴν τάξιν ποιήσασθαι. ὁ δὲ ῥήτωρ καὶ ἀπὸ τῆς πολιτείας 6
τὴν ἀρχὴν ἐποιήσατο καὶ πάλιν εἰς ταύτην τὸν λόγον κατέ-
στρεψεν, τεχνικῶς ποιῶν· δεῖ γὰρ ἄρχεσθαί τ' ἀπὸ τῶν ἰσχυ-

5 διονυσίου F 7 καὶ om. F | τὸν κήρυκα FY: τὸ κήρυγμα m
9 αὐτὴν Blass (post Voemelium): αὐτὴν F ἑαυτὴν Y 11 καὶ
κατὰ τοῦ Wolf 13 ἐπήγγειλε m: ἐπήγγελλε F ἀπήγγειλε Y |
δημοσθένη Y[1] 16 κελεύοντα Fm: λέγοντα Y 21 ταύτῃ Y
corr. m: ταύτης FY[1] 23 τοῦ τῶν κηρυγμάτων] τούτων Ym
24 δημοσθένη Y 25 δὲ Ym: γὰρ F 27 ἰσχυρῶν Ym

ροτέρων καὶ λήγειν εἰς ταῦτα. μέσα δὲ τέθεικε τὰ περὶ τῶν νόμων, καὶ τῷ μὲν περὶ τῶν ὑπευθύνων ἀντιτίθησι διανοίας, τῷ δὲ περὶ τῶν κηρυγμάτων νόμον ἕτερον ἤτοι νόμου μέρος, ὥς φησιν αὐτός, ἐν ᾧ συγκεχώρηται καὶ ἐν τῷ θεάτρῳ κηρύττειν, ἐὰν ὁ δῆμος ἢ ἡ βουλὴ τοῦτο ψηφίσηται. 5

ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ

Ἀθηναῖοι καὶ Θηβαῖοι πολεμοῦντες πρὸς Φίλιππον ἐν Χαιρωνείᾳ, πόλει τῆς Βοιωτίας, ἡττήθησαν. ἐπικρατήσας οὖν ὁ Μακεδὼν φρουρὰν μὲν εἰς τὰς Θήβας ἐνέβαλε, καὶ εἶχεν ὑπὸ 10 χεῖρα τὴν πόλιν δουλεύουσαν. ἐλπίσαντες οὖν τὸ αὐτὸ παθεῖν Ἀθηναῖοι καὶ ὅσον οὐδέπω κατὰ αὐτῶν ἥξειν προσδοκῶν|τες 223 τὸν τύραννον, ἐσκέψαντο τὰ πεπονηκότα μέρη τῷ χρόνῳ τοῦ τείχους ἐπανορθώσασθαι, καὶ δὴ ἀφ' ἑκάστης φυλῆς τειχοποιοὶ προεβλήθησαν. τοιόνδε καὶ ἡ Πανδιονὶς ἐξ ἑαυτῆς εἵλετο 15 πρὸς τὴν χρείαν τὸν ῥήτορα. τῆς τοίνυν ἐργασίας ἐν χερσὶν οὔσης, προσδεηθεὶς ἔτι χρημάτων μετὰ τὰ δεδομένα ὑπὸ τῆς πόλεως, ὁ ῥήτωρ ἐκ τῶν ἰδίων ἐδαπάνησε, καὶ οὐκ ἐλογίσατο 2 αὐτὰ τῇ πόλει, ἀλλὰ κατεχαρίσατο. ταύτην ἀφορμὴν ὁ Κτησιφῶν, εἷς τῶν πολιτευομένων, δεξάμενος εἰσήνεγκε γνώμην ἐν 20 τῇ βουλῇ περὶ αὐτοῦ τοιαύτην· „ἐπειδὴ διατελεῖ Δημοσθένης ὁ Δημοσθένους παρ' ὅλον τὸν βίον εὔνοιαν εἰς τὴν πόλιν ἐπιδεικνύμενος, καὶ νῦν δὲ τειχοποιὸς ὢν καὶ προσδεηθεὶς χρημάτων οἴκοθεν παρέσχε καὶ ἐχαρίσατο, διὰ τοῦτο δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανοῦσθαι αὐτὸν χρυσέῳ στεφάνῳ, ἐν 25 τῷ θεάτρῳ, τραγῳδιῶν ἀγομένων καινῶν" [ἴσως ὅτε πλήθη συντρέχει ἐπιθυμοῦντα καινὰ δράματα βλέπειν]. εἰσαγομένου

1 τὸν νόμων F 2 διάνοιαν Scrimgeri schedae 3 τὰ δὲ F 4 ὁ αὐτὸς F num Αἰσχίνης? cf. III 35 11 τὴν πόλιν add. Vind. 7: om. vulg. „aut δουλευούσας reponendum" Blass 12 αὐτῶν Voemel: αὐτῶν codd. 19 κατεχαρίσατο G. H. Schaefer: καὶ ἐχαρίσατο codd. 24 δεδόχθαι Wolf: δεδόχθω codd. 26 τραγῳδιῶν] τραγῳδῶν Osann 26 sq. ἴσως ... βλέπειν secl. Wunderlich

τοίνυν καὶ εἰς τὸν δῆμον τοῦ προβουλεύματος, ἐφίσταται τοῦ 3
Κτησιφῶντος κατήγορος Αἰσχίνης, ἐκ τῆς πολιτείας ὑπάρχων
ἐχθρός, παράνομον εἶναι φάσκων πρὸς τρεῖς νόμους τὸ ψή-
φισμα, ἕνα μὲν τὸν κελεύοντα τὸν ὑπεύθυνον μὴ στεφανοῦ-
5 *σθαι, πρὶν ἂν δῷ τὰς εὐθύνας· οὔπω δὲ ταύτας, φησίν, ὁ*
Δημοσθένης ἐδεδώκει καὶ τὰ θεωρικὰ διοικῶν καὶ τειχοποιῶν,
καὶ ἔδει ἀναμεῖναι καὶ ἐπισχεῖν τὸ γέρας, ἕως ἂν ὀφθῇ καθαρὸς
ἐξετασθείς. δεύτερον δ' ἀναγινώσκει νόμον τὸν κελεύοντα ἐν 4
Πυκνὶ στεφανοῦσθαι, ἐν τῇ ἐκκλησίᾳ, διαβάλλων τοὺς πολίτας
224 *τοὺς | δεξαμένους ἐν τῷ θεάτρῳ ἀναγορευθῆναι τοῦ Δημοσθέ-*
11 *νους τὸν στέφανον. ὁ δὲ τρίτος νόμος εἰς τὴν ὅλην ὁρᾷ τοῦ*
βίου καὶ τῆς πολιτείας ἐξέτασιν· κελεύει γὰρ μηδέποτε ψευδῆ
γράμματα εἰς τὸ Μητρῷον εἰσάγειν, ἔνθα ἐστὶν ὅλα τὰ δη-
μόσια γράμματα. ἐψεύσατο δέ, φησίν, εὔνοιαν καὶ σπουδὴν
15 *μαρτυρήσας τῷ Δημοσθένει· κακόνους γὰρ μᾶλλον καὶ πολέ-*
μιος εὑρίσκεται τῇ πατρίδι. τούτου τοῦ νόμου χρησίμου τυγ- 5
χάνοντος, τοῦ τρίτου, ἀντιλαβόμενος ὥσπερ τινὸς ἀγκύρας ὁ
ῥήτωρ κατεπάλαισε τὸν ἀντίδικον, μεθόδῳ δεινοτάτῃ καὶ σοφω-
τάτῃ τῇ περὶ τοῦ κατηγόρου χρησάμενος· ἐκεῖθεν γὰρ ἔσχε
20 *λαβὴν ἑλεῖν καὶ καταγωνίσασθαι τὸν πολέμιον. τοὺς μὲν γὰρ*
ἄλλους δύο νόμους, τόν τε τῶν ὑπευθύνων καὶ τὸν τοῦ κηρύγ-
ματος, εἰς τὸ μέσον τοῦ λόγου ἀπέρριψε, στρατηγικῶς „κακοὺς
δ' εἰς μέσσον ἐλάσσας", τῷ δ' ἰσχυροτάτῳ εἰς τὰ ἄκρα προσ-
κέχρηται, τὸ σαθρὸν τῶν ἄλλων ἐξ ἑκατέρου ῥωννύς. ἔοικε δὲ 6
25 *καὶ διοικεῖν πρὸς τὸ συμφέρον τὸν λόγον καὶ οὐ σφόδρα ἀν-*
αιδῶς τὴν τέχνην ἐπιδεικνύμενος. δοκῶν γὰρ ἐν πρώτοις ὑπερ-
βαίνειν τὸ νόμιμον, ἑτέρῳ τρόπῳ τῷ νομίμῳ προσκέχρηται·
καὶ γὰρ νόμον ἀνέγνω Αἰσχίνης τὸν περὶ τῶν γραφόντων

9 *ἐν* Wolf: *οὐκ ἐν* codd. 19 *περὶ*] *κατὰ* H. Wolf *παρὰ* Weil 23 *μέσσον ἐλάσσας* Voemel coll. Il. *Δ* 299: *μέσον ἐλάσας* codd. cf. tamen Rhet. VI 245, 15 W. 25 *διοικῶν* Blass; at *καὶ* ante *οὐ σφόδρα* est „idque" 28 *γραφόντων* Blass: *στεφάνων* codd. *εἰσφερόντων* Weil *περὶ τῶν ψευδῶν γραμμάτων* est schol. ad Aesch. III 50

ψευδῆ, πρὸς ὃν ὁ ῥήτωρ ἀποκρινόμενος εὗρε καιρὸν εἰς μέσον
ἀγαγεῖν τὰ ἑαυτοῦ πολιτεύματα, ὡς νομίμῳ μαχόμενος. καὶ ἡ
μὲν διοίκησις τοῦ λόγου τοιαύτη, κεφάλαιον δ' ἰσχυρὸν τῷ μὲν
Αἰσχίνῃ τὸ νόμιμον, τῷ δὲ ῥήτορι τὸ δίκαιον, κοινὸν δ' ἀπὸ
τοῦ ἴσου τὸ συμφέρον, οὐκ ἔχον φανερὰν τὴν ἐξέτασιν. ἡ 5
στάσις ἔγγραφος πραγματική· | περὶ ῥητοῦ γὰρ τὸ ψήφισμα. 225
7 Τῆς δὲ γραφῆς ἔτι Φιλίππου ζῶντος ἀποτεθείσης, ἐπ' Ἀλεξ-
άνδρου διαδεξαμένου τὴν ἀρχὴν ὁ λόγος ἐστὶ καὶ ἡ κρίσις.
ὡς γὰρ ἀπέθανε Φίλιππος καὶ τὴν φρουρὰν οἱ Θηβαῖοι τε-
θαρσηκότες ἐξέβαλον, ὁ μὲν Ἀλέξανδρος ὡς καταφρονηθεὶς 10
τὰς Θήβας κατέσκαψεν, εἶτα μεταγνοὺς ἐπὶ τῷ πεπραγμένῳ
ἐξεχώρησε τῆς Ἑλλάδος αἰσχυνόμενος καὶ κατὰ τῶν βαρβάρων
ἐστράτευσεν, οἱ δ' Ἀθηναῖοι καιρὸν ἔχειν ἐνόμισαν κρίσει παρα-
δοῦναι τοὺς προδότας τοὺς τὴν Ἑλλάδα ἀδικήσαντας, καὶ οὕτω
συνεκροτήθη τὸ δικαστήριον. 15

Πρῶτον μὲν ὦ ἄνδρες Ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι
πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε
πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην | ὑπάρξαι μοι παρ' ὑμῶν 226
εἰς τουτονὶ τὸν ἀγῶνα, ἔπειθ' ὅπερ ἐστὶν μάλισθ' ὑπὲρ
ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης, τοῦτο 20
παραστῆσαι τοὺς θεοὺς ὑμῖν, μὴ τὸν ἀντίδικον σύμβου-
λον ποιήσασθαι περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ
2 (σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε), ἀλλὰ τοὺς νόμους καὶ
τὸν ὅρκον, ἐν ᾧ πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις καὶ τοῦτο
γέγραπται, τὸ ὁμοίως ἀμφοῖν ἀκροάσασθαι. τοῦτο δ' ἐστὶν 25
οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδέν, οὐδὲ τὸ τὴν

6 ψήφισμα] ζήτημα Fox; videtur breviter dictum esse ut schol. p. 159, 3 ἔγγραφος δὲ ἡ εἰρήνη 19 θ' ὅπέρ ἐστι μάλισθ' om. Y[1] | μάλιστ' S 20 τε om. Hermog. III 79 W. (107, 15 R.) cod. Pa Pc 22 ὑμᾶς SVAY Hermog. III 281 W. (299, 6 R.) 294 (311, 13): om. Castor, Rhet. Gr. III 717 W. (non p. 722) 25 ἀκροάσασθαι S: ἀκροᾶ-σθαι VAY Castor p. 722 ἀκροάσεσθαι L. Spengel, cf. Lys. XXXI 2

εὔνοιαν ἴσην ἀποδοῦναι, ἀλλὰ καὶ τὸ τῇ τάξει καὶ τῇ ἀπολογίᾳ, ὡς βεβούληται καὶ προῄρηται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι χρήσασθαι.

Πολλὰ μὲν οὖν ἔγωγ' ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν 3
5 *ἀγῶν' Αἰσχίνου, δύο δ' ὦ ἄνδρες Ἀθηναῖοι καὶ μεγάλα, ἓν μὲν ὅτι οὐ περὶ τῶν ἴσων ἀγωνίζομαι· οὐ γάρ ἐστιν ἴσον νῦν ἐμοὶ τῆς παρ' ὑμῶν εὐνοίας διαμαρτεῖν καὶ τούτῳ μὴ ἑλεῖν τὴν γραφήν, ἀλλ' ἐμοὶ μὲν—οὐ βούλομαι δυσχερὲς εἰπεῖν οὐδὲν ἀρχόμενος τοῦ λόγου, οὗτος δ' ἐκ*
10 *περιουσίας μου κατηγορεῖ. ἕτερον δ', ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει, τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' αὑτοὺς ἄχθεσθαι· τού-* 4
των τοίνυν ὃ μέν ἐστι πρὸς ἡδονὴν τούτῳ δέδοται, ὃ δὲ πᾶσιν ὡς ἔπος εἰπεῖν ἐνοχλεῖ λοιπὸν ἐμοί. κἂν μὲν εὐλα-
15 *βούμενος τοῦτο μὴ λέγω τὰ πεπραγμέν' ἐμαυτῷ, οὐκ ἔχειν ἀπολύσασθαι τὰ κατηγορημένα δόξω, οὐδ' ἐφ' οἷς ἀξιῶ τιμᾶσθαι δεικνύναι· ἐὰν δ' ἐφ' ἃ καὶ πεποίηκα καὶ πεπολίτευμαι βαδίζω, πολλάκις λέγειν ἀναγκασθήσομαι περὶ*
227 *ἐμαυτοῦ.* | *πειράσομαι μὲν οὖν ὡς μετριώτατα τοῦτο*
20 *ποιεῖν· ὅ τι δ' ἂν τὸ πρᾶγμ' αὔτ' ἀναγκάζῃ, τούτου τὴν αἰτίαν οὗτός ἐστι δίκαιος ἔχειν ὁ τοιοῦτον ἀγῶν' ἐνστησάμενος.*

1 *ἴσην ἀμφοτέροις γρ.* S[d]VAY | *καὶ τὸ* VAY: *τὸ καὶ* S *τὸ* del. Westermann | *καὶ τὸ τῆι ἀπολ.* Y 3 *χρῆσθαι* A Castor (*χρήσασθαι* Anecd. Ox. IV) 5 *ὦ* om. Y 8 *ἑλεῖν*] *ε* s. v. *λ* in ras. S (*δεῖν?* S[1]) | *ἐμοὶ* SVAY Hermog. III 346 W. (361, 14 R.) 408 (420, 7): *ἐγὼ* F mg. *γρ.* Y[2] Demetrius de elocut. 253 | *βούλομαι* SF mg.: *βούλομαι δὲ* S[d]VAY et *γρ.* Y[2] Hermog. 9 *εἰπεῖν οὐδὲν* SFQ corr. Y [Hermog. 408 (420, 8) cod. AcSfPh (*οὐδὲν* om. Vc)]: *οὐδὲν εἰπεῖν* AQ[1] Hermog. 12 *ἀκούειν* om. S[1] add. S[d] 16 *ἀπολύσασθαι*] *ἀπολογήσασθαι* S corr. 17 *ἐὰν* SA Hermog. III 430 W. (442, 8 R.) 432 (443, 14): *ἂν* VY | *δ'* om. Q | *πεπόνηκα* Y[1]

5 Οἶμαι δ' ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι πάντας ἂν ὁμολο-
γῆσαι κοινὸν εἶναι τουτονὶ τὸν ἀγῶν' ἐμοὶ καὶ Κτησι-
φῶντι καὶ οὐδὲν ἐλάττονος ἄξιον σπουδῆς ἐμοί· πάντων
μὲν γὰρ ἀποστερεῖσθαι λυπηρόν ἐστι καὶ χαλεπόν, ἄλλως
τε κἂν ὑπ' ἐχθροῦ τῳ τοῦτο συμβαίνῃ, μάλιστα δὲ τῆς 5
παρ' ὑμῶν εὐνοίας καὶ φιλανθρωπίας, ὅσῳπερ καὶ τὸ
6 τυχεῖν τούτων μέγιστόν ἐστιν. περὶ τούτων δ' ὄντος του-
τουὶ τοῦ ἀγῶνος, ἀξιῶ καὶ δέομαι πάντων ὁμοίως ὑμῶν
ἀκοῦσαί μου περὶ τῶν κατηγορημένων ἀπολογουμένου
δικαίως, ὥσπερ οἱ νόμοι κελεύουσιν, οὓς ὁ τιθεὶς ἐξ 10
ἀρχῆς Σόλων, εὔνους ὢν ὑμῖν καὶ δημοτικός, οὐ μόνον
τῷ γράψαι κυρίους ᾤετο δεῖν εἶναι, ἀλλὰ καὶ τῷ τοὺς
7 δικάζοντας ὀμωμοκέναι, οὐκ ἀπιστῶν ὑμῖν, ὥς γ' ἐμοὶ
φαίνεται, ἀλλ' ὁρῶν ὅτι τὰς αἰτίας καὶ τὰς διαβολάς, αἷς
ἐκ τοῦ πρότερος λέγειν ὁ διώκων ἰσχύει, οὐκ ἔνι τῷ φεύ- 15
γοντι παρελθεῖν, εἰ μὴ τῶν δικαζόντων ἕκαστος ὑμῶν
τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν φυλάττων καὶ τὰ τοῦ
λέγοντος ὑστέρου δίκαι' εὐνοϊκῶς προσδέξεται, καὶ πα-
ρασχὼν ἑαυτὸν ἴσον καὶ κοινὸν ἀμφοτέροις ἀκροατὴν
οὕτω τὴν διάγνωσιν ποιήσεται περὶ ἁπάντων. 20
8 Μέλλων δὲ τοῦ τ' ἰδίου βίου παντός, ὡς ἔοικε, λόγον
διδόναι τήμερον καὶ τῶν κοινῇ πεπολιτευμένων, βούλο-
μαι πάλιν τοὺς θεοὺς παρακαλέσαι, καὶ ἐναντίον ὑμῶν

1 Ἀθηναῖοι] δικασταὶ VY | πάντας post ὑμᾶς S | ὁμολογῆσαι] λογ in ras. A 2 ἐμοὶ S[1]: τε add. S[2]VAY 4 μὲν om. A | ἀποστερεῖσθαι γρ. S[d]VAY: ἀπορεῖσθαι S text. 5 συμβαίη A 6 εὐνοίας τε A 10 τιθεὶς] θεὶς Dobree 13 δικάζοντας ὑμᾶς A 14 αἷς] ας Y[1] corr. ead. 15 πρότερον A[1] 16 εἰ om. Y[1] | ὑμῶν ἕκαστος pap. Oxyrh. 17 διαφυλάττων VAY pap. 18 ὑστέρου S corr. AY pap.: ὕστερον S[1]V | προσδέξαιτο pap. 19 αυτον pap.[1] 20 πάνȷων VY 21 βίου om. A[1] add. A[2] 23 καθάπερ ἐν ἀρχῆι πάλιν VY

εὔχομαι πρῶτον μέν, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ
228 τε πόλει καὶ πᾶ|σιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ'
ὑμῶν [εἰς τουτονὶ τὸν ἀγῶνα], ἔπειθ' ὅ τι μέλλει συνοί-
σειν καὶ πρὸς εὐδοξίαν κοινῇ καὶ πρὸς εὐσέβειαν ἑκάστῳ,
5 τοῦτο παραστῆσαι πᾶσιν ὑμῖν περὶ ταυτησὶ τῆς γραφῆς
γνῶναι.

Εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε μόνον κατηγόρησεν Αἰσχί- 9
νης, κἀγὼ περὶ αὐτοῦ τοῦ προβουλεύματος εὐθὺς ἂν
ἀπελογούμην· ἐπειδὴ δ' οὐκ ἐλάττω λόγον τἄλλα διεξιὼν
10 ἀνήλωκεν καὶ τὰ πλεῖστα κατεψεύσατό μου, ἀναγκαῖον
εἶναι νομίζω καὶ δίκαιον ἅμα βραχέ' ὦ ἄνδρες Ἀθηναῖοι
περὶ τούτων πρῶτον εἰπεῖν, ἵνα μηδεὶς ὑμῶν τοῖς ἔξωθεν
λόγοις ἠγμένος ἀλλοτριώτερον τῶν ὑπὲρ τῆς γραφῆς δι-
καίων ἀκούῃ μου.

15 Περὶ μὲν δὴ τῶν ἰδίων ὅσα λοιδορούμενος βεβλασφή- 10
μηκεν περὶ ἐμοῦ, θεάσασθ' ὡς ἁπλᾶ καὶ δίκαια λέγω.
εἰ μὲν ἴστε με τοιοῦτον οἷον οὗτος ᾐτιᾶτο (οὐ γὰρ ἄλλοθί
που βεβίωκ' ἢ παρ' ὑμῖν), μηδὲ φωνὴν ἀνάσχησθε, μηδ'
εἰ πάντα τὰ κοίν' ὑπέρευ πεπολίτευμαι, ἀλλ' ἀναστάντες
20 καταψηφίσασθ' ἤδη· εἰ δὲ πολλῷ βελτίω τούτου καὶ ἐκ
βελτιόνων, καὶ μηδενὸς τῶν μετρίων, ἵνα μηδὲν ἐπαχθὲς
λέγω, χείρονα καὶ ἐμὲ καὶ τοὺς ἐμοὺς ὑπειλήφατε καὶ γι-
γνώσκετε, τούτῳ μὲν μηδ' ὑπὲρ τῶν ἄλλων πιστεύετε
(δῆλον γὰρ ὡς ὁμοίως ἅπαντ' ἐπλάττετο), ἐμοὶ δ', ἣν

1 ἐγὼ om. Y 2 τε om. S[1] 2 sq. παρ' ὑμῶν om. S[1] add. m. antiqua 3 εἰς τουτονὶ τὸν ἀγῶνα del. Blass | μέλλει om. A[1] add. A[2] 5 παραστῆσαι S, cf. schol. p. 266, 22: παραστῆσαι τοὺς θεοὺς VAY παραστῆναι Bekker 12 πρῶτον εἰπεῖν VAY Syrian. II 52, 13 R.: εἰπεῖν πρῶτον S | ἔξω Y 15 δὴ om. Q 17 τοιοῦτον ὄντα Priscian. XVIII 159. 188 cf. Dion. H. Arch. IV 47, 4 εἰ μὲν ᾔδει με τοιοῦτον ὄντα οἷον νῦν αἰτιᾶται 20 καταψηφίσασθαι S 21 βελτιωνων S[1]

παρὰ πάντα τὸν χρόνον εὔνοιαν ἐνδέδειχθ' ἐπὶ πολλῶν
11 ἀγώνων τῶν πρότερον, καὶ νυνὶ παράσχεσθε. κακοήθης
δ' ὢν Αἰσχίνη τοῦτο παντελῶς εὔηθες ᾠήθης, τοὺς περὶ
τῶν πεπραγμένων καὶ πεπολιτευμένων λόγους ἀφέντα με
πρὸς τὰς λοιδορίας τὰς παρὰ σοῦ τρέψεσθαι. οὐ δὴ 5
ποιήσω | τοῦτο (οὐχ οὕτω τετύφωμαι)· ἀλλ' ὑπὲρ μὲν τῶν 229
πεπολιτευμένων ἃ κατεψεύδου καὶ διέβαλλες ἐξετάσω,
τῆς δὲ πομπείας ταύτης τῆς ἀνέδην γεγενημένης ὕστερον,
ἂν βουλομένοις ᾖ τουτοισί, μνησθήσομαι.

12 Τὰ μὲν οὖν κατηγορημένα πολλά, καὶ περὶ ὧν ἐνίων 10
μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι διδόασι τιμωρίας· τοῦ
δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὐτὴ ἐχθροῦ μὲν ἐπή-
ρειαν ἔχει καὶ ὕβριν καὶ λοιδορίαν καὶ προπηλακισμὸν
ὁμοῦ καὶ πάντα τὰ τοιαῦτα· τῶν μέντοι κατηγοριῶν καὶ
τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ ἦσαν ἀληθεῖς, οὐκ ἔχει 15
13 τῇ πόλει δίκην ἀξίαν λαβεῖν, οὐδ' ἐγγύς. οὐ γὰρ ἀφαι-
ρεῖσθαι τὸ προσελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν, οὐδ'
ἐν ἐπηρείας τάξει καὶ φθόνου τοῦτο ποιεῖν οὔτε μὰ τοὺς
θεοὺς ὀρθῶς ἔχον οὔτε πολιτικὸν οὔτε δίκαιόν ἐστιν ὦ
ἄνδρες Ἀθηναῖοι· ἀλλ' ἐφ' οἷς ἀδικοῦντά μ' ἑώρα τὴν 20
πόλιν, οὖσί γε τηλικούτοις, ἡλίκα νῦν ἐτραγῴδει καὶ
διεξῄει, ταῖς ἐκ τῶν νόμων τιμωρίαις παρ' αὐτὰ τἀδική-
ματα χρῆσθαι, εἰ μὲν εἰσαγγελίας ἄξια πράττονθ' ἑώρα,

2 πρότερον S A[1]: πρότερον γεγενημένων V A[3] mg. Y 3 αισχι-
νης S[1] | τοὺς] του ut vid. S[1] 5 τρέψασθαι A 7 διέβαλες Y |
αὐτίκα ἐξετάσω A 8 ἀνέδην S corr. F corr. Y: ἀναίδην S[1]F[1]QA |
οὑτωσὶ γεγενημένης VY 9 ἀκούειν post βουλομένοις add. S γρ. VA
post τουτοισί Y[2] mg. cf. schol. p. 268, 28 10 πολλὰ καὶ δεινὰ VY
11 διδόασι S γρ. VA: τάττουσι V[1]Y 12 ἀυτη S αὕτη Q Hermog. III
406 W. (418, 12 R.) | ἐπήρειαν γρ. S[d] VAY Hermog.: προαίρεσιν S text.
15 ἔχει S: ἔνι γρ. S[d] V A[1] εστὶ A[3] ἐπὶ Y 16 ἀφαιρεῖσθαι S: ἀφαι-
ρεῖσθαι δεῖ S[d] VAY 18 ἐπηριας S[1] 23 πράττοντά με VAY

εἰσαγγέλλοντα καὶ τοῦτον τὸν τρόπον εἰς κρίσιν καθ-
ιστάντα παρ' ὑμῖν, εἰ δὲ γράφοντα παράνομα, παρανόμων
γραφόμενον· οὐ γὰρ δήπου Κτησιφῶντα μὲν δύναται
διώκειν δι' ἐμέ, ἐμὲ δ', εἴπερ ἐξελέγξειν ἐνόμιζεν, [αὐτὸν]
5 οὐκ ἂν ἐγράψατο. καὶ μὴν εἴ τι τῶν ἄλλων, ὧν νυνὶ διέ- 14
βαλλεν καὶ διεξῄει, ἢ καὶ ἄλλ' ὁτιοῦν ἀδικοῦντά μ' ὑμᾶς
ἑώρα, εἰσὶν νόμοι περὶ πάντων καὶ τιμωρίαι, καὶ ἀγῶνες
καὶ κρίσεις πικρὰ καὶ μεγάλ' ἔχουσαι τἀπιτίμια, καὶ τού-
230 τοις ἐξῆν ἅπασιν χρῆσθαι, | καὶ ὁπηνίκ' ἐφαίνετο ταῦτα
10 πεποιηκὼς καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς πρός
με, ὡμολογεῖτ' ἂν ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ. νῦν 15
δ' ἐκστὰς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ καὶ φυγὼν τοὺς
παρ' αὐτὰ τὰ πράγματ' ἐλέγχους, τοσούτοις ὕστερον
χρόνοις αἰτίας καὶ σκώμματα καὶ λοιδορίας συμφορήσας
15 ὑποκρίνεται· εἶτα κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονί,
καὶ τοῦ μὲν ἀγῶνος ὅλου τὴν πρὸς ἔμ' ἔχθραν προΐστα-
ται, οὐδαμοῦ δ' ἐπὶ ταύτην ἀπηντηκὼς ἐμοὶ τὴν ἑτέρου
ζητῶν ἐπιτιμίαν ἀφελέσθαι φαίνεται. καίτοι πρὸς ἅπασιν 16
ὦ ἄνδρες Ἀθηναῖοι τοῖς ἄλλοις, οἷς ἂν εἰπεῖν τις ὑπὲρ
20 Κτησιφῶντος ἔχοι, καὶ τοῦτ' ἔμοιγε δοκεῖ καὶ μάλ' εἰκό-
τως ἂν λέγειν, ὅτι τῆς ἡμετέρας ἔχθρας ἡμᾶς ἐφ' ἡμῶν

3 *δύναιτ' ἂν* Hermog. III 286 (304, 3 R.) 4 *ἐξελέγξειν* S corr. A: *ἐξελέγχειν* S[1]VY Hermog. | *αὐτὸν* del. Gebauer; ne scholiastas p. 270, 7 pronomen non legisse putaveris: coniunxerunt cum verbis antecedentibus ut cod. S qui post *αὐτὸν* interpunxit 7 sq. *κρίσεις καὶ ἀγῶνες* Hermog. III 266 W. (285, 3 R.) | *καὶ τιμωρίαι* post *κρίσεις* v. 8 A del. H. A Schaefer 8 *πικρὰ ... τἀπιτίμια* om. S[1] add. S[d] mg. | *ἔχουσαι* VAY: *ἔχοντες* S *γρ.* Q Hermog. | *ἐπιτίμια* Hermog. 9 *αὐτῶι πᾶσι χρῆσθαι κατ' ἐμοῦ* A 11 *με* S: *ἐμέ* VAY Hermog. III 267 W. (286, 21 R.) *αὐτοῦ* secl. Rosenberg 19 *τοῖς ἄλλοις* post *ἅπασι* v. 18 A | *δικαίοις* add. post *ἄλλοις* *γρ.* S[d]VY post *ἔχοι* v. 20 A | *τις εἰπεῖν* A 20 *τοῦτ'*] *τοῦτό γε* A | *μάλ'*] *μάλιστα* Q

αὐτῶν δίκαιον ἦν τὸν ἐξετασμὸν ποιεῖσθαι, οὐ τὸ μὲν
πρὸς ἀλλήλους ἀγωνίζεσθαι παραλείπειν, ἑτέρῳ δ' ὅτῳ
κακόν τι δώσομεν ζητεῖν· ὑπερβολὴ γὰρ ἀδικίας τοῦτό γε.

17 Πάντα μὲν τοίνυν τὰ κατηγορημέν' ὁμοίως ἐκ τούτων
ἄν τις ἴδοι οὔτε δικαίως οὔτ' ἐπ' ἀληθείας οὐδεμιᾶς 5
εἰρημένα· βούλομαι δὲ καὶ καθ' ἕκαστ' αὐτῶν ἐξετάσαι,
καὶ μάλισθ' ὅσ' ὑπὲρ τῆς εἰρήνης καὶ τῆς πρεσβείας
κατεψεύσατό μου, τὰ πεπραγμέν' ἑαυτῷ μετὰ Φιλοκρά-
τους ἀνατιθεὶς ἐμοί. ἔστι δ' ἀναγκαῖον ὦ ἄνδρες Ἀθη-
ναῖοι καὶ προσῆκον ἴσως, ὡς κατ' ἐκείνους τοὺς χρόνους 10
εἶχε τὰ πράγματ' ἀναμνῆσαι, ἵνα πρὸς τὸν ὑπάρχοντα
καιρὸν ἕκαστα θεωρῆτε.

18 Τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι' ἐμέ (οὐ
γὰρ ἔγωγ' ἐπολιτευόμην πω τότε), πρῶτον μὲν ὑμεῖς
οὕτω διέκεισθε, ὥστε Φωκέας μὲν βούλε|σθαι σωθῆναι, 231
καίπερ οὐ δίκαια ποιοῦντας ὁρῶντες, Θηβαίοις δ' ὁτιοῦν 16
ἂν ἐφησθῆναι παθοῦσιν, οὐκ ἀλόγως οὐδ' ἀδίκως αὐτοῖς
ὀργιζόμενοι· οἷς γὰρ ηὐτυχήκεσαν ἐν Λεύκτροις, οὐ με-
τρίως ἐκέχρηντο· ἔπειθ' ἡ Πελοπόννησος ἅπασα διειστή-
κει, καὶ οὔθ' οἱ μισοῦντες Λακεδαιμονίους οὕτως ἴσχυον 20
ὥστ' ἀνελεῖν αὐτούς, οὔθ' οἱ πρότερον δι' ἐκείνων ἄρ-

1 ἐξητασμον S^1, corr. S^d | οὐ τὸ] οὕτω S^1 οὐτῶ (ὸ supra) S corr. 2 παρα-λειπειν S^1F^2AY παραλιπεῖν S corr. F^1Q 6 ἕκαστ' Blass: ἓν ἑκαστ' S ἓν ἕκαστον VY ἕκαστον A 8 Φιλοκράτους] post λο 2 litt. eras. Q 9 ὦ om. V 11 ἀναμνῆσαι S Syrian. II 52, 10 R.: ἀναμνῆσαι ὑμᾶς VAY ὑμᾶς ὑπομνῆσαι Hermog. III 212 W. (236, 20 R.) 12 θεωρηται pap. Oxyrh. 13 πολέμου συστάντος A Hermog. III 276 (294, 20) VcBa, 297 (314, 17) V | τὸ ἐξ ἐπεμβολῆς τὸ «οὐ δι' ἐμέ, οὐ γὰρ ἔγωγε» Hermog. III 269 W. (288, 19 R.) cf. III 276 (294, 20) 14 γὰρ δὴ VY | πω] τω Y rec. | τότε S γρ. VAY corr. Hermog. III 275 W. (293, 23 R.): ποτε γρ. S^1VY^1 Hermog. Ac^1? Vc 15 ἐβούλεσθε Y 17 ἂν] εὰν A 19 διιστήκει S corr. (-ητηκει? S^1 Rabe) 20 ισχυον [ουτως] pap.

χοντες κύριοι τῶν πόλεων ἦσαν, ἀλλά τις ἦν ἄκριτος καὶ
παρὰ τούτοις καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἔρις καὶ
ταραχή. ταῦτα δ' ὁρῶν ὁ Φίλιππος (οὐ γὰρ ἦν ἀφανῆ) 19
τοῖς παρ' ἑκάστοις προδόταις χρήματ' ἀναλίσκων πάντας
5 συνέκρουεν καὶ πρὸς αὑτοὺς ἐτάραττεν· εἶτ' ἐν οἷς ἡμάρ-
τανον ἄλλοι καὶ κακῶς ἐφρόνουν, αὐτὸς παρεσκευάζετο
καὶ κατὰ πάντων ἐφύετο. ὡς δὲ ταλαιπωρούμενοι τῷ
μήκει τοῦ πολέμου οἱ τότε μὲν βαρεῖς, νῦν δ' ἀτυχεῖς
Θηβαῖοι φανεροὶ πᾶσιν ἦσαν ἀναγκασθησόμενοι κατα-
10 φεύγειν ἐφ' ὑμᾶς, ὁ Φίλιππος, ἵνα μὴ τοῦτο γένοιτο
μηδὲ συνέλθοιεν αἱ πόλεις, ὑμῖν μὲν εἰρήνην, ἐκείνοις
δὲ βοήθειαν ἐπηγγείλατο. τί οὖν συνηγωνίσατ' αὐτῷ πρὸς 20
τὸ λαβεῖν ὀλίγου δεῖν ὑμᾶς ἑκόντας ἐξαπατωμένους; ἡ
τῶν ἄλλων Ἑλλήνων εἴτε χρὴ κακίαν εἴτ' ἄγνοιαν εἴτε
15 καὶ ἀμφότερα ταῦτ' εἰπεῖν, οἳ πόλεμον συνεχῆ καὶ μα-
κρὸν πολεμούντων ὑμῶν, καὶ τοῦτον ὑπὲρ τῶν πᾶσι
συμφερόντων, ὡς ἔργῳ φανερὸν γέγονεν, οὔτε χρήμασιν
οὔτε σώμασιν οὔτ' ἄλλῳ οὐδενὶ τῶν ἁπάντων συνελάμ-
βανον ὑμῖν· οἷς καὶ δικαίως καὶ προσηκόντως ὀργιζό-
20 μενοι ἑτοίμως ὑπηκούσατε τῷ Φιλίππῳ.

232 Ἡ μὲν οὖν τότε συγχωρηθεῖσ' εἰρήνη διὰ ταῦτ', | οὐ
δι' ἐμέ, ὡς οὗτος διέβαλλεν, ἐπράχθη· τὰ δὲ τούτων
ἀδικήματα καὶ δωροδοκήματ' ἐν αὐτῇ τῶν νυνὶ παρόν-

2 καὶ τοῖς ἄλλοις VY | ἅπασιν S[1]VY: ἅπασιν ἕλλησιν S[2] s. v. γρ. VA τουτο[ις . . . ερι]ς pap. 4 πάντα A 5 αὐτοὺς] ἑαυτοὺς VY ἀλλήλους A 6 ἄλλοι Blass: ἄλλοι S οἱ ἄλλοι VAY 8 νυνὶ A 10 ὁ om. S[1] add. ut vid. eadem m. ὁ Φίλιππος om. Y | γένοιτο S corr. VY: γένηται S[1]A cf. XIX 160 13 ἑκόντας ὑμᾶς A 16 κοινῆι πᾶσιν VAY (κοινῆι πα in ras. F) 17 ἔργῳ] ω dim. et ι in ras. F 18 οὐδὲ ἄλλωι VY | πάντων VAY | συνελαμβάνοντο γρ. S[d] γρ. Q 20 τῷ om. A 23 δοροδοκηματα S

των πραγμάτων, ἄν τις ἐξετάζῃ δικαίως, αἴτι' εὑρήσει.
21 καὶ ταυτὶ πάνθ' ὑπὲρ τῆς ἀληθείας ἀκριβολογοῦμαι καὶ
διεξέρχομαι. εἰ γὰρ εἶναί τι δοκοίη τὰ μάλιστ' ἐν τού-
τοις ἀδίκημα, οὐδέν ἐστι δήπου πρὸς ἐμέ, ἀλλ' ὁ μὲν
πρῶτος εἰπὼν καὶ μνησθεὶς ὑπὲρ τῆς εἰρήνης Ἀριστό- 5
δημος ἦν ὁ ὑποκριτής, ὁ δ' ἐκδεξάμενος καὶ γράψας καὶ
ἑαυτὸν μετὰ τούτου μισθώσας ἐπὶ ταῦτα Φιλοκράτης ὁ
Ἁγνούσιος, ὁ σὸς Αἰσχίνη κοινωνός, οὐχ ὁ ἐμός, οὐδ'
ἂν σὺ διαρραγῇς ψευδόμενος, οἱ δὲ συνειπόντες ὅτου
δήποθ' ἕνεκα (ἐῶ γὰρ τοῦτό γ' ἐν τῷ παρόντι) Εὔβου- 10
22 λος καὶ Κηφισοφῶν· ἐγὼ δ' οὐδὲν οὐδαμοῦ. ἀλλ' ὅμως,
τούτων τοιούτων ὄντων καὶ ἐπ' αὐτῆς τῆς ἀληθείας οὕτω
δεικνυμένων, εἰς τοῦθ' ἧκεν ἀναιδείας, ὥστ' ἐτόλμα λέγειν
ὡς ἄρ' ἐγὼ πρὸς τῷ τῆς εἰρήνης αἴτιος γεγενῆσθαι καὶ
κεκωλυκὼς εἴην τὴν πόλιν μετὰ κοινοῦ συνεδρίου τῶν 15
Ἑλλήνων ταύτην ποιήσασθαι. εἶτ' ὦ—τί ἂν εἰπών σέ τις
ὀρθῶς προσείποι; ἔστιν ὅπου σὺ παρὼν τηλικαύτην
πρᾶξιν καὶ συμμαχίαν, ἡλίκην νυνὶ διεξῄεις, ὁρῶν ἀφ-
αιρούμενόν με τῆς πόλεως, ἠγανάκτησας ἢ παρελθὼν
23 ταῦθ' ἃ νῦν κατηγόρεις ἐδίδαξας καὶ διεξῆλθες; καὶ μὴν 20

1 ἐὰν A | αἴτι'] αιτίαι S corr. (i. e. αἰτίᾳ, scil. ἐν αὐτῇ) αἰτίαν F^1
2 ταῦτα A 3 sq. τι ... ἀδίκημα S: τινα ... ἀδικήματα VAY
ὑπερ
4 τούτων δήπου A 5 ὑπὲρ S^1Q: περὶ S corr. AY περὶ F
8 οὐχ ὁ S: οὐκ VAY 9 ἐὰν Q | διαρραγείης A | συνειπόντες] ει
in ras. Y^2 (συνεπιόντες corr. Urb.) cf. Hermog. III 217 W. (241, 1 R.)
12 τῆς om. Q 13 ὡτε A^1 corr. A^3 | ετόλμα S^1AY: τολμᾶ S corr.
τολμᾶι V 14 ἔτι καὶ κεκωλ. γρ. QY 16 ταύτην S: αὐτὴν VAY
18 πράξειν A^1 corr. A^2 | νυνὶ διεξῄεις S: νῦν (om. A^1) ἐτραγῴδεις
(διετραγῴδεις F corr. Y) καὶ διεξῄεις VAY ex § 13 20 νυνὶ
S corr. | κατηγόρεις H. A. Schaefer: κατηγορεις S^1 κατηγορεῖς
S^2VAY | καὶ διεξῆλθες S^1A: ἢ διεξῆλθες S corr. VY del.
Dobree

εἰ τὸ κωλῦσαι τὴν τῶν Ἑλλήνων κοινωνίαν ἐπεπράκειν
ἐγὼ Φιλίππῳ, σοὶ τὸ μὴ σιγῆσαι λοιπὸν ἦν, ἀλλὰ βοᾶν
καὶ διαμαρτύρεσθαι καὶ δηλοῦν τουτοισί. οὐ τοίνυν
233 ἐποίησας οὐδαμοῦ τοῦτο, οὐδ' ἤκουσέ σου ταύτην | τὴν
5 φωνὴν οὐδείς· οὔτε γὰρ ἦν πρεσβεία πρὸς οὐδέν' ἀπ-
εσταλμένη τότε τῶν Ἑλλήνων, ἀλλὰ πάλαι πάντες ἦσαν
ἐξεληλεγμένοι, οὔθ' οὗτος ὑγιὲς περὶ τούτων εἴρηκεν
οὐδέν. χωρὶς δὲ τούτων καὶ διαβάλλει τὴν πόλιν τὰ μέ- 24
γιστ' ἐν οἷς ψεύδεται· εἰ γὰρ ὑμεῖς ἅμα τοὺς μὲν Ἕλλη-
10 νας εἰς πόλεμον παρεκαλεῖτε, αὐτοὶ δὲ πρὸς Φίλιππον
περὶ εἰρήνης πρέσβεις ἐπέμπετε, Εὐρυβάτου πρᾶγμα, οὐ
πόλεως ἔργον οὐδὲ χρηστῶν ἀνθρώπων διεπράττεσθε.
ἀλλ' οὐκ ἔστι ταῦτ', οὐκ ἔστι· τί γὰρ καὶ βουλόμενοι
μετεπέμπεσθ' ἂν αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ; ἐπὶ τὴν
15 εἰρήνην; ἀλλ' ὑπῆρχεν ἅπασιν. ἀλλ' ἐπὶ τὸν πόλεμον;
ἀλλ' αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε. οὐκοῦν οὔτε τῆς
ἐξ ἀρχῆς εἰρήνης ἡγεμὼν οὐδ' αἴτιος ὢν ἐγὼ φαίνομαι,
οὔτε τῶν ἄλλων, ὧν κατεψεύσατό μου, οὐδὲν ἀληθὲς ὂν
δείκνυται.

20 Ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, ἐν- 25
ταῦθα πάλιν σκέψασθε τί ἡμῶν ἑκάτερος προείλετο πράτ-
τειν· καὶ γὰρ ἐκ τούτων εἴσεσθε τίς ἦν ὁ Φιλίππῳ συνα-
γωνιζόμενος, καὶ τίς ὁ πράττων ὑπὲρ ὑμῶν καὶ τὸ τῇ

1 τὸ] τω S[1] 2 ἔγωγε A 3 διαμαρτύρασθαι A | post alt. καὶ in F 2—3 litt. erasae 5 οὐδεὶς εἰκότως A | οὐ δένα S οὐδένας O[1] Reiske 6 πάλαι S γρ. FQAY: τότε F[1] 8 τὰ μέγιστα τὴν πόλιν Hermog III 423 W. (435, 12 R.) 9 ἄλλους ἕλληνας VY 10 sq. περὶ εἰρήνης πρὸς Φίλιππον Hermog. 11 τῆς εἰρήνης S cf. Lys. XIII 5 12 διεπράττεσθαι S[1] 13 ἔστι] ἔτι F[1] 16 οὔκουν SY 18 μου om. Y 21 σκέψασθαι S 22 εἴσεσθε] ὄψεσθε A | συναγωνιζόμενος Barb. Westermann: τε τὴν εἰρήνην συναγωνιζόμενος S πάντα συναγωνιζόμενος γρ. S[d] VAY

XIX 154 πόλει συμφέρον ζητῶν. ἐγὼ μὲν τοίνυν ἔγραψα βουλεύων
ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις ἐπὶ τοὺς τόπους
ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνωνται, καὶ τοὺς ὅρκους
ἀπολαμβάνειν· οὗτοι δ' οὐδὲ γράψαντος ἐμοῦ ταῦτα
26 ποιεῖν ἠθέλησαν. τί δὲ τοῦτ' ἠδύνατ' ὦ ἄνδρες Ἀθη- 5
ναῖοι; ἐγὼ διδάξω. Φιλίππῳ μὲν ἦν συμφέρον ὡς πλεῖ-
στον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων, ὑμῖν δ'
ὡς ἐλάχιστον. διὰ τί; ὅτι ὑμεῖς μὲν οὐκ ἀφ' ἧς ὠμόσαθ' |
ἡμέρας μόνον, ἀλλ' ἀφ' ἧς ἠλπίσατε τὴν εἰρήνην ἔσεσθαι, 234
πάσας ἐξελύσατε τὰς παρασκευὰς τὰς τοῦ πολέμου, ὁ δὲ 10
τοῦτ' ἐκ παντὸς τοῦ χρόνου μάλιστ' ἐπραγματεύετο, νο-
μίζων, ὅπερ ἦν ἀληθές, ὅσα τῆς πόλεως προλάβοι πρὸ
τοῦ τοὺς ὅρκους ἀποδοῦναι, πάντα ταῦτα βεβαίως ἕξειν·
27 οὐδένα γὰρ τὴν εἰρήνην λύσειν τούτων ἕνεκα. ἃ ἐγὼ
προορώμενος ἄνδρες Ἀθηναῖοι καὶ λογιζόμενος τὸ ψή- 15
φισμα τοῦτο γράφω, πλεῖν ἐπὶ τοὺς τόπους ἐν οἷς ἂν ᾖ
Φίλιππος, καὶ τοὺς ὅρκους τὴν ταχίστην ἀπολαμβάνειν,
ἵν' ἐχόντων τῶν Θρᾳκῶν, τῶν ὑμετέρων συμμάχων,
ταῦτα τὰ χωρί' ἃ νῦν οὗτος διέσυρε, τὸ Σέρριον καὶ τὸ
Μυρτηνὸν καὶ τὴν Ἐργίσκην, οὕτω γίγνοινθ' οἱ ὅρκοι, 20
καὶ μὴ προλαβὼν ἐκεῖνος τοὺς ἐπικαίρους τῶν τόπων

2 ἀποπλεῖν] πλεῖν Cobet, cf. § 27 | ἐπὶ τοὺς τόπους om. S (quo probato pro ἐν οἷ ϛὄπου Turicenses, ὅποι Usener) add. S[1] mg. | τοῖς τόποις A 3 τὸν φίλιππον A | πυνθανονται pap. 3 sq. καὶ ... ἀπολαμβάνειν om. pap. | ὅρκους τὴν ταχίστην A 4 οὐδὲ] οὐ S[1] corr. S[d] 5 ἐδύνατο August. 2 | ὦ om. VY 7 τὸν om. VY τὸν μεταξὺ γρ. V 8 [ὑμεις] αφ ης ημε[ρας] pap. 9 μόνον ἡμέρας VY | τὴν om. VY γρ. τὴν εἰρήνην V mg. 10 ἐξελύσασθε F 11 τοῦτ'] τουτον S[1] 13 ταῦτα πάντα A 14 ἕνεκεν A 15 ὦ ἄνδρες A ὦ Ἀθηναῖοι Hermog. III 266 W. (285, 2 R.) | τοῦτο τὸ ψήφισμα A | γράφω ψήφισμα Hermog. 16 sq. πλεῖν ... ἀπολαμβάνειν del. Dobree 18 ἡμετέρων A 19 τὰ χωρία ταῦθ' VAY | σέρρειον Y 20 Μυρτηνὸν] μυρτηνον S (τη in ras.) μύρτιον V μύργιον S corr. rec. Y | γιγνοιθ' S[1] γίγνινθ' Y

κύριος τῆς Θρᾴκης κατασταίη, μηδὲ πολλῶν μὲν χρημά-
των πολλῶν δὲ στρατιωτῶν εὐπορήσας ἐκ τούτων ῥᾳδίως
τοῖς λοιποῖς ἐπιχειροίη πράγμασιν. εἶτα τοῦτο μὲν οὐχὶ 28
λέγει τὸ ψήφισμ' οὐδ' ἀναγιγνώσκει· εἰ δὲ βουλεύων
5 ἐγὼ προσάγειν τοὺς πρέσβεις ᾤμην δεῖν, τοῦτό μου δια-
βάλλει. ἀλλὰ τί ἐχρῆν με ποιεῖν; μὴ προσάγειν γράψαι
τοὺς ἐπὶ τοῦθ' ἥκοντας, ἵν' ὑμῖν διαλεχθῶσιν; ἢ θέαν
μὴ κατανεῖμαι τὸν ἀρχιτέκτον' αὐτοῖς κελεῦσαι; ἀλλ' ἐν
τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἄν, εἰ μὴ τοῦτ' ἐγράφη.
10 τὰ μικρὰ [συμφέροντα] τῆς πόλεως ἔδει με φυλάττειν,
τὰ δ' ὅλ' ὥσπερ οὗτοι πεπρακέναι; οὐ δήπου. λέγε τοί-
νυν μοι τὸ ψήφισμα τουτὶ λαβών, ὃ σαφῶς οὗτος εἰδὼς
παρέβη. |

235 ΨΗΦΙΣΜΑ ΔΗΜΟΣΘΕΝΟΥΣ

15 [Ἐπὶ ἄρχοντος Μνησιφίλου, ἑκατομβαιῶνος ἕνῃ καὶ νέᾳ, 29
φυλῆς πρυτανευούσης Πανδιονίδος, Δημοσθένης Δημοσθένους
Παιανιεὺς εἶπεν· ἐπειδὴ Φίλιππος ἀποστείλας πρέσβεις περὶ
τῆς εἰρήνης ὁμολογουμένας πεποίηται συνθήκας, δεδόχθαι τῇ
βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων, ὅπως ἂν ἡ εἰρήνη ἐπιτελεσθῇ
20 ἡ ἐπιχειροτονηθεῖσα ἐν τῇ πρώτῃ ἐκκλησίᾳ, πρέσβεις ἑλέσθαι
ἐκ πάντων Ἀθηναίων ἤδη πέντε, τοὺς δὲ χειροτονηθέντας ἀπο-
δημεῖν μηδεμίαν ὑπερβολὴν ποιουμένους, ὅπου ἂν ὄντα πυν-
θάνωνται τὸν Φίλιππον, καὶ τοὺς ὅρκους λαβεῖν τε παρ' αὐτοῦ

2 εὐπορήσας] ψευδηγορησας pap. 5 μου post add. in fine col. S[1] 6 χρῆν Blass 7 ηκον Y[1] | ἡμῖν A[1] 10 μικρὰ VAY: om. S[1] add. s. v. σμικρὰ S[d] | συμφέροντα del. Blass post A. Schaeferum, qui συμφέροντα τῆς πόλεως del. | με] μὴ A 11 πεπρακέναι φιλίππωι A | οὐ om. Y[1] 12 εἰδὼς om. S[1] add. S[d] εἰδὼς οὗτος A 13 παρέβη λέγε VAY 14 ΔΗΜΟΣΘΕΝΟΥΣ om. VAY | documenta habet in scholiis Y 18 συνθήκας πρὸς τὸν (τῶν A[1]) ἀθηναίων δῆμον A 19 δήμωι τῶν ἀθ. QY | ἡ] ηι S[1] 22 ὑπερβολὴν S[1]V: ἀναβολὴν S rec. AY[2] (ἀνα in ras.) 23 ὅρκους παρ' αὐτοῦ λαβεῖν A

καὶ δοῦναι τὴν ταχίστην ἐπὶ ταῖς ὡμολογημέναις συνθήκαις αὐτῷ πρὸς τὸν Ἀθηναίων δῆμον, συμπεριλαμβάνοντας καὶ τοὺς ἑκατέρων συμμάχους. πρέσβεις ᾑρέθησαν Εὔβουλος Ἀναφλύστιος, Αἰσχίνης Κοθωκίδης, Κηφισοφῶν Ῥαμνούσιος, Δημοκράτης Φλυεύς, Κλέων Κοθωκίδης.] 5

30 *Ταῦτα γράψαντος ἐμοῦ τότε καὶ τὸ τῇ πόλει συμφέρον οὐ τὸ Φιλίππῳ ζητοῦντος, βραχὺ φροντίσαντες οἱ χρηστοὶ πρέσβεις οὗτοι καθῆντ' ἐν Μακεδονίᾳ τρεῖς ὅλους μῆνας, ἕως ἦλθε Φίλιππος ἐκ Θρᾴκης πάντα καταστρεψάμενος, ἐξὸν ἡμερῶν δέκα, ὁμοίως δὲ τριῶν ἢ τεττάρων,* 10 *εἰς τὸν Ἑλλήσποντον ἀφῖχθαι καὶ τὰ χωρία σῶσαι, λαβόντας τοὺς ὅρκους πρὶν ἐκεῖνον ἐξελεῖν αὐτά· οὐ γὰρ ἂν ἥψατ' αὐτῶν παρόντων ἡμῶν, ἢ οὐκ ἂν ὠρκίζομεν αὐτόν, ὥστε τῆς εἰρήνης ἂν διημαρτήκει καὶ οὐκ ἂν ἀμφό|τερ' εἶχε, καὶ τὴν εἰρήνην καὶ τὰ χωρία.* 236

31 *Τὸ μὲν τοίνυν ἐν τῇ πρεσβείᾳ πρῶτον κλέμμα μὲν Φι-* 16 *λίππου, δωροδόκημα δὲ τῶν ἀδίκων τούτων ἀνθρώπων τοιοῦτον ἐγένετο· ὑπὲρ οὗ καὶ τότε καὶ νῦν καὶ ἀεὶ ὁμολογῶ καὶ πολεμεῖν καὶ διαφέρεσθαι τούτοις. ἕτερον δ' εὐθὺς ἐφεξῆς ἔτι τούτου μεῖζον κακούργημα θεάσασθε.* 20

32 *ἐπειδὴ γὰρ ὤμοσε τὴν εἰρήνην ὁ Φίλιππος προλαβὼν*

2 *ἀθηναῖον* A | *συμπαραλαμβάνοντας* A 4 *Αἰσχίνης* om. SVY^1 (add. post *κοθωκίδης* Y^2) | *κηφισωφῶν* F^1 7 *τὸ τοῦ φιλίππου* A *τὸ Φιλίππου* Hermog. III 283 W. (301, 11 R.) P | *χρηστοὶ* om. S^1 add. ead. 9 *τὰ ἐκεῖ καταστρεψάμενος* S^d (add. post *καταστ.*, loco ÷ signo indicato) A *καταστρεψάμενος τακεῖ* VY 10 *ὁμοίως* S^1A: *μᾶλλον γρ.* S rec. VY *πλοίοις* Herwerden *ἴσως* Blass 13 *ὑμῶν* S | *ὡρκίζωμεν* S corr. 17 *ἀνθρώπων* om. Hermog. III 282 W. (300, 19 R.) | *ἀνθρώπων καὶ θεοῖς ἐχθρῶν* VY 18 *αἰεὶ* Y 19 *καὶ πολεμεῖν* S: *πολεμεῖν* VAY | *πολεμεῖν ὁμολογῶ* Weil | *τουτοισί* A 21 *ὤμοσε γρ.* VAY: *ὡμολόγησε* S corr. (*ομολογησε* S^1) V cf. XIX 120. XLI 15. XLVIII 11. 12 | *ὁ* om. AY corr. | *φίλιππος ἕξειν* V (*ειν* in ras. F) Y^1 (ut vid.) | *προσλαβὼν* AY^2

τὴν Θρᾴκην διὰ τούτους οὐχὶ πεισθέντας τῷ ἐμῷ ψη-
φίσματι, πάλιν ὠνεῖται παρ' αὐτῶν, ὅπως μὴ ἄπιμεν ἐκ
Μακεδονίας, ἕως τὰ τῆς στρατείας τῆς ἐπὶ τοὺς Φωκέας
εὐτρεπῆ ποιήσαιτο, ἵνα μή, δεῦρ' ἀπαγγειλάντων ἡμῶν
5 ὅτι μέλλει καὶ παρασκευάζεται πορεύεσθαι, ἐξέλθοιθ'
ὑμεῖς καὶ περιπλεύσαντες ταῖς τριήρεσιν εἰς Πύλας ὥσπερ
πρότερον κλείσαιτε τὸν τόπον, ἀλλ' ἅμ' ἀκούοιτε ταῦτ'
ἀπαγγελλόντων ἡμῶν κἀκεῖνος ἐντὸς εἴη Πυλῶν καὶ μη-
δὲν ἔχοιθ' ὑμεῖς ποιῆσαι. οὕτω δ' ἦν ὁ Φίλιππος ἐν 33
10 φόβῳ καὶ ἀγωνίᾳ πολλῇ, μὴ καὶ ταῦτα προειληφότος
αὐτοῦ, εἰ πρὸ τοῦ τοὺς Φωκέας ἀπολέσθαι ψηφίσαισθε
βοηθεῖν, ἐκφύγοι τὰ πράγματ' αὐτόν, ὥστε μισθοῦται
τὸν κατάπτυστον τουτονί, οὐκέτι κοινῇ μετὰ τῶν ἄλλων
πρέσβεων ἀλλ' ἰδίᾳ καθ' αὑτόν, τοιαῦτα πρὸς ὑμᾶς εἰ-
15 πεῖν καὶ ἀπαγγεῖλαι, δι' ὧν ἅπαντ' ἀπώλετο. ἀξιῶ δ' ὦ 34
ἄνδρες Ἀθηναῖοι καὶ δέομαι τοῦτο μεμνῆσθαι παρ' ὅλον
τὸν ἀγῶνα, ὅτι μὴ κατηγορήσαντος Αἰσχίνου μηδὲν ἔξω
237 τῆς γραφῆς οὐδ' ἂν ἐγὼ λόγον οὐδέν' | ἐποιούμην ἕτερον,
πάσαις δ' αἰτίαις καὶ βλασφημίαις ἅμα τούτου κεχρη-
20 μένου ἀνάγκη καὶ ἐμοὶ πρὸς ἕκαστα τῶν κατηγορημένων

1 τούτους τοὺς A 2 ἄπιμεν Anecd. Bekkeri p. 129, Cobet: ἀπίωμεν SF[1]QA ἀπίωσιν F corr. Y 3 ἕως ἂν VAY | στρατιᾶς A 4 ποιήσαιτο] αι in ras. S | ἡμῶν S γρ. VA: αὐτῶν VY 7 κλεί-σαιτε SY corr.: κλείσετε (α supra) F κλείσατε Q κλείσητε A | τόπον S γρ VA: πορθμὸν V[1]Y 8 ἡμῶν SA: ὑμῖν τούτων VY 10 καὶ ἀγωνίᾳ πολλῇ: καὶ πολλῆι ἀγωνία S om. VAY 11 εἰ om. VAY | ἀπολέσθαι ἀκούσαντες VA[3] mg. Y | ψηφίσαισθε F corr. Y: ψηφί-σησθε SQA 12 βοηθεῖν VY: τοῖς φωκεῦσιν βοηθεῖν S βοηθεῖν αὐτοῖς A | καὶ ἐκφύγοι VAY | πάλιν μισθοῦται VAY 14 ἑαυτὸν A 15 ὑμᾶς ὦ A 16 μεμνῆσθαι ὑμᾶς VY 17 ἀγῶνα] αιωνα S[1] | μὴ om. Y[1] 19 ἁπάσαις VAY | φλασφημίαις Q | τούτου S[d] mg. VAY: ταυτου S[1] 20 κἀμὲ A | κατηγορουμένων S corr. εἰρη-μένων γρ. S[d] γρ. V

35 μίκρ' ἀποκρίνασθαι. τίνες οὖν ἦσαν οἱ παρὰ τούτου λόγοι
τότε ῥηθέντες, καὶ δι' οὓς ἅπαντ' ἀπώλετο; ὡς οὐ δεῖ
θορυβεῖσθαι τῷ παρεληλυθέναι Φίλιππον εἴσω Πυλῶν·
ἔσται γὰρ ἅπανθ' ὅσα βούλεσθ' ὑμεῖς, ἂν ἔχηθ' ἡσυχίαν,
καὶ ἀκούσεσθε δυοῖν ἢ τριῶν ἡμερῶν, οἷς μὲν ἐχθρὸς 5
ἥκει, φίλον αὐτὸν γεγενημένον, οἷς δὲ φίλος, τοὐναντίον
ἐχθρόν. οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βεβαιοῦν,
μάλα σεμνῶς ὀνομάζων, ἀλλὰ τὸ ταὐτὰ συμφέρειν· συμ-
φέρειν δὲ Φιλίππῳ καὶ Φωκεῦσιν καὶ ὑμῖν ὁμοίως ἅπασιν
τῆς ἀναλγησίας καὶ τῆς βαρύτητος ἀπαλλαγῆναι τῆς τῶν 10
36 Θηβαίων. ταῦτα δ' ἀσμένως τινὲς ἤκουον αὐτοῦ διὰ τὴν
τόθ' ὑποῦσαν ἀπέχθειαν πρὸς τοὺς Θηβαίους. τί οὖν
συνέβη μετὰ ταῦτ' εὐθύς, οὐκ εἰς μακράν; τοὺς μὲν
Φωκέας ἀπολέσθαι καὶ κατασκαφῆναι τὰς πόλεις αὐτῶν,
ὑμᾶς δ' ἡσυχίαν ἀγαγόντας καὶ τούτῳ πεισθέντας μικρὸν 15
ὕστερον σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν, τοῦτον δὲ χρυσίον
λαβεῖν, καὶ ἔτι πρὸς τούτοις τὴν μὲν ἀπέχθειαν τὴν πρὸς
Θηβαίους καὶ Θετταλοὺς τῇ πόλει γενέσθαι, τὴν δὲ χάριν
37 τὴν ὑπὲρ τῶν πεπραγμένων Φιλίππῳ. ὅτι δ' οὕτω ταῦτ'
ἔχει, λέγε μοι τό τε τοῦ Καλλισθένους ψήφισμα καὶ τὴν 20

1 ἀποκρίνεσθαι QY ἀπολογήσασθαι γρ. S^{d} γρ. V 2 καὶ secl. Lipsius | S rec. mg. ad ἀπώλετο: λείπει ἐκ τοῦ κειμένου ζήτει κάτω et in marg. inf. repetit ἀξιῶ δ' usque ad ἀπώλετο (μεμνῆσθαι ὑμᾶς et ἀπάσαις) aberraverant oculi a voce ἀπώλετο p. 283 v. 15 4 βούλησθ' ut vid. Y^{1} | ἐὰν VAY | ἔχηθ'] ἄγητε A 5 ἀκούεσθε A^{1} corr. I 7 ἐχθρόν om. Priscian. XVIII 221 8 ταῦτα Y | συμφέρειν δὲ S: συμφέρει δὲ VAY 9 ὁμοιω Q^{1} | ἅπασιν S^{1}A: ἅπασι S corr. VY 12 ὑποῦσαν] ὑπάρχουσαν A | ἀπέχθειαν] πε in fin. et in. vers. iterat A 13 ταῦτ'] τοῦτ' Y 14 ταλαιπώρους φωκέας VAY cf. § 42 15 ἀγαγόντας S: ἄγοντας VAY 16 χρυσίον] χωρίον Usener 18 τοὺς θηβαίους VY | γεγενῆσθαι A

ἐπιστολὴν τὴν τοῦ Φιλίππου, ἐξ ὧν ἀμφοτέρων ταῦθ'
ἅπαντ' [ὑμῖν] ἔσται φανερά. λέγε. |

288 ΨΗΦΙΣΜΑ

['Ἐπὶ Μνησιφίλου ἄρχοντος, σύγκλητος ἐκκλησία ὑπὸ στρα-
5 τηγῶν καὶ πρυτάνεων, [καὶ] βουλῆς γνώμη, μαιμακτηριῶνος
δεκάτῃ ἀπιόντος, Καλλισθένης Ἐτεονίκου Φαληρεὺς εἶπεν μη-
δένα Ἀθηναίων μηδεμιᾷ παρευρέσει ἐν τῇ χώρᾳ κοιταῖον γί-
γνεσθαι, ἀλλ' ἐν ἄστει καὶ Πειραιεῖ, ὅσοι μὴ ἐν τοῖς φρουρίοις
εἰσὶν ἀποτεταγμένοι· τούτων δ' ἑκάστους ἣν παρέλαβον τάξιν
10 διατηρεῖν μήτε ἀφημερεύοντας μήτε ἀποκοιτοῦντας. ὃς δ' ἂν 38
ἀπειθήσῃ τῷδε τῷ ψηφίσματι, ἔνοχος ἔστω τοῖς τῆς προδοσίας
ἐπιτιμίοις, ἐὰν μή τι ἀδύνατον ἐπιδεικνύῃ περὶ ἑαυτόν· περὶ
δὲ τοῦ ἀδυνάτου ἐπικρινέτω ὁ ἐπὶ τῶν ὅπλων στρατηγὸς καὶ
ὁ ἐπὶ τῆς διοικήσεως καὶ ὁ γραμματεὺς τῆς βουλῆς. κατακομί-
15 ζειν δὲ καὶ τὰ ἐκ τῶν ἀγρῶν πάντα τὴν ταχίστην, τὰ μὲν ἐν-
τὸς σταδίων ἑκατὸν εἴκοσι εἰς ἄστυ καὶ Πειραιᾶ, τὰ δὲ ἐκτὸς
σταδίων ἑκατὸν εἴκοσι εἰς Ἐλευσῖνα καὶ Φυλὴν καὶ Ἄφιδναν
καὶ Ῥαμνοῦντα καὶ Σούνιον.]

Ἆρ' ἐπὶ ταύταις ταῖς ἐλπίσι τὴν εἰρήνην ἐποιεῖσθε, ἢ
20 ταῦτ' ἐπηγγέλλεθ' ὑμῖν οὗτος ὁ μισθωτός;

Λέγε δὴ τὴν ἐπιστολὴν ἣν ἔπεμψε Φίλιππος μετὰ ταῦτα. 39

1 τὴν om. S 1 sq. ταῦθ' ἅπαντ' ὑμῖν ἔσται S ὑμῖν ἅπαντα ταῦτ' ἔσται VY ἅπαντα ταῦτα ἔσται ὑμῖν A secl. ὑμῖν cum Blassio qui etiam ταῦτα del. 4 σύγκλητος ἐκκλησία L. Spengel coll. § 73: συγκλήτου ἐκκλησίας SVY συγκλήτου ἐκκλησίας γενομένης A 5 καὶ secl. Dissen | γνώμη Taylor: γνώμηι codd. | μηνὸς μεμακτηριῶνος A 7 κοιτέων A 8 καὶ ἐν πειρ. A | ὅσοι] οι in ras. A (ὅσω? A[1]) 10 δ' ἂν AY: ἂν δὲ ἀν S (in archetypo fuit ἂν et in mg. δὲ ἂν) ἂν δὲ V 11 τῷδε τῶι ψηφ. SA: τῶι ψηφ. τούτωι V τῷ ψηφ. Y | ἔσται A | τοῖς] ις in ras. A 12 δεικνύηι A[1] add. ἐπι I mg. | ἑαυτὸν] αυτὸν ὄν A 16 sq. εἰς ἄστυ ... εἴκοσι om. A[1] add. I mg. 17 εἰς om. SVY | αφνιδα SQ ἀφνίδα FY 18 σούννιον F καὶ Σούνιον om. A qui add. εἶπε καλλισθένης φαληρεύς (η ex ι corr.) 19 ἐποιήσασθε A | ἢ in ras. F 20 ἐπηγγέλλεθ'] λλε in ras. F ἐπηγγελεθ' Q 21 δὴ] δ' αὐτὴν A | δεῦρ' ἔπεμψε VAY

ΕΠΙΣΤΟΛΗ

[*Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἴστε ἡμᾶς παρεληλυθότας εἴσω Πυλῶν καὶ τὰ κατὰ τὴν Φωκίδα ὑφ' ἑαυτοὺς πεποιημένους, καὶ ὅσα μὲν ἑκουσίως προσετίθετο τῶν πολισμάτων, φρουρὰς εἰσαγηοχότας,* | 5
τὰ δὲ μὴ ὑπακούοντα κατὰ κράτος λαβόντες καὶ ἐξανδραποδισάμενοι κατεσκάψαμεν. ἀκούων δὲ καὶ ὑμᾶς παρασκευάζεσθαι βοηθεῖν αὐτοῖς γέγραφα ὑμῖν, ἵνα μὴ πλεῖον ἐνοχλῆσθε περὶ τούτων· τοῖς μὲν γὰρ ὅλοις οὐδὲ μέτριόν μοι δοκεῖτε ποιεῖν, τὴν εἰρήνην συνθέμενοι καὶ ὁμοίως ἀντιπαρεξάγοντες, καὶ ταῦτα 10 *οὐδὲ συμπεριειλημμένων τῶν Φωκέων ἐν ταῖς κοιναῖς ἡμῶν συνθήκαις. ὥστε ἐὰν μὴ ἐμμένητε τοῖς ὡμολογημένοις, οὐδὲν προτερήσετε ἔξω τοῦ ἐφθακέναι ἀδικοῦντες.*] 239

40 *Ἀκούεθ' ὡς σαφῶς δηλοῖ καὶ διορίζεται ἐν τῇ πρὸς ὑμᾶς ἐπιστολῇ πρὸς τοὺς ἑαυτοῦ συμμάχους, ὅτι „ἐγὼ* 15 *ταῦτα πεποίηκ' ἀκόντων Ἀθηναίων καὶ λυπουμένων, ὥστ' εἴπερ εὖ φρονεῖτ' ὦ Θηβαῖοι καὶ Θετταλοί, τούτους μὲν ἐχθροὺς ὑπολήψεσθ', ἐμοὶ δὲ πιστεύσετε“, οὐ τούτοις τοῖς ῥήμασι γράψας, ταῦτα δὲ βουλόμενος δεικνύναι. τοιγαροῦν ἐκ τούτων ᾤχετ' ἐκείνους λαβὼν εἰς τὸ μηδ'* 20 *ὁτιοῦν προορᾶν τῶν μετὰ ταῦτα μηδ' αἰσθάνεσθαι, ἀλλ' ἐᾶσαι πάντα τὰ πράγματ' ἐκεῖνον ὑφ' ἑαυτῷ ποιήσασθαι·*

1 *φιλίππου* add. A 4 *ἑαυτοὺς*] *ἡμᾶς αὐτοὺς* A 5 *εἰσαγιοχότας* S *εἰσαγειοχότας* QA[1] 6 *εισαυτά, τὰ δὲ* A | *ὑπακούσαντα* A | *λαβόντας* SV | *ἐξανδραποδισμένοι* A 7 *καὶ* om. A 8 *επι πλέον ἐνοχλεῖσθε* A 9 *τοῖς ... ὅλοις*] *τούτοις ... ὅλως* A | *οὐδὲ* SV: *οὐδὲν* AY | *μέτριον* in ras. Y[2] | *δοκεῖτε μοι* A 10 *εἰρήνην ἣν* SF[1] (punctis del.) QY | *συντιθέμενοι* A | *ὅμως* Markland 13 *ἐφθακέναι* SVAY[2] mg.: *ὠφληκέναι* Y[1] | *ἀδικοῦντες*] *δικ* in ras. Y[2] 14 sq. *ἐν τῇ ... ἐπιστολῇ* del. Benseler 15 sq. *ἐγὼ πεποίηκα ταῦτα* S *ταῦτα ἐγὼ πεποίηκα* VAY 18 *ὑποληψεσθε* S[1] | *πιστεύσεται* A[1] 21 *τῶν μετὰ ταῦτα προορᾶν* A

ἐξ ὧν ταῖς παρούσαις συμφοραῖς οἱ ταλαίπωροι κέχρηνται. ὁ δὲ ταύτης τῆς πίστεως αὐτῷ συνεργὸς καὶ συναγωνιστὴς καὶ ὁ δεῦρ' ἀπαγγείλας τὰ ψευδῆ καὶ φενακίσας ὑμᾶς, οὗτός ἐστιν ὁ τὰ Θηβαίων ὀδυρόμενος νῦν πάθη 41
5 *καὶ διεξιὼν ὡς οἰκτρά, καὶ τούτων καὶ τῶν ἐν Φωκεῦσι κακῶν καὶ ὅσ' ἄλλα πεπόνθασιν οἱ Ἕλληνες ἁπάντων αὐτὸς ὢν αἴτιος. δῆλον γὰρ ὅτι σὺ μὲν ἀλγεῖς ἐπὶ τοῖς συμβεβηκόσιν Αἰσχίνη, καὶ τοὺς Θηβαίους ἐλεεῖς, κτήματ' ἔχων ἐν τῇ Βοιωτίᾳ καὶ γεωργῶν τὰ 'κείνων, ἐγὼ δὲ χαίρω,*
240 *ὃς εὐθὺς ἐξῃτούμην ὑπὸ τοῦ ταῦτα | πράξαντος.*

11 *Ἀλλὰ γὰρ ἐμπέπτωκα εἰς λόγους, οὓς αὐτίκα μᾶλλον ἴσως ἁρμόσει λέγειν. ἐπάνειμι δὴ πάλιν ἐπὶ τὰς ἀποδείξεις, ὡς τὰ τούτων ἀδικήματα τῶν νυνὶ παρόντων πραγμάτων γέγονεν αἴτια.* 42

15 *Ἐπειδὴ γὰρ ἐξηπάτησθε μὲν ὑμεῖς ὑπὸ τοῦ Φιλίππου διὰ τούτων τῶν ἐν ταῖς πρεσβείαις μισθωσάντων ἑαυτοὺς καὶ οὐδὲν ἀληθὲς ὑμῖν ἀπαγγειλάντων, ἐξηπάτηντο δ' οἱ ταλαίπωροι Φωκεῖς καὶ ἀνῄρηνθ' αἱ πόλεις αὐτῶν, τί ἐγένετο; οἱ μὲν κατάπτυστοι Θετταλοὶ καὶ ἀναίσθητοι* 43
20 *Θηβαῖοι φίλον, εὐεργέτην, σωτῆρα τὸν Φίλιππον ἡγοῦντο·*

1 *οἱ ταλαίπωροι κέχρηνται* S: *οἱ ταλαίπωροι θηβαῖοι κέχρηνται* VY *οἱ ταλαίπωροι κέχρηνται θηβαῖοι* A [*κέχρηνται οἱ ταλαίπωρ*]*ο*[*ι*] *θηβαιοι* pap. Oxyrh. 2 *πίστεως*] aliud quid habuisse videtur pap. 3 *ψεύδη?* 4 *ουτοσι* S[1] *οὗτός εστι* S corr. | *νῦν ὀδυρόμενος* A Hermog. III 346 W. (361, 3 R.) 8 *κτῆμ'* S 10 *ὃς*] *ο* in ras. A 11 *μᾶλλον*] *μάλα* A ut est XLIV 56 12 *ἴσως* om. pap. | *αὐτίκα μάλα ὕστερον ἁρμόσει* Hermog. III 344 W. (359, 12 R.) *de qua posterius huic dicendum* Rutil. de fig. II 1 | *δὴ*] *δε* pap. corr. | *νῦν* (vel *οὖν*?) ante *πάλιν* addidisse vid. pap. 13 *ἀδικήματα* S pap.: *ἀδικήματα καὶ δωροδοκήματα γρ.* S[d] A Hermog. III 416 W. (427, 21 R.) ex § 20 *δωροδοκήματα καὶ ἀδικήματα* VY | *νῦν* pap. Hermog. 16 *ἑαυτοὺς* A: *ἑαυτοὺς* (*αὐτοὺς* Y) *τῶι φιλίπποι* SVY *εαυτους* [*εκει*]*νω* pap. 17 *υμιν αληθες* pap. 20 *τὸν* om. pap.

πάντ' ἐκεῖνος ἦν αὐτοῖς· οὐδὲ φωνὴν ἤκουον, εἴ τις ἄλλο
τι βούλοιτο λέγειν. ὑμεῖς δ' ὑφορώμενοι τὰ πεπραγμένα
καὶ δυσχεραίνοντες ἤγετε τὴν εἰρήνην ὅμως (οὐ γὰρ ἦν
ὅ τι ἂν ἐποιεῖτε)· καὶ οἱ ἄλλοι δ' Ἕλληνες, ὁμοίως ὑμῖν
πεφενακισμένοι καὶ διημαρτηκότες ὧν ἤλπισαν, ἦγον 5
τὴν εἰρήνην [ἄσμενοι, καὶ] αὐτοὶ τρόπον τιν' ἐκ πολλοῦ
44 *πολεμούμενοι. ὅτε γὰρ περιὼν Φίλιππος Ἰλλυριοὺς καὶ*
Τριβαλλούς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο,
καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖθ' ὑφ' ἑαυτῷ,
καί τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ τῇ τῆς εἰρήνης ἐξουσίᾳ 10
βαδίζοντες ἐκεῖσε διεφθείροντο, ὧν εἷς οὗτος ἦν, τότε
πάντες ἐφ' οὓς ταῦτα παρεσκευάζετ' ἐκεῖνος ἐπολεμοῦντο.
εἰ δὲ μὴ ᾐσθάνοντο, ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ.
45 *ἐγὼ μὲν γὰρ προὔλεγον καὶ διεμαρτυρόμην καὶ παρ' ὑμῖν*
αἰεὶ καὶ ὅποι πεμφθείην· αἱ δὲ πόλεις ἐνόσουν, τῶν μὲν 15
ἐν τῷ πολιτεύεσθαι καὶ πράττειν δωροδοκούντων καὶ
διαφθειρομένων ἐπὶ χρήμασιν, τῶν δ' | ἰδιωτῶν καὶ πολλῶν 241
τὰ μὲν οὐ προορωμένων, τὰ δὲ τῇ καθ' ἡμέραν ῥᾳστώνῃ
καὶ σχολῇ δελεαζομένων, καὶ τοιουτονί τι πάθος πεπον-
Thuc. VI 77, 2 *θότων ἁπάντων, πλὴν οὐκ ἐφ' ἑαυτοὺς ἑκάστων οἰομένων* 20

1 *καὶ οὐδὲ* VY | *εἴ*] *ἢ* A 4 *ἐποιεῖτε* SA pap.: *ἐποιεῖτε μόνοι* VY 6 *ἄσμενοι καὶ* om. S pap. 7 *φίλιππος* SA pap.: *ὁ φίλιππος* VY Hermog. III 160 W. (185, 9 R.) praeter cod. Vc, 164 (189, 22) praet. Pc 8 *και τινας των ελληνων* pap. 9 *ἑαυτὸν* Hermog. (altero loco praeter Ac Vc) 10 *τῶν ἐκ*] *τῶν* om. pap. 11 *τότε δὴ τότε* Hermog. (cf. § 47) 12 *παρεσκευαζεθ'* S *παρεσκεύαζεν* Hermog. 160 (185, 14); 164 (190, 3) cod. Vc Ba 13 *ὁ λόγος* S[1], articulus lineola del. *οὗτος λόγος* Hermog. 160 (185, 15) (praeter cod. Vc Ba) et 165 (190, 4) cod. Ac; cf. XIII 7 14 *διεμαρτυράμην* A Hermog. 165 (190, 7) V, schol. P 15 *ἀεὶ* VA Hermog. | *μὲν γὰρ* Q 17 *ἐπὶ χρήμασιν* del. Cobet | *καὶ* postea additum in S fort. m. I *ἰδιωτῶν καὶ* suspectat Dobree | *καὶ πολλῶν* om. Harl. Taylor 19 *τοιουτονὶ* A: *τοιουτονει* S *τοιοῦτόν* VY 20 *οἰομένων ἑκάστων* VY

τὸ δεινὸν ἥξειν καὶ διὰ τῶν ἑτέρων κινδύνων τὰ ἑαυτῶν
ἀσφαλῶς σχήσειν ὅταν βούλωνται. εἶτ' οἶμαι συμβέβηκε 46
τοῖς μὲν πλήθεσιν ἀντὶ τῆς πολλῆς καὶ ἀκαίρου ῥᾳθυ-
μίας τὴν ἐλευθερίαν ἀπολωλεκέναι, τοῖς δὲ προεστηκόσι
5 καὶ τἄλλα πλὴν ἑαυτοὺς οἰομένοις πωλεῖν πρώτους ἑαυ-
τοὺς πεπρακόσιν αἰσθέσθαι· ἀντὶ γὰρ φίλων καὶ ξένων,
ἃ τότ' ὠνομάζονθ' ἡνίκ' ἐδωροδόκουν, νῦν κόλακες καὶ
θεοῖς ἐχθροὶ καὶ τἄλλ' ἃ προσήκει πάντ' ἀκούουσιν.
οὐδεὶς γὰρ ἄνδρες Ἀθηναῖοι τὸ τοῦ προδιδόντος συμ- 47
10 φέρον ζητῶν χρήματ' ἀναλίσκει, οὐδ' ἐπειδὰν ὧν ἂν
πρίηται κύριος γένηται, τῷ προδότῃ συμβούλῳ περὶ τῶν
λοιπῶν ἔτι χρῆται· οὐδὲν γὰρ ἂν ἦν εὐδαιμονέστερον
προδότου. ἀλλ' οὐκ ἔστιν ταῦτα· πόθεν; πολλοῦ γε καὶ
δεῖ. ἀλλ' ἐπειδὰν τῶν πραγμάτων ἐγκρατὴς ὁ ζητῶν ἄρχειν
15 καταστῇ, καὶ τῶν ταῦτ' ἀποδομένων δεσπότης ἐστίν, τὴν
δὲ πονηρίαν εἰδὼς τότε δή, τότε καὶ μισεῖ καὶ ἀπιστεῖ
καὶ προπηλακίζει. σκοπεῖτε δέ (καὶ γὰρ εἰ παρελήλυθεν 48
ὁ τῶν πραγμάτων καιρός, ὁ τοῦ γ' εἰδέναι τὰ τοιαῦτα
καιρὸς ἀεὶ πάρεστι τοῖς εὖ φρονοῦσιν)· μέχρι τούτου Λα-
20 σθένης φίλος ὠνομάζετο, ἕως προὔδωκεν Ὄλυνθον· μέχρι

1 καὶ SAY corr.: ἀλλὰ VY^1 2 σφαλως S^1 | σχήσειν ὑπολαμβανόντων VAY 5 ἑαυτοὺς] ε eras. S ἄλλους γρ. F εαυτ in lit. Y^2 πλὴν ἐκείνους ὅμως ἄλλους· οἰομένους Hermog. 165 (190, 10) 6 πεπρακότας Hermog. | αισθεσθαι S^1: ᾐσθῆσθαι VAY pap. Hermog. (voluit S corr., qui η s. αι) 7 ἃ om. S^1 | ἡνίκ' ἐδωρ. om. Hermog. del. Usener 8 θεοισιν $pap.^1$ | πάντα ἃ προσῆκεν Hermog. | ἀκούουσιν εἰκότως A cf. § 23 9 ὦ ἄνδρες VAY pap. | προδόντος Q 10 ἐπιδὰν A^1 corr. ead. | ἂν om. A 11 πριηται αει ut vid. pap. 12 ἂν om. S 13 οὐκ] ου postea add. S^1 ut vid. | οὐκ ἔστι post ταῦτα add. VAY 15 ἀποδεδομένων ut vid. Q^1 Reiske ἀποδιδομένων Y 16 τότε μισεῖ A 17 δὲ] δὴ A 20 φίλος om. Q^1 add. I mg. | ὠνομάζετο S: ὠνομάζετο φιλίππωι γρ. S^d ὠν. φιλίππου VAY Hermog. III 253 W. (272, 16. 273, 10 R.). 256 (275, 25). 284 (302, 10)

τούτου Τιμόλας, ἕως ἀπώλεσεν Θήβας· μέχρι τούτου
Εὔδικος καὶ Σῖμος ὁ Λαρισαῖος, ἕως Θετταλίαν ὑπὸ
Φιλίππῳ ἐποίησαν. εἶτ' ἐλαυνομένων καὶ ὑβριζομένων
καὶ τί κακὸν οὐχὶ πασχόν|των πᾶσ' ἡ οἰκουμένη μεστὴ 242
γέγονεν. τί δ' Ἀρίστρατος ἐν Σικυῶνι καὶ τί Περίλας 5
49 *ἐν Μεγάροις; οὐκ ἀπερριμμένοι; ἐξ ὧν καὶ σαφέστατ'*
ἄν τις ἴδοι, ὅτι ὁ μάλιστα φυλάττων τὴν ἑαυτοῦ πατρίδα
καὶ πλεῖστ' ἀντιλέγων τούτοις, οὗτος ὑμῖν Αἰσχίνη τοῖς
προδιδοῦσι καὶ μισθαρνοῦσι τὸ ἔχειν ἐφ' ὅτῳ δωροδο-
κήσετε περιποιεῖ, καὶ διὰ τοὺς πολλοὺς τουτωνὶ καὶ τοὺς 10
ἀνθισταμένους τοῖς ὑμετέροις βουλήμασιν ὑμεῖς ἐστε
σῷοι [καὶ ἔμμισθοι], ἐπεὶ διά γ' ὑμᾶς αὐτοὺς πάλαι ἂν
ἀπωλώλειτε.

50 *Καὶ περὶ μὲν τῶν τότε πραχθέντων ἔχων ἔτι πολλὰ*
λέγειν, καὶ ταῦθ' ἡγοῦμαι πλείω τῶν ἱκανῶν εἰρῆσθαι. 15
αἴτιος δ' οὗτος, ὥσπερ ἑωλοκρασίαν τινά μου τῆς πονη-
ρίας τῆς ἑαυτοῦ καὶ τῶν ἀδικημάτων κατασκεδάσας, ἣν
ἀναγκαῖον ἦν πρὸς τοὺς νεωτέρους τῶν πεπραγμένων
ἀπολύσασθαι. παρηνώχλησθε δ' ἴσως οἱ καὶ πρὶν ἔμ'

1 *Τιμόλας* Voemel: *τιμόλαος* SVAY Hermog. 284 (302, 12) cf. XVIII 295 | *τούτου*] *του* S[1], unde *μέχρι τοῦ* ...; Markland, hic et bis supra 2 *οἱ λαρισαῖοι* VAY | fort. *Θετταλίαν* ante *ἐποίησαν* pon. 4 *κακὸν*] *κακῶν* Blass coll. XIX 201, XXV 50 5 *γέγονε προδοτῶν γρ.* S[d]VAY | *Περίλας* Lipsius: *περίλαος* SVAY *Περίλλος* Harpocr. (rectius *Πέριλλος*) 6 *απεριμμενοι* S cf. Croenert, Mem. p. 79 sq. *ἀπερριμένοι* F[1] 7 *ὁ* om. S[1] 8 *τούτοις* del. Usener | *ἡμῖν* A 9 *ωτωι* S[1] ut vid. 10 *τουτωνὶ* S: *τούτων* VAY | post *καὶ* in S 2 litt. eras. | *τοῖς ἀνθισταμένοις* S[1]F[1] 12 *καὶ ἔμμισθοι* del. Usener; vocabulum nusquam alibi apud Demosthenem est | *ὑμᾶς καὶ πάλαι* Hermog. III 165 W. (190, 18 R.) 16 *τῆς ἑαυτοῦ πονηρίας* Hermog. III 407 W. (419, 9 R.) 17 *καὶ τῶν ἀδικημάτων* om. Hermog. Harp. s. *ἑωλοκρ.*, del. Usener 19 *παρηνωχλησθαι* S *παρηνόχλησθε* testatur Apollon. Dysc. IV 303, 22 | *δεϊσως* S: *δὲ ὑμεῖς ἴσως* A *δὲ καὶ* (add. Y[1] in spatio 1 litt.) *ὑμεῖς ἴσως* VY

εἰπεῖν ὁτιοῦν εἰδότες τὴν τούτου τότε μισθαρνίαν. καίτοι 51
φιλίαν γε καὶ ξενίαν αὐτὴν ὀνομάζει, καὶ νῦν εἶπέ που
λέγων „ὁ τὴν Ἀλεξάνδρου ξενίαν ὀνειδίζων ἐμοί". ἐγώ
σοι ξενίαν Ἀλεξάνδρου; πόθεν λαβόντι ἢ πῶς ἀξιωθέντι;
5 *οὔτε Φιλίππου ξένον οὔτ' Ἀλεξάνδρου φίλον εἴποιμ'*
ἂν ἐγώ σε (οὐχ οὕτω μαίνομαι), εἰ μὴ καὶ τοὺς θεριστὰς
καὶ τοὺς ἄλλο τι μισθοῦ πράττοντας φίλους καὶ ξένους
δεῖ καλεῖν τῶν μισθωσαμένων. [ἀλλ' οὐκ ἔστι ταῦτα· 52
πόθεν; πολλοῦ γε καὶ δεῖ.] ἀλλὰ μισθωτὸν ἐγώ σε Φιλίπ-
10 *που πρότερον καὶ νῦν Ἀλεξάνδρου καλῶ καὶ οὗτοι πάν-*
τες. εἰ δ' ἀπιστεῖς, ἐρώτησον αὐτούς, μᾶλλον δ' ἐγὼ
τοῦθ' ὑπὲρ σοῦ ποιήσω. πότερον ὑμῖν ὦ ἄνδρες Ἀθη-
243 *ναῖοι | δοκεῖ μισθωτὸς Αἰσχίνης ἢ ξένος εἶναι Ἀλεξάν-*
δρου; ἀκούεις ἃ λέγουσιν.

15 *Βούλομαι τοίνυν ἤδη καὶ περὶ τῆς γραφῆς αὐτῆς ἀπο-* 53
λογήσασθαι καὶ διεξελθεῖν τὰ πεπραγμένʼ ἐμαυτῷ, ἵνα
καίπερ εἰδὼς Αἰσχίνης ὅμως ἀκούσῃ, δι' ἅ φημι καὶ
τούτων τῶν προβεβουλευμένων καὶ πολλῷ μειζόνων ἔτι
τούτων δωρειῶν δίκαιος εἶναι τυγχάνειν. καί μοι λέγε
20 *τὴν γραφὴν αὐτὴν λαβών.*

ΓΡΑΦΗ

[Ἐπὶ Χαιρώνδου ἄρχοντος, ἐλαφηβολιῶνος ἕκτῃ ἱσταμένου, 54
Αἰσχίνης Ἀτρομήτου Κοθωκίδης ἀπήνεγκεν πρὸς τὸν ἄρχοντα
παρανόμων κατὰ Κτησιφῶντος τοῦ Λεωσθένους Ἀναφλυστίου,

1 *ὁτιοῦν εἰπεῖν* V 2 *γε*] *τε* F corr. Y 5 *φίλον* del. Dissen 8 sq. *ἀλλ' οὐκ ... δεῖ* del. C. Schenkl coll. § 47 | post *ταῦτα* add. *οὐκ ἔστι* A 9 sq. *πρότερον φιλίππου* A 12 *πρότερον* S[1] | *ὦ* om. VY 13 *μίσθωτος* S corr. F corr. A[1]Y corr. 15 *ἤδη* om. A 18 *πολλῶν* V 19 *κἀμοὶ* S[1] 20 *αὐτὴν*] *ταύτην* A 22 *χαιρωνίδου* A | *ἄρχοντος* om. A 23 *κοθωκήδης* F[1] ut vid. 24 *παρανόμων γραφὴν* A | *λεωσθένους* etiam A

ὅτι ἔγραψεν παράνομον ψήφισμα, ὡς ἄρα δεῖ στεφανῶσαι Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι ἐν τῷ θεάτρῳ Διονυσίοις τοῖς μεγάλοις, τραγῳδοῖς καινοῖς, ὅτι στρεφανοῖ ὁ δῆμος Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ ἀρετῆς ἕνεκα καὶ εὐνοίας ἧς ἔχων διατελεῖ εἴς τε τοὺς Ἕλληνας ἅπαντας καὶ τὸν δῆμον τὸν Ἀθηναίων καὶ ἀνδραγαθίας, καὶ διότι διατελεῖ πράττων καὶ λέγων τὰ βέλτιστα τῷ δήμῳ καὶ πρόθυμός ἐστι ποιεῖν ὅ τι ἂν δύνηται ἀγαθόν, πάντα ταῦτα ψευδῆ γράψας καὶ παράνομα, τῶν νόμων οὐκ ἐώντων πρῶτον μὲν ψευδεῖς γραφὰς εἰς τὰ δημόσια γράμματα καταβάλλεσθαι, εἶτα τὸν ὑπεύθυνον στεφανοῦν (ἔστιν Δημοσθένης τειχοποιὸς καὶ ἐπὶ τῷ θεωρικῷ τεταγμένος), ἔτι δὲ μὴ ἀναγορεύειν τὸν στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις τραγῳδῶν τῇ καινῇ, ἀλλ' ἐὰν μὲν ἡ βουλὴ στεφανοῖ, ἐν τῷ βουλευτηρίῳ ἀνειπεῖν, ἐὰν δὲ ἡ πόλις, ἐν πυκνὶ ἐν τῇ ἐκκλησίᾳ. τίμημα τάλαντα πεντήκοντα. κλήτορες Κηφισοφῶν Κηφισοφῶντος Ῥαμνούσιος, Κλέων Κλέωνος Κοθωκίδης.]

56 Ἃ μὲν διώκει τοῦ ψηφίσματος ὦ ἄνδρες Ἀθηναῖοι ταῦτ' ἐστίν. ἐγὼ δ' ἀπ' αὐτῶν τούτων πρῶτον οἶμαι δῆλον ὑμῖν ποιήσειν, ὅτι πάντα δικαίως ἀπολογήσομαι· τὴν γὰρ αὐτὴν τούτῳ ποιησάμενος τῶν γεγραμμένων τάξιν περὶ πάντων ἐρῶ καθ' ἕκαστον ἐφεξῆς καὶ οὐδὲν 57 ἑκὼν παραλείψω. τοῦ μὲν οὖν γράψαι πράττοντα καὶ λέγοντα τὰ βέλτιστά με τῷ δήμῳ διατελεῖν καὶ πρόθυ-

2 sqq. χρυσῷ ... στεφάνῳ om. A[1] add. A[3] mg. 6 δῆμον τὸν A[1]: δῆμον τῶν SVA[2]Y 7 καὶ ἀνδραγαθίας] ἀνδραγαθίας χάριν A | διότι] ὅτι A 8 τῷ om. A[1] add. A[3] 11 γράμματα om. Y 12 ἔστι δὲ A | τῶι θεωρικῶι A: τῶν θεωριῶν SVY 14 τῇ καινῇ] καινῶν A 15 ἂν εἰπεῖν A | ἐὰν] ἂν Y | πυνκι F corr. 16 ἐν om. A | τάλαντα ν̄ om. A[1] add. A[3] mg. | κλητῆρες A 17 κιφισοφωντος S[1] | ὁ ῥαμνούσιος F[1] | κωθωκίδης A[1] 18 post μὲν est οιομαι erasum in S 19 τούτων om. Q[1] add. mg. | οἴομαι A 23 τοῦ] τὸ A | γράψαι om. A 24 με τὰ βέλτιστα A

μου εἶναι ποιεῖν ὅ τι ἂν δύνωμαι ἀγαθόν, καὶ ἐπαινεῖν ἐπὶ τούτοις, ἐν τοῖς πεπολιτευμένοις τὴν κρίσιν εἶναι νομίζω· ἀπὸ γὰρ τούτων ἐξεταζομένων εὑρεθήσεται, εἴτ' ἀληθῆ περὶ ἐμοῦ γέγραφεν Κτησιφῶν ταῦτα καὶ προσή-
5 κοντ' εἴτε καὶ ψευδῆ· τὸ δὲ μὴ προσγράψαντ' „ἐπειδὰν τὰς 58 εὐθύνας δῷ“ στεφανοῦν, καὶ ἀνειπεῖν ἐν τῷ θεάτρῳ τὸν στέφανον κελεῦσαι, κοινωνεῖν μὲν ἡγοῦμαι καὶ τοῦτο τοῖς πεπολιτευμένοις, εἴτ' ἄξιός εἰμι τοῦ στεφάνου καὶ τῆς ἀναρρήσεως τῆς ἐν τούτοις εἴτε καὶ μή, ἔτι μέντοι καὶ τοὺς
10 νόμους δεικτέον εἶναί μοι δοκεῖ, καθ' οὓς ταῦτα γράφειν ἐξῆν τούτῳ. οὑτωσὶ μὲν ὦ ἄνδρες Ἀθηναῖοι δικαίως καὶ ἁπλῶς τὴν ἀπολογίαν ἔγνωκα ποιεῖσθαι, βαδιοῦμαι δ' ἐπ' αὔθ' ἃ πέπρακταί μοι. καί με μηδεὶς ἀπαρτᾶν ὑπολάβῃ 59 τὸν λόγον τῆς γραφῆς, ἐὰν εἰς Ἑλληνικὰς πράξεις καὶ λό-
15 γους ἐμπέσω· ὁ γὰρ διώκων τοῦ ψηφίσματος τὸ λέγειν
245 καὶ πράττειν | τὰ ἄριστά με καὶ γεγραμμένος ταῦθ' ὡς οὐκ ἀληθῆ, οὗτός ἐστιν ὁ τοὺς περὶ ἁπάντων τῶν ἐμοὶ πεπολιτευμένων λόγους οἰκείους καὶ ἀναγκαίους τῇ γραφῇ πεποιηκώς. εἶτα καὶ πολλῶν προαιρέσεων οὐσῶν τῆς πολι-
20 τείας τὴν περὶ τὰς Ἑλληνικὰς πράξεις εἱλόμην ἐγώ, ὥστε καὶ τὰς ἀποδείξεις ἐκ τούτων δίκαιός εἰμι ποιεῖσθαι.

Ἃ μὲν οὖν πρὸ τοῦ πολιτεύεσθαι καὶ δημηγορεῖν ἐμὲ 60 προὔλαβε καὶ κατέσχε Φίλιππος, ἐάσω (οὐδὲν γὰρ ἡγοῦ-

1 οτι δυναμαι S 2 εἶναί μοι A 3 εὑρήσετε A 4 περὶ ἐμοῦ om. A[1] add. A[8] 5 ψευδῆ S V A Y 6 ἂν εἰπεῖν A cf. § 55 7 κελεῦσαι τὸν στέφανον V | τοῦτον F[1] 8 εἰμὶ ἄξιος Y 9 τῆς ἐν τούτοις om. γρ. Q Y | εἴτε μή γρ. Q A Y 12 ποιεισθε S 13 ἀπαρτᾶν ὑπολάβῃ Weil: ὑπολάβηι ἀπαρτᾶν S V A Y ἀπαρτᾶν νομίσῃ Blass cum Alexand. de fig. VIII 434 W. fort. καὶ μηδεὶς ὑπολάβῃ μ' ἀπαρτᾶν coll. XXII 51 καὶ μηδεὶς ὑπολαμβανέτω με λέγειν 17 πάντων A | πεπολιτευμένων καὶ πεπραγμένων V A Y 23 κατασχε S

μαι τούτων εἶναι πρὸς ἐμέ)· ἃ δ' ἀφ' ἧς ἡμέρας ἐπὶ
ταῦτ' ἐπέστην ἐγὼ διεκωλύθη, ταῦτ' ἀναμνήσω καὶ
61 τούτων ὑφέξω λόγον, τοσοῦτον ὑπειπών. πλεονέκτημ'
ἄνδρες Ἀθηναῖοι μέγ' ὑπῆρξε Φιλίππῳ. παρὰ γὰρ τοῖς
Ἕλλησιν, οὐ τισίν, ἀλλ' ἅπασιν ὁμοίως, φορὰν προδο- 5
τῶν καὶ δωροδόκων καὶ θεοῖς ἐχθρῶν ἀνθρώπων συνέβη
γενέσθαι τοσαύτην, ὅσην οὐδείς πω πρότερον μέμνηται
γεγονυῖαν· οὓς συναγωνιστὰς καὶ συνεργοὺς λαβὼν καὶ
πρότερον κακῶς τοὺς Ἕλληνας ἔχοντας πρὸς ἑαυτοὺς καὶ
στασιαστικῶς ἔτι χεῖρον διέθηκε, τοὺς μὲν ἐξαπατῶν, τοῖς 10
δὲ διδούς, τοὺς δὲ πάντα τρόπον διαφθείρων, καὶ διέ-
στησεν εἰς μέρη πολλά, ἑνὸς τοῦ συμφέροντος ἅπασιν
62 ὄντος, κωλύειν ἐκεῖνον μέγαν γίγνεσθαι. ἐν τοιαύτῃ δὲ
καταστάσει καὶ ἔτ' ἀγνοίᾳ τοῦ συνισταμένου καὶ φυο-
μένου κακοῦ τῶν ἁπάντων Ἑλλήνων ὄντων, δεῖ σκοπεῖν 15
ὑμᾶς ἄνδρες Ἀθηναῖοι, τί προσῆκον ἦν ἑλέσθαι πράτ-
τειν καὶ ποιεῖν τὴν πόλιν, καὶ τούτων λόγον παρ' ἐμοῦ
λαβεῖν· ὁ γὰρ ἐνταῦθ' ἑαυτὸν τάξας τῆς πολιτείας εἴμ'
63 ἐγώ. πότερον αὐτὴν | ἐχρῆν Αἰσχίνη τὸ φρόνημ' ἀφεῖσαν 246
καὶ τὴν ἀξίαν τὴν αὑτῆς, ἐν τῇ Θετταλῶν καὶ Δολόπων 20
τάξει συγκατακτᾶσθαι Φιλίππῳ τὴν τῶν Ἑλλήνων ἀρχὴν
καὶ τὰ τῶν προγόνων καλὰ καὶ δίκαι' ἀναιρεῖν; ἢ τοῦτο

1 τοῦτον Y[1] 2 διεκωλύθη VAY Hermog. III 272 W. (290, 24 R.): καὶ διεκωλύθη S διεκώλυον λαβεῖν Dionys. Hal. Dem. p. 998 | καὶ περὶ Dion. 4 ὦ ἄνδρες VAY Dion. ὦ Ἀθηναῖοι Hermog. III 246 W. (266, 19 R.). 250 (270, 17) 5 ἀλλὰ πᾶσιν VAY Dion. Hermog. 5 sq. φορὰ ... συνέβη om. verbis γενέσθαι τοσαύτην Dion. cf. Diodor. XVI 54 8 λαβὼν ὁ φίλιππος A 13 δὲ] δὴ Dobree 14 φυρομένου S[1] 15 πάντων A 16 ὑμᾶς ὦ A 19 post πότερον litura 5 litt. Y (αὐτὴν eras.?) | Αἰσχίνη ἐχρῆν Hermog. III 242 W. (263, 1 R.) praet. cod. Sf [non 251 (271, 17)] ὦ αἰσχ. Y[1] 20 ἑαυτῆς A Hermog. [non 267 (286, 2)] 22 κακὰ Q

μὲν μὴ ποιεῖν (δεινὸν γὰρ ὡς ἀληθῶς), ἃ δ' ἑώρα συμ-
βησόμενα, εἰ μηδεὶς κωλύσει, καὶ προῃσθάνεθ' ὡς ἔοικεν
ἐκ πολλοῦ, ταῦτα περιιδεῖν γιγνόμενα; ἀλλὰ νῦν ἔγωγε 64
τὸν μάλιστ' ἐπιτιμῶντα τοῖς πεπραγμένοις ἡδέως ἂν
5 ἐροίμην, τῆς ποίας μερίδος γενέσθαι τὴν πόλιν ἐβούλετ'
ἄν, πότερον τῆς συναιτίας τῶν συμβεβηκότων τοῖς Ἕλλησι
κακῶν καὶ αἰσχρῶν, ἧς ἂν Θετταλοὺς καὶ τοὺς μετὰ τού-
των εἴποι τις, ἢ τῆς περιεορακυίας ταῦτα γιγνόμενα ἐπὶ
τῇ τῆς ἰδίας πλεονεξίας ἐλπίδι, ἧς ἂν Ἀρκάδας καὶ Μεσ-
10 σηνίους καὶ Ἀργείους θείημεν. ἀλλὰ καὶ τούτων πολλοί, 65
μᾶλλον δὲ πάντες χεῖρον ἡμῶν ἀπηλλάχασιν. καὶ γὰρ
εἰ μὲν ὡς ἐκράτησε Φίλιππος ᾤχετ' εὐθέως ἀπιὼν καὶ
μετὰ ταῦτ' ἦγεν ἡσυχίαν, μήτε τῶν αὑτοῦ συμμάχων
μήτε τῶν ἄλλων Ἑλλήνων μηδένα μηδὲν λυπήσας, ἦν
15 ἄν τις κατὰ τῶν ἐναντιωθέντων οἷς ἔπραττεν ἐκεῖνος
μέμψις καὶ κατηγορία· εἰ δ' ὁμοίως ἁπάντων τὸ ἀξίωμα,
τὴν ἡγεμονίαν, τὴν ἐλευθερίαν περιείλετο, μᾶλλον δὲ
καὶ τὰς πολιτείας ὅσων ἠδύνατο, πῶς οὐχ ἁπάντων
ἐνδοξόταθ' ὑμεῖς ἐβουλεύσασθ' ἐμοὶ πεισθέντες;

20 Ἀλλ' ἐκεῖσ' ἐπανέρχομαι. τί τὴν πόλιν Αἰσχίνη προσ- 66
ῆκεν ποιεῖν, ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσαν
247 ἑαυτῷ κατασκευαζόμενον Φίλιππον; ἢ τί τὸν σύμ|βουλον
ἔδει λέγειν ἢ γράφειν τὸν Ἀθήνησιν (καὶ γὰρ τοῦτο πλεῖ-
στον διαφέρει), ὃς συνῄδειν μὲν ἐκ παντὸς τοῦ χρόνου

2 κωλύσῃ (ει supra) F | ὡς ἔοικεν om. Y 4 ἂν] αυ ut vid. S[1] 5 τὴν πόλιν γενέσθαι Y | βούλετ' A 6 πότερον] post ρ ras. S 9 ἂν] αρ S[1] 11 γὰρ om. A 12 εὐθὺς VAY 14 μηδένα post συμμάχων pon. Hermog. III 255 W. (275, 13 R.) | μηδὲν λυπήσας] ἀδικήσας Hermog. | ὅμως ἦν VAY Hermog. 15 οὐκ ἐναντιωθέντων Y[1] mg. 18 ὅσω Y 21 ὁρῶσαν τῶν ἑλλήνων A 22 αὐτῷ Hermog. III 242 W. (262, 22 R.) 23 γράφειν ἢ λέγειν Y | ἀθήνησιν ἐμέ VAY 24 μὲν post παντὸς VY

μέχρι τῆς ἡμέρας, ἀφ' ἧς αὐτὸς ἐπὶ τὸ βῆμ' ἀνέβην, ἀεὶ
περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης ἀγωνιζομένην τὴν πα-
τρίδα καὶ πλείω καὶ χρήματα καὶ σώματ' ἀνηλωκυῖαν ὑπὲρ
φιλοτιμίας καὶ τῶν πᾶσι συμφερόντων, ἢ τῶν ἄλλων
67 Ἑλλήνων ὑπὲρ αὑτῶν ἀνηλώκασιν ἕκαστοι, ἑώρων δ' 5
αὐτὸν τὸν Φίλιππον, πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγών, ὑπὲρ
ἀρχῆς καὶ δυναστείας τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν
κλεῖν κατεαγότα, τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένον,
πᾶν ὅ τι βουληθείη μέρος ἡ τύχη τοῦ σώματος παρε-
λέσθαι, τοῦτο προϊέμενον, ὥστε τῷ λοιπῷ μετὰ τιμῆς 10
68 καὶ δόξης ζῆν; καὶ μὴν οὐδὲ τοῦτό γ' οὐδεὶς ἂν εἰπεῖν
τολμήσαι, ὡς τῷ μὲν ἐν Πέλλῃ τραφέντι, χωρίῳ ἀδόξῳ
τότε γ' ὄντι καὶ μικρῷ, τοσαύτην μεγαλοψυχίαν προσῆ-
κεν ἐγγενέσθαι, ὥστε τῆς τῶν Ἑλλήνων ἀρχῆς ἐπιθυ-
μῆσαι καὶ τοῦτ' εἰς τὸν νοῦν ἐμβαλέσθαι, ὑμῖν δ' οὖσιν 15
Ἀθηναίοις καὶ κατὰ τὴν ἡμέραν ἑκάστην ἐν πᾶσιν καὶ
λόγοις καὶ θεωρήμασιν τῆς τῶν προγόνων ἀρετῆς ὑπο-
μνήμαθ' ὁρῶσι τοσαύτην κακίαν ὑπάρξαι, ὥστε τῆς ἐλευ-
θερίας αὐτεπαγγέλτους ἐθελοντὰς παραχωρῆσαι Φιλίππῳ.
69 οὐδ' ἂν εἷς ταῦτα φήσειε. λοιπὸν τοίνυν ἦν καὶ ἀναγ- 20
καῖον ἅμα πᾶσιν οἷς ἐκεῖνος ἔπραττεν ἀδικῶν ὑμᾶς

1 τῆς ἡμέρας S: τῆσδε τῆς ἡμέρας A τῆς ἡμέρας ἐκείνης VY | αἰεὶ Y 3 καὶ post πλείω om. VY | σώματα καὶ χρήματα VAY 4 ἅπασι τοῖς ἕλλησι VY (ἕλλησι in ras. Y) 5 ἑλλήνων οἳ τὰ VY corr. (οἳ τὰ ὑπε in litura) 6 ὂν ἦν F in ras. (ἦν ut vid. erat omissum) 7 εκκεκομένον Y[1] 9 ὅτι ἂν A 10 τοῦτο] τοῦτον Q | προιέμενον S: ἑτοίμως προιέμενον γρ. S[d] A ῥαιδίως καὶ ἑτοίμως προιέμενον VY | τὸ λοιπὸν A 12 τολμήσαι S: τολμήσειεν VAY 12 sq. χωρίῳ . . . μικρῷ del. Herwerden 13 σμικρῶι A 14 γενέσθαι A 15 τὸν om. VY 16 κατὰ τὴν SA: καθ' VY 17 ὑπομνήμαθ' ὁρῶσιν γρ. S[d] VAY: ὑπομνημα θεωρουσι S[1] s. ου scr. ω m. rec. 18 τῆς τῶν ἑλλήνων VAY 19 ἐθελοντὰς Reiske: εθελοντας S ἐθέλοντας VAY[1] suspectabat Stephanus

ἐναντιοῦσθαι δικαίως. τοῦτ' ἐποιεῖτε μὲν ὑμεῖς ἐξ ἀρχῆς
εἰκότως καὶ προσηκόντως, ἔγραφον δὲ καὶ συνεβούλευον
248 καὶ ἐγὼ | καθ' οὓς ἐπολιτευόμην χρόνους. ὁμολογῶ. ἀλλὰ
τί ἐχρῆν με ποιεῖν; ἤδη γάρ σ' ἐρωτῶ, πάντα τἄλλ' ἀφείς,
5 Ἀμφίπολιν, Πύδναν, Ποτείδαιαν, Ἁλόννησον· οὐδενὸς
τούτων μέμνημαι· Σέρριον δὲ καὶ Δορίσκον καὶ τὴν 70
Πεπαρήθου πόρθησιν καὶ ὅσ' ἄλλ' ἡ πόλις ἠδικεῖτο, οὐδ'
εἰ γέγονεν οἶδα. καίτοι σύ γ' ἔφησθά με ταῦτα λέγοντ' εἰς
ἔχθραν ἐμβαλεῖν τουτουσί, Εὐβούλου καὶ Ἀριστοφῶντος
10 καὶ Διοπείθους τῶν περὶ τούτων ψηφισμάτων ὄντων, οὐκ
ἐμῶν, ὦ λέγων εὐχερῶς ὅ τι ἂν βουληθῇς· οὐδὲ νῦν περὶ
τούτων ἐρῶ. ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος 71
καὶ κατασκευάζων ἐπιτείχισμ' ἐπὶ τὴν Ἀττικήν, [καὶ Μεγά-
ροις ἐπιχειρῶν] καὶ καταλαμβάνων Ὠρεόν, καὶ κατασκά-
15 πτων Πορθμόν, καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύ-
ραννον, ἐν δ' Ἐρετρίᾳ Κλείταρχον, καὶ τὸν Ἑλλήσποντον
ὑφ' ἑαυτῷ ποιούμενος, καὶ Βυζάντιον πολιορκῶν, καὶ
πόλεις Ἑλληνίδας τὰς μὲν ἀναιρῶν, εἰς τὰς δὲ τοὺς φυ-
γάδας κατάγων, πότερον ταῦτα πάντα ποιῶν ἠδίκει καὶ
20 παρεσπόνδει καὶ ἔλυε τὴν εἰρήνην ἢ οὔ; καὶ πότερον
φανῆναί τινα τῶν Ἑλλήνων τὸν ταῦτα κωλύσοντα ποιεῖν
αὐτὸν ἐχρῆν ἢ μή; εἰ μὲν γὰρ μὴ ἐχρῆν, ἀλλὰ τὴν Μυσῶν 72

1 εναντιουσθε S 3 καὶ ἐγὼ] ἐγὼ A 5 Ἁλόννησον] Μεθώνην Παγασάς Hermog. III 299 W. (316, 5 R.) ex I 9 6 σέρρειον Y | κορίσκον Q 7 ἄλλα τοιαῦτα VAY | ἠδικεῖτο SF[1]Q: ἠδίκητο F corr. AY 9 ἀριστοφῶντος S mg. m. rec. VAY: κτησιφῶντος S[1] (punctis notatum) 10 ὄντων ψηφισμάτων A 11 λεγω S[1] | οὐδὲν A 13 sq. καὶ Μεγάροις ἐπιχειρῶν om. Hermog. III 159 W. (184, 9 R.). 160 (185, 21). 300 (317, 2) del. Usener; post Κλείταρχον v. 15 transponit Stahl 17 τὸ βυζάντιον A 18 τὰς AY: ἃς SV | τὰς δὲ O[1]: ἃς δὲ SVAY 19 πάντα ταῦτα F πάντα om. Hermog. 159 (185, 2). 163 (189, 3). 302 (318, 7) al. 20 τὴν εἰρήνην ἔλυεν Hermog. | οὐ in ras. F 21 sq. ποιεῖν αὐτὸν del. Cobet

λείαν καλουμένην τὴν Ἑλλάδ' οὖσαν ὀφθῆναι ζώντων καὶ ὄντων Ἀθηναίων, περιείργασμαι μὲν ἐγὼ περὶ τούτων εἰπών, περιείργασται δ' ἡ πόλις ἡ πεισθεῖσ' ἐμοί, ἔστω δ' ἀδικήματα πάνθ' ἃ πέπρακται καὶ ἁμαρτήματ' ἐμά. εἰ δ' ἔδει τινὰ τούτων κωλυτὴν φανῆναι, τίν' ἄλλον 5 *ἢ τὸν Ἀθηναίων δῆμον* | *προσῆκεν γενέσθαι; ταῦτα τοίνυν ἐπολιτευόμην ἐγώ, καὶ ὁρῶν καταδουλούμενον πάντας ἀνθρώπους ἐκεῖνον ἠναντιούμην, καὶ προλέγων καὶ διδάσκων μὴ προΐεσθαι διετέλουν. καὶ μὴν τὴν εἰρήνην γ' ἐκεῖνος ἔλυσεν τὰ πλοῖα λαβών, οὐχ ἡ πόλις Αἰσχίνη.* 10 **249**

73 *Φέρε δ' αὐτὰ τὰ ψηφίσματα καὶ τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, καὶ λέγ' ἐφεξῆς· ἀπὸ γὰρ τούτων τίς τίνος αἴτιός ἐστιν γενήσεται φανερόν.*

ΨΗΦΙΣΜΑ

[*Ἐπὶ ἄρχοντος Νεοκλέους, μηνὸς βοηδρομιῶνος, ἐκκλησία* 15 *σύγκλητος ὑπὸ στρατηγῶν, Εὔβουλος Μνησιθέου Κόπριος εἶπεν· ἐπειδὴ προσήγγειλαν οἱ στρατηγοὶ ἐν τῇ ἐκκλησίᾳ, ὡς ἄρα Λεωδάμαντα τὸν ναύαρχον καὶ τὰ μετ' αὐτοῦ ἀποσταλέντα σκάφη εἴκοσι ἐπὶ τὴν τοῦ σίτου παραπομπὴν εἰς Ἑλλήσποντον ὁ παρὰ*

1 *λιαν* S[1]A[1] | *καλουμένην* del. Heerdegen 2 *ἀθηναίων καὶ ὄντων* VY 2 sq. *περὶ τούτων εἰπὼν* om. Arist. IX 357 W. Dobree 4 *πάντα ταῦτα* A | *ἃ πέπρακται* om. Arist. Dobree 5 *τινα τουτων* (*τουτον* S[1]) *κωλυτην φανηναι τινα αλλον* S: *τίνα τοῦτον ἄλλον γρ.* S[d] Dobree *τινὰ μᾶλλον* A[1] *τούτων κωλυτὴν φανῆναι τίνα ἄλλον* VA[2] (*τούτων κωλ. φαν.* mg.) Y 6 *προσῆκε*[ει] F *προσήκει* Y | *γίνεσθαι γρ.* S[d] 7 *τότ' ἐγὼ* VY 9 *πρόεσθαι* A | post *προίεσθαι* add. *ταῦτα φιλίππωι* VAY | *διετέλουν* om. FY | verba *καὶ μὴν τὴν εἰρήνην* usque ad § 79 *ἠναντιούμην* spuria censet Stahl 11 *δ'*] *δὴ* VY | *τὴν τοῦ* om. A 12 *τούτων ἐξεταζομένων* S rec. VAY 13 *ἐστιν* om. F | *φανερόν· λέγε* A 15 *ἐκκλησίας* F corr. AY 16 *συγκλήτου* F corr. A | *στρατηγῶν συναχθείσης* A | *κύπριος* AY 17 *προσηγγειλεν* S[1] *προσήγγειλον* S corr. F[1]Q | *ἄρα* om. A 18 *λαομέδοντα* A (cf. § 77) *λεοδάμαντα* Y 19 *εἴκοσιν* F[2]A[2]

Φιλίππου στρατηγὸς Ἀμύντας καταγήοχεν εἰς Μακεδονίαν καὶ ἐν φυλακῇ ἔχει, ἐπιμεληθῆναι τοὺς πρυτάνεις καὶ τοὺς στρατηγοὺς ὅπως ἡ βουλὴ συναχθῇ καὶ αἱρεθῶσι πρέσβεις πρὸς Φίλιππον, οἳ παραγενόμενοι διαλέξονται πρὸς αὐτὸν περὶ τοῦ ἀφ-
5 *εθῆναι τὸν ναύαρχον καὶ τὰ πλοῖα καὶ τοὺς στρατιώτας, καὶ* 74 *εἰ μὲν δι' ἄγνοιαν ταῦτα πεποίηκεν ὁ Ἀμύντας, ὅτι οὐ μεμψιμοιρεῖ ὁ δῆμος οὐδέν· εἰ δέ τι πλημμελοῦντα παρὰ τὰ ἐπεσταλμένα λαβών, ὅτι ἐπισκεψάμενοι Ἀθηναῖοι ἐπιτιμήσουσιν κατὰ τὴν τῆς ὀλιγωρίας ἀξίαν. εἰ δὲ μηδέτερον τούτων ἐστίν, ἀλλ'*
250 *ἰδίᾳ ἀγνωμονοῦσιν | ἢ ὁ ἀποστείλας ἢ ὁ ἀπεσταλμένος, καὶ τοῦτο*
11 *λέγειν, ἵνα αἰσθανόμενος ὁ δῆμος βουλεύσηται τί δεῖ ποιεῖν.*]

Τοῦτο μὲν τοίνυν τὸ ψήφισμ' Εὔβουλος ἔγραψεν, οὐκ ἐγώ, τὸ δ' ἐφεξῆς Ἀριστοφῶν, εἶθ' Ἡγήσιππος, εἶτ' Ἀρι- 75 στοφῶν πάλιν, εἶτα Φιλοκράτης, εἶτα Κηφισοφῶν, εἶτα
15 πάντες· ἐγὼ δ' οὐδὲν περὶ τούτων. λέγε.

ΨΗΦΙΣΜΑΤΑ

[*Ἐπὶ Νεοκλέους ἄρχοντος, βοηδρομιῶνος ἕνῃ καὶ νέᾳ, βουλῆς γνώμη, πρυτάνεις καὶ στρατηγοὶ ἐχρημάτισαν τὰ ἐκ τῆς ἐκκλησίας ἀνενεγκόντες, ὅτι ἔδοξεν τῷ δήμῳ πρέσβεις ἑλέσθαι*
20 *πρὸς Φίλιππον περὶ τῆς τῶν πλοίων ἀνακομιδῆς καὶ ἐντολὰς*

1 καταγειοχεν SQ 2 ἔχει] χ in ras. A (fuit λ ut vid.) 3 συναχθῶσι SVY 4 οἳ F rec. s. v.: om. SF[1]QY (qui habet v. 3 ante πρὸς) οἵτινες A 5 τόν τε A | στρατιώτας A: στρατηγοὺς SVY 6 ταῦτα] τοῦτο A | ὅτι A: τι SVY | οὐ V: ουν SY οὐδὲ A | μεμψιμοιρεῖ αὐτῶι A 7 οὐδὲν om. A | εἰ δέ τι AY corr.: ουδε τι SVY[1] | ἐπισκεψάμενοι] post ἐπι 8—9 litt. eras. Q | ἐπιτιμήσωσι A 10 ἰδίαι VY: ϊδια δι' S ἀειδια τί A (fuit ἀλλὰ ἰδίαι τι) | ἢ om. A | ὁ om. A[1] add. A[2] | ἐπεσταλμένος A | τοῦτο A: om. SVY 11 λέγειν SF[1]QY[1]: λέγει F corr. γράψαι λέγειν AY[3] mg. 15 πάντες οἱ ἄλλοι VAY | λέγε τὸ ψήφισμα VAY 16 ΨΗΦΙΣΜΑ codd. corr. Sauppe 17 Νεοκλέους Aug. 2, Felicianus: νικοκλέους SVAY 18 γνώμη SQY (Taylor): γνώμηι FA 19 ἀπενεγκόντες A

δοῦναι κατὰ τὰ ἐκ τῆς ἐκκλησίας ψηφίσματα. καὶ εἵλοντο τούσδε, Κηφισοφῶντα Κλέωνος Ἀναφλύστιον, Δημόκριτον Δημοφῶντος Ἀναγυράσιον, Πολύκριτον Ἀπημάντου Κοθωκίδην. πρυτανεία φυλῆς Ἱπποθοωντίδος, Ἀριστοφῶν Κολλυτεὺς πρόεδρος εἶπεν.] 5

Ὥσπερ τοίνυν ἐγὼ ταῦτα δεικνύω τὰ ψηφίσματα, οὕτω 76 *καὶ σὺ δεῖξον Αἰσχίνη, ὁποῖον ἐγὼ γράψας ψήφισμα αἴτιός εἰμι τοῦ πολέμου. ἀλλ' οὐκ ἂν ἔχοις· εἰ γὰρ εἶχες, οὐδὲν ἂν αὐτοῦ πρότερον νυνὶ παρέσχου. καὶ μὴν οὐδ' ὁ Φίλιππος οὐδὲν αἰτιᾶται ἔμ' ὑπὲρ τοῦ πολέμου, ἑτέροις* 10 *ἐγκαλῶν. Λέγε δ' αὐτὴν τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου.*

ΕΠΙΣΤΟΛΗ

[Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ 77 *τῷ δήμῳ χαίρειν. παραγενόμενοι πρὸς | ἐμὲ οἱ παρ' ὑμῶν πρε-* 251 *σβευταί, Κηφισοφῶν καὶ Δημόκριτος καὶ Πολύκριτος, διελέγοντο* 15 *περὶ τῆς τῶν πλοίων ἀφέσεως ὧν ἐναυάρχει Λαοδάμας. καθ' ὅλου μὲν οὖν ἔμοιγε φαίνεσθε ἐν μεγάλῃ εὐηθίᾳ ἔσεσθαι, εἴ γ' οἴεσθ' ἐμὲ λανθάνειν ὅτι ἐξαπεστάλη ταῦτα τὰ πλοῖα πρόφασιν μὲν ὡς τὸν σῖτον παραπέμψοντα ἐκ τοῦ Ἑλλησπόντου εἰς Λῆμνον, βοηθήσοντα δὲ Σηλυμβριανοῖς τοῖς ὑπ' ἐμοῦ μὲν* 20 *πολιορκουμένοις, οὐ συμπεριειλημμένοις δὲ ἐν ταῖς τῆς φιλίας*

1 *κατὰ* G. H. Schaefer: *καὶ* SVAY | *ἐκ* om. A cf. Lys. XIII 50 3 *πρυτανεία* A³Y: *πρυτανια* SVA¹ 4 *Ἱπποθωντίδος* Dindorf; altera forma iam primo a. Chr. saeculo usitata cf. Meisterhans § 11, 6 | *Κολλυτεὺς* Voemel: *κολυττεὺς* SVY *κολυτεὺς* A 5 post *εἶπεν* add. ΨΗΦΙΣΜΑ A 7 *καὶ* om. S¹ | *ποῖον* VAY 10 *ἐμὲ* S: *με* VAY 12 epistulam et documenta reliqua omnia om. A

15 *καὶ Πολύκριτος* om. Y 16 *Λαοδάμας* Felicianus: *λαομενων* (δ supra) S *λαομέδων* VY cf. § 73 17 *φαινεσθαι* S¹ | *ευηθια* S: *εὐηθείαι* VY | *ἔσεσθαι*] del. *ἐν* praep. *συνεχεσθαι* (vel *ἐν*-) Reiske *ἔχεσθαι* Weil | *εἴ γ'* Scrimger: *ειτ* S¹ *εἶτ'* VY *εἰ* S corr. 18 *ἐμὲ* S: *με* VY 21 *δὲ*] *δ* corr. ut vid. S | *ταῖς*] *τοις* S

κοινῇ κειμέναις ἡμῖν συνθήκαις. καὶ ταῦτα συνετάχθη τῷ 78
ναυάρχῳ ἄνευ μὲν τοῦ δήμου τοῦ Ἀθηναίων, ὑπὸ δέ τινων
ἀρχόντων καὶ ἑτέρων ἰδιωτῶν μὲν νῦν ὄντων, ἐκ παντὸς δὲ
τρόπου βουλομένων τὸν δῆμον ἀντὶ τῆς νῦν ὑπαρχούσης πρὸς
5 ἐμὲ φιλίας τὸν πόλεμον ἀναλαβεῖν, πολλῷ μᾶλλον φιλοτιμου-
μένων τοῦτο συντετελέσθαι ἢ τοῖς Σηλυμβριανοῖς βοηθῆσαι.
καὶ ὑπολαμβάνουσιν αὐτοῖς τὸ τοιοῦτο πρόσοδον ἔσεσθαι· οὐ
μέντοι μοι δοκεῖ τοῦτο χρήσιμον ὑπάρχειν οὔθ' ὑμῖν οὔτ' ἐμοί.
διόπερ τά τε νῦν καταχθέντα πλοῖα πρὸς ἡμᾶς ἀφίημι ὑμῖν,
10 καὶ τοῦ λοιποῦ, ἐὰν βούλησθε μὴ ἐπιτρέπειν τοῖς προεστηκό-
σιν ὑμῶν κακοήθως πολιτεύεσθαι, ἀλλ' ἐπιτιμᾶτε, πειράσομαι
κἀγὼ διαφυλάττειν τὴν εἰρήνην. εὐτυχεῖτε.]

Ἐνταῦθ' οὐδαμοῦ Δημοσθένην γέγραφεν, οὐδ' αἰτίαν 79
οὐδεμίαν κατ' ἐμοῦ. τί ποτ' οὖν τοῖς ἄλλοις ἐγκαλῶν
15 τῶν ἐμοὶ πεπραγμένων οὐχὶ μέμνηται; ὅτι τῶν ἀδικημά-
των ἂν ἐμέμνητο τῶν αὑτοῦ[, εἴ τι περὶ ἐμοῦ γέγραφεν]·
252 τούτων γὰρ εἰχόμην ἐγὼ καὶ τού|τοις ἠναντιούμην. καὶ
πρῶτον μὲν τὴν εἰς Πελοπόννησον πρεσβείαν ἔγραψα,
ὅτε πρῶτον ἐκεῖνος εἰς Πελοπόννησον παρεδύετο, εἶτα
20 τὴν εἰς Εὔβοιαν, ἡνίκ' Εὐβοίας ἥπτετο, εἶτα τὴν ἐπ'
Ὠρεὸν ἔξοδον, οὐκέτι πρεσβείαν, καὶ τὴν εἰς Ἐρέτριαν,
ἐπειδὴ τυράννους ἐκεῖνος ἐν ταύταις ταῖς πόλεσιν κατέ-
στησεν. μετὰ ταῦτα δὲ τοὺς ἀποστόλους ἅπαντας ἀπέ- 80
στειλα, καθ' οὓς Χερρόνησος ἐσώθη καὶ τὸ Βυζάντιον

2 τοῦ ἀθ. SQ: τῶν ἀθ. FY 5 φιλοτιμούμενον codd. corr. Felicianus 6 συντετέλεσθαι F[1] συντελεσθαι SQ συντελεῖσθαι Y 7 ὑπολαμβάνουσι S[1] | τοιοῦτον F[1] | προσολον S πρὸς ὅλον V 8 τοῦτο F corr. Q: τοῦτο τὸ SF[1]Y 13 δημοσθένη Y 16 ἑαυτοῦ QAY | εἴ τι ... γέγραφεν del. Badham | γ' ἔγραφεν (post Bekkeri ἔγραφεν) Droysen ἐγεγράφει Devarius 18 post πρεσβείαν 2 litt. eras. A 20 ἐπ'] εἰς Didymus c. I 10 21 ωρεῶι A | πρεσβείαν] ν in ras. Y | Ἐρέτριαν] ερ s. v. F 23 δὲ τάυτα S | πάντας A 24 τὸ S Hermog. III 331 W. (347, 18 R.): om. VAY

καὶ πάντες οἱ σύμμαχοι. ἐξ ὧν ὑμῖν μὲν τὰ κάλλιστα, ἔπαινοι, δόξαι, τιμαί, στέφανοι, χάριτες παρὰ τῶν εὖ πεπονθότων ὑπῆρχον· τῶν δ' ἀδικουμένων τοῖς μὲν ὑμῖν τότε πεισθεῖσιν ἡ σωτηρία περιεγένετο, τοῖς δ' ὀλιγωρήσασιν τὸ πολλάκις ὧν ὑμεῖς προείπατε μεμνῆσθαι, καὶ 5 *νομίζειν ὑμᾶς μὴ μόνον εὔνους ἑαυτοῖς, ἀλλὰ καὶ φρονίμους ἀνθρώπους καὶ μάντεις εἶναι· πάντα γὰρ ἐκβέβηκεν*
81 *ἃ προείπατε. καὶ μὴν ὅτι πολλὰ μὲν ἂν χρήματ' ἔδωκε Φιλιστίδης ὥστ' ἔχειν Ὠρεόν, πολλὰ δὲ Κλείταρχος ὥστ' ἔχειν Ἐρέτριαν, πολλὰ δ' αὐτὸς ὁ Φίλιππος ὥστε ταῦθ'* 10 *ὑπάρχειν ἐφ' ὑμᾶς αὐτῷ, καὶ περὶ τῶν ἄλλων μηδὲν ἐξελέγχεσθαι μηδ' ἃ ποιῶν ἠδίκει μηδέν' ἐξετάζειν πανταχοῦ,*
82 *οὐδεὶς ἀγνοεῖ, καὶ πάντων ἥκιστα σύ· οἱ γὰρ παρὰ τοῦ Κλειτάρχου καὶ τοῦ Φιλιστίδου τότε πρέσβεις δεῦρ' ἀφικνούμενοι παρὰ σοὶ κατέλυον Αἰσχίνη, καὶ σὺ προὐ-* 15 *ξένεις αὐτῶν· οὓς ἡ μὲν πόλις ὡς ἐχθροὺς καὶ οὔτε δίκαι' οὔτε συμφέροντα λέγοντας ἀπήλασεν, σοὶ δ' ἦσαν φίλοι. οὐ τοίνυν ἐπράχθη τούτων οὐδέν, ὦ βλασφημῶν περὶ ἐμοῦ καὶ λέγων ὡς σιωπῶ μὲν λαβών, βοῶ | δ' ἀναλώσας.* 253 *ἀλλ' οὐ σύ, ἀλλὰ βοᾷς μὲν ἔχων, παύσει δ' οὐδέποτ',* 20
83 *ἐὰν μή σ' οὗτοι παύσωσιν ἀτιμώσαντες τήμερον. στεφανωσάντων τοίνυν ὑμῶν ἔμ' ἐπὶ τούτοις τότε, καὶ γράψαντος Ἀριστονίκου τὰς αὐτὰς συλλαβάς, ἅσπερ οὑτοσὶ Κτησιφῶν νῦν γέγραφεν, καὶ ἀναρρηθέντος ἐν τῷ θεάτρῳ τοῦ στεφάνου, καὶ δευτέρου κηρύγματος ἤδη μοι* 25

3 *ὑπῆρχον* SA: *ἐγίγνοντο* VY 6 *ἑαυτοῖς* S[1]A: *αὐτοῖς* S corr. VY 8 *προείπατε αὐτοῖς* VAY | *ἂν* om. A 11 *ἐλέγχεσθαι* AY 13 super *ἥκιστα* Y[1] *πλέον* | *οἱ*] *ι* in ras. F 15 *ἀφικόμενοι* A | *Αἰσχίνη* om. Y 17 *ἀπήλλασσε* Y[1] 19 *καὶ λέγων* del. Cobet, cf. XIX 119 20 *σύ γε* VAY | *ἔχων*] *συνεχῶς* Nitsche | *παύσηι* VAY 21 *σήμερον* A[1] corr. A[2] 24 *γέγραφε νῦν* A 25 sq. *καὶ δευτέρου ... γιγνομένου* secl. Lipsius 25 *δευτέρου μοι* ut vid. A[1]

τούτου γιγνομένου, οὔτ' ἀντεῖπεν Αἰσχίνης παρὼν οὔτε τὸν εἰπόντ' ἐγράψατο. Καί μοι λέγε καὶ τοῦτο τὸ ψήφισμα λαβών.

ΨΗΦΙΣΜΑ

5 [*Ἐπὶ Χαιρώνδου Ἡγήμονος ἄρχοντος, γαμηλιῶνος ἕκτῃ ἀπιόντος, φυλῆς πρυτανευούσης Λεοντίδος, Ἀριστόνικος Φρεάρριος εἶπεν· ἐπειδὴ Δημοσθένης Δημοσθένους Παιανιεὺς πολλὰς καὶ μεγάλας χρείας παρέσχηται τῷ δήμῳ τῷ Ἀθηναίων, καὶ πολλοῖς τῶν συμμάχων καὶ πρότερον καὶ ἐν τῷ παρόντι καιρῷ* 84
10 *βεβοήθηκεν διὰ τῶν ψηφισμάτων, καί τινας τῶν ἐν τῇ Εὐβοίᾳ πόλεων ἠλευθέρωκεν, καὶ διατελεῖ εὔνους ὢν τῷ δήμῳ τῷ Ἀθηναίων, καὶ λέγει καὶ πράττει ὅ τι ἂν δύνηται ἀγαθὸν ὑπέρ τε αὐτῶν Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλλήνων, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δημοσθένους*
15 *Παιανιέα καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ, τραγῳδοῖς καινοῖς, τῆς δὲ ἀναγορεύσεως τοῦ στεφάνου ἐπιμεληθῆναι τὴν πρυτανεύουσαν φυλὴν*
254 *καὶ | τὸν ἀγωνοθέτην. εἶπεν Ἀριστόνικος Φρεάρριος.*]

Ἔστιν οὖν ὅστις ὑμῶν οἶδέν τιν' αἰσχύνην τῇ πόλει 85
20 *συμβᾶσαν διὰ τοῦτο τὸ ψήφισμ' ἢ χλευασμὸν ἢ γέλωτα, ἃ νῦν οὗτος ἔφη συμβήσεσθαι, ἂν ἐγὼ στεφανῶμαι; καὶ μὴν ὅταν ᾖ νέα καὶ γνώριμα πᾶσι τὰ πράγματα, ἐάν τε καλῶς ἔχῃ, χάριτος τυγχάνει, ἐάν θ' ὡς ἑτέρως, τιμωρίας.*

1 *γενομένου* A | *ανειπεν* S[1] 2 *αντειποντα* S *γρ.* V | *καὶ* ante *τοῦτο* om. A | *τοῦτο*] *τουτου* S[1] 3 *λαβών· λέγε* VAY 5 *Ἡγήμονος* Felicianus: *ηγεμονος* SVY 6 *φερεαρριος* SQ *φερεα(ρ)ιος* F 8 *τωι αθην.* SQ: *τῶν ἀθην.* FY 11 post *ὢν* ras. 5—6 litt. Q 14 *τωι αθην.* SV: *τῶν ἀθην.* Y 16 *διονυσίοις* post *θεάτρῳ* add. Y 18 *ἀριστόδημος* SY | *φερεα(ρ)ιος* F *φερεάρριος* Q 19 *αἰσχίνην* A[1] 19 sq. *συμβᾶσαν τῆι πόλει* V 21 *ἢ ἃ* Y | *ἐὰν* VY

φαίνομαι τοίνυν ἐγὼ χάριτος τετυχηκὼς τότε καὶ οὐ μέμ-
ψεως οὐδὲ τιμωρίας.

86 Οὐκοῦν μέχρι μὲν τῶν χρόνων ἐκείνων, ἐν οἷς ταῦτ'
ἐπράχθη, πάντ' ἀνωμολόγημαι τὰ ἄριστα πράττειν τῇ
πόλει, τῷ νικᾶν ὅτ' ἐβουλεύεσθε λέγων καὶ γράφων, τῷ 5
καταπραχθῆναι τὰ γραφέντα καὶ στεφάνους ἐξ αὐτῶν τῇ
πόλει καὶ ἐμοὶ καὶ πᾶσι γενέσθαι, τῷ θυσίας τοῖς θεοῖς
καὶ προσόδους ὡς ἀγαθῶν τούτων ὄντων ὑμᾶς πεποιῆσθαι.

87 Ἐπειδὴ τοίνυν ἐκ τῆς Εὐβοίας ὁ Φίλιππος ἐξηλάθη
τοῖς μὲν ὅπλοις ὑφ' ὑμῶν, τῇ δὲ πολιτείᾳ καὶ τοῖς ψηφί- 10
σμασιν, κἂν διαρραγῶσίν τινες τούτων, ὑπ' ἐμοῦ, ἕτερον
κατὰ τῆς πόλεως ἐπιτειχισμὸν ἐζήτει. ὁρῶν δ' ὅτι σίτῳ
XX 31 πάντων ἀνθρώπων πλείστῳ χρώμεθ' ἐπεισάκτῳ, βουλό-
μενος τῆς σιτοπομπίας κύριος γενέσθαι, παρελθὼν ἐπὶ
Θρᾴκης Βυζαντίους συμμάχους ὄντας αὐτῷ τὸ μὲν πρῶ- 15
τον ἠξίου συμπολεμεῖν τὸν πρὸς ὑμᾶς πόλεμον, ὡς δ' οὐκ
ἤθελον οὐδ' ἐπὶ τούτοις ἔφασαν τὴν συμμαχίαν πεποι-
ῆσθαι, λέγοντες ἀληθῆ, χάρακα βαλόμενος πρὸς τῇ πόλει
88 καὶ μηχανήματ' ἐπιστήσας ἐπολιόρκει. τούτων δὲ γιγνο-
μένων ὅ τι μὲν προσῆκε ποιεῖν ὑμᾶς, οὐκ ἐπερωτήσω 20
(δῆλον γάρ ἐστιν ἅπασιν)· ἀλλὰ τίς ἦν ὁ βοηθήσας τοῖς **255**

1 τότε] το ex καὶ corr. S^{1} 4 πάντ' ἀνωμολόγημαι Wachendorf: πάντας ἀνωμολόγημαι S πάντας ἀνωμολόγημαι τοὺς χρόνους γρ. S^{d}VAY | πράττειν καὶ λέγειν γρ. S^{d} γρ. Q 5 ὅτ' ἐβουλεύεσθε] τε βουλεύεσθαι Y | βουλεύοισθε L. Spengel 7 πᾶσιν ὑμῖν VAY | γίνεσθαι A 7 sq. καὶ προσόδους τοῖς θεοῖς A 9 ἐξηλάθη τοῖς μὲν ὅπλοις ὑφ' ὑμῶν S^{d}VA: ὑφ ἡμῶν (η fort. ex υ corr.) εξηλαθη τοις μεν οπλοις S^{1} ὑφ' ὑμῶν μὲν ἐξηλάθη τοῖς ὅπλοις Y 11 post τούτων 4 litt. eras. Q 13 επισακτω S^{1} 18 χαρακα S Harpocr.: χαράκωμα γρ. S^{d}A χαρακώματα VY | βαλλόμενος γρ. S^{d} βουλόμενος A 20 προσηκει S | ἡμᾶς (υ suprascr.) F ἡμᾶς Y | οὐκ ἐπερωτήσω S γρ. Q: οὐκέτ' ἐρωτήσω FQ^{1}AY, cf. v. l. § 104

Βυζαντίοις καὶ σώσας αὐτούς; τίς ὁ κωλύσας τὸν Ἑλλήσποντον ἀλλοτριωθῆναι κατ' ἐκείνους τοὺς χρόνους; ὑμεῖς ἄνδρες Ἀθηναῖοι. τὸ δ' ὑμεῖς ὅταν λέγω, τὴν πόλιν λέγω. τίς δ' ὁ τῇ πόλει λέγων καὶ γράφων καὶ πράτ- 5 *των καὶ ἁπλῶς ἑαυτὸν εἰς τὰ πράγματ' ἀφειδῶς διδούς; ἐγώ. ἀλλὰ μὴν ἡλίκα ταῦτ' ὠφέλησεν ἅπαντας, οὐκέτ' ἐκ* 89 *τοῦ λόγου δεῖ μαθεῖν, ἀλλ' ἔργῳ πεπείρασθε· ὁ γὰρ τότ' ἐνστὰς πόλεμος, ἄνευ τοῦ καλὴν δόξαν ἐνεγκεῖν, ἐν πᾶσι τοῖς κατὰ τὸν βίον ἀφθονωτέροις καὶ εὐωνοτέροις διῆγεν* 10 *ὑμᾶς τῆς νῦν εἰρήνης, ἣν οὗτοι κατὰ τῆς πατρίδος τηροῦσιν οἱ χρηστοί, ἐπὶ ταῖς μελλούσαις ἐλπίσιν, ὧν διαμάρτοιεν, καὶ μετάσχοιεν ὧν ὑμεῖς οἱ τὰ βέλτιστα βουλόμενοι τοὺς θεοὺς αἰτεῖτε, μὴ μεταδοῖεν ὑμῖν ὧν αὐτοὶ προῄρηνται. Λέγε δ' αὐτοῖς καὶ τοὺς τῶν Βυζαντίων* 15 *στεφάνους καὶ τοὺς τῶν Περινθίων, οἷς ἐστεφάνουν ἐκ τούτων τὴν πόλιν.*

ΨΗΦΙΣΜΑ ΒΥΖΑΝΤΙΩΝ

[*Ἐπὶ ἱερομνάμονος Βοσπορίχω Δαμάγητος ἐν τᾷ ἁλίᾳ ἔλεξεν,* 90 *ἐκ τᾶς βωλᾶς λαβὼν ῥήτραν· ἐπειδὴ ὁ δᾶμος ὁ Ἀθαναίων ἔν*

2 *ἀπαλλοτριωθῆναι* A 3 *ὦ ἄνδρες* VAY | *λέγω* S: *εἴπω* VAY 5 *ἁπλῶς* olim del. Rosenberg coll. § 179 | *αὑτὸν* A | *ἀφειδῶς* del. Dobree | *διδούς* A: *δούς* SVY 6 *οὐκέτ'* SA: *οὐκ* VY 7 *τοῦ* om. VAY | *μαθεῖν ὑμᾶς* A 9 *φθονωτέροις* Y[1] | *διῆγεν* S: *διήγαγεν* VAY 10 *ἡμᾶς* A 11 *μελλουσιν* S[1] corr. S[d]

12 *μὴ μετάσχοιεν* VAY 13 *μὴ* S: *μηδὲ* VAY | *ἡμῖν* (υ suprascr.) F *ἡμῖν* Y[1] 14 *τῶν* om. FQ[1] (add. *γρ.* Q) Y 16 post *τὴν πόλιν* A pergit *λέγε καὶ τοὺς παρὰ τῶν ἐν χερρονήσω στεφάνους* (§ 92) ΨΗΦΙΣΜΑ ΒΥΖΑΝΤΙΩΝ. *Οὐκοῦν* (§ 93) 17 ΒΥΖΑΝΤΙΩΝ et § 92 ΧΕΡΡΟΝΗΣΙΤΩΝ om. Y in textu, habet supra decreta 18 *τᾷ ἁλίᾳ* Taylor post Casaubonum: *τεαλια* SVY 19 *βολας* S[1] | *ϝράτραν* Voemel | *Ἀθαναίων* Dindorf (et ter infra): *ἀθηναίων* SVY

τε τοῖς προγεγεναμένοις καιροῖς εὐνοέων διατελεῖ Βυζαντίοις καὶ
τοῖς συμμάχοις καὶ συγγενέσι Περινθίοις καὶ πολλὰς καὶ μεγάλας
χρείας παρέσχηται, ἔν τε τῷ παρεστακότι καιρῷ Φιλίππω τῶ
Μακεδόνος ἐπιστρατεύσαντος ἐπὶ τὰν χώραν καὶ τὰν πόλιν ἐπ'
ἀναστάσει Βυζαντίων καὶ Περινθίων καὶ τὰν χώραν δαίοντος | 5
καὶ δενδροκοπέοντος, βοαθήσας πλοίοις ἑκατὸν καὶ εἴκοσι καὶ 256
σίτῳ καὶ βέλεσι καὶ ὁπλίταις ἐξείλετο ἁμὲ ἐκ τῶν μεγάλων κιν-
δύνων καὶ ἀποκατέστασεν τὰν πάτριον πολιτείαν καὶ τὼς νόμως
91 καὶ τὼς τάφως, δεδόχθαι τῷ δάμῳ τῷ Βυζαντίων καὶ Περιν-
θίων Ἀθαναίοις δόμεν ἐπιγαμίαν, πολιτείαν, ἔγκτασιν γᾶς καὶ 10
οἰκιᾶν, προεδρίαν ἐν τοῖς ἀγῶσιν, πόθοδον ποτὶ τὰν βωλὰν καὶ
τὸν δᾶμον πράτοις πεδὰ τὰ ἱερά, καὶ τοῖς κατοικεῖν ἐθέλουσιν
τὰν πόλιν ἀλειτουργήτοις ἦμεν πασᾶν τᾶν λειτουργιᾶν· στᾶσαι
δὲ καὶ εἰκόνας τρεῖς ἑκκαιδεκαπάχεις ἐν τῷ Βοσπορείῳ, στεφα-
νούμενον τὸν δᾶμον τὸν Ἀθαναίων ὑπὸ τῶ δάμω τῶ Βυζαντίων 15
καὶ Περινθίων· ἀποστεῖλαι δὲ καὶ θεαρίας ἐς τὰς ἐν τᾷ Ἑλλάδι
παναγύριας, Ἴσθμια καὶ Νέμεα καὶ Ὀλύμπια καὶ Πύθια, καὶ
ἀνακαρῦξαι τὼς στεφάνως οἷς ἐστεφάνωται ὁ δᾶμος ὁ Ἀθαναίων

1 *προγεγεναμένοις* Paris. p (G. H. Schaefer): *προγεναμενοις* S F[1] Q *προγενομένοις* F corr. Y 3 *παρέσχηται* F corr. Y: *παρασχηται* SQ *παράσχητε* F[1] | *φιλίππω τῶ* QY: *φιλιππωι τωι* S *φιλίππου τοῦ* F corr. (*υ* in litura) 4 *επιστατευσαντος* S | *τὴν χώραν* Y 5 *δεοντος* S[1] F[1] Q Y[1] *δαϊόντος* Cobet 6 *βοαθήσας* Ahrens: *βοηθησαι* S V Y[1] *βοηθῆσας* Y corr. | *πλοίυισι* Y | *καὶ* ante *σίτῳ* om. Q 8 *τὰν*] in ras. F 9 *δεδόχθαι* O corr. L corr.: *δεδόχθω* SQY *δεδόχθωι* F, cf. § 29. 84 10 *δοῦναι* Y | *ἔγκτασιν* Valesius: *ἔκτασιν* S V Y 11 *οἰκιᾶν* Valesius: *οἰκίαν* S V Y *οἰκεῖαν* Y s. v. | *πόθοδον* Valesius: *ποθολον* S V Y | *ποτὶ τὰν*] *ποττὰν* Cobet 12 *πράτοις* Valesius: *παρατοις* S V Y | *πεδὰ* Bekker: *παρὰ* S V Y 14 *ἑκκαιδεκαπάχεις* Dindorf: *ἑκκαιδεκαπήχεις* S V Y | *Βοσπορείῳ* Dindorf: *βοσπορειχω* S *βοσποριχωι* V Y *Βοσπορίῳ* Funkhaenel 15 *δᾶμον τῶν* V Y | *τωι . . . τωι* S | *τῶν βυζαντίων* F 16 *θεαρίας* Ahrens (*θεωρίας* Valckenaer): *δωριας* S V Y | *εσστας* S | *τᾷ* Valckenaer (*τῇ* Aug. 4): *τε* S V Y 17 *παναγύριας* Dindorf: *πανηγυριας* S V Y 18 *τὼς στεφάνως* (Valckenaer) Reiske: *τω στεφανωι* S *τῶι στεφάνωι* F *τῶ στεφάνω* QY | *οἷς ἐστεφάνωται* Valckenaer: *οσοιστεφανωιται* S *ὅσοι στεφάνωται* V *ὧ συστεφάνωται* Y

ὑφ' ἁμέων, ὅπως ἐπιστέωνται οἱ Ἕλλανες τάν τε Ἀθαναίων ἀρετὰν καὶ τὰν Βυζαντίων καὶ Περινθίων εὐχαριστίαν.]

Λέγε καὶ τοὺς παρὰ τῶν ἐν Χερρονήσῳ στεφάνους. 92

ΨΗΦΙΣΜΑ ΧΕΡΡΟΝΗΣΙΤΩΝ

5 [Χερρονησιτῶν οἱ κατοικοῦντες Σηστόν, Ἐλαιοῦντα, Μάδυτον, Ἀλωπεκόννησον στεφανοῦσιν Ἀθηναίων τὴν βουλὴν καὶ τὸν δῆμον χρυσῷ στεφάνῳ ἀπὸ ταλάντων ἑξήκοντα, καὶ Χάριτος βωμὸν ἱδρύονται καὶ Δήμου Ἀθηναίων, ὅτι πάντων μεγίστων ἀγαθῶν παραίτιος γέγονεν Χερρονησίταις, ἐξελόμενος ἐκ 257 τῆς Φιλίππου καὶ ἀποδοὺς τὰς πατρίδας, τοὺς νόμους, | τὴν 11 ἐλευθερίαν, τὰ ἱερά. καὶ ἐν τῷ μετὰ ταῦτα αἰῶνι παντὶ οὐκ ἐλλείψει εὐχαριστῶν καὶ ποιῶν ὅ τι ἂν δύνηται ἀγαθόν. ταῦτα ἐψηφίσαντο ἐν τῷ κοινῷ βουλευτηρίῳ.]

Οὐκοῦν οὐ μόνον τὸ Χερρόνησον καὶ Βυζάντιον σῶσαι, 93 15 **οὐδὲ τὸ κωλῦσαι τὸν Ἑλλήσποντον ὑπὸ Φιλίππῳ γενέσθαι τότε, οὐδὲ τὸ τιμᾶσθαι τὴν πόλιν ἐκ τούτων ἡ προαίρεσις ἡ ἐμὴ καὶ ἡ πολιτεία διεπράξατο, ἀλλὰ καὶ πᾶσιν ἔδειξεν ἀνθρώποις τήν τε τῆς πόλεως καλοκαγαθίαν καὶ τὴν Φιλίππου κακίαν. ὁ μὲν γὰρ σύμμαχος ὢν τοῖς Βυ-** 20 **ζαντίοις πολιορκῶν αὐτοὺς ἑωρᾶθ' ὑπὸ πάντων (οὗ τί γένοιτ' ἂν αἴσχιον ἢ μιαρώτερον;) ὑμεῖς δ' οἱ καὶ μεμ-** 94 **ψάμενοι πολλὰ καὶ δίκαι' ἂν ἐκείνοις εἰκότως περὶ ὧν**

1 *ἁμέων* Ahrens (*ἁμῶν* Wunderlich): *ὑμῶν* SVY | *ἕλληνες* Y *τάν τε* Porson: *πάντε* SQ *πάντες* FY *πάντες τάν τε* G. H. Schaefer 2 *ευχαριστειαν* S 4 v. ad p. 305, 17 5 *Ἐλαιοῦντα* Harpocr. (Felicianus): *ἐλεοῦντα* SVY 8 *πάντων* ⟨*τῶν*⟩ post Dobraeum Weil at v. § 143 9 *παραίτιος* post Stockium Reiske: *πράττειν* SVY 10 *τῆς*] *τοῦ* Y 11 *ελλιψει* S 13 *ἐν τῷ κοινῷ* Vind. 5 Pal. 1, Dobree: *ἐν κοινῶι* F *κοινῶι* SQY 14 post *τὸ* litt. eras. F 15 *τὸ*] *τῶι* A[1] corr. A[3] 18 *ἀνθρώποις ἔδειξε* (-*ξεν* F[1]) F 19 *γὰρ* SF mg.: *γε γρ.* S[d]F[1]QAY | *σύμμαχος ὢν* S: *φίλος καὶ σύμμαχος ὢν γρ.* S[d]VY *φίλος ὢν καὶ σύμμαχος* A ex IX 12

ἠγνωμονήκεσαν εἰς ὑμᾶς ἐν τοῖς ἔμπροσθεν χρόνοις, οὐ
μόνον οὐ μνησικακοῦντες οὐδὲ προϊέμενοι τοὺς ἀδικου-
μένους, ἀλλὰ καὶ σῴζοντες ἐφαίνεσθε, ἐξ ὧν δόξαν, εὔ-
νοιαν παρὰ πάντων ἐκτᾶσθε. καὶ μὴν ὅτι μὲν πολλοὺς
ἐστεφανώκατ' ἤδη τῶν πολιτευομένων, ἅπαντες ἴσασιν· 5
δι' ὅντινα δ' ἄλλον ἡ πόλις ἐστεφάνωται, σύμβουλον λέ-
γω καὶ ῥήτορα, πλὴν δι' ἐμέ, οὐδ' ἂν εἷς εἰπεῖν ἔχοι.
95 Ἵνα τοίνυν καὶ τὰς βλασφημίας, ἃς κατὰ τῶν Εὐβο-
έων καὶ τῶν Βυζαντίων ἐποιήσατο, εἴ τι δυσχερὲς αὐτοῖς
ἐπέπρακτο πρὸς ὑμᾶς ὑπομιμνήσκων, συκοφαντίας οὔσας 10
ἐπιδείξω μὴ μόνον τῷ ψευδεῖς εἶναι (τοῦτο μὲν γὰρ ὑπάρ-
χειν ὑμᾶς εἰδότας ἡγοῦμαι), ἀλλὰ καὶ τῷ, εἰ τὰ μάλιστ'
ἦσαν ἀληθεῖς, οὕτως ὡς ἐγὼ κέχρημαι τοῖς πράγμασι
συμφέρειν χρήσασθαι, ἓν ἢ δύο βούλομαι τῶν καθ' ὑμᾶς
πεπραγμένων καλῶν τῇ | πόλει διεξελθεῖν, καὶ ταῦτ' ἐν 258
βραχέσιν· καὶ γὰρ ἄνδρ' ἰδίᾳ καὶ πόλιν κοινῇ πρὸς τὰ 16
κάλλιστα τῶν ὑπαρχόντων αἰεὶ δεῖ πειρᾶσθαι τὰ λοιπὰ
96 πράττειν. ὑμεῖς τοίνυν ἄνδρες Ἀθηναῖοι Λακεδαιμονίων
γῆς καὶ θαλάττης ἀρχόντων καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς
κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς, Εὔβοιαν, Τάνα- 20
γραν, τὴν Βοιωτίαν ἅπασαν, Μέγαρ', Αἴγιναν, Κέω, τὰς
ἄλλας νήσους, οὐ ναῦς, οὐ τείχη τῆς πόλεως τότε κεκτη-
μένης, ἐξήλθετ' εἰς Ἁλίαρτον καὶ πάλιν οὐ πολλαῖς ἡμέ-

3 *εὔνοιαν τιμὴν* A ex § 66 (67)? 4 *παρ απάντων* S | *πολλοὺς μὲν* VY 5 *ἅπαντες* om. S^1 add. S^d 6 *λέγω* om. Y^1 8 *Εὐβοῶν* Dobson 12 *ἡγοῦμαι* S^dVAY: *ειδεναι* S^1 14 *χρῆσθαι* A 17 *ἀεὶ* VA | *τὰ λοιπὰ πειρᾶσθαι* VAY 18 *ὦ ἄνδρες* VY Hermog. III 146 W. (171, 14 R.) *ὦ Ἀθην.* A Hermog. 245 (265, 18 R.) 21 *αἴγηναν* A | *Κέω* (*Κέων* Blass) *τὰς* Dobree: *κλεωνας* S *κλεωνὰς τὰς* VAY Hermog. 146 (171, 18) 22 *οὐ* ... *οὐ* VAY Hermog. 146 (171, 19): *οὐ* ... *οὔτε* S *οὔτε* ... *οὔτε* Dindorf; num *οὐ* ... *οὐδὲ*? | *κεκτημένης* S^dVAY Hermog.: *κτησαμένης* S^1

ραις ὕστερον εἰς Κόρινθον, τῶν τότ' Ἀθηναίων πόλλ'
ἂν ἐχόντων μνησικακῆσαι καὶ Κορινθίοις καὶ Θηβαίοις
τῶν περὶ τὸν Δεκελεικὸν πόλεμον πραχθέντων· ἀλλ' οὐκ
ἐποίουν τοῦτ', οὐδ' ἐγγύς. καίτοι τότε ταῦτ' ἀμφότερ' 97
5 Αἰσχίνη, οὔθ' ὑπὲρ εὐεργετῶν ἐποίουν οὔτ' ἀκίνδυν'
ἑώρων. ἀλλ' οὐ διὰ ταῦτα προΐεντο τοὺς καταφεύγοντας
ἐφ' ἑαυτούς, ἀλλ' ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἤθελον τοῖς
δεινοῖς αὑτοὺς διδόναι, ὀρθῶς καὶ καλῶς βουλευόμενοι.
πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶν τοῦ βίου θάνα-
10 τος, κἂν ἐν οἰκίσκῳ τις αὑτὸν καθείρξας τηρῇ· δεῖ δὲ
τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς κα-
λοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δ' ἂν
ὁ θεὸς διδῷ γενναίως. ταῦτ' ἐποίουν οἱ ὑμέτεροι πρό- 98
γονοι, ταῦθ' ὑμεῖς οἱ πρεσβύτεροι, οἳ Λακεδαιμονίους
15 οὐ φίλους ὄντας οὐδ' εὐεργέτας, ἀλλὰ πολλὰ τὴν πόλιν
ἡμῶν ἠδικηκότας καὶ μεγάλα, ἐπειδὴ Θηβαῖοι κρατή-
σαντες ἐν Λεύκτροις ἀνελεῖν ἐπεχείρουν, διεκωλύσατε,
259 οὐ φοβηθέντες τὴν τότε Θηβαίοις | ῥώμην καὶ δόξαν
ὑπάρχουσαν, οὐδ' ὑπὲρ οἷα πεποιηκότων ἀνθρώπων κιν-
20 δυνεύσετε διαλογισάμενοι. καὶ γάρ τοι πᾶσι τοῖς Ἕλλησιν 99
ἐδείξατ' ἐκ τούτων ὅτι, κἂν ὁτιοῦν τις εἰς ὑμᾶς ἐξαμάρτῃ,
τούτων τὴν ὀργὴν εἰς τἄλλ' ἔχετε, ἐὰν δ' ὑπὲρ σωτηρίας

3 δεκελικὸν S 4 τότε om. A Hermog. cod. Rc 6 οὐδε F^1 | προίεντο S Hermog.: προεῖντο VAY 7 ἐφ' ἑαυτοὺς S (Hermog. cod. Sc): ἐφ' αὐτοὺς VY ἐπ' αὐτοὺς A Hermog. 8 ἑαυτοὺς Hermog. 9 ἐστὶν τοῦ βίου om. Q 10 οἰσκίσκωι Y^1 11 αἰεὶ Y 12 ἂν Voemel: αν ὃ S^1 ὅτι ἂν γρ. S^dVAY (Dionys. H. Arch. IV 83, 4) ὃ ἂν Stobaeus Flor. VII 50 ἃ ἂν schol. Il. E 233 13 ὁ om. γρ. S^d | ἡμέτεροι A 14 ὑμεῖς S: ὑμῶν γρ. S^dVY Hermog. III 245 W. (265, 17 R.) ὑμῖν A 19 διακινδυνεύσετε Y^1 21 τις om. A 22 τούτων S: τούτωι γρ. S^dVAY | ἂν VAY 22 sq. ἐλευθερίας καὶ σωτηρίας A

ἢ ἐλευθερίας κίνδυνός τις αὐτοὺς καταλαμβάνῃ, οὔτε μνησικακήσετ' οὔθ' ὑπολογιεῖσθε. καὶ οὐκ ἐπὶ τούτων μόνον οὕτως ἐσχήκατε, ἀλλὰ πάλιν σφετεριζομένων Θηβαίων τὴν Εὔβοιαν, οὐ περιείδετε, οὐδ' ὧν ὑπὸ Θεμίσωνος καὶ Θεοδώρου περὶ Ὠρωπὸν ἠδίκησθ' ἀνεμνήσθητε, ἀλλ' ἐβοηθήσατε καὶ τούτοις, τῶν ἐθελοντῶν τότε τριηράρχων πρῶτον γενομένων τῇ πόλει, ὧν εἷς ἦν ἐγώ. 5

100 *ἀλλ' οὔπω περὶ τούτων. καὶ καλὸν μὲν ἐποιήσατε καὶ τὸ σῶσαι τὴν νῆσον, πολλῷ δ' ἔτι τούτου κάλλιον τὸ καταστάντες κύριοι καὶ τῶν σωμάτων καὶ τῶν πόλεων ἀποδοῦναι ταῦτα δικαίως αὐτοῖς τοῖς ἐξημαρτηκόσιν εἰς ὑμᾶς, μηδὲν ὧν ἠδίκησθε ἐν οἷς ἐπιστεύθηθ' ὑπολογισάμενοι. μυρία τοίνυν ἕτερ' εἰπεῖν ἔχων παραλείπω, ναυμαχίας, ἐξόδους [πεζάς, στρατείας] καὶ πάλαι γεγονυίας καὶ νῦν ἐφ' ἡμῶν αὐτῶν, ἃς ἁπάσας ἡ πόλις τῆς τῶν* 10 15

101 *ἄλλων Ἑλλήνων ἐλευθερίας καὶ σωτηρίας πεποίηται. εἶτ' ἐγὼ τεθεωρηκὼς ἐν τοσούτοις καὶ τοιούτοις τὴν πόλιν ὑπὲρ τῶν τοῖς ἄλλοις συμφερόντων ἐθέλουσαν ἀγωνίζεσθαι, ὑπὲρ αὐτῆς τρόπον τινὰ τῆς βουλῆς οὔσης τί ἔμελλον κελεύσειν ἢ τί συμβουλεύσειν αὐτῇ ποιεῖν; μνησικακεῖν νὴ Δία πρὸς τοὺς βουλομένους σῴζεσθαι καὶ προφάσεις ζητεῖν δι' ἃς ἅπαντα προησόμεθα. | καὶ τίς οὐκ ἂν ἀπέκτεινέ με δικαίως, εἴ τι τῶν ὑπαρχόντων τῇ* 20 260

1 *καταλαμβάνηι*] *ηι* in ras. F 3 *μόνων* F[1]A 6 *ἐθελοντῶν* Felic.: *ἐθελόντων* codd. 6 sq. *τότε* post *τριηράρχων* VAY 8 *καὶ* SQ corr.: *καίτοι* FAY (post *καὶ* lac. 3 litt. Q) 12 *ἐν οἷς ἐπιστεύθητε* om. S text. add. *γρ.* S[d] cf. Aesch. III 85 13 *ἕτερ'* om. A 14 *πεζάς, στρατείας* del. Usener | *στρατιας* SA 15 *ὑφ' ὑμῶν* Y 16 *ἄλλων* om. A | *ἑλλήνων* S: *ἑλλήνων ἕνεκ'* A *ἕνεχ' ἑλλήνων* VY 20 *ἤμελλον* AY | *συμβουλεύειν* A | *μνησικακεῖν* *γρ.* FAY: *μνησικακήσειν* SF text. Q 22 *ἃς*] *ως* S[1] | *προησόμεθα τὰ συμφέροντα* Y

πόλει καλῶν λόγῳ μόνον καταισχύνειν ἐπεχείρησα; ἐπεὶ
τό γ' ἔργον οὐκ ἂν ἐποιήσαθ' ὑμεῖς, ἀκριβῶς οἶδ' ἐγώ·
εἰ γὰρ ἠβούλεσθε, τί ἦν ἐμποδών; οὐκ ἐξῆν; οὐχ ὑπῆρ-
χον οἱ ταῦτ' ἐροῦντες οὗτοι;

5 Βούλομαι τοίνυν ἐπανελθεῖν ἐφ' ἃ τούτων ἑξῆς ἐπολι- 102
τευόμην· καὶ σκοπεῖτ' ἐν τούτοις πάλιν αὖ, τί τὸ τῇ
πόλει βέλτιστον ἦν. ὁρῶν γὰρ ὦ ἄνδρες Ἀθηναῖοι τὸ
ναυτικὸν ὑμῶν καταλυόμενον καὶ τοὺς μὲν πλουσίους
ἀτελεῖς ἀπὸ μικρῶν ἀναλωμάτων γιγνομένους, τοὺς δὲ
10 μέτρι' ἢ μικρὰ κεκτημένους τῶν πολιτῶν τὰ ὄντ' ἀπολ-
λύντας, ἔτι δ' ὑστερίζουσαν ἐκ τούτων τὴν πόλιν τῶν
καιρῶν, ἔθηκα νόμον καθ' ὃν τοὺς μὲν τὰ δίκαια ποι-
εῖν ἠνάγκασα, τοὺς πλουσίους, τοὺς δὲ πένητας ἔπαυσ'
ἀδικουμένους, τῇ πόλει δ' ὅπερ ἦν χρησιμώτατον, ἐν
15 καιρῷ γίγνεσθαι τὰς παρασκευὰς ἐποίησα. καὶ γραφεὶς 103
τὸν ἀγῶνα τοῦτον εἰς ὑμᾶς εἰσῆλθον καὶ ἀπέφυγον, καὶ
τὸ μέρος τῶν ψήφων ὁ διώκων οὐκ ἔλαβε. καίτοι πόσα
χρήματα τοὺς ἡγεμόνας τῶν συμμοριῶν ἢ τοὺς δευτέρους
καὶ τρίτους οἴεσθέ μοι διδόναι, ὥστε μάλιστα μὲν μὴ
20 θεῖναι τὸν νόμον τοῦτον, εἰ δὲ μή, καταβάλλοντ' ἐᾶν ἐν
ὑπωμοσίᾳ; τοσαῦτ' ὦ ἄνδρες Ἀθηναῖοι, ὅσ' ὀκνήσαιμ'
ἂν πρὸς ὑμᾶς εἰπεῖν. καὶ ταῦτ' εἰκότως ἔπραττον ἐκεῖ- 104

1 αἰσχύνειν AY | ἐπεχείρησ' ἂν SF[1]Q 2 τό γ'] τότε A | ἐποιήσασθ' A | ἀκριβῶς om. A 3 οὐχ] οὐκ S 10 ἢ] καὶ A | τῶν πολιτῶν om. A | τὰ ὄντα om. S[1] add. S[d] | ἀπολλύντας F corr. AY Hermog. III 265 W. (284, 6 R.): ἀπολλύοντας SF[1] cf. XXII 65. XXIV 172 11 ὑστερίζοντας ut vid. F[1] | ἐκ τούτων ὑστερίζουσαν Y 12 τοὺς μὲν F rec. AY: μὲν SF[1]Q 13 τοὺς πλουσίους del. Herwerden | πένητας del. Cobet 15 τὰς] ναυτικὰς γρ. S[d] γρ. V | γραφεὶς εἰς A 16 παρανόμων τὸν γρ. S[d] γρ. V | τοῦτον παρανόμων (παράνομον ut vid. I) A 17 πέμπτον μέρος F corr. AY cf. §§ 222. 250. 266 20 θεῖναί με Y | καταβάλλοντα SF[1]QY: καταβαλόντα F corr. A 22 εἰπεῖν ἐγὼ πρὸς ὑμᾶς γρ. QAY

νοι. ἦν γὰρ αὐτοῖς ἐκ μὲν τῶν προτέρων νόμων σὺν ἓξ καὶ δέκα λητουργεῖν, αὐτοῖς μὲν μικρὰ καὶ οὐδὲν ἀναλίσκουσιν, τοὺς δ' ἀπόρους τῶν πολιτῶν ἐπιτρίβουσιν, 261 *ἐκ δὲ τοῦ ἐμοῦ νόμου τὸ γιγνόμενον κατὰ τὴν οὐσίαν ἕκαστον τιθέναι, καὶ δυοῖν ἐφάνη τριήραρχος ὁ τῆς μιᾶς* 5 *ἕκτος καὶ δέκατος πρότερον συντελής· οὐδὲ γὰρ τριη-* 105 *ράρχους ἔτ' ὠνόμαζον ἑαυτούς, ἀλλὰ συντελεῖς. ὥστε δὴ ταῦτα λυθῆναι καὶ μὴ τὰ δίκαια ποιεῖν ἀναγκασθῆναι, οὐκ ἔσθ' ὅ τι οὐκ ἐδίδοσαν. καί μοι λέγε πρῶτον μὲν τὸ ψήφισμα καθ' ὃ εἰσῆλθον τὴν γραφήν, εἶτα τοὺς κατα-* 10 *λόγους, τόν τ' ἐκ τοῦ προτέρου νόμου καὶ τὸν κατὰ τὸν ἐμόν. λέγε.*

ΨΗΦΙΣΜΑ

[Ἐπὶ ἄρχοντος Πολυκλέους, μηνὸς βοηδρομιῶνος ἕκτῃ ἐπὶ δέκα, φυλῆς πρυτανευούσης Ἱπποθοωντίδος, Δημοσθένης Δη- 15 *μοσθένους Παιανιεὺς εἰσήνεγκεν νόμον [εἰς τὸ] τριηραρχικὸν ἀντὶ τοῦ πρότερον, καθ' ὃν αἱ συντέλειαι ἦσαν τῶν τριηράρχων· καὶ ἐπεχειροτόνησεν ἡ βουλὴ καὶ ὁ δῆμος· καὶ ἀπήνεγκεν παρανόμων Δημοσθένει Πατροκλῆς Φλυεύς, καὶ τὸ μέρος τῶν ψήφων οὐ λαβὼν ἀπέτισε τὰς πεντακοσίας δραχμάς.]* 20

106 *Φέρε δὴ καὶ τὸν καλὸν κατάλογον.*

1 *πρότερον* A | *σὺν ἓξ καὶ δέκα* Christ: *συνεκκαίδεκα* SVAY 6 *δέκατος ὢν* S rec. Y | *πρότερος* A | *οὐδὲ*] *οὐ* Y 7 *ἔτι ὠνόμαζον* SA: *ἐπωνόμαζον* VY | *αυτοὺς* AY | *ὥστε ὑπὲρ τοῦ ταῦτα γρ.* S[d] 9 *οὐκ ἔσθ'*] *οὖσθ'* Y[1] *ουθ'* Y corr. | *ἔστιν* A 10 *καταλόγους*] *λόγους* Y[1] 11 *τὸν* ante *κατὰ* om. Y 15 *Ἱπποθωντίδος* Dindorf cf. § 75 16 *εἰς τὸ* del. Boeckh 17 *πρότερον* SV: *προτέρου* Y 20 *ἀπέτισε* FY corr.: *ἀπήτησε* SQ *ἀπήτισε* Y[1] *ἀπέτεισε* Blass 21 *καὶ* om. A | *καλὸν*] *παλαιὸν* Herwerden

ΚΑΤΑΛΟΓΟΣ.

[*Τοὺς τριηράρχους καλεῖσθαι ἐπὶ τὴν τριήρη συνεκκαίδεκα ἐκ τῶν ἐν τοῖς λόχοις συντελειῶν, ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν εἰς τετταράκοντα, ἐπὶ ἴσον τῇ χορηγίᾳ χρωμένους.*]

5 **Φέρε δὴ παρὰ τοῦτον τὸν ἐκ τοῦ ἐμοῦ νόμου κατάλογον.**|

262 ΚΑΤΑΛΟΓΟΣ.

[*Τοὺς τριηράρχους αἱρεῖσθαι ἐπὶ τὴν τριήρη ἀπὸ τῆς οὐσίας κατὰ τίμησιν, ἀπὸ ταλάντων δέκα· ἐὰν δὲ πλειόνων ἡ οὐσία ἀποτετιμημένη ᾖ χρημάτων, κατὰ τὸν ἀναλογισμὸν ἕως τριῶν 10 πλοίων καὶ ὑπηρετικοῦ ἡ λειτουργία ἔστω. κατὰ τὴν αὐτὴν δὲ ἀναλογίαν ἔστω καὶ οἷς ἐλάττων οὐσία ἐστὶν τῶν δέκα ταλάντων, εἰς συντέλειαν συναγομένοις εἰς τὰ δέκα τάλαντα.*]

Ἆρα μικρὰ βοηθῆσαι τοῖς πένησιν ὑμῶν δοκῶ, ἢ μίκρ' ἀναλῶσαι ἂν τοῦ μὴ τὰ δίκαια ποιεῖν οἱ πλούσιοι; οὐ 15 τοίνυν μόνον τῷ μὴ καθυφεῖναι ταῦτα σεμνύνομαι, οὐδὲ τῷ γραφεὶς ἀποφυγεῖν, ἀλλὰ καὶ τῷ συμφέροντα θεῖναι τὸν νόμον καὶ τῷ πεῖραν ἔργῳ δεδωκέναι. πάντα γὰρ τὸν πόλεμον τῶν ἀποστόλων γιγνομένων κατὰ τὸν νόμον τὸν ἐμόν, οὐχ ἱκετηρίαν ἔθηκε τριήραρχος οὐδεὶς πώποθ' 20 ὡς ἀδικούμενος παρ' ὑμῖν, οὐκ ἐν Μουνιχίας ἐκαθέζετο, οὐχ ὑπὸ τῶν ἀποστολέων ἐδέθη, οὐ τριήρης οὔτ' ἔξω 107

1 *συνεκκαίδεκα* v. § 104 3 *ἐκ τῶν* SY: *ἐτῶν* V 4 *τεττεράκοντα* Q | *χρωμένους* L mg. Felicianus: *χρώμενον* SVY 6 ΚΑΤΑΛΟΓΟΥ SF[1]Q 8 *μίμησιν* Y[1] (corrector *τ* falso posuit super *κ* praecedens) 9 *η* S[1] 10 *πλοίων* om. Q 11 *ἡ οὐσία* Y 13 *ἆρα* S[1]Y[1] Hermog. III 352 W. (367, 16 R.): *ἆρά γε* S[d] VAY corr. | *ἢ*] *καὶ* S rec. 14 *ἀναλώσειαν γρ.* FY[1] (ut vid., *αι* in ras.) *ἂν ἀναλῶσαι* Hertz | *ποιεῖν* AY[1]: *ποιεῖν ἐθέλειν* SVY[8] 15 *τῷ* postea add. A 16 *γραφῆς* S corr. V | *ἀποφεύγειν* S[1] 20 *ὡς* om. S[1] add. S[d] | *ἀδικούμενος*] *ς* ut vid. ex *ι* corr. S | *παρ'*] *π* in ras. A | *Μουνιχίας* Kirchhoff: *μουνυχίαι* SVAY 21 *ἐδεήθη* Q

καταλειφθεῖσ' ἀπώλετο τῇ πόλει, οὔτ' αὐτοῦ ἀπελείφθη
108 οὐ δυναμένη ἀνάγεσθαι. καίτοι κατὰ τοὺς προτέρους
νόμους ἅπαντα ταῦτ' ἐγίγνετο. τὸ δ' αἴτιον, ἐν τοῖς πέ-
νησιν ἦν τὸ λῃτουργεῖν· πολλὰ δὴ τὰ ἀδύνατα συνέβαινεν.
ἐγὼ δ' ἐκ τῶν ἀπόρων εἰς τοὺς εὐπόρους μετήνεγκα τὰς 5
τριηραρχίας· πάντ' οὖν τὰ δέοντ' ἐγίγνετο. καὶ μὴν καὶ
κατ' αὐτὸ τοῦτ' ἄξιός εἰμ' ἐπαίνου τυχεῖν, ὅτι πάντα τὰ
τοιαῦτα προῃρούμην πολιτεύματα, ἀφ' ὧν ἅμα δόξαι καὶ
τιμαὶ καὶ δυνάμεις συνέβαινον τῇ πόλει· βάσκανον δὲ
καὶ πι|κρὸν καὶ κακόηθες οὐδέν ἐστιν πολίτευμ' ἐμόν, 263
109 οὐδὲ ταπεινὸν οὐδὲ τῆς πόλεως ἀνάξιον. ταὐτὸ τοίνυν 11
ἦθος ἔχων ἔν τε τοῖς κατὰ τὴν πόλιν πολιτεύμασιν καὶ
ἐν τοῖς Ἑλληνικοῖς φανήσομαι· οὔτε γὰρ ἐν τῇ πόλει
τὰς παρὰ τῶν πλουσίων χάριτας μᾶλλον ἢ τὰ τῶν πολλῶν
δίκαι' εἱλόμην, οὔτ' ἐν τοῖς Ἑλληνικοῖς τὰ Φιλίππου 15
δῶρα καὶ τὴν ξενίαν ἠγάπησ' ἀντὶ τῶν κοινῇ πᾶσι τοῖς
Ἕλλησι συμφερόντων.

110 Ἡγοῦμαι τοίνυν λοιπὸν εἶναί μοι περὶ τοῦ κηρύγμα-
τος εἰπεῖν καὶ τῶν εὐθυνῶν· τὸ γὰρ ὡς τὰ ἄριστά τ'
ἔπραττον καὶ διὰ παντὸς εὔνους εἰμὶ καὶ πρόθυμος εὖ 20
ποιεῖν ὑμᾶς, ἱκανῶς ἐκ τῶν εἰρημένων δεδηλῶσθαί μοι
νομίζω. καίτοι τὰ μέγιστά γε τῶν πεπολιτευμένων καὶ
πεπραγμένων ἐμαυτῷ παραλείπω, ὑπολαμβάνων πρῶτον
μὲν ἐφεξῆς τοὺς περὶ αὐτοῦ τοῦ παρανόμου λόγους ἀπο-
δοῦναί με δεῖν, εἶτα, κἂν μηδὲν εἴπω περὶ τῶν λοιπῶν 25

1 καταληφθεῖσα Vind. 1 al. | ἀπελήφθη S[1], corr. S[d] et S rec.
2 ἀπάγεσθαι (ν suprascr.) F 4 τὸ λειτουργεῖν S[1]Q[1]: τὸ λειτουργεῖν μὴ δύ-
νασθαι γρ. S[d] F corr. Q mg. pr. m Y τὸ μὴ δύνασθαι λειτουργεῖν A |
δὴ ἂν Y 7 αὐτὸ om. A 13 ἐν τοῖς om. Y 15 τὰ om. A
19 τὰ om. A 20 ἔπραττον ⟨καὶ ἔλεγον⟩ Sauppe 21 μοι om. Y[1]
22 καίτοι] καί μοι A 24 παρανόμους Y[1]

πολιτευμάτων, ὁμοίως παρ' ὑμῶν ἑκάστῳ τὸ συνειδὸς
ὑπάρχειν μοι.

Τῶν μὲν οὖν λόγων, οὓς οὗτος ἄνω καὶ κάτω δια- 111
κυκῶν ἔλεγεν περὶ τῶν παραγεγραμμένων νόμων, οὔτε
5 *μὰ τοὺς θεοὺς ὑμᾶς οἶμαι μανθάνειν, οὔτ' αὐτὸς ἠδυ-*
νάμην συνεῖναι τοὺς πολλούς· ἁπλῶς δὲ τὴν ὀρθὴν περὶ
τῶν δικαίων διαλέξομαι. τοσούτου γὰρ δέω λέγειν ὡς
οὐκ εἴμ' ὑπεύθυνος, ὃ νῦν οὗτος διέβαλλε καὶ διωρίζετο,
ὥσθ' ἅπαντα τὸν βίον ὑπεύθυνος εἶναι ὁμολογῶ, ὧν ἢ
10 *διακεχείρικ' ἢ πεπολίτευμαι παρ' ὑμῖν. ὧν μέντοι γ' ἐκ* 112
τῆς ἰδίας οὐσίας ἐπαγγειλάμενος δέδωκα τῷ δήμῳ, οὐ-
264 *δεμίαν ἡμέραν ὑπεύθυνος εἶναί φημι (ἀκούεις Αἰ|σχίνη;)*
οὐδ' ἄλλον οὐδένα, οὐδ' ἂν τῶν ἐννέ' ἀρχόντων τις ὢν
τύχῃ· τίς γάρ ἐστιν νόμος τοσαύτης ἀδικίας καὶ μισ-
15 *ανθρωπίας μεστός, ὥστε τὸν δόντα τι τῶν ἰδίων καὶ*
ποιήσαντα πρᾶγμα φιλάνθρωπον καὶ φιλόδωρον τῆς χά-
ριτος μὲν ἀποστερεῖν, εἰς τοὺς συκοφάντας δ' ἄγειν, καὶ
τούτους ἐπὶ τὰς εὐθύνας ὧν ἔδωκεν ἐφιστάναι; οὐδὲ εἷς.
εἰ δέ φησιν οὗτος, δειξάτω, κἀγὼ στέρξω καὶ σιωπήσο-
20 *μαι. ἀλλ' οὐκ ἔστιν ἄνδρες Ἀθηναῖοι, ἀλλ' οὗτος συκο-* 113
φαντῶν, ὅτι ἐπὶ τῷ θεωρικῷ τότ' ὢν ἐπέδωκα τὰ χρή-

1 *ἑκάστου* F corr. Y 2 *ὑπάρχει* F 3 *κυκῶν* AY | *διακυκλῶν* S rec. 4 *τῶν* om. A | *παραγεγραμμένων γρ.* S^dVY: *πεπραγμένων* S *γεγραμμένων* A 5 *θεους* repetitum S^1 | *ὑμᾶς οἶμαι* S corr. AY: *οἶμαι ὑμᾶς* S^1V 6 *πολλοὺς αὐτῶν γρ.* VY | *ὁδὸν* post *ὀρθὴν* add. F corr. A post *δικαίων* v. 7 Y 7 *τοσούτου* F corr. AY: *τοσούτω* SF^1Q, cf. IX 17. XIX 48 8 *οὗτος πολλάκις* AY 9 *ομολογωι* S^1 9 sq. *ων νη δια κεχειρικα* S^1 10 *διακεχείρηκα* AY 11 *δέδωκα*] *δωδεκα* S^1 ut vid. | *ἐπαγγ. δέδ. τ. δ.*] *ἐπέδωκα* Hermog. III 431 W. (442, 18 R.) 13 *ἐὰν* A 17 *τοὺς συκοφάντας δὲ* S corr. AY Marcell. Rh. Gr. IV 515, 2: *δὲ τοὺς συκοφάντας* V *δὲ τοὺς συκοφάντας δ'* S^1 18 *δέδωκεν* A | *εἷς δήπου* F^2Y

*ματα, „ἐπήνεσεν αὐτόν“ φησίν „ὑπεύθυνον ὄντα“. οὐ
περὶ τούτων γ' οὐδενός, ὧν ὑπεύθυνος ἦν, ἀλλ' ἐφ' οἷς
ἐπέδωκ' ὦ συκοφάντα. „ἀλλὰ καὶ τειχοποιὸς ἦσθα.“ καὶ
διά γε τοῦτ' ὀρθῶς ἐπῃνούμην, ὅτι τὰ ἀνηλωμέν' ἔδωκα
καὶ οὐκ ἐλογιζόμην. ὁ μὲν γὰρ λογισμὸς εὐθυνῶν καὶ* 5
*τῶν ἐξετασόντων προσδεῖται, ἡ δὲ δωρεὰ χάριτος καὶ
ἐπαίνου δικαία ἐστὶν τυγχάνειν· διόπερ ταῦτ' ἔγραψεν*
114 *ὁδὶ περὶ ἐμοῦ. ὅτι δ' οὕτως ταῦτ' οὐ μόνον ἐν τοῖς νό-
μοις, ἀλλὰ καὶ ἐν τοῖς ὑμετέροις ἤθεσιν ὥρισται, ἐγὼ
ῥᾳδίως πολλαχόθεν δείξω. πρῶτον μὲν γὰρ Ναυσικλῆς* 10
*στρατηγῶν ἐφ' οἷς ἀπὸ τῶν ἰδίων προεῖτο πολλάκις ἐστε-
φάνωται ὑφ' ὑμῶν· εἶθ' ὅτε τὰς ἀσπίδας Διότιμος ἔδωκεν
καὶ πάλιν Χαρίδημος, ἐστεφανοῦντο· εἶθ' οὑτοσὶ Νεοπτό-
λεμος πολλῶν ἔργων ἐπιστάτης ὤν, ἐφ' οἷς ἐπέδωκεν τε-
τίμηται. σχέτλιον γὰρ ἂν εἴη τοῦτό γ', εἰ τῷ τιν' ἀρχὴν* 15
*ἄρχοντι ἢ διδόναι τὰ ἑαυτοῦ τῇ πόλει διὰ τὴν ἀρχὴν μὴ
ἐξέσται, ἢ τῶν δοθέντων ἀντὶ τοῦ | κομίσασθαι χάριν εὐ-* 265
115 *θύνας ὑφέξει. Ὅτι τοίνυν ταῦτ' ἀληθῆ λέγω, λέγε τὰ ψη-
φίσματά μοι τὰ τούτοις γεγενημέν' αὐτὰ λαβών. λέγε.*

ΨΗΦΙΣΜΑ. 20

[*Ἄρχων Δημόνικος Φλυεύς, βοηδρομιῶνος ἕκτῃ μετ' εἰκάδα,
γνώμῃ βουλῆς καὶ δήμου, Καλλίας Φρεάρριος εἶπεν, ὅτι δοκεῖ*

1 *φησὶν* om. A^{1} add. A^{2} mg. | *ἡ βουλὴ ὑπεύθυνον* S^{d}VAY 2 *οὐδὲν ὢν* Y 3 *ἐπέδωκα*] *ἕνεκα* Y^{1} | *ἦσθα φησὶ* F corr. A^{3}Y 4 *διά γε* $SF^{1}Q$: *δι' αὐτό γε γρ.* FAY | *ἔδωκα* $SF^{1}QA$: *ἐπέδωκα* $F^{2}Y$ 6 *ἐξεταζομένων* A 7 *τυγχάνειν ἐστί* AY 8 *ὡδὶ* Y^{1} | *οὕτω* VAY | *ταῦτα ἔχει καὶ οὐ* Y 9 *ἡμετέροις* FAY | *ἔθεσιν* Sopater, Rh. Gr. IV 729, 22 (non Marcell. p. 514, 1 v. tamen v. 7, 513, 25) 12 *ὑφ' ὑμῶν* om. Marcell. p. 514, 3 al. 13 *ἐστεφανοῦτο* AY Marcell. ib. | *οὑτοσὶ* S corr. A: *οὗτος* S^{1}VY 15 *τῷ τιν'*] *τῳ* Cobet 16 *τηι πολει τα εαυτου* S^{1} Marcell. p. 514, 9 18 *ὑφέξειν* F corr. | *λέγε* om. Y puncto post *λαβών* v. 19 non addito 22 *γνώμη* QY (qui codices ι adscriptum omittere solent) Blass: *γνώμηι* SF cf. §§ 37. 75

τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι Ναυσικλέα τὸν ἐπὶ τῶν ὅπλων, ὅτι Ἀθηναίων ὁπλιτῶν δισχιλίων ὄντων ἐν Ἴμβρῳ καὶ βοηθούντων τοῖς κατοικοῦσιν Ἀθηναίων τὴν νῆσον, οὐ δυναμένου Φίλωνος τοῦ ἐπὶ τῆς διοικήσεως κεχειροτονημένου διὰ 5 τοὺς χειμῶνας πλεῦσαι καὶ μισθοδοτῆσαι τοὺς ὁπλίτας, ἐκ τῆς ἰδίας οὐσίας ἔδωκεν καὶ οὐκ εἰσέπραξεν τὸν δῆμον, καὶ ἀναγορεῦσαι τὸν στέφανον Διονυσίοις τραγῳδοῖς καινοῖς.]

ΕΤΕΡΟΝ ΨΗΦΙΣΜΑ.

[Εἶπεν Καλλίας Φρεάρριος, πρυτάνεων λεγόντων, βουλῆς 116 10 γνώμη· ἐπειδὴ Χαρίδημος ὁ ἐπὶ τῶν ὁπλιτῶν, ἀποσταλεὶς εἰς Σαλαμῖνα, καὶ Διότιμος ὁ ἐπὶ τῶν ἱππέων, ἐν τῇ ἐπὶ τοῦ ποταμοῦ μάχῃ τῶν στρατιωτῶν τινῶν ὑπὸ τῶν πολεμίων σκυλευθέντων, ἐκ τῶν ἰδίων ἀναλωμάτων καθώπλισαν τοὺς νεανίσκους ἀσπίσιν ὀκτακοσίαις, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ 15 στεφανῶσαι Χαρίδημον καὶ Διότιμον χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι Παναθηναίοις τοῖς μεγάλοις ἐν τῷ γυμνικῷ ἀγῶνι 266 καὶ Διονυσίοις τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως | ἐπιμεληθῆναι θεσμοθέτας, πρυτάνεις, ἀγωνοθέτας.]

Τούτων ἕκαστος Αἰσχίνη τῆς μὲν ἀρχῆς ἧς ἦρχεν 117 20 ὑπεύθυνος ἦν, ἐφ' οἷς δ' ἐστεφανοῦτ' οὐχ ὑπεύθυνος. οὐκοῦν οὐδ' ἐγώ· ταὐτὰ γὰρ δίκαι' ἐστί μοι περὶ τῶν αὐτῶν τοῖς ἄλλοις δήπου. ἐπέδωκα· ἐπαινοῦμαι διὰ ταῦτα, οὐκ ὢν ὧν ἔδωχ' ὑπεύθυνος. ἦρχον· καὶ δέδωκά γ' εὐθύνας ἐκείνων, οὐχ ὧν ἐπέδωκα. νὴ Δί' ἀλλ' ἀδίκως 25 ἦρξα. εἶτα παρών, ὅτε μ' εἰσῆγον οἱ λογισταί, οὐ κατηγόρεις;

3 κατοικουσι S 8 lemma om. A 9 πρυτάνεως SVY[1] 10 γνώμη SQY γνώμηι F 13 νεανικους S[1] 14 ὀκτασίαις Q 19 αἰσχίνης ut vid. A[1] 20 οὐκ S[1] cf. p. 318, 2 23 ἔδωκα S[1]F[1]Q: ἐπέδωκα S[d] F corr. AY | γ' om. Y 25 φησίν, ἦρξας Hermog. III 109 W. (135, 21 R.). 121 (148, 11) | διὰ τί οὐ F rec. mg. Hermog. (p. 135 cod. Ba Vc[2] Ac[2], 148 P)

118 Ἵνα τοίνυν εἰδῆθ' ὅτι αὐτὸς οὗτός μοι μαρτυρεῖ, ἐφ' οἷς οὐχ ὑπεύθυνος ἦν ἐστεφανῶσθαι, λαβὼν ἀνάγνωθι τὸ ψήφισμ' ὅλον τὸ γραφέν μοι. οἷς γὰρ οὐκ ἐγράψατο τοῦ προβουλεύματος, τούτοις ἃ διώκει συκοφαντῶν φανή- σεται. λέγε. 5

ΨΗΦΙΣΜΑ

[Ἐπὶ ἄρχοντος Εὐθυκλέους, πυανεψιῶνος ἐνάτῃ ἀπιόντος, φυλῆς πρυτανευούσης Οἰνηίδος, Κτησιφῶν Λεωσθένους Ἀναφλύστιος εἶπεν· ἐπειδὴ Δημοσθένης Δημοσθένους Παιανιεὺς γενόμενος ἐπιμελητὴς τῆς τῶν τειχῶν ἐπισκευῆς καὶ προσανα- 10 λώσας εἰς τὰ ἔργα ἀπὸ τῆς ἰδίας οὐσίας τρία τάλαντα ἐπέδωκεν ταῦτα τῷ δήμῳ, καὶ ἐπὶ τοῦ θεωρικοῦ κατασταθεὶς ἐπέδωκε τοῖς ἐκ πασῶν τῶν φυλῶν θεωροῖς ἑκατὸν μνᾶς εἰς θυσίας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δημοσθένους Παιανιέα ἀρετῆς ἕνεκα καὶ καλο- 15 καγαθίας ἧς ἔχων διατελεῖ ἐν παντὶ καιρῷ εἰς τὸν δῆμον τὸν Ἀθηναίων, καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφα|νον ἐν τῷ θεάτρῳ Διονυσίοις τραγῳδοῖς καινοῖς. 267 τῆς δὲ ἀναγορεύσεως ἐπιμεληθῆναι τὸν ἀγωνοθέτην.]

119 Οὐκοῦν ἃ μὲν ἐπέδωκα, ταῦτ' ἐστὶν ὧν οὐδὲν σὺ γέ- 20 γραψαι· ἃ δέ φησιν ἡ βουλὴ δεῖν ἀντὶ τούτων γενέσθαι μοι, ταῦτ' ἔσθ' ἃ διώκεις. τὸ λαβεῖν οὖν τὰ διδόμεν' ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν τούτων ἀποδοῦναι παρανόμων γράφῃ. ὁ δὲ παμπόνηρος ἄνθρωπος καὶ θεοῖς

1 εἰδῆτε S corr. A corr. (pr. m. ut vid.) VY: ιδητε S^1A^1 2 οὐκ S 4 φανήσεται συκοφαντῶν Y 8 Οἰνηίδος] cf. Meisterhans § 15, 6 13 θεωροῖς Scrimger, cf. Vit. X Or. p. 846 A: θεωρικοῖς SVY 14 τῶι ἀθηναίων SV: τῶν ἀθηναίων Y 15 παιανια S^1 (corr. S^d) Παιανιᾶ Bekker 16 δῆμον τῶν VY 22 μοι ante γενέσθαι A Hermog. III 360 W. (374, 13 R.) 23 ἔννομον εἶναι ὁμολογῶν Y 24 παρανόμων A^1 deinde παράνομον, tum iterum παρανόμων | γράφει Dindorf

ἐχθρὸς καὶ βάσκανος ὄντως ποῖός τις ἂν εἴη πρὸς θεῶν; οὐχ ὁ τοιοῦτος;

Καὶ μὴν περὶ τοῦ γ' ἐν τῷ θεάτρῳ κηρύττεσθαι, τὸ 120
μὲν μυριάκις μυρίους κεκηρῦχθαι παραλείπω καὶ τὸ
5 *πολλάκις αὐτὸς [ἐστεφανῶσθαι] πρότερον. ἀλλὰ πρὸς θεῶν οὕτω σκαιὸς εἶ καὶ ἀναίσθητος Αἰσχίνη, ὥστ' οὐ δύνασαι λογίσασθαι, ὅτι τῷ μὲν στεφανουμένῳ τὸν αὐτὸν ἔχει ζῆλον ὁ στέφανος, ὅπου ἂν ἀναρρηθῇ, τοῦ δὲ τῶν στεφανούντων εἵνεκα συμφέροντος ἐν τῷ θεάτρῳ*
10 *γίγνεται τὸ κήρυγμα; οἱ γὰρ ἀκούσαντες ἅπαντες εἰς τὸ ποιεῖν εὖ τὴν πόλιν προτρέπονται, καὶ τοὺς ἀποδιδόντας τὴν χάριν μᾶλλον ἐπαινοῦσι τοῦ στεφανουμένου· διόπερ τὸν νόμον τοῦτον ἡ πόλις γέγραφεν. Λέγε δ' αὐτόν μοι τὸν νόμον λαβών.*

15 ΝΟΜΟΣ.

[Ὅσους στεφανοῦσί τινες τῶν δήμων, τὰς ἀναγορεύσεις τῶν στεφάνων ποιεῖσθαι ἐν αὐτοῖς ἑκάστους τοῖς ἰδίοις δήμοις, ἐὰν μή τινας ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἢ ἡ βουλὴ στεφανοῖ· τούτους δ' ἐξεῖναι ἐν τῷ θεάτρῳ Διονυσίοις . . .]

20 *Ἀκούεις Αἰσχίνη τοῦ νόμου λέγοντος σαφῶς· „πλὴν* 121
268 *ἐάν τινας ὁ δῆμος ἢ ἡ βουλὴ | ψηφίσηται· τούτους δ' ἀναγορευέτω". τί οὖν ὦ ταλαίπωρε συκοφαντεῖς; τί λόγους πλάττεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις ἐπὶ τούτοις;*

3 *τὸ*] *τον* S¹ 5 *ἐστεφανῶσθαι* del. Kirchhoff 7 *δύνασθαι* F¹ 8 *ὅποι* F corr. Y | *ἂν* om. S¹ 9 *εἵνεκα* SV: *ἕνεκα* AY 10 *τὸ κήρυγμα γίνεται* A 12 *ἐπαινοῦσιν* S corr. | *τοῦ*] *τὸν* A¹ corr. in scribendo 13 *μοι* om. A 17 *ποιεισθε* SQ 19 post *Διονυσίους* add. *εξειναι εσθαι* SF¹ (non *στεφανοῦσθαι*) Y *ἀναγορεύεσθαι* F rec. (fort. recte cf. v. 22) lacuna est in Q 21 *ψηφίσηται* SVAY: *στεφανώσηται γρ.* Sᵈ *γρ.* V 23 *πλάττει* Cobet | *σεαυτὸν* Y | *ἐπὶ τούτοις* non habet Hermog. III 240 W. (261, 15 R.)

ἀλλ' οὐδ' αἰσχύνῃ φθόνου δίκην εἰσάγων, οὐκ ἀδική-
ματος οὐδενός, καὶ νόμους μεταποιῶν, τῶν δ' ἀφαιρῶν
μέρη, οὓς ὅλους δίκαιον ἦν ἀναγιγνώσκεσθαι τοῖς γ' ὀμω-
122 *μοκόσι κατὰ τοὺς νόμους ψηφιεῖσθαι; ἔπειτα τοιαῦτα*
ποιῶν λέγεις πόσα δεῖ προσεῖναι τῷ δημοτικῷ, ὥσπερ 5
ἀνδριάντ' ἐκδεδωκὼς κατὰ συγγραφήν, εἶτ' οὐκ ἔχονθ'
ἃ προσῆκεν ἐκ τῆς συγγραφῆς κομιζόμενος, ἢ λόγῳ τοὺς
δημοτικούς, ἀλλ' οὐ τοῖς πράγμασι καὶ τοῖς πολιτεύμασι
γιγνωσκομένους. καὶ βοᾷς ῥητὰ καὶ ἄρρητ' ὀνομάζων,
ὥσπερ ἐξ ἁμάξης, ἃ σοὶ καὶ τῷ σῷ γένει πρόσεστιν, οὐκ 10
123 *ἐμοί. καίτοι καὶ τοῦτ' ὦ ἄνδρες Ἀθηναῖοι· ἐγὼ λοιδο-*
ρίαν κατηγορίας τούτῳ διαφέρειν ἡγοῦμαι, τῷ τὴν μὲν
κατηγορίαν ἀδικήματ' ἔχειν, ὧν ἐν τοῖς νόμοις εἰσὶν αἱ
τιμωρίαι, τὴν δὲ λοιδορίαν βλασφημίας, ἃς κατὰ τὴν αὑ-
τῶν φύσιν τοῖς ἐχθροῖς περὶ ἀλλήλων συμβαίνει λέγειν. 15
οἰκοδομῆσαι δὲ τοὺς προγόνους ταυτὶ τὰ δικαστήρι' ὑπεί-
ληφα, οὐχ ἵνα συλλέξαντες ὑμᾶς εἰς ταῦτ' ἀπὸ τῶν ἰδίων
κακῶς τὰ ἀπόρρητα λέγωμεν ἀλλήλους, ἀλλ' ἵν' ἐξελέγχω-
124 *μεν, ἐάν τις ἠδικηκώς τι τυγχάνῃ τὴν πόλιν. ταῦτα τοί-*
νυν εἰδὼς Αἰσχίνης οὐδὲν ἧττον ἐμοῦ πομπεύειν ἀντὶ 20
τοῦ κατηγορεῖν εἵλετο. οὐ μὴν οὐδ' ἐνταῦθ' ἔλαττον
ἔχων δίκαιός ἐστιν ἀπελθεῖν. ἤδη δ' ἐπὶ ταῦτα πορεύ-
σομαι, τοσοῦτον αὐτὸν ἐρωτήσας. πότερόν σέ τις Αἰ-

1 *αἰσχύνει* Dindorf | *εἰσάγων* F corr. AY: *εἰσάγειν* SF^1Q 2 *οὐδενός*] *οὐδενὸς λαβεῖν τιμωρίαν* A ex § 280 | *νόμους* S^1F^1: *νόμους τοὺς μὲν* S^dF corr. QAY | *αφερων* S^1 4 *ψηφιεσθε* S^1 *ψηφιεῖσθε* S corr. Q | *ἔπειτα*] *επιτα* S^1 *εἶτα σὺ* A 5 *λέγει* S^1 | *πόσα* Blass: *πρὸς ἃ* SF *ἃ* QAY 7 *προσηκε* S^1 9 *βοᾷς*] *αι* in ras. A 11 *καὶ* om. S^1A | *ὦ* om. AY 13 *αἱ* om. Y 14 *μωρίαι* Y^1 | *λοιδωρίαν* F^1 | *ἃς* om. A 16 *προγόνους ὑμῶν* A 18 *κακῶς* del. Westermann 19 *ἐάν*] *ἄν* S corr. AY | *τι* om. F

σχίνη τῆς πόλεως ἐχθρὸν ἢ ἐμὸν εἶναι φῇ; ἐμὸν δῆλον
269 ὅτι. εἶθ' οὗ μὲν ἦν παρ' | ἐμοῦ δίκην κατὰ τοὺς νόμους
ὑπὲρ τούτων λαβεῖν, εἴπερ ἠδίκουν, ἐξέλειπες, ἐν ταῖς
εὐθύναις, ἐν ταῖς γραφαῖς, ἐν ταῖς ἄλλαις κρίσεσιν· οὗ 125
5 δ' ἐγὼ μὲν ἀθῷος ἅπασι, τοῖς νόμοις, τῷ χρόνῳ, τῇ προ-
θεσμίᾳ, τῷ κεκρίσθαι περὶ πάντων πολλάκις πρότερον,
τῷ μηδεπώποτ' ἐξελεγχθῆναι μηδὲν ὑμᾶς ἀδικῶν, τῇ πό-
λει δ' ἢ πλέον ἢ ἔλαττον ἀνάγκη τῶν γε δημοσίᾳ πε-
πραγμένων μετεῖναι τῆς δόξης, ἐνταῦθ' ἀπήντηκας; ὅρα
10 μὴ τούτων μὲν ἐχθρὸς ἦς, ἐμοὶ δὲ προσποιῇ.

Ἐπειδὴ τοίνυν ἡ μὲν εὐσεβὴς καὶ δικαία ψῆφος ἅπασι 126
δέδεικται, δεῖ δέ μ' ὡς ἔοικε καίπερ οὐ φιλολοίδορον
ὄντα, διὰ τὰς ὑπὸ τούτου βλασφημίας εἰρημένας ἀντὶ
πολλῶν καὶ ψευδῶν αὐτὰ τὰ ἀναγκαιότατ' εἰπεῖν περὶ αὐ-
15 τοῦ, καὶ δεῖξαι τίς ὢν κἀκ τίνων ῥᾳδίως οὕτως ἄρχει
τοῦ κακῶς λέγειν, καὶ λόγους τινὰς διασύρει, αὐτὸς εἰρη-
κὼς ἃ τίς οὐκ ἂν ὤκνησε τῶν μετρίων ἀνθρώπων φθέγ-
ξασθαι;—εἰ γὰρ Αἰακὸς ἢ Ῥαδάμανθυς ἢ Μίνως ἦν ὁ 127
κατηγορῶν, ἀλλὰ μὴ σπερμολόγος, περίτριμμ' ἀγορᾶς,
20 ὄλεθρος γραμματεύς, οὐκ ἂν αὐτὸν οἶμαι ταῦτ' εἰπεῖν
οὐδ' ἂν οὕτως ἐπαχθεῖς λόγους πορίσασθαι, ὥσπερ ἐν
τραγῳδίᾳ βοῶντα „ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ“ καὶ τὰ τοι- Aesch. III 260
αῦτα, καὶ πάλιν „σύνεσιν καὶ παιδείαν“ ἐπικαλούμενον,
„ᾗ τὰ καλὰ καὶ τὰ αἰσχρὰ διαγιγνώσκεται“· ταῦτα γὰρ

1 φῇ] θῆι A 3 ἐξέλειπες S: ἐξέλιπες VAY 5 πᾶσι AY | τοῖς νόμοις om. A[1] add. A[2] mg. 6 πάντων] τούτων A | πρότερον om. A 8 δ' ἢ] δὲ S[d]Q cf. XX 124 ubi ἢ om. SVY

10 ἐμοὶ SQ: ἐμοὶ (ς supra) F ἐμὸς AY 11 ἦ] ει S[1] 13 ὄντα φύσει S[d] γρ. VA 15 καὶ ἐκ Markland: καὶ SVAY cf. XIX 280 16 τινὰς FY: τινας SQ τίνας A | διασύρειν AY 20 ὄλεθρος γραμματεὺς] ος γρ in ras. S | οἶμαι] αι in ras. S | ταῦτ'] τοιαῦτ' AY

128 δήπουθεν ἠκούετ' αὐτοῦ λέγοντος. σοὶ δ' ἀρετῆς ὦ κά-
θαρμ' ἢ τοῖς σοῖς τίς μετουσία; ἢ καλῶν ἢ μὴ τοιούτων
τίς διάγνωσις; πόθεν ἢ πῶς ἀξιωθέντι; ποῦ δὲ παιδείας
σοὶ θέμις μνησθῆναι; ἧς τῶν μὲν ὡς ἀληθῶς τετυχη-
κότων οὐδ' ἂν εἷς εἴποι πε|ρὶ αὐτοῦ τοιοῦτον οὐδέν, 270
ἀλλὰ κἂν ἑτέρου λέγοντος ἐρυθριάσειε, τοῖς δ' ἀπολει- 5
φθεῖσιν μέν, ὥσπερ σύ, προσποιουμένοις δ' ὑπ' ἀναισθη-
σίας τὸ τοὺς ἀκούοντας ἀλγεῖν ποιεῖν ὅταν λέγωσιν, οὐ
τὸ δοκεῖν τοιούτοις εἶναι περίεστιν.

129 Οὐκ ἀπορῶν δ' ὅ τι χρὴ περὶ σοῦ καὶ τῶν σῶν εἰπεῖν, 10
ἀπορῶ τοῦ πρώτου μνησθῶ· πότερ' ὡς ὁ πατήρ σου Τρό-
μης ἐδούλευεν παρ' Ἐλπίᾳ τῷ πρὸς τῷ Θησείῳ διδάσκοντι
γράμματα, χοίνικας παχείας ἔχων καὶ ξύλον; ἢ ὡς ἡ μή-
τηρ τοῖς μεθημερινοῖς γάμοις ἐν τῷ κλεισίῳ τῷ πρὸς τῷ
καλαμίτῃ ἥρῳ χρωμένη τὸν καλὸν ἀνδριάντα καὶ τριτα- 15
γωνιστὴν ἄκρον ἐξέθρεψέ σε; [ἀλλὰ πάντες ἴσασι ταῦτα,
κἂν ἐγὼ μὴ λέγω.] ἀλλ' ὡς ὁ τριηραύλης Φορμίων, ὁ
Δίωνος τοῦ Φρεαρρίου δοῦλος, ἀνέστησεν αὐτὴν ἀπὸ
ταύτης τῆς καλῆς ἐργασίας; ἀλλὰ νὴ τὸν Δία καὶ θεούς,
ὀκνῶ μὴ περὶ σοῦ τὰ προσήκοντα λέγων αὐτὸς οὐ προσ- 20

1 ἠκούσατ' A 3 πόθεν λαβόντι S^d γρ. V ex § 51 9 τοιού-
τους AY 11 ὁ om. F^1 add. F^2 12 ἐλπίαι VAY: ελπιδαι S^1
littera δ puncto notata et superscripto a. m. II θ | θησίωι A
13 μήτηρ σου AY Hermog. III 307 W (324, 24 R.) (praeter cod. Pc)
14 verba κυάμους ἑφθοὺς βοῶσα καὶ [del. Reiske] κατὰ πᾶν τὸ
θέρος ἐπλανᾶτο ab Hermog. III 308 W. (325, 13 R.) servata ante
⟨καὶ⟩ τοῖς μεθημερινοῖς inserebat Boeckh, cf. Nitsche, Berl. philol.
Woch. 1885 p. 708, post ἄλλοθεν § 131 Reiske | κλεισίωι Y^2: κλει-
σειωι S κλισείωι F^1Q κλισίωι F corr. Y^1 Hermog. κλησίωι A cf.
Meisterhans § 15, 3 15 Καλαμίτῃ Blass | ἥρωι S^1VY Hermog.
ἡρώωι S corr. om. A 16 σε om. Y 16 sq. ἀλλὰ πάντες . . .
λέγω om. SVY 17 φορμίων ὁ] φορμίωνος ut vid. Q^1 18 φρεα-
ρίου Y 19 τοὺς θεοὺς VAY

ἥκοντας ἐμαυτῷ δόξω προῃρῆσθαι λόγους. ταῦτα μὲν 130
οὖν ἐάσω, ἀπ' αὐτῶν δ' ὧν αὐτὸς βεβίωκεν ἄρξομαι·
οὐδὲ γὰρ ὧν ἔτυχεν ἦν, ἀλλ' οἷς ὁ δῆμος καταρᾶται.
ὀψὲ γάρ ποτε—ὀψὲ λέγω; χθὲς μὲν οὖν καὶ πρῴην ἅμ'
5 Ἀθηναῖος καὶ ῥήτωρ γέγονεν, καὶ δύο συλλαβὰς προσ-
θεὶς τὸν μὲν πατέρ' ἀντὶ Τρόμητος ἐποίησεν Ἀτρόμη-
τον, τὴν δὲ μητέρα σεμνῶς πάνυ Γλαυκοθέαν, ἣν Ἔμπου-
σαν ἅπαντες ἴσασι καλουμένην, ἐκ τοῦ πάντα ποιεῖν καὶ
πάσχειν καὶ γίγνεσθαι (δῆλον ὅτι ταύτης τῆς ἐπωνυμίας
10 τυχοῦσαν· πόθεν γὰρ ἄλλοθεν; ἀλλ' ὅμως οὕτως ἀχάρι- 131
στος εἶ καὶ πονηρὸς φύσει, ὥστ' ἐλεύθερος ἐκ δούλου
271 καὶ πλούσιος ἐκ | πτωχοῦ διὰ τουτουσὶ γεγονὼς οὐχ ὅπως
χάριν αὐτοῖς ἔχεις, ἀλλὰ μισθώσας σαυτὸν κατὰ τουτωνὶ
πολιτεύῃ. καὶ περὶ ὧν μὲν ἔστι τις ἀμφισβήτησις, ὡς ἄρ'
15 ὑπὲρ τῆς πόλεως εἴρηκεν, ἐάσω· ἃ δ' ὑπὲρ τῶν ἐχθρῶν
φανερῶς ἀπεδείχθη πράττων, ταῦτ' ἀναμνήσω.

Τίς γὰρ ὑμῶν οὐκ οἶδεν τὸν ἀποψηφισθέντ' Ἀντι- 132
φῶντα, ὃς ἐπαγγειλάμενος Φιλίππῳ τὰ νεώρι' ἐμπρήσειν
εἰς τὴν πόλιν ἦλθεν; ὃν λαβόντος ἐμοῦ κεκρυμμένον ἐν
20 Πειραιεῖ καὶ καταστήσαντος εἰς τὴν ἐκκλησίαν, βοῶν ὁ
βάσκανος οὗτος καὶ κεκραγώς, ὡς ἐν δημοκρατίᾳ δεινὰ
ποιῶ τοὺς ἠτυχηκότας τῶν πολιτῶν ὑβρίζων καὶ ἐπ'

1 post λόγους verba v. 3 οὐδὲ γὰρ . . . καταρᾶται ponit γρ. S[d] mg. 2 οὖν om. S[1] add. eadem m. cf. Cass. Dio XLVI 1 | οὖν παραλείψω ἀπὸ δ' αὐτῶν γρ. S[d] mg. | ἀλλ' ἀπ' αὐτῶν ὧν A ἀπ' αὐτῶν δὲ αὐτῶν Y[1] | αὐτὸς om. γρ. S[d] mg. Y 4 χθὲς SF corr. AY Hermog. III 347 W. (362, 5 R.): ἐχθὲς F[1]Q cf. XIX 209. 260 5 γέγονεν om. A 7 σεμνῶς πάνυ] ἀσέμνως Y[1] μάλα σεμνῶς Y corr. | γλαυκοθέαν ὠνόμασεν VAY (ὤμασεν Y[1]) 10 καὶ γίγνεσθαι om. VAY 12 τούτους Y 13 ἔχῃς FA | τουτωι S[1] τούτων A 15 φανερῶς] καθαρῶς Reiske, Blass cum Aug. 2 (non Q) coll. XIX 263. XXXII 21 al. 16 ἐπεδείχθη AY 17 ὑμῶν om. A 18 ἐμπρήσειν τὰ ὑμέτερα γρ. VAY

οἰκίας βαδίζων ἄνευ ψηφίσματος, ἀφεθῆναι ἐποίησεν.
133 καὶ εἰ μὴ ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου, τὸ πρᾶγμ' αἰσθο-
μένη καὶ τὴν ὑμετέραν ἄγνοιαν ἐν οὐ δέοντι συμβεβη-
κυῖαν ἰδοῦσα, ἐπεζήτησε τὸν ἄνθρωπον καὶ συλλαβοῦσ'
ἐπανήγαγεν ὡς ὑμᾶς, ἐξήρπαστ' ἂν ὁ τοιοῦτος καὶ τὸ 5
δίκην δοῦναι διαδὺς ἐξεπέπεμπτ' ἂν ὑπὸ τοῦ σεμνολόγου
τουτουί· νῦν δ' ὑμεῖς στρεβλώσαντες αὐτὸν ἀπεκτείνατε,
134 ὡς ἔδει γε καὶ τοῦτον. τοιγαροῦν εἰδυῖα ταῦθ' ἡ βουλὴ
ἡ ἐξ Ἀρείου πάγου τότε τούτῳ πεπραγμένα, χειροτονη-
σάντων αὐτὸν ὑμῶν σύνδικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν 10
Δήλῳ, ἀπὸ τῆς αὐτῆς ἀγνοίας ἧσπερ πολλὰ προεῖσθε
τῶν κοινῶν, ὡς προσείλεσθε κἀκείνην καὶ τοῦ πράγμα-
τος κυρίαν ἐποιήσατε, τοῦτον μὲν εὐθὺς ἀπήλασεν ὡς
προδότην, Ὑπερείδῃ δὲ λέγειν προσέταξεν· καὶ ταῦτ'
ἀπὸ τοῦ βωμοῦ φέρουσα τὴν ψῆφον ἔπραξεν, καὶ οὐδε- 15
135 μία|ψῆφος ἠνέχθη τῷ μιαρῷ τούτῳ. Καὶ ὅτι ταῦτ' ἀληθῆ 272
λέγω, κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ

[Μαρτυροῦσι Δημοσθένει ὑπὲρ ἁπάντων οἵδε, Καλλίας Σου-
νιεύς, Ζήνων Φλυεύς, Κλέων Φαληρεύς, Δημόνικος Μαρα- 20
θώνιος, ὅτι τοῦ δήμου ποτὲ χειροτονήσαντος Αἰσχίνην σύν-
δικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ εἰς τοὺς Ἀμφικτύονας
συνεδρεύσαντες ἡμεῖς ἐκρίναμεν Ὑπερείδην ἄξιον εἶναι μᾶλλον
ὑπὲρ τῆς πόλεως λέγειν, καὶ ἀπεστάλη Ὑπερείδης.]

2 ἡ ante βουλὴ om. Y 3 ἡμετέραν S[1] 6 ἐξεπέπεμπτ' Cobet: ἐξεπέμπετ' SVAY | σεμνολογουμένου γρ. FQY 7 τούτου AY 9 τὰ τότε VAY 11 ἧσπερ SF[1]Q: ἀφ' ἧσπερ F corr. Y ἧσπερ ἕνεκα A | προεῖσθε A: προιστε S[1]F[1]Q προειστε S corr. προισστε F corr. προίεσθε Y 12 προσείλεσθε H. Wolf: προείλεσθε SVAY | καὶ om. Y 14 ὑπερείδην F corr. s. v. ὑπερίδην Y ὑπερίδηι A[1] 16 ηνεχθηι S ἐξηνέχθη Q 17 κάλει μοι A | τουτων bis S 18 μαρτυρία A 22 εἰς om. Q 23 ὑπερίδην Y item v. 24

Οὐκοῦν ὅτε τούτου μέλλοντος λέγειν ἀπήλασεν ἡ βουλὴ
καὶ προσέταξεν ἑτέρῳ, τότε καὶ προδότην εἶναι καὶ κακό-
νουν ὑμῖν ἀπέφηνεν.

Ἓν μὲν τοίνυν τοῦτο τοιοῦτο πολίτευμα τοῦ νεανίου 136
5 τούτου, ὅμοιόν γε, οὐ γάρ; οἷς ἐμοῦ κατηγορεῖ· ἕτερον
δ' ἀναμιμνήσκεσθε. ὅτε γὰρ Πύθωνα Φίλιππος ἔπεμψε
τὸν Βυζάντιον καὶ παρὰ τῶν αὑτοῦ συμμάχων πάντων
συνέπεμψε πρέσβεις, ὡς ἐν αἰσχύνῃ ποιήσων τὴν πόλιν
καὶ δείξων ἀδικοῦσαν, τότ' ἐγὼ μὲν τῷ Πύθωνι θρασυ-
10 νομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν οὐχ ὑπεχώρησα,
ἀλλ' ἀναστὰς ἀντεῖπον καὶ τὰ τῆς πόλεως δίκαι' οὐχὶ
προὔδωκα, ἀλλ' ἀδικοῦντα Φίλιππον ἐξήλεγξα φανερῶς
οὕτως, ὥστε τοὺς ἐκείνου συμμάχους αὐτοὺς ἀνισταμέ-
νους ὁμολογεῖν· οὗτος δὲ συνηγωνίζετο καὶ τὰ ἐναντί'
15 ἐμαρτύρει τῇ πατρίδι, καὶ ταῦτα ψευδῆ.

Καὶ οὐκ ἀπέχρη ταῦτα, ἀλλὰ πάλιν μετὰ ταῦθ' ὕστερον 137
Ἀναξίνῳ τῷ κατασκόπῳ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν
273 ἐλήφθη. καίτοι ὅστις τῷ ὑπὸ τῶν πολεμί|ων πεμφθέντι
μόνος μόνῳ συνῄει καὶ ἐκοινολογεῖτο, οὗτος αὐτὸς ὑπῆρ-
20 χεν τῇ φύσει κατάσκοπος καὶ πολέμιος τῇ πατρίδι. Καὶ
ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ

[Τελέδημος Κλέωνος, Ὑπερείδης Καλλαίσχρου, Νικόμαχος
Διοφάντου μαρτυροῦσι Δημοσθένει καὶ ἐπωμόσαντο ἐπὶ τῶν

1 τούτου μέλλοντος λέγειν S^d γρ. QAY: τούτου λέγοντος S^1FQ^1 τοῦτον τοῦ λέγειν Pauly | ἀπήλασεν αὐτὸν VAY 2 εἶναι om. Q 4 πολίτευμα τοῦτο τοιοῦτο Hermog. III 213 W. (237, 12 R.) 6 ἀναμιμνήσκεσθαι S^1Q 7 ἀπάντων V 8 αισχινη S^1 10 οὐχ (οὐκ S) ὑπεχώρησα SV Diod. XVI 85: οὐκ εἶξα οὐδ' ὑπεχώρησα γρ. S^d γρ. QAY cf. Poll. VIII 150 12 ἐξήλεγξα τὸν Φίλιππον Hermog. III 271 W. (290, 17 R.) 15 ψευδῆ SVAY, v. Blass ad And. I 7, cf. Anaxim. p. 49, 2 Ham. 16 μετὰ] με Q^1 17 αναξεινω S (item p. 326, 8) ἀξίνωι γρ. V ἀξεινωι Y^1 23 ὑπεριδης F corr. Y

στρατηγῶν εἰδέναι Αἰσχίνην Ἀτρομήτου Κοθωκίδην συνερχόμενον νυκτὸς εἰς τὴν Θράσωνος οἰκίαν καὶ κοινολογούμενον Ἀναξίνῳ, ὃς ἐκρίθη εἶναι κατάσκοπος παρὰ Φιλίππου. αὗται ἀπεδόθησαν αἱ μαρτυρίαι ἐπὶ Νικίου, ἑκατομβαιῶνος τρίτῃ ἱσταμένου.] 5

138 Μυρία τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ παραλείπω. καὶ γὰρ οὕτω πως ἔχει. πόλλ' ἂν ἐγὼ ἔτι τούτων ἔχοιμι δεῖξαι, ὧν οὗτος κατ' ἐκείνους τοὺς χρόνους τοῖς μὲν ἐχθροῖς ὑπηρετῶν, ἐμοὶ δ' ἐπηρεάζων ηὑρέθη. ἀλλ' οὐ τίθεται ταῦτα παρ' ὑμῖν εἰς ἀκριβῆ μνήμην οὐδ' ἣν προσ- 10 ῆκεν ὀργήν, ἀλλὰ δεδώκατ' ἔθει τινὶ φαύλῳ πολλὴν ἐξουσίαν τῷ βουλομένῳ τὸν λέγοντά τι τῶν ὑμῖν συμφερόντων ὑποσκελίζειν καὶ συκοφαντεῖν, τῆς ἐπὶ ταῖς λοιδορίαις ἡδονῆς καὶ χάριτος τὸ τῆς πόλεως συμφέρον ἀνταλλαττόμενοι· διόπερ ῥᾷόν ἐστιν καὶ ἀσφαλέστερον 15 αἰεὶ τοῖς ἐχθροῖς ὑπηρετοῦντα μισθαρνεῖν ἢ τὴν ὑπὲρ ὑμῶν ἑλόμενον τάξιν πολιτεύεσθαι.

139 Καὶ τὸ μὲν δὴ πρὸ τοῦ πολεμεῖν φανερῶς συναγωνίζεσθαι Φιλίππῳ δεινὸν μέν, ὦ γῆ καὶ θεοί, πῶς γὰρ οὔ; | κατὰ τῆς πατρίδος· δότε δ', εἰ βούλεσθε, δότ' αὐτῷ τοῦτο. 274 ἀλλ' ἐπειδὴ φανερῶς ἤδη τὰ πλοῖ' ἐσεσύλητο, Χερρόνη- 21 σος ἐπορθεῖτο, ἐπὶ τὴν Ἀττικὴν ἐπορεύεθ' ἅνθρωπος, οὐκέτ' ἐν ἀμφισβητησίμῳ τὰ πράγματ' ἦν, ἀλλ' ἐνειστήκει πόλεμος, ὅ τι μὲν πώποτ' ἔπραξεν ὑπὲρ ὑμῶν ὁ βά-

4 εκατον βαιωνος S 6 post τοίνυν 3 litt. eras. Q | ἕτερα . . . αὐτοῦ om Q[1] add. ead. m. mg. 7 ἐγὼ νῦν VAY | ἔχοιμι] posterius ι in ras. F 15 ἀντικαταλλαττόμενοι γρ. QAY 16 ἀεὶ FAY 17 ἡμῶν Y[1] 18 φανερῶς del. Dobree 20 εἰ] in ras. F 22 ἅνθρωπος F (ἐπορεύεθ' ἄνθρωπος Q): ανθρωπος S[1]AY ὁ ἄνθρωπος S corr. (ἐπορεύετ' ὁ) 23 ἐν] κἂν ἦν vel ἐν Y[1] δ' ἐν Y corr. | αμφισβητισιμω S[1] | ἦν om. Y | ενιστηκει SA[1] 24 πώποτ'] τῶι ποτ' A

σκανος οὗτος ἰαμβειογράφος, οὐκ ἂν ἔχοι δεῖξαι, οὐδ' ἔστιν οὔτε μεῖζον οὔτ' ἔλαττον ψήφισμ' οὐδὲν Αἰσχίνῃ ὑπὲρ τῶν συμφερόντων τῇ πόλει. εἰ δέ φησι, νῦν δειξάτω, ἐν τῷ ἐμῷ ὕδατι. ἀλλ' οὐκ ἔστιν οὐδέν. καίτοι 5 δυοῖν αὐτὸν ἀνάγκη θάτερον, ἢ μηδὲν τοῖς πραττομένοις ὑπ' ἐμοῦ τότ' ἔχοντ' ἐγκαλεῖν μὴ γράφειν παρὰ ταῦθ' ἕτερα, ἢ τὸ τῶν ἐχθρῶν συμφέρον ζητοῦντα μὴ φέρειν εἰς μέσον τὰ τούτων ἀμείνω.

140 Ἆρ' οὖν οὐδ' ἔλεγεν, ὥσπερ οὐδ' ἔγραφεν, ἡνίκ' ἐργά-10 σασθαί τι δέοι κακόν; οὐ μὲν οὖν εἰπεῖν ἦν ἑτέρῳ. καὶ τὰ μὲν ἄλλα καὶ φέρειν ἠδύναθ' ὡς ἔοικεν ἡ πόλις καὶ ποιῶν οὗτος λανθάνειν· ἓν δ' ἐπεξηργάσατ' ἄνδρες Ἀθηναῖοι τοιοῦτον, ὃ πᾶσι τοῖς προτέροις ἐπέθηκε τέλος· περὶ οὗ τοὺς πολλοὺς ἀνήλωσε λόγους, τὰ τῶν Ἀμφισ-15 σέων [τῶν] Λοκρῶν διεξιὼν δόγματα, ὡς διαστρέψων τἀληθές. τὸ δ' οὐ τοιοῦτόν ἐστιν· πόθεν; οὐδέποτ' ἐκνίψει σὺ τἀκεῖ πεπραγμένα σαυτῷ· οὐχ οὕτω πόλλ' ἐρεῖς.

141 Καλῶ δ' ἐναντίον ὑμῶν ἄνδρες Ἀθηναῖοι τοὺς θεοὺς ἅπαντας καὶ πάσας, ὅσοι τὴν χώραν ἔχουσι τὴν Ἀττικήν,

1 οὑτοσὶ S rec. Y | ἰαμβειογράφος SF corr.: ἰαμβιογράφος F^1Q ἰαμβογράφος A ἰαμβειοφάγος S^dFmg. Y Hermog. III 241 W. (262, 11 R.). 242 (263, 4). 344 (359, 19) ἰαμβιοφάγος γρ. Q (Hermog. cod. PcAcPa[1] 1) ἰαμβειομάχος γρ. F | οὐκ] οὐδ' A 3 ὑπὲρ S: περὶ VAY 4 ἐν γρ. QAY: ἐπὶ SV 5 ἀνάγκη αὐτὸν AY 8 τὸ μέσον Y 10 κακὸν ὑμᾶς F mg. γρ. QAY | εἰπεῖν ἦν S^1: ἦν εἰπεῖν S corr. QAY εἰπεῖν om. F 11 ηδυνασθ' S | ὡς om. S^1 | πόλις καὶ] πόλις ᾱ S rec. VY 12 λανθάνειν S^1: ἐλάνθανεν S^dVAY 14 αμφισεων S 15 τῶν ante Λοκρῶν om. Pal. del. Wolf τῶν Λοκρῶν om. Y (scholium λοκρῶν in mg.) secl. Wunderlich 16 post πόθεν add. πολλοῦ γε καὶ δεῖ γρ. S^d γρ. VY ex § 47 17 ἐκνίψει Y^1: ἐκνίψῃ SV ἐκνηψηι A^1 ἐκνηψη A corr. ἐκνίψεις Y corr. | τἀκεῖ] τακ in ras. S^1 | οὐχ οὕτω om. S^1 add. m. I | οὐχ] ουτωχ (?) Y^1 18 ὦ ἄνδρες VA 19 πάντας Y Hermog. III 309 W. (326, 26 R.). 338 (354, 8)

*καὶ τὸν Ἀπόλλω τὸν Πύθιον, ὅς πατρῷός ἐστι τῇ πόλει,
καὶ ἐπεύχομαι πᾶσι τούτοις, εἰ μὲν ἀληθῆ πρὸς ὑμᾶς
εἴποιμι καὶ εἶπον καὶ τότ' εὐθὺς ἐν τῷ δήμῳ, ὅτε | πρῶ-* 275
*τον εἶδον τουτονὶ τὸν μιαρὸν τούτου τοῦ πράγματος
ἁπτόμενον (ἔγνων γάρ, εὐθέως ἔγνων), εὐτυχίαν μοι δοῦ-* 5
*ναι καὶ σωτηρίαν, εἰ δὲ πρὸς ἔχθραν ἢ φιλονικίας ἰδίας
ἕνεκ' αἰτίαν ἐπάγω τούτῳ ψευδῆ, πάντων τῶν ἀγαθῶν
ἀνόνητόν με ποιῆσαι.*

142 *Τί οὖν ταῦτ' ἐπήραμαι καὶ διετεινάμην οὑτωσὶ σφο-
δρῶς; ὅτι γράμματ' ἔχων ἐν τῷ δημοσίῳ κείμενα, ἐξ ὧν* 10
*ταῦτ' ἐπιδείξω σαφῶς, καὶ ὑμᾶς εἰδὼς τὰ πεπραγμένα
μνημονεύοντας, ἐκεῖνο φοβοῦμαι, μὴ τῶν εἰργασμένων
αὐτῷ κακῶν οὗτος ἐλάττων ὑποληφθῇ· ὅπερ πρότερον
συνέβη, ὅτε τοὺς ταλαιπώρους Φωκέας ἐποίησεν ἀπολέ-*
143 *σθαι τὰ ψεύδη δεῦρ' ἀπαγγείλας. τὸν γὰρ ἐν Ἀμφίσσῃ* 15
*πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν ἦλθε Φίλιππος καὶ δι' ὃν
ᾑρέθη τῶν Ἀμφικτυόνων ἡγεμών, ὃς ἅπαντ' ἀνέτρεψε
τὰ τῶν Ἑλλήνων, οὗτός ἐστιν ὁ συγκατασκευάσας καὶ
πάντων εἷς ἀνὴρ μεγίστων αἴτιος κακῶν. καὶ τότ' εὐθὺς
ἐμοῦ διαμαρτυρομένου καὶ βοῶντος ἐν τῇ ἐκκλησίᾳ „πόλε-* 20
*μον εἰς τὴν Ἀττικὴν εἰσάγεις Αἰσχίνη, πόλεμον Ἀμφι-
κτυονικόν“, οἱ μὲν ἐκ παρακλήσεως συγκαθήμενοι οὐκ
εἴων με λέγειν, οἱ δ' ἐθαύμαζον καὶ κενὴν αἰτίαν διὰ*
144 *τὴν ἰδίαν ἔχθραν ἐπάγειν ὑπελάμβανον αὐτῷ. ἥτις*

3 *καὶ τότ'* SF[1]Q: *τότ'* F corr. AY 4 *τουτοϊ* S[1] *τοῦτον* A
5 *δοῦναι* om. Q[1] add. m. I mg. 10 *ὅτι καὶ* VAY | *ἔχων* om. Y[1]
11 *ἐπεδείξω* Q 12 *μνημονεύσοντας* SF[1]Q 13 *ἑαυτῶι* A | *ὑπο-
ληφθῇ οὗτος ἐλάττων* S *ὑπολειφθῆι* A corr. 15 *ψευδη* S *ψευδῆ*
VAY v. ad § 136 16 *ελατιαν* S 18 *ἑλλήνων πράγματα* A | *συνκατα-
σκευάσας* ut vid. S[1] 19 *τῶν μεγίστων* AY | *κακῶν γεγενημένος* A
21 *εἰσάγεις* SAY: *ἄγεις* V 23 verba *κενὴν αἰτίαν* iterata in Y[1]
erasa una cum *διὰ* 24 *ἐπάγειν* S[1]: *ἐπάγειν με* S[d]VAY

δ' ἡ φύσις ἄνδρες Ἀθηναῖοι γέγονεν τούτων τῶν πραγμάτων, καὶ τίνος εἵνεκα ταῦτα συνεσκευάσθη καὶ πῶς ἐπράχθη, νῦν ἀκούσατε, ἐπειδὴ τότ' ἐκωλύθητε (καὶ γὰρ εὖ πρᾶγμα συντεθὲν ὄψεσθε καὶ μεγάλ' ὠφελήσεσθε πρὸς 5 *ἱστορίαν τῶν κοινῶν), καὶ ὅση δεινότης ἦν ἐν τῷ Φιλίππῳ θεάσασθε.*

Οὐκ ἦν τοῦ πρὸς ὑμᾶς πολέμου πέρας οὐδ' ἀπαλλα- 145 276 *γὴ Φιλίππῳ,* | *εἰ μὴ Θηβαίους καὶ Θετταλοὺς ἐχθροὺς ποιήσειε τῇ πόλει· ἀλλὰ καίπερ ἀθλίως καὶ κακῶς τῶν* 10 *στρατηγῶν τῶν ὑμετέρων πολεμούντων αὐτῷ, ὅμως ὑπ' αὐτοῦ τοῦ πολέμου καὶ τῶν λῃστῶν μυρί' ἔπασχεν κακά. οὔτε γὰρ ἐξήγετο τῶν ἐκ τῆς χώρας γιγνομένων οὐδέν, οὔτ' εἰσήγεθ' ὧν ἐδεῖτ' αὐτῷ· ἦν δ' οὔτ' ἐν τῇ θαλάττῃ* 146 *τότε κρείττων ὑμῶν οὔτ' εἰς τὴν Ἀττικὴν ἐλθεῖν δυνα-* 15 *τός, μήτε Θετταλῶν ἀκολουθούντων μήτε Θηβαίων διιέντων· συνέβαινεν δ' αὐτῷ τῷ πολέμῳ κρατοῦντι τοὺς ὁποιουσδήποθ' ὑμεῖς ἐξεπέμπετε στρατηγούς (ἐῶ γὰρ τοῦτό γε) αὐτῇ τῇ φύσει τοῦ τόπου καὶ τῶν ὑπαρχόντων ἑκατέροις κακοπαθεῖν. εἰ μὲν οὖν τῆς ἰδίας ἕνεκ' ἔχθρας* 147 20 *ἢ τοὺς Θετταλοὺς ἢ τοὺς Θηβαίους συμπείθοι βαδίζειν ἐφ' ὑμᾶς, οὐδέν' ἡγεῖτο προσέξειν αὐτῷ τὸν νοῦν· ἐὰν δὲ τὰς ἐκείνων κοινὰς προφάσεις λαβὼν ἡγεμὼν αἱρεθῇ,*

2 *εἵνεκα* SV: *ἕνεκεν* A *ἕνεκα* Y 3 *ἀκούσατε* AY: *ὑπακούσατε* SV *ἐπακούσατε* Rauchenstein (nusquam apud Dem.) | *γὰρ* om. Y 6 *θεάσεσθε* O quod cancellis v. 3 et 5 positis necessarium non est 7 *ἡμᾶς* A Hermog. III 228 W. (250, 17 R.) 12 *εσηγετο* SV 13 *αὐτῶν* Y[1] 14 *κρείττων τότε* V | *ἐλθεῖν* om. Y 16 *δ'*] *τε* A 19 *οὖν* om. A[1] add. ead. s. v. | *ἕνεκεν* Y 20 *συνπειθοῖ* Y[1] *συνπείθοι* Y corr. 21 *οὐδένα* A: *οὐδεναν* S[1] *οὐδὲν ἂν* S[2]V | *ἡγεῖτο* om. A | *προσέχειν* A | *ἂν* VAY 22 *τὰς*] *τῶν* Y[1] | *αἱρεθῆι* S corr. AY corr.: *ηρεθηι* S[1] *ἡιρέθη* VY[1]

ῥᾷον ἤλπιζεν τὰ μὲν παρακρούσεσθαι, τὰ δὲ πείσειν. τί οὖν; ἐπιχειρεῖ, θεάσασθ' ὡς εὖ, πόλεμον ποιῆσαι τοῖς Ἀμφικτύοσιν καὶ περὶ τὴν πυλαίαν ταραχήν· εἰς γὰρ
148 *ταῦτ' εὐθὺς αὐτοὺς ὑπελάμβανεν αὐτοῦ δεήσεσθαι. εἰ μὲν τοίνυν τοῦτ' ἢ τῶν παρ' ἑαυτοῦ πεμπομένων ἱερο-* 5
μνημόνων ἢ τῶν ἐκείνου συμμάχων εἰσηγοῖτό τις, ὑπόψεσθαι τὸ πρᾶγμ' ἐνόμιζεν, καὶ τοὺς Θηβαίους καὶ τοὺς Θετταλοὺς καὶ πάντας φυλάξεσθαι, ἂν δ' Ἀθηναῖος ᾖ καὶ παρ' ὑμῶν τῶν ὑπεναντίων ὁ τοῦτο ποιῶν, εὐπόρως λήσειν· ὅπερ συνέβη. πῶς οὖν ταῦτ' ἐποίησεν; μισθοῦ- 10
149 *ται τουτονί. οὐδενὸς δὲ προειδότος οἶμαι τὸ πρᾶγμ' οὐδὲ φυλάττοντος, ὥσπερ εἴωθε τὰ τοιαῦτα παρ' ὑμῖν | γίγνεσθαι, προβληθεὶς πυλάγορος οὗτος καὶ τριῶν ἢ* 277
τεττάρων χειροτονησάντων αὐτὸν ἀνερρήθη. ὡς δὲ τὸ τῆς πόλεως ἀξίωμα λαβὼν ἀφίκετ' εἰς τοὺς Ἀμφικτύονας, 15
πάντα τἄλλ' ἀφεὶς καὶ παριδὼν ἐπέραινεν ἐφ' οἷς ἐμισθώθη, καὶ λόγους εὐπροσώπους καὶ μύθους, ὅθεν ἡ Κιρραία χώρα καθιερώθη, συνθεὶς καὶ διεξελθὼν ἀνθρώπους ἀπείρους λόγων καὶ τὸ μέλλον οὐ προορωμένους,
150 *τοὺς ἱερομνήμονας, πείθει ψηφίσασθαι περιελθεῖν τὴν* 20
χώραν, ἣν οἱ μὲν Ἀμφισσεῖς σφῶν αὐτῶν οὖσαν γεωργεῖν ἔφασαν, οὗτος δὲ τῆς ἱερᾶς χώρας ᾐτιᾶτ' εἶναι, οὐδεμίαν δίκην τῶν Λοκρῶν ἐπαγόντων ἡμῖν, οὐδ' ἃ νῦν οὗτος προφασίζεται, λέγων οὐκ ἀληθῆ. γνώσεσθε δ' ἐκεῖ-

1 *παρακρούσεσθε* F[1] 2 *ἐπιχειρεῖ*] primum *ι* in ras. F 3 *εἰς*] *οἷς* F s. v. Y[1] 4 *αὐτοὺς* om. A 5 *τοῦτο ἢ* S (*η* fortasse ab alia m.) QA: *τοῦτον ἢ* F corr. *τοῦτο* Y corr. *τουτονὶ* F[1] *τοῦτον* Y[1] 6 *εἰσηγοῖτο* F corr. AY: *εισηγειτο* SQ | *υποψεσθε* S[1] 8 *ἅπαντας* AY | *φυλάξεσθαι* SV: *φυλάξασθαι* AY 13 *πυλάγορος* S[1]A corr. Harpocr.: *πυλαγόρας* S corr. VA[1]Y | *καὶ* del. Cobet 20 *τοὺς ἱερομνήμονας* suspectabat Westermann 24 *οὗτος προφ. λέγων* S: *οὗτος λέγων προφ.* V *προφ. οὗτος λέγων* A *προφ. λέγων* Y | *γνωσεσθαι* S

θεν. οὐκ ἐνῆν ἄνευ τοῦ προσκαλέσασθαι δήπου τοῖς Λοκροῖς δίκην κατὰ τῆς πόλεως τελέσασθαι. τίς οὖν ἐκλήτευσεν ἡμᾶς; ἐπὶ ποίας ἀρχῆς; εἰπὲ τὸν εἰδότα, δεῖξον. ἀλλ' οὐκ ἂν ἔχοις, ἀλλὰ κενῇ προφάσει ταύτῃ κατεχρῶ
5 *καὶ ψευδεῖ. περι|όντων τοίνυν τὴν χώραν τῶν Ἀμφικτυόνων κατὰ τὴν ὑφήγησιν τὴν τούτου, προσπεσόντες οἱ Λοκροὶ μικροῦ κατηκόντισαν ἅπαντας, τινὰς δὲ καὶ συνήρπασαν τῶν ἱερομνημόνων. ὡς δ' ἅπαξ ἐκ τούτων ἐγκλήματα καὶ πόλεμος πρὸς τοὺς Ἀμφισσεῖς ἐταράχθη,* 151
10 *τὸ μὲν πρῶτον ὁ Κόττυφος αὐτῶν τῶν Ἀμφικτυόνων ἤγαγε στρατιάν, ὡς δ' οἱ μὲν οὐκ ἦλθον, οἱ δ' ἐλθόντες οὐδὲν ἐποίουν, εἰς τὴν ἐπιοῦσαν πυλαίαν ἐπὶ τὸν Φίλιππον εὐθὺς ἡγεμόν' ἦγον οἱ κατεσκευασμένοι καὶ πάλαι πονηροὶ τῶν Θετταλῶν καὶ τῶν ἐν ταῖς ἄλλαις πόλεσιν.*
15 *καὶ προφάσεις εὐλόγους εἰλήφεσαν· ἢ γὰρ αὐτοὺς εἰσ-* 152
278 *φέρειν καὶ ξένους τρέφειν | ἔφασαν δεῖν καὶ ζημιοῦν τοὺς μὴ ταῦτα ποιοῦντας ἢ ἐκεῖνον αἱρεῖσθαι. τί δεῖ τὰ πολλὰ λέγειν; ᾑρέθη γὰρ ἐκ τούτων ἡγεμών. καὶ μετὰ ταῦτ' εὐθέως δύναμιν συλλέξας καὶ παρελθὼν ὡς ἐπὶ*
20 *τὴν Κιρραίαν, ἐρρῶσθαι φράσας πολλὰ Κιρραίοις καὶ Λοκροῖς τὴν Ἐλάτειαν καταλαμβάνει. εἰ μὲν οὖν μὴ μετέ-* 153
γνωσαν εὐθέως, ὡς τοῦτ' εἶδον, οἱ Θηβαῖοι καὶ μεθ'

1 *προκαλέσασθαι* F A 2 *συντελέσασθαι* V Y | *ἐκκλήτευσεν* S corr. 3 *ἐπὶ* A: *ἀπὸ* S V Y 4 *κενῇ*] *καινη* S A 6 *ευφηγησιν* S^1 7 *μικροῦ μὲν* V A Y | *κατηκόντισαν ἅπαντας* S (pr. m. ut vid.) mg. A: *ἅπαντας* om. S^1 *ἅπαντας κατηκόντισαν* (*-ησαν* F^1) V Y | *τινες* Q^1 corr. s. v. I 8 *τῶν ἱερομνημόνων* del. Herwerden 9 *ἐταράχθη*] *ἐτάχθη* A 11 *οἱ δ' ἐλθόντες* om. S^1 add. S^d *οὐκ* ⟨*ἦλθον, οἱ δ'*⟩ *ἦλθον* Sauppe 16 sq. *ζημιοῦν τοὺς*] *ζημιοῦντος* Y^1 17 *τὰ* in ras. 6 vel 7 litt. A^1 19 *εὐθὺς* V Y | *ὁ φίλιππος δύναμιν* A 20 *κιρραν* S | *ερρῶσθε* S *ἐρρωσθε* Q | *πολλὰ φράσας* A | *καὶ κιρραίοις* V Y 22 *εὐθέως* S *γρ.* Q A Y corr.: *εὐθὺς* F Q text. Y^1 | *ὡς τοῦτ' εἶδον οἱ* S *γρ.* Q A: om. F Q text. Y

ἡμῶν ἐγένοντο, ὥσπερ χειμάρρους ἂν ἅπαν τοῦτο τὸ πρᾶγμ' εἰς τὴν πόλιν εἰσέπεσεν· νῦν δὲ τό γ' ἐξαίφνης ἐπέσχον αὐτὸν ἐκεῖνοι, μάλιστα μὲν ὦ ἄνδρες Ἀθηναῖοι θεῶν τινὸς εὐνοίᾳ πρὸς ὑμᾶς, εἶτα μέντοι καὶ ὅσον καθ' ἕν' ἄνδρα, καὶ δι' ἐμέ. δός δέ μοι τὰ δόγματα ταῦτα 5 καὶ τοὺς χρόνους ἐν οἷς ἕκαστα πέπρακται, ἵν' εἰδῆθ' ἡλίκα πράγμαθ' ἡ μιαρὰ κεφαλὴ ταράξασ' αὕτη δίκην 154 οὐκ ἔδωκε. λέγε μοι τὰ δόγματα.

ΔΟΓΜΑ ΑΜΦΙΚΤΥΟΝΩΝ

['Επὶ ἱερέως Κλειναγόρου, ἐαρινῆς πυλαίας, ἔδοξε τοῖς πυ- 10 λαγόροις καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων καὶ τῷ κοινῷ τῶν Ἀμφικτυόνων, ἐπειδὴ Ἀμφισσεῖς ἐπιβαίνουσιν ἐπὶ τὴν ἱερὰν χώραν καὶ σπείρουσι καὶ βοσκήμασι κατανέμουσιν, ἐπελθεῖν τοὺς πυλαγόρους καὶ τοὺς συνέδρους καὶ στήλαις διαλαβεῖν τοὺς ὅρους, καὶ ἀπειπεῖν τοῖς Ἀμφισσεῦσιν τοῦ λοιποῦ 15 μὴ ἐπιβαίνειν.]

ΕΤΕΡΟΝ ΔΟΓΜΑ

155 ['Επὶ ἱερέως Κλειναγόρου, ἐαρινῆς πυλαίας, ἔδοξε τοῖς πυλαγόροις καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων | καὶ τῷ κοινῷ 279 τῶν Ἀμφικτυόνων· ἐπειδὴ οἱ ἐξ Ἀμφίσσης τὴν ἱερὰν χώραν 20 κατανειμάμενοι γεωργοῦσι καὶ βοσκήματα νέμουσιν καὶ κωλυόμενοι τοῦτο ποιεῖν ἐν τοῖς ὅπλοις παραγενόμενοι τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον κεκωλύκασιν μετὰ βίας, τινὰς δὲ καὶ τετραυματίκασι, [καὶ] τὸν στρατηγὸν τὸν ᾑρημένον τῶν Ἀμφι-

2 τό γ' SQ: τό γ' (τ superscr.) F τό τε Y τοῦτό γε A τοὐξαίφνης Cobet 3 αὐτὸν S γρ. VY: om. V text. A del. Christ 8 οὐ δέδωκε(ν) AY | καί μοι λέγε A 9 ΔΟΓΜΑΤΑ SVY 10 πυλαγόραις Y corr. 11 sq. καὶ τῷ ... Ἀμφικτυόνων om. SF 14 διαβαλεῖν Q 17 titulus deest in AY text., recte quoniam absunt decreta 18 εαρρινης S corr. 24 τετραυματήκασι Y | καὶ post H. Wolfium del. G. H. Schaefer

κτυόνων Κόττυφον τὸν Ἀρκάδα πρεσβεῦσαι πρὸς Φίλιππον τὸν Μακεδόνα, καὶ ἀξιοῦν ἵνα βοηθήσῃ τῷ τε Ἀπόλλωνι καὶ τοῖς Ἀμφικτύοσιν, ὅπως μὴ περιίδῃ ὑπὸ τῶν ἀσεβῶν Ἀμφισσέων τὸν θεὸν πλημμελούμενον· καὶ διότι αὐτὸν στρατηγὸν
5 αὐτοκράτορα αἱροῦνται οἱ Ἕλληνες οἱ μετέχοντες τοῦ συνεδρίου τῶν Ἀμφικτυόνων.]

Λέγε δὴ καὶ τοὺς χρόνους ἐν οἷς ταῦτ' ἐγίγνετο· εἰσὶ γὰρ καθ' οὓς ἐπυλαγόρησεν οὗτος. λέγε.

ΧΡΟΝΟΙ

10 [Ἄρχων Μνησιθείδης, μηνὸς ἀνθεστηριῶνος ἕκτῃ ἐπὶ δέκα.]

Δὸς δὴ τὴν ἐπιστολὴν ἥν, ὡς οὐχ ὑπήκουον οἱ Θη- 156 βαῖοι, πέμπει πρὸς τοὺς ἐν Πελοποννήσῳ συμμάχους ὁ Φίλιππος, ἵν' εἰδῆτε καὶ ἐκ ταύτης σαφῶς, ὅτι τὴν μὲν ἀληθῆ πρόφασιν τῶν πραγμάτων, τὸ ταῦτ' ἐπὶ τὴν Ἑλ-
15 λάδα καὶ τοὺς Θηβαίους καὶ ὑμᾶς πράττειν, ἀπεκρύπτετο, κοινὰ δὲ καὶ τοῖς Ἀμφικτύοσιν δόξαντα ποιεῖν προσεποιεῖτο· ὁ δὲ τὰς ἀφορμὰς ταύτας καὶ τὰς προφάσεις αὐτῷ παρασχὼν οὗτος ἦν. λέγε. |

280 ΕΠΙΣΤΟΛΗ

20 [Βασιλεὺς Μακεδόνων Φίλιππος Πελοποννησίων τῶν ἐν τῇ 157 συμμαχίᾳ τοῖς δημιουργοῖς καὶ τοῖς συνέδροις καὶ τοῖς ἄλλοις συμμάχοις πᾶσι χαίρειν. ἐπειδὴ Λοκροὶ οἱ καλούμενοι Ὀζόλαι, κατοικοῦντες ἐν Ἀμφίσσῃ, πλημμελοῦσιν εἰς τὸ ἱερὸν τοῦ Ἀπόλ-

10 μνησιθίδης F[1]Q | ἀνθεστεριωνος Q | δέκα Taylor: δεκάτη SVY cf. XIX 58 11 δή μοι VY | υπηκουσαν S[1] 12 τοὺς om. F[1] add. F rec. 18 αὐτῷ παρασχὼν οὗτος ἦν γρ. Q mg.: αὐτῶι παρασχὼν S[1] (add. οὗτος ἦν αὐτῶι S[d]) παραδοὺς αὐτῶι οὗτος ἦν VY παραδοὺς οὗτος ἦν αὐτῶι A αὐτῷ secl. Lipsius 22 οἱ λοκροὶ Y

λωνος τοῦ ἐν Δελφοῖς καὶ τὴν ἱερὰν χώραν ἐρχόμενοι μεθ' ὅπλων λεηλατοῦσιν, βούλομαι τῷ θεῷ μεθ' ὑμῶν βοηθεῖν καὶ ἀμύνεσθαι τοὺς παραβαίνοντάς τι τῶν ἐν ἀνθρώποις εὐσεβῶν· ὥστε συναντᾶτε μετὰ τῶν ὅπλων εἰς τὴν Φωκίδα, ἔχοντες ἐπισιτισμὸν ἡμερῶν τετταράκοντα, τοῦ ἐνεστῶτος μηνὸς λῴου, ὡς 5 ἡμεῖς ἄγομεν, ὡς δὲ Ἀθηναῖοι, βοηδρομιῶνος, ὡς δὲ Κορίνθιοι, πανήμου. τοῖς δὲ μὴ συναντήσασι πανδημεὶ χρησόμεθα τοῖς ἐν τοῖς συμβόλοις ἡμῖν κειμένοις ἐπιζημίοις. εὐτυχεῖτε.]

158 Ὁρᾶθ' ὅτι φεύγει τὰς ἰδίας προφάσεις, εἰς δὲ τὰς Ἀμφικτυονικὰς καταφεύγει. τίς οὖν ὁ ταῦτα συμπαρασκευά- 10 σας αὐτῷ; τίς ὁ τὰς προφάσεις ταύτας ἐνδούς; τίς ὁ τῶν κακῶν τῶν γεγενημένων μάλιστ' αἴτιος; οὐχ οὗτος; μὴ τοίνυν λέγετ' ὦ ἄνδρες Ἀθηναῖοι περιιόντες, ὡς ὑφ' ἑνὸς τοιαῦτα πέπονθεν ἡ Ἑλλὰς ἀνθρώπου. οὐχ ὑφ' ἑνός, ἀλλ' ὑπὸ πολλῶν καὶ πονηρῶν τῶν παρ' ἑκάστοις, 15 159 ὦ γῆ καὶ θεοί· ὧν εἷς οὑτοσί, ὅν, εἰ μηδὲν εὐλαβηθέντα τἀληθὲς εἰπεῖν δέοι, οὐκ ἂν ὀκνήσαιμ' ἔγωγε κοινὸν ἀλιτήριον τῶν μετὰ ταῦτ' ἀπολωλότων ἁπάντων εἰπεῖν, ἀνθρώπων, τόπων, πόλεων· ὁ γὰρ τὸ σπέρμα παρασχών, οὗτος τῶν φύντων κακῶν αἴτιος. ὃν ὅπως ποτ' οὐκ εὐ- 20 θὺς | ἰδόντες ἀπεστράφητε θαυμάζω. πλὴν πολύ τι σκό- 281 τος ὡς ἔοικεν ἐστὶν παρ' ὑμῖν πρὸ τῆς ἀληθείας.

1 post ἐρχόμενοι 3 litt. eras. Q 3 ἀμύνεσθαι S[1]: ἀμύνασθαι S corr. VY 5 τεσσαράκοντα SV μ̄ Y 7 πανέμου Y corr. 8 τοῖς ἐν τοῖς συμβόλοις Westermann: τοῖς δὲ συμβούλοις SVY | τοῖς ... κειμένοις del. G. H. Schaefer | ὑμῖν Y corr. | ἐπιζημίοις] ε in ras. S 9 φεύγει μὲν VAY 10 παρασκευάσας A 13 λέγετε om. S[1] add. S[d] 15 τῶν om. S[1] τῶν παρ' ἑκάστοις om. Q 16 οὑτοσὶ S: οὗτός ἐστιν VAY 17 αλητηριον S[1] (?) ἀλειτήριον Blass cf. Hatch, Harvard Studies XIX p. 162 n. 20 κακῶν punctis supra positis del. F om. Y Bekker | οὐκ in ras. A[1] 22 ἐστὶν ὡς ἔοικε Y

Συμβέβηκεν τοίνυν μοι τῶν κατὰ τῆς πατρίδος τούτῳ 160
πεπραγμένων ἀψαμένῳ, εἰς ἃ τούτοις ἐναντιούμενος αὐ-
τὸς πεπολίτευμαι ἀφῖχθαι, ἃ πολλῶν μὲν ἕ|νεκ' ἂν εἰ-
κότως ἀκούσαιτέ μου, μάλιστα δ' ὅτι αἰσχρόν ἐστιν ὦ
5 *ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ μὲν τὰ ἔργα τῶν ὑπὲρ ὑμῶν*
πόνων ὑπέμεινα, ὑμεῖς δὲ μηδὲ τοὺς λόγους αὐτῶν ἀνέ-
ξεσθε. ὁρῶν γὰρ ἐγὼ Θηβαίους, σχεδὸν δὲ καὶ ὑμᾶς 161
ὑπὸ τῶν τὰ Φιλίππου φρονούντων καὶ διεφθαρμένων παρ'
ἑκατέροις, ὃ μὲν ἦν ἀμφοτέροις φοβερὸν καὶ φυλακῆς
10 *πολλῆς δεόμενον, τὸ τὸν Φίλιππον ἐᾶν αὐξάνεσθαι, παρο-*
ρῶντας καὶ οὐδὲ καθ' ἓν φυλαττομένους, εἰς ἔχθραν δὲ
καὶ τὸ προσκρούειν ἀλλήλοις ἑτοίμως ἔχοντας, ὅπως τοῦτο
μὴ γένοιτο παρατηρῶν διετέλουν, οὐκ ἀπὸ τῆς ἐμαυτοῦ
γνώμης μόνον ταῦτα συμφέρειν ὑπολαμβάνων, ἀλλ' εἰδὼς 162
15 *Ἀριστοφῶντα καὶ πάλιν Εὔβουλον πάντα τὸν χρόνον*
βουλομένους πρᾶξαι ταύτην τὴν φιλίαν, καὶ περὶ τῶν
ἄλλων πολλάκις ἀντιλέγοντας ἑαυτοῖς τοῦθ' ὁμογνω-
μονοῦντας ἀεί. οὓς σὺ ζῶντας μὲν ὦ κίναδος κολακεύων
παρηκολούθεις, τεθνεώτων δ' οὐκ αἰσθάνει κατηγορῶν·
20 *ἃ γὰρ περὶ Θηβαίων ἐπιτιμᾷς ἐμοί, ἐκείνων πολὺ μᾶλλον*
ἢ ἐμοῦ κατηγορεῖς, τῶν πρότερον ἢ ἐγὼ ταύτην τὴν συμ-
μαχίαν δοκιμασάντων. ἀλλ' ἐκεῖσ' ἐπάνειμι, ὅτι τὸν ἐν 163
Ἀμφίσσῃ πόλεμον τούτου μὲν ποιήσαντος, συμπερανα-
24 *μένων δὲ τῶν ἄλλων τῶν συνεργῶν αὐτῷ τὴν πρὸς Θη-*
282 *βαίους ἔχθραν, συνέβη τὸν Φίλιππον ἐλθεῖν ἐφ' ἡ|μᾶς,*

3 *ἀφῖχθαι* om. S[1] add. S[d] | *ἕνεκ' ἂν* S: *ἕνεκα* VAY 4 *ἀκούσαιτε* QY: *ἀκούσετε* SF *ἀκούσατε* A 8 *φρονούντων* S *γρ.* QA corr. a I m.: *πραττόντων* FQ text. A[1]Y 10 *τον το τον* S[1] 13 *γένοιτο* S: *γενήσεται* VAY 17 *ἑαυτοῖς* om. S[1] | *εἰς τοῦτο* A 18 *ὡς κίναιδος* A 19 *αἰσθάνει* S: *αἰσχύνῃ* VAY 21 *προτέρων* cod. Coisl. Hertlein 23 *τούτους* S[1] 24 *τοὺς θηβαίους* VY

οὗπερ ἕνεκα τὰς πόλεις οὗτοι συνέκρουον, καὶ εἰ μὴ προεξανέστημεν μικρόν, οὐδ' ἀναλαβεῖν ἂν ἠδυνήθημεν· οὕτω μέχρι πόρρω προήγαγον οὗτοι. ἐν οἷς δ' ἦτ' ἤδη τὰ πρὸς ἀλλήλους, τουτωνὶ τῶν ψηφισμάτων ἀκούσαντες καὶ τῶν ἀποκρίσεων εἴσεσθε. Καί μοι λέγε ταῦτα λαβών. 5

ΨΗΦΙΣΜΑΤΑ

164 *[Ἐπ' ἄρχοντος Ἡροπύθου, μηνὸς ἐλαφηβολιῶνος ἕκτῃ φθίνοντος, φυλῆς πρυτανευούσης Ἐρεχθηίδος, βουλῆς καὶ στρατηγῶν γνώμη· ἐπειδὴ Φίλιππος ἃς μὲν κατείληφεν πόλεις τῶν ἀστυγειτόνων, τινὰς δὲ πορθεῖ, κεφαλαίῳ δ' ἐπὶ τὴν Ἀττικὴν* 10 *παρασκευάζεται παραγίγνεσθαι, παρ' οὐδὲν ἡγούμενος τὰς ἡμετέρας συνθήκας, καὶ τοὺς ὅρκους λύειν ἐπιβάλλεται καὶ τὴν εἰρήνην, παραβαίνων τὰς κοινὰς πίστεις, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ πέμπειν πρὸς αὐτὸν πρέσβεις, οἵτινες αὐτῷ διαλέξονται καὶ παρακαλέσουσιν αὐτὸν μάλιστα μὲν τὴν πρὸς ἡμᾶς* 15 *ὁμόνοιαν διατηρεῖν καὶ τὰς συνθήκας, εἰ δὲ μή, πρὸς τὸ βουλεύσασθαι δοῦναι χρόνον τῇ πόλει καὶ τὰς ἀνοχὰς ποιήσασθαι μέχρι τοῦ θαργηλιῶνος μηνός. ᾑρέθησαν ἐκ βουλῆς Σῖμος Ἀναγυράσιος, Εὐθύδημος Φυλάσιος, Βουλαγόρας Ἀλωπεκῆθεν.*

ΨΗΦΙΣΜΑ 20

165 *Ἐπ' ἄρχοντος Ἡροπύθου, μηνὸς μουνυχιῶνος ἕνῃ καὶ νέᾳ, πολεμάρχου γνώμη· ἐπειδὴ Φίλιππος εἰς ἀλλοτριότητα Θηβαίους πρὸς ἡμᾶς ἐπιβάλλεται καταστῆσαι, παρεσκεύασται δὲ*

1 *προσεξανέστημεν* S[1] 2 *ἀναλαβεῖν* SF corr. QAY: *ἂν ἀναλαβεῖν* F[1] post *ἀναλαβεῖν* add. *αὐτοὺς* VY | *ἐδυνήθημον* A 3 *πορρωι* S | *προήγαγον*] ante *ήγαγον* ras. 1 vel 2 litt. Q | *οὗτοι γρ.* S[d] *γρ.* Q (*οὐ προσγράφοντες τὴν ἔχθραν* S[d] *γρ.* Q) A: *οὗτοι τὴν ἔχθραν* S *γρ.* V *οὗτοι τὸ πρᾶγμα* VY 4 *τούτων* A 5 *καί μοι*... § 165 *δήμου* om. A 6 ΨΗΦΙΣΜΑ Y | decreta om. pap. Ryl. 9 et v. 22 *γνώμη* Y Blass; *γνώμηι* SV, cf. § 37 al. 10 *πορθεῖν* S[1] 19 *ἀναγυρράσιος* SVY, corr. Reiske | *Φυλάσιος* Voemel et Boehnecke: *φλειάσιος* S[1] *φλιάσιος* S corr. VY | *δουλαγόρας* Y 20 ΕΤΕΡΟΝ ΨΗΦΙΣΜΑ Y

καὶ παντὶ τῷ στρατεύματι πρὸς τοὺς ἔγγιστα τῆς Ἀττικῆς παρα-
283 γίγνεσθαι | τόπους, παραβαίνων τὰς πρὸς ἡμᾶς ὑπαρχούσας
αὐτῷ συνθήκας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ πέμψαι πρὸς
αὐτὸν κήρυκα καὶ πρέσβεις, οἵτινες ἀξιώσουσιν καὶ παρακαλέ-
5 σουσιν αὐτὸν ποιήσασθαι τὰς ἀνοχάς, ὅπως ἐνδεχομένως ὁ
δῆμος βουλεύσηται· καὶ γὰρ νῦν οὐ κέκρικεν βοηθεῖν ἐν οὐ-
δενὶ τῶν μετρίων. ᾑρέθησαν ἐκ βουλῆς Νέαρχος Σωσινόμου,
Πολυκράτης Ἐπίφρονος, καὶ κῆρυξ Εὔνομος Ἀναφλύστιος ἐκ
τοῦ δήμου.]

10 Λέγε δὴ καὶ τὰς ἀποκρίσεις.

ΑΠΟΚΡΙΣΙΣ ΑΘΗΝΑΙΟΙΣ

[Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ 166
τῷ δήμῳ χαίρειν. ἣν μὲν ἀπ' ἀρχῆς εἴχετε πρὸς ἡμᾶς αἵρεσιν,
οὐκ ἀγνοῶ, καὶ τίνα σπουδὴν ποιεῖσθε προσκαλέσασθαι βου-
15 λόμενοι Θετταλοὺς καὶ Θηβαίους, ἔτι δὲ καὶ Βοιωτούς· βέλ-
τιον δ' αὐτῶν φρονούντων καὶ μὴ βουλομένων ἐφ' ὑμῖν ποι-
ήσασθαι τὴν ἑαυτῶν αἵρεσιν, ἀλλὰ κατὰ τὸ συμφέρον ἱσταμέ-
νων, νῦν ἐξ ὑποστροφῆς ἀποστείλαντες ὑμεῖς πρός με πρέσβεις
καὶ κήρυκα συνθηκῶν μνημονεύετε καὶ τὰς ἀνοχὰς αἰτεῖσθε,
20 κατ' οὐδὲν ὑφ' ἡμῶν πεπλημμελημένοι. ἐγὼ μέντοι ἀκούσας
τῶν πρεσβευτῶν συγκατατίθεμαι τοῖς παρακαλουμένοις καὶ ἕτοι-
μός εἰμι ποιεῖσθαι τὰς ἀνοχάς, ἄν περ τοὺς οὐκ ὀρθῶς συμ-
βουλεύοντας ὑμῖν παραπέμψαντες τῆς προσηκούσης ἀτιμίας
ἀξιώσητε. ἔρρωσθε.]

2 παραβαινον S[1] 5 ἐνδεχομένων SVY[1] ἐνδεχόμενον Y corr. 6 ἐπ' οὐδενὶ Dobree 11 ΑΠΟΚΡΙΣΕΙΣ SQY ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ. ΨΗΦΙΣΜΑ Α ΑΘΗΝΑΙΟΙΣ om. Y text. 14 ἐποιεῖσθε H. Wolf | προκαλέσασθαι Y coni. Dobree (scil. εἰς φιλίαν) 19 κήρυκα Reiske: κήρυκας SVY 20 πεπλημμενοι S[1] (corr. S[d]) πεπληγμένοι Y[1] 21 συνκατατιθέναι S[1] cf. 338, 6 22 τοὺς] τουτους S 24 ἀξιώσητε] ἐξιώσητε Y[1] | ἔρρωσθε om. Q

ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΟΙΣ

167 [*Βασιλεὺς Μακεδόνων Φίλιππος Θηβαίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἐκομισάμην τὴν παρ' ὑμῶν ἐπιστολήν, δι' ἧς μοι τὴν ὁμόνοιαν καὶ τὴν εἰρή|νην † τως εμοι ειτε. πυνθά-* 284 *νομαι μέντοι διότι πᾶσαν ὑμῖν Ἀθηναῖοι προσφέρονται φιλο-* 5 *τιμίαν βουλόμενοι ὑμᾶς συγκαταίνους γενέσθαι τοῖς ὑπ' αὐτῶν παρακαλουμένοις. πρότερον μὲν οὖν ὑμῶν κατεγίγνωσκον ἐπὶ τῷ μέλλειν πείθεσθαι ταῖς ἐκείνων ἐλπίσιν καὶ ἐπακολουθεῖν αὐτῶν τῇ προαιρέσει. νῦν δ' ἐπιγνοὺς ὑμᾶς τὰ πρὸς ἡμᾶς ἐζη-τηκότας ἔχειν εἰρήνην μᾶλλον ἢ ταῖς ἑτέρων ἐπακολουθεῖν* 10 *γνώμαις, ἥσθην καὶ μᾶλλον ὑμᾶς ἐπαινῶ κατὰ πολλά, μάλιστα δ' ἐπὶ τῷ βουλεύσασθαι περὶ τούτων ἀσφαλέστερον καὶ τὰ πρὸς ἡμᾶς ἔχειν ἐν εὐνοίᾳ· ὅπερ οὐ μικρὰν ὑμῖν οἴσειν ἐλπίζω ῥο-πήν, ἐάν περ ἐπὶ ταύτης μένητε τῆς προθέσεως. ἔρρωσθε.*]

168 ***Οὕτω διαθεὶς ὁ Φίλιππος τὰς πόλεις πρὸς ἀλλήλας*** 15 ***διὰ τούτων καὶ τούτοις ἐπαρθεὶς τοῖς ψηφίσμασιν καὶ ταῖς ἀποκρίσεσιν, ἧκεν ἔχων τὴν δύναμιν καὶ τὴν Ἐλά-τειαν κατέλαβεν, ὡς οὐδ' ἂν εἴ τι γένοιτ' ἔτι συμπνευ-σάντων ἂν ἡμῶν καὶ τῶν Θηβαίων. ἀλλὰ μὴν τὸν τότε***

1 ΑΠΟΚΡΙΣΕΙΣ SQ 4 *και την ειρηνην τωσ εμοι ειτε* S^1, ante *τως* add. *ὅν* m. rec. *καὶ τὴν εἰρήνην ἀνανεοῦσθε καὶ τὴν εἰρήνην τως εμοιειτε* F^1 *καὶ τὴν εἰρήνην ἀνανεοῦσθε καὶ τὴν εἰρήνην* lac. 11 litt. Q *καὶ τὴν εἰρήνην ἀνανεοῦσθε* F corr. Y [traditum erat *καὶ τὴν εἰρήνην τως εμοι ειτε*, correctum in mg. *καὶ τὴν εἰρήνην ἀνανεοῦσθε*, in F(Q) utrumque inrepsit in textum] *καὶ τὴν εἰρή-νην ὄντως ἐποιεῖτε* post Dobraeum Voemel *κ. τ. εἰρ. προσομολο-γεῖτε* L. Spengel; fuitne *κ. τ. εἰρ. πιστῶς ἐμπεδοῦτε*? 5 *υμων* ut vid. S^1 6 *συνκαταινους* S^1 7 *μὲν* om. Y 11 *μᾶλλον* suspectat Sauppe, *μάλα* coni. Voemel | *κατὰ* S corr.: *καὶ τὰ* S^1VY 15 *ὁ* om. Dion. Hal. ad Amm. 743R. | *ἀλλήλους* Y 18 *ἔτι*] *επι* S^1 | *συμπνευσάντων ἂν* Elmsley (cf. Hesych. *συμπνευσάντων· ὁμο-νοησάντων*): *συμπνευσόντων ἂν* SA *συμπνευσόντων ἡμῶν ἂν* Dion., *συμπνευσόντων* VY 19 *ὑμῶν* (η *supra* ὑ) V *ὑμῶν* Y

συμβάντ' ἐν τῇ πόλει θόρυβον ἴστε μὲν ἅπαντες· μικρὰ
δ' ἀκούσαθ' ὅμως αὐτὰ τἀναγκαιότατα.
Ἑσπέρα μὲν γὰρ ἦν, ἧκε δ' ἀγγέλων τις ὡς τοὺς πρυ- 169
τάνεις ὡς Ἐλάτεια κατείληπται. καὶ μετὰ ταῦθ' οἱ μὲν
5 εὐθὺς ἐξαναστάντες μεταξὺ δειπνοῦντες τούς τ' ἐκ τῶν
σκηνῶν τῶν κατὰ τὴν ἀγορὰν ἐξεῖργον καὶ τὰ γέρρ' ἐνε-
πίμπρασαν, οἱ δὲ τοὺς στρατηγοὺς μετεπέμποντο καὶ τὸν
σαλπικτὴν ἐκάλουν· καὶ θορύβου πλήρης ἦν ἡ πόλις. τῇ
δ' ὑστεραίᾳ, ἅμα τῇ ἡμέρᾳ, οἱ μὲν πρυτάνεις τὴν βου-
10 λὴν ἐκάλουν εἰς τὸ βουλευτήριον, ὑμεῖς δ' εἰς τὴν ἐκκλη-
285 σίαν ἐπο|ρεύεσθε, καὶ πρὶν ἐκείνην χρηματίσαι καὶ προ-
βουλεῦσαι, πᾶς ὁ δῆμος ἄνω καθῆτο. καὶ μετὰ ταῦτα ὡς 170
ἦλθεν ἡ βουλὴ καὶ ἀπήγγειλαν οἱ πρυτάνεις τὰ προσηγ-
γελμέν' ἑαυτοῖς καὶ τὸν ἥκοντα παρήγαγον κἀκεῖνος εἶπεν,
15 ἠρώτα μὲν ὁ κῆρυξ „τίς ἀγορεύειν βούλεται;“ παρῄει δ'
οὐδείς. πολλάκις δὲ τοῦ κήρυκος ἐρωτῶντος οὐδὲν μᾶλ-
λον ἀνίστατ' οὐδείς, ἁπάντων μὲν τῶν στρατηγῶν παρόν-
των, ἁπάντων δὲ τῶν ῥητόρων, καλούσης δὲ τῆς [κοινῆς]
πατρίδος [φωνῆς] τὸν ἐροῦνθ' ὑπὲρ σωτηρίας· ἣν γὰρ
20 ὁ κῆρυξ κατὰ τοὺς νόμους φωνὴν ἀφίησι, ταύτην κοινὴν
τῆς πατρίδος δίκαιόν ἐστιν ἡγεῖσθαι. καίτοι εἰ μὲν τοὺς 171

1 ἐν om. A 2 αὐτὰ τὰ om. S[1] in fine col. add. S rec. 4 cf. Oxyrh. pap. VI n. 858, 25 6 ἐνεπίμπρασαν] ἀνεπετάννυσαν Girard coll. schol. ad Aristoph. Ach. 22 8 σαλπιγκτὴν AY corr. pap. cf. Croenert, Mem. Graeca Herc. p. 71 11 ἐπορεύεσθε] superscr. αι super postr. ε S rec. 12 καθῆστο AY cf. Plat. Euthyd. 271a | cf. Oxyrh. pap. v. 32 13 ἦλθεν SQA: εἰσῆλθεν FY 14 αυτοῖς A 16 πολλάκι Y cf. Croenert p. 142 sq. 17 post στρατηγῶν ras. 3 litt. S 18 ἁπάντων om. S[1] add. S[d] 18 sq. της κοινης πατριδος φωνης S[1] τῆς κοινης πατρίδος φωνῆι S corr. τῆς κοινῆς τῆς πατρίδος φωνῆς VY corr. τῆι κοινῆι τῆς πατρίδος φωνῆι AY[1] τῆς πατρίδος τῆι κονῆι φωνῆι γρ. S[d] γρ. Q; corr. Lipsius, Weil 19 ἣν ... 22 ἡγεῖσθαι del. Dobree 21 ἐστιν om. F | τοὺς] τοῦ A[1]

σωθῆναι τὴν πόλιν βουλομένους παρελθεῖν ἔδει, πάν-
τες ἂν ὑμεῖς καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἀναστάντες ἐπὶ τὸ
βῆμ' ἐβαδίζετε (πάντες γὰρ οἶδ' ὅτι σωθῆναι αὐτὴν
ἐβούλεσθε)· εἰ δὲ τοὺς πλουσιωτάτους, οἱ τριακόσιοι·
εἰ δὲ τοὺς ἀμφότερα ταῦτα, καὶ εὔνους τῇ πόλει καὶ 5
πλουσίους, οἱ μετὰ ταῦτα τὰς μεγάλας ἐπιδόσεις ἐπιδόν-
172 τες· καὶ γὰρ εὐνοίᾳ καὶ πλούτῳ τοῦτ' ἐποίησαν. ἀλλ'
ὡς ἔοικεν ἐκεῖνος ὁ καιρὸς καὶ ἡ ἡμέρα ἐκείνη οὐ μόνον
εὔνουν καὶ πλούσιον ἄνδρ' ἐκάλει, ἀλλὰ καὶ παρηκολου-
θηκότα τοῖς πράγμασιν ἐξ ἀρχῆς καὶ συλλελογισμένον 10
ὀρθῶς, τίνος ἕνεκα ταῦτ' ἔπραττεν ὁ Φίλιππος καὶ τί
βουλόμενος· ὁ γὰρ μὴ ταῦτ' εἰδὼς μηδ' ἐξητακὼς πόρ-
ρωθεν, οὔτ' εἰ εὔνους ἦν οὔτ' εἰ πλούσιος, οὐδὲν μᾶλ-
λον ἤμελλεν ὅ τι χρὴ ποιεῖν εἴσεσθαι, οὐδ' ὑμῖν ἕξειν
173 συμβουλεύειν. ἐφάνην τοίνυν οὗτος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ 15
ἐγὼ καὶ παρελθὼν εἶπον εἰς ὑμᾶς, ἅ μου | δυοῖν ἕνεκ' 286
ἀκούσατε προσσχόντες τὸν νοῦν, ἑνὸς μέν, ἵν' εἰδῆθ'
ὅτι μόνος τῶν λεγόντων καὶ πολιτευομένων ἐγὼ τὴν τῆς
εὐνοίας τάξιν ἐν τοῖς δεινοῖς οὐκ ἔλιπον, ἀλλὰ καὶ λέ-
γων καὶ γράφων ἐξηταζόμην τὰ δέονθ' ὑπὲρ ὑμῶν ἐν 20
αὐτοῖς τοῖς φοβεροῖς, ἑτέρου δ' ὅτι μικρὸν ἀναλώσαντες
χρόνον πολλῷ πρὸς τὰ λοιπὰ τῆς πάσης πολιτείας ἔσεσθ'
174 ἐμπειρότεροι. εἶπον τοίνυν ὅτι „τοὺς μὲν ὡς ὑπαρχόν-

2 καὶ οἱ ἄλλοι Ἀθηναῖοι del. Benseler 3 εὖ οἶδ' S^d VAY 4 ἠβούλεσθε A 8 ὁ καιρὸς ἐκεῖνος om. verbis καὶ ἐκείνη Hermog. III 422 W. (433, 10 R.) 9 εὔνουν ἡμῖν Hermog. 10 ἐξ ἀρχῆς τοῖς πράγμ. Hermog. 11 ἐξ ἀρχῆς ὀρθῶς S^1 | ἕνεκεν A 12 μηδ'] μήτ' VY 13 πόρρωθεν ἐπιμελῶς S^dVAY 14 εισεσθε S^1 16 δυεῖν A^1 corr. A^3 17 προσσχόντες Q: προ-σχοντες S προσέχοντες FAY | ἵν' in ras. F 22 πολλὰ Y^2 | πάσης τῆς Q

των Θηβαίων Φιλίππῳ λίαν θορυβουμένους ἀγνοεῖν τὰ
παρόντα πράγμαθ' ἡγοῦμαι· εὖ γὰρ οἶδ' ὅτι, εἰ τοῦθ'
οὕτως ἐτύγχανεν ἔχον, οὐκ ἂν αὐτὸν ἠκούομεν ἐν Ἐλα-
τείᾳ ὄντα, ἀλλ' ἐπὶ τοῖς ἡμετέροις ὁρίοις. ὅτι μέντοι ἵν'
5 ἕτοιμα ποιήσηται τὰ ἐν Θήβαις ἥκει, σαφῶς ἐπίσταμαι.
„ὡς δ' ἔχει" ἔφην „ταῦτ', ἀκούσατέ μου. ἐκεῖνος ὅσους 175
ἢ πεῖσαι χρήμασι Θηβαίων ἢ ἐξαπατῆσαι ἐνῆν, ἅπαντας
ηὐτρέπισται· τοὺς δ' ἀπ' ἀρχῆς ἀνθεστηκότας αὐτῷ καὶ
νῦν ἐναντιουμένους οὐδαμῶς πεῖσαι δύναται. τί οὖν βού-
10 λεται, καὶ τίνος εἵνεκα τὴν Ἐλάτειαν κατείληφεν; πλη-
σίον δύναμιν δείξας καὶ παραστήσας τὰ ὅπλα τοὺς μὲν
ἑαυτοῦ φίλους ἐπᾶραι καὶ θρασεῖς ποιῆσαι, τοὺς δ' ἐναν-
τιουμένους καταπλῆξαι, ἵν' ἢ συγχωρήσωσι φοβηθέντες 176
ἃ νῦν οὐκ ἐθέλουσιν ἢ βιασθῶσιν. εἰ μὲν τοίνυν προ-
15 αιρησόμεθ' ἡμεῖς" ἔφην „ἐν τῷ παρόντι, εἴ τι δύσκολον
πέπρακται Θηβαίοις πρὸς ἡμᾶς, τούτου μεμνῆσθαι καὶ
ἀπιστεῖν αὐτοῖς ὡς ἐν τῇ τῶν ἐχθρῶν οὖσιν μερίδι, πρῶ-
τον μὲν ἃ ἂν εὔξαιτο Φίλιππος ποιήσομεν, εἶτα φοβοῦμαι
287 μὴ προσδεξαμένων τῶν νῦν ἀνθεστη|κότων αὐτῷ καὶ μιᾷ
20 γνώμῃ πάντων φιλιππισάντων εἰς τὴν Ἀττικὴν ἔλθωσιν
ἀμφότεροι. ἂν μέντοι πεισθῆτέ μοι καὶ πρὸς τῷ σκοπεῖν,
ἀλλὰ μὴ φιλονικεῖν περὶ ὧν ἂν λέγω γένησθε, οἶμαι καὶ

1 φιλίππωι S Tiberius Rhet. VIII 571 W.: φίλων φιλίππωι VY φιλίππωι φίλων A 3 ἔχων A[1] 4 νῦν ὄντα A ὄντ' ἐν Ἐλατείᾳ Weil; num Ἐλατείᾳ γ' ὄντα? | ὑμετέροις Y 5 ποιησητε S[1] | Θήβαις] θηβαίοις V 6 ἔφην ταῦτα S: ταῦτα ἔφην VAY 7 πεῖσαι] πεῖ Y[1] 8 ευτρέπισται SF corr. 10 εἵνεκα SVY: ἕνεκεν A | ἵνα πλησίον SF[1]Q 12 αυτοῦ A | ἐπᾶραι καὶ θρασεῖς ποιῆσαι SA: θρασεῖς ποιῆσαι καὶ ἐπᾶραι VY ἐπᾶραι Cobet, cf. Dion. Hal. Ant. XI 47, 2. Andoc. III 7 13 καταπλῆξαι om. S[1] add. ead. 14 τοίνυν S: οὖν VAY 18 ευξετο S[1] 21 ἐμοὶ A cf. XV 9 22 γενήσεσθε F[1]Y γενήσεσθαι Q

τὰ δέοντα λέγειν δόξειν καὶ τὸν ἐφεστηκότα κίνδυνον
177 τῇ πόλει διαλύσειν. τί οὖν φημι δεῖν; πρῶτον μὲν τὸν
παρόντ' ἐπανεῖναι φόβον, εἶτα μεταθέσθαι καὶ φοβεῖσθαι
πάντας ὑπὲρ Θηβαίων· πολὺ γὰρ τῶν δεινῶν εἰσιν ἡμῶν
ἐγγυτέρω, καὶ προτέροις αὐτοῖς ἐστιν ὁ κίνδυνος· ἔπειτ' 5
ἐξελθόντας Ἐλευσῖνάδε τοὺς ἐν ἡλικίᾳ καὶ τοὺς ἱππέας
δεῖξαι πᾶσιν ὑμᾶς αὐτοὺς ἐν τοῖς ὅπλοις ὄντας, ἵνα τοῖς
ἐν Θήβαις φρονοῦσιν τὰ ὑμέτερ' ἐξ ἴσου γένηται τὸ παρ-
ρησιάζεσθαι περὶ τῶν δικαίων, ἰδοῦσιν ὅτι ὥσπερ τοῖς
πωλοῦσι Φιλίππῳ τὴν πατρίδα πάρεσθ' ἡ βοηθήσουσα 10
δύναμις ἐν Ἐλατείᾳ, οὕτω τοῖς ὑπὲρ τῆς ἐλευθερίας
ἀγωνίζεσθαι βουλομένοις ὑπάρχεθ' ὑμεῖς ἕτοιμοι καὶ
178 βοηθήσετε, ἐάν τις ἐπ' αὐτοὺς ἴῃ. μετὰ ταῦτα χειροτο-
νῆσαι κελεύω δέκα πρέσβεις καὶ ποιῆσαι τούτους κυρίους
μετὰ τῶν στρατηγῶν καὶ τοῦ πότε δεῖ βαδίζειν ἐκεῖσε 15
καὶ τῆς ἐξόδου. ἐπειδὰν δ' ἔλθωσιν οἱ πρέσβεις εἰς Θή-
βας, πῶς χρήσασθαι τῷ πράγματι παραινῶ; τούτῳ πάνυ
μοι προσέχετε τὸν νοῦν. μὴ δεῖσθαι Θηβαίων μηδέν
(αἰσχρὸς γὰρ ὁ καιρός), ἀλλ' ἐπαγγέλλεσθαι βοηθήσειν,
ἂν κελεύωσιν, ὡς ἐκείνων ὄντων ἐν τοῖς ἐσχάτοις, ἡμῶν 20

3 ἐπανεῖναι] επαινειν una litt. post alterum ν eras. S^1 | μεταθεσθε S corr. 4 ἡμῶν S γρ. QA: om. FQ^1Y 5 ἐστιν S γρ. Q: ἔσθ' A om. FQ^1Y 8 ἡμέτερα S corr. A | παρρησιαζεσθε S corr. 9 ἰδουσιν S: εἰδοῦσιν F^1QAY εἰδόσιν F corr. 11 ἐν Ἐλατείᾳ suspectat Weil | ουτωι S 13 βοηθησητε, medium η in ras. S | ἂν VAY | ἴῃ] η S^1 14 κελεύω del. Weil 15 μετὰ τῶν στρατηγῶν om. A^1 add. A^3 mg. | ἐκεῖσε βαδίζειν VY ἐκεῖσε secl. Blass 16 δ' om. Q^1 17 χρήσασθαι SA: χρήσεσθαι VY | τούτωι ante παραινῶ pon. A | παραινῶ del. Herwerden 18 προσεσχετε S^1 (alterum σ puncto notatum) πρόσσχετε Blass (nusquam apud Dem.) | δεῖσθε AY 19 ἐπαγγέλλεσθε AY 20 ἐὰν VAY | ἐκείνων μὲν A Dion. Hal. rhet. p. 286. 350 R. | ἐσχάτοις κινδύνοις F mg. AY

δ' ἄμεινον ἢ 'κεῖνοι προορωμένων· ἵν' ἐὰν μὲν δέξων-
ται ταῦτα καὶ πεισθῶσιν ἡμῖν, καὶ ἃ βουλόμεθ' ὦμεν
288 διῳ|κημένοι καὶ μετὰ προσχήματος ἀξίου τῆς πόλεως ταῦ-
τα πράξωμεν, ἂν δ' ἄρα μὴ συμβῇ κατατυχεῖν, ἐκεῖνοι
5 μὲν αὑτοῖς ἐγκαλῶσιν, ἄν τι νῦν ἐξαμαρτάνωσιν, ἡμῖν
δὲ μηδὲν αἰσχρὸν μηδὲ ταπεινὸν ᾖ πεπραγμένον." Ταῦτα 179
καὶ παραπλήσια τούτοις εἰπὼν κατέβην. συνεπαινεσάν-
των δὲ πάντων καὶ οὐδενὸς εἰπόντος ἐναντίον οὐδέν,
οὐκ εἶπον μὲν ταῦτ', οὐκ ἔγραψα δέ, οὐδ' ἔγραψα μέν,
10 οὐκ ἐπρέσβευσα δέ, οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ
Θηβαίους, ἀλλ' ἀπὸ τῆς ἀρχῆς ἄχρι τῆς τελευτῆς διέξ-
ῆλθον καὶ ἔδωκ' ἐμαυτὸν ὑμῖν ἁπλῶς εἰς τοὺς περιε-
στηκότας τῇ πόλει κινδύνους. Καί μοι φέρε τὸ ψήφισμα
τὸ τότε γενόμενον.

15 Καίτοι τίνα βούλει σέ, Αἰσχίνη, καὶ τίν' ἐμαυτὸν ἐ- 180
κείνην τὴν ἡμέραν εἶναι θῶ; βούλει ἐμαυτὸν μέν, ὃν ἂν
σὺ λοιδορούμενος καὶ διασύρων καλέσαις, Βάταλον, σὲ
δὲ μηδ' ἥρω τὸν τυχόντα, ἀλλὰ τούτων τινὰ τῶν ἀπὸ
τῆς σκηνῆς, Κρεσφόντην ἢ Κρέοντ' ἢ ὃν ἐν Κολλυτῷ
20 ποτ' Οἰνόμαον κακῶς ἐπέτριψας; τότε τοίνυν κατ' ἐκεῖ-
νον τὸν καιρὸν ὁ Παιανιεὺς ἐγὼ Βάταλος Οἰνομάου τοῦ
Κοθωκίδου σοῦ πλείονος ἄξιος ὢν ἐφάνην τῇ πατρίδι.

1 κεῖνοι SQ Dion. ἐκεῖνοι F^1A: κείνων F corr. (ἐκ.), Y | τὸ μέλλον προορωμένων VAY Dion. (add. καὶ ante τὸ p. 280) προορωμένων τὸ μέλλον γρ. S^d 2 βουλωμεθα S 3 προσχήματος] σχήματος A Dion. cf. Polyb. V 10, 1. VI 33, 12 4 ἐὰν VAY | κατατυχην V 5 ἑαυτοῖς VAY | ἑαυτῶν κατηγορῶσιν? Dion. cf. ad § 213 | ἐάν A | ἐξαμάρτωσιν VAY 11 ἀρχῆς διὰ πάντων S^dVAY 12 ὑμῖν om. Q^1A 17 λυδορουμενος S^1 | βατταλον S 18 ηρωα S^1VY | τῶν] τὸν Q 19 πρεσφόντην A | κολυτωι S κολυττῶι VAY 20 καὶ κακῶς Y | ὑποκρινόμενος ἐπέτριψας S^dVAY | κατ' . . . 21 καιρὸν non habet Hermog. III 350 W. (365, 12 R.) 22 πατρίδι] πόλει Hermog.

σὺ μέν γ' οὐδὲν οὐδαμοῦ χρήσιμος ἦσθα· ἐγὼ δὲ πάνθ' ὅσα προσῆκε τὸν ἀγαθὸν πολίτην ἔπραττον. Λέγε τὸ ψήφισμά μοι.

ΨΗΦΙΣΜΑ ΔΗΜΟΣΘΕΝΟΥΣ

181 [*Ἐπὶ ἄρχοντος Ναυσικλέους, φυλῆς πρυτανευούσης Αἰαν-* 5
τίδος, σκιροφοριῶνος ἕκτῃ ἐπὶ δέκα, Δημοσθένης Δημοσθέ-
νους Παιανιεὺς εἶπεν· ἐπειδὴ Φί|λιππος ὁ Μακεδόνων βασι- 289
λεὺς ἔν τε τῷ παρεληλυθότι χρόνῳ παραβαίνων φαίνεται τὰς
γεγενημένας αὐτῷ συνθήκας πρὸς τὸν Ἀθηναίων δῆμον περὶ
τῆς εἰρήνης, ὑπεριδὼν τοὺς ὅρκους καὶ τὰ παρὰ πᾶσιν τοῖς 10
Ἕλλησιν νομιζόμενα εἶναι δίκαια, καὶ πόλεις παραιρεῖται οὐ-
δὲν αὐτῷ προσηκούσας, τινὰς δὲ καὶ Ἀθηναίων οὔσας δορια-
λώτους πεποιήκεν οὐδὲν προαδικηθεὶς ὑπὸ τοῦ δήμου τοῦ
Ἀθηναίων, ἔν τε τῷ παρόντι ἐπὶ πολὺ προάγει τῇ τε βίᾳ καὶ
182 *τῇ ὠμότητι (καὶ γὰρ Ἑλληνίδας πόλεις ἃς μὲν ἐμφρούρους* 15
ποιεῖ καὶ τὰς πολιτείας καταλύει, τινὰς δὲ καὶ ἐξανδραποδιζό-
μενος κατασκάπτει, εἰς ἐνίας δὲ καὶ ἀντὶ Ἑλλήνων βαρβάρους
κατοικίζει ἐπὶ τὰ ἱερὰ καὶ τοὺς τάφους ἐπάγων, οὐδὲν ἀλλό-
τριον ποιῶν οὔτε τῆς ἑαυτοῦ πατρίδος οὔτε τοῦ τρόπου, καὶ
τῇ νῦν αὐτῷ παρούσῃ τύχῃ κατακόρως χρώμενος, ἐπιλελησμέ- 20
νος ἑαυτοῦ ὅτι ἐκ μικροῦ καὶ τοῦ τυχόντος γέγονεν ἀνελπίστως)·
183 *καὶ ἕως μὲν πόλεις ἑώρα παραιρούμενον αὐτὸν βαρβάρους καὶ*
ἰδίας, ὑπελάμβανεν ἔλαττον εἶναι ὁ δῆμος ὁ Ἀθηναίων τὸ εἰς
αὐτὸν πλημμελεῖσθαι· νῦν δ' ὁρῶν Ἑλληνίδας πόλεις τὰς μὲν
ὑβριζομένας, τὰς δὲ ἀναστάτους γιγνομένας, δεινὸν ἡγεῖται 25

1 *σὺ*] *σοὶ* A | *ἅπαντα* A 2 *ὅσα*] *ἃ* QA | *ἔπραττον* om. Y 3 *μοι* om. VY 6 *δεκάδι* Y 7 *μακεδόνων βασιλεὺς* Y: *μακεδόνων* SV *μακεδὼν* B 8 *τε* om. Y 10 *υπερειδων* S | *τὰ* om. Y 11 *παραιτειται* S 13 *δήμου τῶν* Y 20 *επιλελισμενος* S[1] 21 post *ἀνελπίστως* add. *μέγας* apographa aliquot cf. Sopater Mus. Rhen. v. LXV p. 514, 5 22 *οὐκ ἰδίας* Scrimger | *ὑπελάμβανον* Y | *ὁ* ante *Ἀθην.* om. Y

εἶναι καὶ ἀνάξιον τῆς τῶν προγόνων δόξης τὸ περιορᾶν τοὺς Ἕλληνας καταδουλουμένους· διὸ δεδόχθαι τῇ βουλῇ καὶ τῷ 184
δήμῳ τῷ Ἀθηναίων, εὐξαμένους καὶ θύσαντας τοῖς θεοῖς καὶ ἥρωσι τοῖς κατέχουσι τὴν πόλιν καὶ τὴν χώραν τὴν Ἀθηναίων,
5 *καὶ ἐνθυμηθέντας τῆς τῶν προγόνων ἀρετῆς, διότι περὶ πλεί-*
290 *ονος ἐποιοῦντο τὴν τῶν | Ἑλλήνων ἐλευθερίαν διατηρεῖν ἢ τὴν ἰδίαν πατρίδα, διακοσίας ναῦς καθέλκειν εἰς τὴν θάλατταν καὶ τὸν ναύαρχον ἀναπλεῖν ἐντὸς Πυλῶν, καὶ τὸν στρατηγὸν καὶ τὸν ἵππαρχον τὰς πεζὰς καὶ τὰς ἱππικὰς δυνάμεις Ἐλευσῖνάδε*
10 *ἐξάγειν, πέμψαι δὲ καὶ πρέσβεις πρὸς τοὺς ἄλλους Ἕλληνας, πρῶτον δὲ πάντων πρὸς Θηβαίους διὰ τὸ ἐγγυτάτω εἶναι τὸν Φίλιππον τῆς ἐκείνων χώρας, παρακαλεῖν δὲ αὐτοὺς μηδὲν* 185
καταπλαγέντας τὸν Φίλιππον ἀντέχεσθαι τῆς ἑαυτῶν καὶ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας, καὶ ὅτι ὁ Ἀθηναίων δῆμος,
15 *οὐδὲν μνησικακῶν εἴ τι πρότερον γέγονεν ἀλλότριον ταῖς πόλεσιν πρὸς ἀλλήλας, βοηθήσει καὶ δυνάμεσι καὶ χρήμασι καὶ βέλεσιν καὶ ὅπλοις, εἰδὼς ὅτι αὐτοῖς μὲν πρὸς ἀλλήλους διαμφισβητεῖν περὶ τῆς ἡγεμονίας οὖσιν Ἕλλησι καλόν, ὑπὸ δὲ ἀλλοφύλου ἀνθρώπου ἄρχεσθαι καὶ τῆς ἡγεμονίας ἀποστερεῖ-*
20 *σθαι ἀνάξιον εἶναι καὶ τῆς τῶν προγόνων δόξης καὶ τῆς τῶν προγόνων ἀρετῆς. ἔτι δὲ οὐδὲ ἀλλότριον ἡγεῖται εἶναι ὁ Ἀθη-* 186
ναίων δῆμος τὸν Θηβαίων δῆμον οὔτε τῇ συγγενείᾳ οὔτε τῷ ὁμοφύλῳ. ἀναμιμνῄσκεται δὲ καὶ τὰς τῶν προγόνων τῶν ἑαυτοῦ εἰς τοὺς Θηβαίων προγόνους εὐεργεσίας· καὶ γὰρ τοὺς
25 *Ἡρακλέους παῖδας ἀποστερουμένους ὑπὸ Πελοποννησίων τῆς*

2 *δεδόχθαι* Taylor: *δέδοκται* codd. 4 *τῶν ἀθηναίων* Y 5 *ἐνθυμηθέντας* apogr., Lambinus: *ἐνθυμηθεῖσι* SVY | *περὶ*] *περ* S[1] 7 *πατρίδα*] *πατρ* in ras. S[1] | *θάλασσαν* Y 8 *τὸν στρατηγὸν καὶ τὸν ἵππαρχον* om. Y 10 *τους πρέσβεις* S 11 *εγγυτάτωι* S 15 *οὐδὲ* Y | *εἴ τι*] *ετι* S[1] 16 *πρὸς ἀλλήλας βοηθήσει καὶ δυνάμεσι* om. Q | *βοηθησεσι* SF[1] 17 *ὅτι* O[1] p: *ὅτι καὶ* SVY 20 *εἶναι* del. Dobree *ἐστιν* Scrimger | *προγόνων*] *Ἑλλήνων* Aldina, at v. § 183 21 *προγόνων*] num *Ἑλλήνων*? at v. § 184 | *ὁ* s. v. S[1] 22 *συγγενιαι* S[1] 23 *αναμιμνησκετε* S[1]

πατρῴας ἀρχῆς κατήγαγον, τοῖς ὅπλοις κρατήσαντες τοὺς ἀντιβαίνειν πειρωμένους τοῖς Ἡρακλέους ἐγγόνοις, καὶ τὸν Οἰδίπουν καὶ τοὺς μετ' ἐκείνου ἐκπεσόντας ὑπεδεξάμεθα, καὶ ἕτερα πολλὰ ἡμῖν ὑπάρχει φιλάνθρωπα καὶ ἔνδοξα πρὸς | Θηβαίους· **291**
187 *διόπερ οὐδὲ νῦν ἀποστήσεται ὁ Ἀθηναίων δῆμος τῶν Θη-* 5
βαίοις τε καὶ τοῖς ἄλλοις Ἕλλησι συμφερόντων. συνθέσθαι δὲ πρὸς αὐτοὺς [καὶ] συμμαχίαν καὶ ἐπιγαμίαν ποιήσασθαι καὶ ὅρκους δοῦναι καὶ λαβεῖν. πρέσβεις Δημοσθένης Δημοσθένους Παιανιεύς, Ὑπερείδης Κλεάνδρου Σφήττιος, Μνησιθείδης Ἀντιφάνους Φρεάρριος, Δημοκράτης Σωφίλου Φλυεύς, Κάλλαι- 10
σχρος Διοτίμου Κοθωκίδης.]

188 *Αὕτη τῶν περὶ Θήβας ἐγίγνετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη, τὰ πρὸ τούτων εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων. τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίνδυνον παρ-* 15
ελθεῖν ἐποίησεν ὥσπερ νέφος. ἦν μὲν τοίνυν τοῦ δικαίου πολίτου τότε δεῖξαι πᾶσιν, εἴ τι τούτων εἶχεν ἄμει-
189 *νον, μὴ νῦν ἐπιτιμᾶν. ὁ γὰρ σύμβουλος καὶ ὁ συκοφάντης, οὐδὲ τῶν ἄλλων οὐδὲν ἐοικότες, ἐν τούτῳ πλεῖστον ἀλλήλων διαφέρουσιν· ὁ μέν γε πρὸ τῶν πραγμάτων* 20
γνώμην ἀποφαίνεται καὶ δίδωσιν ἑαυτὸν ὑπεύθυνον τοῖς πεισθεῖσι, τῇ τύχῃ, τῷ καιρῷ, τῷ βουλομένῳ· ὁ δὲ σιγήσας ἡνίκ' ἔδει λέγειν, ἄν τι δύσκολον συμβῇ, τοῦτο βα-

2 *ἐκγόνοις* Y 3 *ἕτερ' ἂν* Y 6 *τοῖς* add. p Reiske: om. SVY 7 *καὶ* om. Aug. 4 del. G. H. Schaefer | *ποιήσασθε* S[1] 8 *δημοσθένην* S[1] corr. S[d] 9 *ὑπερίδης* Y | *μνησιθίδης* Q 12 *ἐγίγνετο* F[1]QY *ἐγίνετο* SA: *ἐγένετο* F corr. Hermog. III 244 W. (265, 11 R.). 245 (266, 6. 15). 247 (267, 11). 288 (306, 15). 367 (381, 25) 14 *πόλεων*] *πολεμων* A[1] corr. A[3] 15 *ἐπιστάντα τῇ πόλει* Hermog. 244 (265, 15). 288 (306, 16). 367 (382, 1), non 266, 7 *ἐπιόντα τῇ πόλει* Demetr. de eloc. 273 18 *νῦν*] *τοίνυν* A (i. e. *μή τοι νῦν*) 19 *οὐδὲ* S: *οὐδενὶ γρ.* S[d] A *ἐν οὐδενὶ* VY | *οὐδὲν*] erasum in S 20 *μέν γε* S: *μὲν γὰρ* VAY cf. § 93 21 *αὑτὸν* VY 22 *τοῖς καιροῖς* VAY

σκαίνει. ἦν μὲν οὖν, ὅπερ εἶπον, ἐκεῖνος ὁ καιρὸς τοῦ 190
γε φροντίζοντος ἀνδρὸς τῆς πόλεως καὶ τῶν δικαίων
λόγων· ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι, ὥστ' ἂν
νῦν ἔχῃ τις δεῖξαί τι βέλτιον, ἢ ὅλως εἴ τι ἄλλ' ἐνῆν
5 πλὴν ὧν ἐγὼ προειλόμην, ἀδικεῖν ὁμολογῶ. εἰ γὰρ ἔσθ'
ὅ τι τις νῦν ἑόρακεν, ὃ συνήνεγκεν ἂν τότε πραχθέν,
τοῦτ' ἐγώ φημι δεῖν ἐμὲ μὴ λαθεῖν. εἰ δὲ μήτ' ἔστιν
292 μήτ' ἦν μήτ' ἂν εἰπεῖν ἔχοι μηδεὶς μηδέπω καὶ τήμε|ρον,
τί τὸν σύμβουλον ἐχρῆν ποιεῖν; οὐ τῶν φαινομένων καὶ
10 ἐνόντων τὰ κράτισθ' ἑλέσθαι; τοῦτο τοίνυν ἐποίησα, τοῦ 191
κήρυκος ἐρωτῶντος Αἰσχίνη, „τίς ἀγορεύειν βούλεται“,
οὐ „τίς αἰτιᾶσθαι περὶ τῶν παρεληλυθότων“, οὐδὲ „τίς
ἐγγυᾶσθαι τὰ μέλλοντ' ἔσεσθαι“. σοῦ δ' ἀφώνου κατ'
ἐκείνους τοὺς χρόνους ἐν ταῖς ἐκκλησίαις καθημένου, ἐγὼ
15 παριὼν ἔλεγον. ἐπειδὴ δ' οὐ τότε, ἀλλὰ νῦν δεῖξον. εἰπὲ
τίς ἢ λόγος, ὅντιν' ἐχρῆν εὐπορεῖν, ἢ καιρὸς συμφέρων
ὑπ' ἐμοῦ παρελείφθη τῇ πόλει; τίς δὲ συμμαχία, τίς πρᾶ-
ξις, ἐφ' ἣν μᾶλλον ἔδει μ' ἀγαγεῖν τουτουσί;

Ἀλλὰ μὴν τὸ μὲν παρεληλυθὸς ἀεὶ παρὰ πᾶσιν ἀφεῖ- 192
20 ται, καὶ οὐδεὶς περὶ τούτου προτίθησιν οὐδαμοῦ βου-
λήν· τὸ δὲ μέλλον ἢ τὸ παρὸν τὴν τοῦ συμβούλου τάξιν
ἀπαιτεῖ. τότε τοίνυν τὰ μὲν ἤμελλεν, ὡς ἐδόκει, τῶν δει-
νῶν, τὰ δ' ἤδη παρῆν, ἐν οἷς τὴν προαίρεσίν μου σκό-
πει τῆς πολιτείας, μὴ τὰ συμβάντα συκοφάντει. τὸ μὲν

2 γε] τε A Sopater Rhet. IV 634 W. 4 τι ante βέλτιον om. QA Sopat. | ἢ ὅλως] πολεως ut vid. S^1 5 ἔστιν A 10 ἐποίησα ἐγὼ A 12 αἰτιᾶσθαι SA: αἰτιάσασθαι VY Sopat. 13 ἔσεσθαι om. Sopat. 15 παριὼν A: περιων S^1 (περιιων corr. ead.) παρελθὼν VY παρῆλθον Sopat. | ἐπειδὴ] ἐπεὶ A | εἰπὲ om. Sopat. 16 εὐπορεῖν S: εὑρεῖν VAY Sopat. 18 μᾶλλον om. Y 19 παρ' ἅπασιν A | ἀφίεται Dobree 21 τὸ δὲ] τοτε S^1 | τοῦ] τους Y^1 24 συμβάντα SF^1QA: συμβαίνοντα F corr. Y

γὰρ πέρας, ὡς ἂν ὁ δαίμων βουληθῇ, πάντων γίγνεται·
ἡ δὲ προαίρεσις αὐτὴ τὴν τοῦ συμβούλου διάνοιαν δη-
193 λοῖ. μὴ δὴ τοῦθ' ὡς ἀδίκημ' ἐμὸν θῇς, εἰ κρατῆσαι συν-
έβη Φιλίππῳ τῇ μάχῃ· ἐν γὰρ τῷ θεῷ τὸ τούτου τέλος
ἦν, οὐκ ἐμοί. ἀλλ' ὡς οὐχ ἅπανθ' ὅσ' ἐνῆν κατ' ἀνθρώ- 5
πινον λογισμὸν εἱλόμην καὶ δικαίως ταῦτα καὶ ἐπιμελῶς
ἔπραξα καὶ φιλοπόνως ὑπὲρ δύναμιν, ἢ ὡς οὐ καλὰ καὶ
τῆς πόλεως ἄξια πράγματ' ἐνεστησάμην καὶ ἀναγκαῖα,
194 ταῦτά μοι δεῖξον, καὶ τότ' ἤδη κατηγόρει μου. εἰ δ' ὁ
συμβὰς σκηπτὸς ἢ χειμὼν μὴ μόνον ἡμῶν ἀλλὰ καὶ πάν- 10
των τῶν ἄλλων Ἑλλήνων μείζων γέγονεν, | τί χρὴ ποι- 293
εῖν; ὥσπερ ἂν εἴ τις ναύκληρον, πάντ' ἐπὶ σωτηρίᾳ πρά-
ξαντα καὶ κατασκευάσαντα τὸ πλοῖον ἀφ' ὧν ὑπελάμβανεν
σωθήσεσθαι, εἶτα χειμῶνι χρησάμενον καὶ πονησάντων
αὐτῷ τῶν σκευῶν ἢ καὶ συντριβέντων ὅλως, τῆς ναυαγίας 15
αἰτιῷτο. ἀλλ' οὔτ' ἐκυβέρνων τὴν ναῦν, φήσειεν ἄν
(ὥσπερ οὐδ' ἐστρατήγουν ἐγώ), οὔτε τῆς τύχης κύριος
195 ἦν, ἀλλ' ἐκείνη τῶν πάντων. ἀλλ' ἐκεῖνο λογίζου καὶ ὅρα·
εἰ μετὰ Θηβαίων ἡμῖν ἀγωνιζομένοις οὕτως εἵμαρτο πρᾶ-
ξαι, τί χρῆν προσδοκᾶν, εἰ μηδὲ τούτους ἔσχομεν συμμά- 20
χους, ἀλλὰ Φιλίππῳ προσέθεντο, ὑπὲρ οὗ τότ' ἐκεῖνος
πάσας ἀφῆκε φωνάς; καὶ εἰ νῦν τριῶν ἡμερῶν ἀπὸ τῆς
Ἀττικῆς ὁδὸν τῆς μάχης γενομένης, τοσοῦτος κίνδυνος
καὶ φόβος περιέστη τὴν πόλιν, τί ἄν, εἴ που τῆς χώρας

2 αὕτὴ S αὐτη Q 4 τὴν μάχην F corr. Y 5 ἐν ἐμοί VAY
10 ἢ χειμὼν del. Reiske | πάντων om. A 11 μεῖζον Y 13 καὶ
πᾶσι VAY | τὸ πλοῖον] τὸν λόγον Y 16 οὔτεκυβερνῶν A[1]
17 οὔτε] οὐδὲ Y 19 ἀγωνιζομένων A[1] 20 χρῆν p Mark-
land: χρὴ SVAY 23 ὁδὸν ἀπὸ τῆς ἀττικῆς VAY | γεγενημένης F
24 που πλησίον A

ταὐτὸ τοῦτο πάθος συνέβη, προσδοκῆσαι χρῆν; ἆρ' οἶσθ' ὅτι νῦν μὲν στῆναι, συνελθεῖν, ἀναπνεῦσαι, πολλὰ μί' ἡμέρα καὶ δύο καὶ τρεῖς ἔδοσαν τῶν εἰς σωτηρίαν τῇ πόλει, τότε δ'—οὐκ ἄξιον εἰπεῖν, ἅ γε μηδὲ πεῖραν ἔδω-
5 κεν θεῶν τινὸς εὐνοίᾳ καὶ τῷ προβαλέσθαι τὴν πόλιν ταύτην τὴν συμμαχίαν, ἧς σὺ κατηγορεῖς.

Ἔστι δὲ ταυτὶ πάντα μοι τὰ πολλὰ πρὸς ὑμᾶς ἄνδρες 196 δικασταὶ καὶ τοὺς περιεστηκότας ἔξωθεν καὶ ἀκροωμένους, ἐπεὶ πρός γε τοῦτον τὸν κατάπτυστον βραχὺς καὶ
10 σαφὴς ἐξήρκει λόγος. εἰ μὲν γὰρ ἦν σοὶ πρόδηλα τὰ μέλλοντ' Αἰσχίνη μόνῳ τῶν ἄλλων, ὅτ' ἐβουλεύεθ' ἡ πόλις περὶ τούτων, τότ' ἔδει προλέγειν· εἰ δὲ μὴ προῄδεις, τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος εἶ τοῖς ἄλλοις, ὥστε
294 τί μᾶλλον ἐμοῦ σὺ ταῦτα κατ|ηγορεῖς ἢ ἐγὼ σοῦ; το- 197
15 σοῦτον γὰρ ἀμείνων ἐγὼ σοῦ πολίτης γέγονα (εἰς αὐτὰ ταῦτα λέγω καὶ οὔπω περὶ τῶν ἄλλων διαλέγομαι), ὅσον ἐγὼ μὲν ἔδωκ' ἐμαυτὸν εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν, οὐδένα κίνδυνον ὀκνήσας ἴδιον οὐδ' ὑπολογισάμενος, σὺ δ' οὔθ' ἕτερ' εἶπες βελτίω τούτων (οὐ γὰρ ἂν τούτοις
20 ἐχρῶντο), οὔτ' εἰς ταῦτα χρήσιμον οὐδὲν σαυτὸν παρέσχες, ὅπερ δ' ἂν ὁ φαυλότατος καὶ δυσμενέστατος ἄνθρωπος τῇ πόλει, τοῦτο πεποιηκὼς ἐπὶ τοῖς συμβᾶσιν ἐξήτασαι, καὶ ἅμ' Ἀρίστρατος ἐν Νάξῳ καὶ Ἀριστόλεως

1 πάθους A[1] | χρῆν] χρ in lit. 1 litt. ν add. ab II m. Y | οἶσθα A: οἴεσθ' SVY[2] οἶσθε Y[1] 4 ἅγεπμηδε Q 5 εὐνοίαι VA: εὔνοια SY | προβαλέσθαι F corr. AY: προβάλλεσθαι SF[1]Q 7 ἄνδρες δικασταὶ] ὦ (δ superscr.) A 9 τοῦτον S γρ. Q: τοῦτον αὐτὸν VAY 10 ἐξήρκει μοι A 12 προσλέγειν? S[1] 14 τοσούτωι A τοσούτων Y 16 ταυτα S: ταῦτ' ἃ S corr. ταῦτα ἃ VAY 18 οὐδ'] οδ S[1] 19 δ' οὐδέτερα A 20 οὔτ'] οὐδ' Y | σεαυτὸν QY 21 ἄνθρωπος ποιήσειε VY 22 τοῦτο πεποίηκας Y 23 ἐξήτασαι] αι in ras. A[2] | ἐνάξωι Y[1] | ἀριστόλεως A: αριστολεος S ἀριστόλαος VY

ἐν Θάσῳ, οἱ καθάπαξ ἐχθροὶ τῆς πόλεως, τοὺς Ἀθηναίων κρίνουσι φίλους καὶ Ἀθήνησιν Αἰσχίνης Δημοσθένους
198 *κατηγορεῖ. καίτοι ὅτῳ τὰ τῶν Ἑλλήνων ἀτυχήματ' ἐνευδοκιμεῖν ἀπέκειτο, ἀπολωλέναι μᾶλλον οὗτός ἐστιν δίκαιος ἢ κατηγορεῖν ἑτέρου· καὶ ὅτῳ συνενηνόχασιν οἱ* 5 *αὐτοὶ καιροὶ καὶ τοῖς τῆς πόλεως ἐχθροῖς, οὐκ ἔνι τοῦτον εὔνουν εἶναι τῇ πατρίδι. δηλοῖς δὲ καὶ ἐξ ὧν ζῇς καὶ ποιεῖς καὶ πολιτεύῃ καὶ πάλιν οὐ πολιτεύῃ. πράττεταί τι τῶν ὑμῖν δοκούντων συμφέρειν, ἄφωνος Αἰσχίνης· ἀντέκρουσέ τι καὶ γέγονεν οἷον οὐκ ἔδει, πάρεστιν* 10 *Αἰσχίνης, ὥσπερ τὰ ῥήγματα καὶ τὰ σπάσματα, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖται.*

199 *Ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται, βούλομαί τι καὶ παράδοξον εἰπεῖν. καί μου πρὸς Διὸς καὶ θεῶν μηδεὶς τὴν ὑπερβολὴν θαυμάσῃ, ἀλλὰ μετ' εὐνοίας* 15 *ὃ λέγω θεωρησάτω. εἰ γὰρ ἦν ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι καὶ προῄδεσαν πάντες καὶ σὺ προὔλεγες Αἰσχίνη καὶ διεμαρτύρου βοῶν καὶ κεκραγώς, ὃς οὐδ' ἐφθέγξω, οὐδ' οὕτως ἀποστα|τέον τῇ πόλει τούτων* **295** *ἦν, εἴπερ ἢ δόξης ἢ προγόνων ἢ τοῦ μέλλοντος αἰῶνος* 20
200 *εἶχεν λόγον. νῦν μέν γ' ἀποτυχεῖν δοκεῖ τῶν πραγμάτων, ὃ πᾶσι κοινόν ἐστιν ἀνθρώποις, ὅταν τῷ θεῷ ταῦτα δοκῇ· τότε δ' ἀξιοῦσα προεστάναι τῶν ἄλλων, εἶτ' ἀποστᾶσα τούτου Φιλίππῳ, προδεδωκέναι πάντας ἂν ἔσχεν*

1 *καθάπαξ*] *αξ* in ras. Y[1] 3 *ἐνευδοκιμεῖν*] *εὐθηνεῖν γρ.* F 7 *δηλοις?* S[1] | *δὲ καὶ*] *δὲ* F corr. Y 9 *ἡμῖν* A 10 *οἷον*] *ὃ* Hermog. III 285 W. (303, 15 R.) cod. P 11 *ῥήματα* F[1] 16 *ὃ*] *ἃ* Dion. Hal. Dem. p. 1051 R. 17 *γενήσεσθαι*] *ἔσεσθαι* A | *ἅπαντες* A Dion. 18 *αἰσχίνη* S *γρ.* Q mg.: om. FQ text. AY Dion. | *διεμαρτύρω* A 20 *εἴπερ δόξης* Dion. 21 *γ'* S A Dion.: *γὰρ* V Y 23 *ἄλλων ἑλλήνων γρ.* S[d] *γρ.* Q Dion. 24 *τούτου*] altera syllaba in ras. 2 litt. S | post *Φιλίππῳ* interpunxit Blass, coll. Aristid. I 292 | *πάντως* Dion.

αἰτίαν. εἰ γὰρ ταῦτα προεῖτ' ἀκοντί, περὶ ὧν οὐδένα
κίνδυνον ὅντιν' οὐχ ὑπέμειναν οἱ πρόγονοι, τίς οὐχὶ
κατέπτυσεν ἂν—σοῦ; μὴ γὰρ τῆς πόλεώς γε μηδ' ἐμοῦ.
τίσι δ' ὀφθαλμοῖς πρὸς Διὸς ἑωρῶμεν ἂν τοὺς εἰς τὴν 201
5 πόλιν ἀνθρώπους ἀφικνουμένους, εἰ τὰ μὲν πράγματ' εἰς
ὅπερ νυνὶ περιέστη, ἡγεμὼν δὲ καὶ κύριος ᾑρέθη Φί-
λιππος ἁπάντων, τὸν δ' ὑπὲρ τοῦ μὴ γενέσθαι ταῦτ'
ἀγῶν' ἕτεροι χωρὶς ἡμῶν ἦσαν πεποιημένοι, καὶ ταῦτα
μηδεπώποτε τῆς πόλεως ἐν τοῖς ἔμπροσθε χρόνοις ἀσφά-
10 λειαν ἄδοξον μᾶλλον ἢ τὸν ὑπὲρ τῶν καλῶν κίνδυνον
ᾑρημένης. τίς γὰρ οὐκ οἶδεν Ἑλλήνων, τίς δὲ βαρβάρων, 202
ὅτι καὶ παρὰ Θηβαίων καὶ παρὰ τῶν ἔτι τούτων πρό-
τερον ἰσχυρῶν γενομένων Λακεδαιμονίων καὶ παρὰ τοῦ
Περσῶν βασιλέως μετὰ πολλῆς χάριτος τοῦτ' ἂν ἀσμέ-
15 νως ἐδόθη τῇ πόλει, ὅ τι βούλεται λαβούσῃ καὶ τὰ ἑαυ-
τῆς ἐχούσῃ, τὸ κελευόμενον ποιεῖν καὶ ἐᾶν ἕτερον τῶν
Ἑλλήνων προεστάναι; ἀλλ' οὐκ ἦν ταῦθ' ὡς ἔοικεν 203
τοῖς Ἀθηναίοις πάτρι' οὐδ' ἀνεκτ' οὐδ' ἔμφυτα, οὐδ'
ἠδυνήθη πώποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου
20 πεῖσαι τοῖς ἰσχύουσι μέν, μὴ δίκαια δὲ πράττουσι προσ-
θεμένην ἀσφαλῶς δουλεύειν, ἀλλ' ἀγωνιζομένη περὶ πρω-
τείων καὶ τιμῆς καὶ δόξης κινδυνεύουσα πάντα τὸν αἰῶνα
296 διατε|τέλεκεν. καὶ ταῦθ' οὕτω σεμνὰ καὶ προσήκοντα 204
τοῖς ὑμετέροις ἤθεσιν ὑμεῖς ὑπολαμβάνετ' εἶναι, ὥστε

1 ἀκοντί F corr. A corr. Y corr.: ακονειτι SY[1](?) ἀκοντὶ F[1]QA[1] Dion., A. Spengel | οὐδένα] οὐχ ἕνα A 2 ὁντινοῦν VY Dion. | τίς ἂν A 3 γὰρ δὴ A | γε s. v. Q 6 περιέστηκεν A 8 ἕτεροί τινες Dion. | ὑμῶν SQ 9 ἔμπροσθε SQY: ἔμπροσθεν FA πρόσθε Dion. 11 αιρο(α?)μενης S[1] 12 τούτων ἔτι Dion. 13 γεγενη-μένων A 17 ὡς ἔοικε ταῦτα Dion. 18 τοῖς τότε S[d] A Dion. 20 προστιθεμένην Dion. 22 καὶ κινδυνεύουσα A 23 διετέλεσε Dion. σεμνὰ καὶ καλὰ Dion. 24 ἡμετέροις F | ὑπελαμβάνετε VAY

καὶ τῶν προγόνων τοὺς ταῦτα πράξαντας μάλιστ' ἐπαινεῖτε. εἰκότως· τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν χώραν καὶ τὴν πόλιν ἐκλιπεῖν ὑπέμειναν εἰς τὰς τριήρεις ἐμβάντες ὑπὲρ τοῦ μὴ τὸ κελευόμενον ποιῆσαι, τὸν μὲν ταῦτα συμβουλεύ- 5 *σαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δ' ὑπακούειν ἀποφηνάμενον τοῖς ἐπιταττομένοις Κυρσίλον καταλιθώσαντες, οὐ μόνον αὐτόν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ*
205 *ὑμέτεραι τὴν γυναῖκ' αὐτοῦ. οὐ γὰρ ἐζήτουν οἱ τότ' Ἀθηναῖοι οὔτε ῥήτορ' οὔτε στρατηγὸν δι' ὅτου δουλεύ-* 10 *σουσιν, ἀλλ' οὐδὲ ζῆν ἠξίουν, εἰ μὴ μετ' ἐλευθερίας ἐξέσται τοῦτο ποιεῖν. ἡγεῖτο γὰρ αὐτῶν ἕκαστος οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι. διαφέρει δὲ τί; ὅτι ὁ μὲν τοῖς γονεῦσι μόνον γεγενῆσθαι νομίζων τὸν τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον* 15 *θάνατον περιμενεῖ, ὁ δὲ καὶ τῇ πατρίδι, ὑπὲρ τοῦ μὴ ταύτην ἐπιδεῖν δουλεύουσαν ἀποθνῄσκειν ἐθελήσει, καὶ φοβερωτέρας ἡγήσεται τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, ἃς ἐν δουλευούσῃ τῇ πόλει φέρειν ἀνάγκη, τοῦ θανάτου.*

206 *Εἰ μὲν τοίνυν τοῦτ' ἐπεχείρουν λέγειν, ὡς ἐγὼ προ-* 20 *ήγαγον ὑμᾶς ἄξια τῶν προγόνων φρονεῖν, οὐκ ἔσθ' ὅστις*

2 *ἀγάσαιτο*] *ἀγηι* ut vid. A[1] corr. A[2] *ἀγάσατο* Y[1] *ἀγασθείη* Cobet 3 *τὴν ἀρετὴν* S rec. coni. Reiske 7 *τοῖς ἐπιταττομένοις* post *ἀποφηνάμενον* SA Dion.: ante *ἀποφηνάμενον* VY om. Harpocr. s. *Κυρσίλον* | *καταλεύσαντες* Cobet cf. Hermog. III 352 W. (367, 5 R.) 10 *δουλεύσουσιν* S: *δουλεύσουσιν εὐτυχῶς* VAY Dion. 11 *αὐτοῖς ἐξέσται* VAY 16 *περιμενεῖ* Markland: *περιμενει* S[1] *περιμένει* S corr. VAY | *μητ' αὐτὴν* A[1] 19 *ἀνάγκηι* SA | *τοῦ θανάτου* post *ἀνάγκη* S *γρ.* VA: post *ἡγήσεται* Dion. om. V text. Y (Dionysii cod. P) 20 *ἐπεχείρησα νῦν* Dion. (ortum ex *ἐπεχείρησα* with *ουν* written above) | *ὡς ἄρα* A 21 *οὐκ ἔσθ'* (*ἔστιν γρ.* VAY) *ὅστις* (*οτις* S)] *τίς* Dion.

*οὐκ ἂν εἰκότως ἐπιτιμήσειέ μοι. νῦν δ' ἐγὼ μὲν ὑμετέ-
ρας τὰς τοιαύτας προαιρέσεις ἀποφαίνω, καὶ δείκνυμι,
ὅτι καὶ πρὸ ἐμοῦ τοῦτ' εἶχεν τὸ φρόνημ' ἡ πόλις, τῆς
μέντοι διακονίας τῆς ἐφ' ἑκάστοις τῶν πεπραγμένων καὶ*
297 *ἐμαυτῷ μετεῖναί φημι, | οὗτος δὲ τῶν ὅλων κατηγορῶν* 207
6 *καὶ κελεύων ὑμᾶς ἐμοὶ πικρῶς ἔχειν ὡς φόβων καὶ κιν-
δύνων αἰτίῳ τῇ πόλει, τῆς μὲν εἰς τὸ παρὸν τιμῆς ἔμ'
ἀποστερῆσαι γλίχεται, τὰ δ' εἰς ἅπαντα τὸν λοιπὸν χρό-
νον ἐγκώμι' ὑμῶν ἀφαιρεῖται· εἰ γὰρ ὡς οὐ τὰ βέλτιστ'*
10 *ἐμοῦ πολιτευσαμένου τουδὶ καταψηφιεῖσθε, ἡμαρτηκέναι
δόξετ', οὐ τῇ τῆς τύχης ἀγνωμοσύνῃ τὰ συμβάντα πα-
θεῖν. ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμάρτετ' ἄνδρες* 208
*Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτη-
ρίας κίνδυνον ἀράμενοι, μὰ τοὺς Μαραθῶνι προκινδυ-*
15 *νεύσαντας τῶν προγόνων, καὶ τοὺς ἐν Πλαταιαῖς παρα-
ταξαμένους καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας καὶ
τοὺς ἐπ' Ἀρτεμισίῳ καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς
δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαν-
τας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς ἔθαψεν*
20 *Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας αὐτῶν οὐδὲ τοὺς*

1 *οὐκ ἂν γρ.* S A Dion.: *ανουν καν* S^1 *ἀν οὐ κὰν* S corr. *οὐκ ἂν οὐκ* VY fuisse puto omissis *οὐκ ἔσθ'* verbis *ὅστις ἂν οὖν κἂν* cf. A XIX 9 | *ἐπετίμησέ* AY^1 Dion. 2 post *προαιρέσεις* 3 litt. eras. Q 3 *καὶ ὅτι καὶ* Y^1 4 *τῆς*] *τοῖς* A | *ἑκάστῳ* Hermog. III 331 W. (347, 20 R.) 5 *ὁ τῶν ὅλων* Dion. 6 *κελευον* S^1 7 *πόλει γεγενημένῳ* VY 8 *τὸν*] *των* S^1 | *λοιπὸν* om. Dion. 10 *ἐμοῦ*] *ομως?* S^1 | *καταψηφιεῖσθαι* Q *καταψ.* ⟨*του*⟩*δί* ut vid. Dion. 11 *τύχης*] *ς* in ras. 3 litt. S | *ἀγνωμοσύνης* S^1 12 alterum *οὐκ ἔστιν* om. Dion. | *ἡμαρτήκατε ὦ* A 14 *αιραμενοι* S | *οὐ μὰ* VAY Dion., Hermog. III 246 W. (266, 24 R.). 310 (327, 15). 425 (436, 14), alii | *ἐν μαραθῶνι* VAY Dion., rhetores 15 *πλατειαις* S^1 *πλαταιᾶι* A 19 *ἡ πόλις ὁμοίως* A | *ἔθαψεν* om. Q^1 add. ead. mg. *γρ. ἐθαύμασεν* F 20 *αὐτῶν*] *αὐτοὺς* S

κρατήσαντας μόνους. δικαίως· ὃ μὲν γὰρ ἦν ἀνδρῶν ἀγαθῶν ἔργον, ἅπασι πέπρακται· τῇ τύχῃ δ᾽ ἣν ὁ δαί-
209 μων ἔνειμεν ἑκάστοις, ταύτῃ κέχρηνται. ἔπειτ᾽ ὦ κατάρατε καὶ γραμματοκύφων, σὺ μὲν τῆς παρὰ τουτωνὶ τιμῆς καὶ φιλανθρωπίας ἔμ᾽ ἀποστερῆσαι βουλόμενος τρό- 5
παια καὶ μάχας καὶ παλαί᾽ ἔργ᾽ ἔλεγες, ὧν τίνος προσεδεῖθ᾽ ὁ παρὼν ἀγὼν οὑτοσί; ἐμὲ δ᾽ ὦ τριταγωνιστὰ τὸν περὶ τῶν πρωτείων σύμβουλον τῇ πόλει παριόντα, τὸ τίνος φρόνημα λαβόντ᾽ ἀναβαίνειν ἐπὶ τὸ βῆμ᾽ ἔδει; τὸ τοῦ
210 τούτων ἀνάξι᾽ ἐροῦντος; δικαίως μένταν ἀπέθανον. ἐπεὶ 10
οὐδ᾽ ὑμᾶς | ἄνδρες Ἀθηναῖοι ἀπὸ τῆς αὐτῆς διανοίας 298
δεῖ τάς τ᾽ ἰδίας δίκας καὶ τὰς δημοσίας κρίνειν, ἀλλὰ τὰ μὲν τοῦ καθ᾽ ἡμέραν βίου συμβόλαι᾽ ἐπὶ τῶν ἰδίων νόμων καὶ ἔργων σκοποῦντας, τὰς δὲ κοινὰς προαιρέσεις εἰς τὰ τῶν προγόνων ἀξιώματ᾽ ἀποβλέποντας. καὶ παραλαμβά- 15
νειν γ᾽ ἅμα τῇ βακτηρίᾳ καὶ τῷ συμβόλῳ τὸ φρόνημα τὸ τῆς πόλεως νομίζειν ἕκαστον ὑμῶν δεῖ, ὅταν τὰ δημόσι᾽ εἰσίητε κρινοῦντες, εἴπερ ἄξι᾽ ἐκείνων πράττειν οἴεσθε χρῆναι.

211 Ἀλλὰ γὰρ ἐμπεσὼν εἰς τὰ πεπραγμένα τοῖς προγόνοις ὑμῶν ἔστιν ἃ τῶν ψηφισμάτων παρέβην καὶ τῶν πραχθέν- 20
των. ἐπανελθεῖν οὖν ὁπόθεν ἐνταῦθ᾽ ἐξέβην βούλομαι.

Ὡς γὰρ ἀφικόμεθ᾽ εἰς τὰς Θήβας, κατελαμβάνομεν Φιλίππου καὶ Θετταλῶν καὶ τῶν ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν ἡμετέρους φίλους ἐν φόβῳ, τοὺς δ᾽ ἐκείνου θρασεῖς. ὅτι δ᾽ οὐ νῦν ταῦτα λέγω τοῦ 25

1 sq. ἀγαθῶν ἀνδρῶν Dion. 3 ἔνειμεν S A Dion.: ἀπένειμεν VY 4 τούτων A 7 τὸν om. Y 8 τῶν om. A 9 ἀναλαβόντα A | τοῦ τούτων S τοῦ om. VY 10 ἐπεὶ S: ἔπειτα VAY 11 ὑμᾶς ὦ A 17 νομίζειν del. Cobet | δεῖ om. VY 18 οἴεσθαι S Q A[1] 21 ὁπόθεν S et γρ. S: ὅθεν VAY | ἐνταῦθ᾽ S: εἰς ταῦτα γρ. SVAY 22 κατελαμβάνομεν S A Dion. H. ad Amm. 743: καταλαμβάνομεν VY

συμφέροντος ἕνεκ' ἐμαυτῷ, λέγε μοι τὴν ἐπιστολὴν ἣν τότ' ἐπέμψαμεν εὐθὺς οἱ πρέσβεις. καίτοι τοσαύτῃ γ' ὑπερβολῇ 212 συκοφαντίας οὗτος κέχρηται, ὥστ' εἰ μέν τι τῶν δεόντων ἐπράχθη, τὸν καιρόν, οὐκ ἐμέ φησιν αἴτιον γεγενῆσθαι, τῶν 5 δ' ὡς ἑτέρως συμβάντων ἁπάντων ἐμὲ καὶ τὴν ἐμὴν τύχην αἰτίαν εἶναι· καί, ὡς ἔοικεν, ὁ σύμβουλος καὶ ῥήτωρ ἐγὼ τῶν μὲν ἐκ λόγου καὶ τοῦ βουλεύσασθαι πραχθέντων οὐδὲν αὐτῷ συναίτιος εἶναι δοκῶ, τῶν δ' ἐν τοῖς ὅπλοις καὶ κατὰ τὴν στρατηγίαν ἀτυχηθέντων μόνος αἴτιος εἶναι. πῶς ἂν 10 ὠμότερος συκοφάντης γένοιτ' ἢ καταρατότερος; λέγε τὴν ἐπιστολήν. | 299

ΕΠΙΣΤΟΛΗ

Ἐπειδὴ τοίνυν ἐποιήσαντο τὴν ἐκκλησίαν, προσῆγον 213 ἐκείνους προτέρους διὰ τὸ τὴν τῶν συμμάχων τάξιν ἐκεί- 15 νους ἔχειν. καὶ παρελθόντες ἐδημηγόρουν, πολλὰ μὲν Φίλιππον ἐγκωμιάζοντες, πολλὰ δ' ὑμῶν κατηγοροῦντες, πάνθ' ὅσα πώποτ' ἐναντί' ἐπράξατε Θηβαίοις ἀναμιμνή- σκοντες. τὸ δ' οὖν κεφάλαιον, ἠξίουν ὧν μὲν εὖ 'πεπόν- θεσαν ὑπὸ Φιλίππου χάριν αὐτοὺς ἀποδοῦναι, ὧν δ' ὑφ' 20 ὑμῶν ἠδίκηντο δίκην λαβεῖν, ὁποτέρως βούλονται, ἢ δι- έντας αὐτοὺς ἐφ' ὑμᾶς ἢ συνεμβαλόντας εἰς τὴν Ἀττι- κήν, καὶ ἐδείκνυσαν, ὡς ᾤοντο, ἐκ μὲν ὧν αὐτοὶ συν- εβούλευον τὰ ἐκ τῆς Ἀττικῆς βοσκήματα καὶ ἀνδράποδα

7 βουλεύεσθαι Y | οὐδὲν S: οὐδενὸς VAY 10 γένοιτ' ἂν VY | καταρατώτερος A | καταρατότερος τούτου VY 10 sq. τὴν ἐπιστολὴν λέγε Y 14 προτέρους in ras. A om. Dion. H. ad Amm. 743 | τὸ om. Y | τῶν del. Cobet | ἐκείνους om. H. Wolf 15 παριόντες Dion. cf. ad § 191 16 πολλὰ δ' ὑμῖν ἐγκαλοῦντες Dion. cf. ad § 178 17 ἅπανθ' VY | πράξαντες Y 18 πεπόνθασιν A 19 αὐτοὺς SQY Dion.: αὐτοῖς FA 20 ἡμῶν A | ηδικηντο? S[1]: ἠδίκηνται S corr. VAY Dion. | δίκην om. S[1] add. S[d], nunc paene erasum | βούλεται A | διιέντας A Dion. 21 ἡμᾶς A | συνεμβάλλοντας F[1] Dion. 22 ὡς] ὥς γ' Cobet | αὐτοὶ] αὐτοὺς F[1] αὐτοῖς F corr. QY

καὶ τἄλλ' ἀγάθ' εἰς τὴν Βοιωτίαν ἥξοντα, ἐκ δ' ὧν ἡμᾶς
ἐρεῖν ἔφασαν τὰ ἐν τῇ Βοιωτίᾳ διαρπασθησόμεν' ὑπὸ τοῦ
πολέμου. καὶ ἄλλα πολλὰ πρὸς τούτοις, εἰς ταῦτα δὲ
214 πάντα συντείνοντ' ἔλεγον. ἃ δ' ἡμεῖς πρὸς ταῦτα, τὰ
μὲν καθ' ἕκαστ' ἐγὼ μὲν ἀντὶ παντὸς ἂν τιμησαίμην εἰ- 5
πεῖν τοῦ βίου, ὑμᾶς δὲ δέδοικα, μὴ παρεληλυθότων τῶν
καιρῶν, ὥσπερ ἂν εἰ καὶ κατακλυσμὸν γεγενῆσθαι τῶν
πραγμάτων ἡγούμενοι, μάταιον ὄχλον τοὺς περὶ τούτων
λόγους νομίσητε· ὅ τι δ' οὖν ἐπείσαμεν ἡμεῖς καὶ ἡμῖν
ἀπεκρίναντ', ἀκούσατε. Λέγε ταυτὶ λαβών. 10

ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΩΝ

215 Μετὰ ταῦτα τοίνυν ἐκάλουν ὑμᾶς καὶ μετεπέμποντο.
ἐξῆτε, ἐβοηθεῖτε, ἵνα τἀν μέσῳ παραλίπω, οὕτως οἰκείως
ὑμᾶς ἐδέχοντο, ὥστ' ἔξω τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων
ὄντων εἰς τὰς οἰκίας καὶ τὸ | ἄστυ δέχεσθαι τὴν στρατιάν, 300
ἐπὶ παῖδας καὶ γυναῖκας καὶ τὰ τιμιώτατα. καίτοι τρί' ἐν 16
ἐκείνῃ τῇ ἡμέρᾳ πᾶσιν ἀνθρώποις ἔδειξαν ἐγκώμια Θη-
βαῖοι καθ' ὑμῶν τὰ κάλλιστα, ἓν μὲν ἀνδρείας, ἕτερον
δὲ δικαιοσύνης, τρίτον δὲ σωφροσύνης. καὶ γὰρ τὸν ἀγῶνα
μεθ' ὑμῶν μᾶλλον ἢ πρὸς ὑμᾶς ἑλόμενοι ποιήσασθαι καὶ 20
ἀμείνους εἶναι καὶ δικαιότερ' ἀξιοῦν ὑμᾶς ἔκριναν Φι-
λίππου· καὶ τὰ παρ' αὐτοῖς καὶ παρὰ πᾶσι δ' ἐν πλείστῃ
φυλακῇ, παῖδας καὶ γυναῖκας, ἐφ' ὑμῖν ποιήσαντες σωφρο-

1 ὑπὸ τοῦ πολέμου om. Minucianus Rh. Gr. IX 613 W. 3 πολλὰ iteratum, punctis del. S | ταυτα S ταυτὰ A 4 ταῦτα S[1]: ταῦτα εἴπομεν S[d] A ταῦτα ἀντείπαμεν VY 7 καὶ om. VAY 9 ὅ τι S: ἃ VAY | καὶ ἃ S rec. (sed nunc erasum) VAY 10 λέγε ταυτὶ λαβών om. Y | τουτὶ F ταῦτα A 11 ΑΠΟΚΡΙΣΕΙΣ SQ 13 ἐξήειτε A | τἀν] ταμ F τὰ Y | παραλείπω SA 15 οἰκείας F[1] 18 καθ'] περὶ A | ἀνδριας S[1] 20 μᾶλλον μεθ' ὑμῶν S[1] 22 δὲ post αὐτοῖς A | τὰ παρὰ πᾶσι VAY 23 παῖδας καὶ γυναῖκας del. Herwerden

σύνης πίστιν περὶ ὑμῶν ἔχοντες ἔδειξαν. ἐν οἷς πᾶσιν 216
ἄνδρες Ἀθηναῖοι κατά γ' ὑμᾶς ὀρθῶς ἐφάνησαν ἐγνω-
κότες. οὔτε γὰρ εἰς τὴν πόλιν εἰσελθόντος [τοῦ] στρατο-
πέδου, οὐδεὶς οὐδὲν οὐδ' ἀδίκως ὑμῖν ἐνεκάλεσεν (οὕτω
5 *σώφρονας παρέσχεθ' ὑμᾶς αὐτούς)· δίς τε συμπαρα-*
ταξάμενοι τὰς πρώτας [μάχας], τήν τ' ἐπὶ τοῦ ποταμοῦ
καὶ τὴν χειμερινήν, οὐκ ἀμέμπτους μόνον ὑμᾶς αὐτοὺς
ἀλλὰ καὶ θαυμαστοὺς ἐδείξατε, τῷ κόσμῳ, ταῖς παρα-
σκευαῖς, τῇ προθυμίᾳ. ἐφ' οἷς παρὰ μὲν τῶν ἄλλων ὑμῖν
10 *ἐγίγνοντ' ἔπαινοι, παρὰ δ' ὑμῶν θυσίαι καὶ πομπαὶ τοῖς*
θεοῖς. καὶ ἔγωγ' ἡδέως ἂν ἐροίμην Αἰσχίνην, ὅτε ταῦτ' 217
ἐπράττετο καὶ ζήλου καὶ χαρᾶς καὶ ἐπαίνων ἡ πόλις ἦν
μεστή, πότερον συνέθυε καὶ συνηυφραίνετο τοῖς πολλοῖς
ἢ λυπούμενος καὶ στένων καὶ δυσμεναίνων τοῖς κοινοῖς
15 *ἀγαθοῖς οἴκοι καθῆτο. εἰ μὲν γὰρ παρῆν καὶ μετὰ τῶν*
ἄλλων ἐξητάζετο, πῶς οὐ δεινὰ ποιεῖ, μᾶλλον δ' οὐδ'
ὅσια, εἰ ὧν ὡς ἀρίστων αὐτὸς τοὺς θεοὺς ἐποιήσατο μάρ-
301 *τυρας, ταῦθ' ὡς οὐκ ἄριστα νῦν | ὑμᾶς ἀξιοῖ ψηφίσασθαι*
τοὺς ὀμωμοκότας τοὺς θεούς; εἰ δὲ μὴ παρῆν, πῶς οὐκ
20 *ἀπολωλέναι πολλάκις ἐστὶ δίκαιος, εἰ ἐφ' οἷς ἔχαιρον οἱ*
ἄλλοι, ταῦτ' ἐλυπεῖθ' ὁρῶν; Λέγε δὴ καὶ ταῦτα τὰ ψηφί-
σματά μοι.

ΨΗΦΙΣΜΑΤΑ ΘΥΣΙΩΝ

Οὐκοῦν ἡμεῖς μὲν ἐν θυσίαις ἦμεν τότε, Θηβαῖοι δ' ἐν 218
25 *τῷ δι' ἡμᾶς σεσῶσθαι νομίζειν, καὶ περιειστήκει τοῖς*

1 *ἅπασιν* VY 3 *τοῦ* om. S 5 *παρέσχετε* SA: *παρέσχεσθε* VY 6 *μάχας* om. S | *τ'* om. VY 10 *ἡμῶν* Y 12 *ἐπράττετε* A | *ἐπαίνων*] *παιάνων* Cobet, cf. XIX 86 | *ἦν ἡ πόλις* VY 14 *ἐπὶ τοῖς κοινοῖς* VY 15 *καθῆστο* A cf. § 169 (*ἐκάθητο* XXI 206 SA) 17 *ἀρίστων ὄντων* A 18 *ἄριστα*] *ἄξια* A 23 ΨΗΦΙΣΜΑ S

βοηθείας δεήσεσθαι δοκοῦσιν ἀφ' ὧν ἔπραττον οὗτοι, αὐτοὺς βοηθεῖν ἑτέροις ἐξ ὧν ἐπείσθητ' ἐμοί. ἀλλὰ μὴν οἵας τότ' ἀφίει φωνὰς ὁ Φίλιππος καὶ ἐν οἵαις ἦν ταραχαῖς ἐπὶ τούτοις, ἐκ τῶν ἐπιστολῶν τῶν ἐκείνου μαθήσεσθ' ὧν εἰς Πελοπόννησον ἔπεμπεν. καί μοι λέγε ταύ- 5
τας λαβών, ἵν' εἰδῆθ' ἡ ἐμὴ συνέχεια καὶ πλάνοι καὶ ταλαιπωρίαι καὶ τὰ πολλὰ ψηφίσμαθ' ἃ νῦν οὗτος διέσυρεν, τί ἀπηργάσατο.

219 *Καίτοι πολλοὶ παρ' ὑμῖν ἄνδρες Ἀθηναῖοι γεγόνασι ῥήτορες ἔνδοξοι καὶ μεγάλοι πρὸ ἐμοῦ, Καλλίστρατος* 10
ἐκεῖνος, Ἀριστοφῶν, Κέφαλος, Θρασύβουλος, ἕτεροι μυρίοι· ἀλλ' ὅμως οὐδεὶς πώποτε τούτων διὰ παντὸς ἔδωκεν ἑαυτὸν εἰς οὐδὲν τῇ πόλει, ἀλλ' ὁ μὲν γράφων οὐκ ἂν ἐπρέσβευσεν, ὁ δὲ πρεσβεύων οὐκ ἂν ἔγραψεν. ὑπέλειπε γὰρ αὐτῶν ἕκαστος ἑαυτῷ ἅμα μὲν ῥᾳστώνην, ἅμα 15
220 *δ' εἴ τι γένοιτ' ἀναφοράν. τί οὖν; εἴποι τις ἄν, σὺ τοσοῦτον ὑπερῆρας ῥώμῃ καὶ τόλμῃ, ὥστε πάντα ποιεῖν αὐτός; οὐ ταῦτα λέγω, ἀλλ' οὕτως ἐπεπείσμην μέγαν εἶναι τὸν κατειληφότα κίνδυνον τὴν πόλιν, ὥστ' οὐκ ἐδόκει μοι χώραν οὐδὲ πρόνοιαν οὐδεμίαν τῆς ἰδίας ἀσφαλείας* 20
διδόναι, ἀλλ' ἀ|γαπητὸν εἶναι, εἰ μηδὲν παραλείπων τις 302
221 *ἃ δεῖ πράξειεν· ἐπεπείσμην δ' ὑπὲρ ἐμαυτοῦ, τυχὸν μὲν*

1 *δοκοῦσιν*] *νομίζουσιν* S *δο* in ras. A 2 *αὐτοὺς* S *γρ.* QA: *αὐτοῖς* FQ text. Y | *μοι* QAY 3 *ἀφίει* Voemel: *ἠφίει* SVAY 5 *επεμπον* S[1] *ἔπεμψε(ν)* VAY 6 *εἰδῆτε ὅτι* S corr. rec. VY *εἰδῆτε ὅ τι* (*τί* Cobet) deleto *τί* ante *ἀπηργάσατο* Markland 8 *ἀπηργάσατο* S[1]: *ἀπειργάσατο* S rec. VAY 9 *ἡμῖν* F[1]QY | *ὦ* post *ὑμῖν* add. A 12 *τούτων πώποτε* VY 14 *ὑπελείπετο* VAY 16 *γίγνοιτο* VY 17 *τοὺς ἄλλους* ante *ῥώμηι* A post *τόλμηι* add. VY 18 *λέγω ταῦτα* VAY 20 *χώραν*] *ὥραν* A *ὁρᾶν* *γρ.* S[d] *γρ.* Q *ὥραν* Schaefer | *οὐδεμίαν*] *οὐδενὶ ἂν* *γρ.* Q 21 post *ἀγαπητὸν* 3 litt. eras. Q | *παραλιπὼν* AY

ἀναίσθητον, ὅμως δ' ἐπεπείσμην, μήτε γράφοντ' ἂν ἐμοῦ γράψαι [βέλτιον] μηδένα μήτε πράττοντα πρᾶξαι μήτε πρεσβεύοντα πρεσβεῦσαι προθυμότερον μηδὲ δικαιότερον. διὰ ταῦτ' ἐν πᾶσιν ἐμαυτὸν ἔταττον. Λέγε τὰς ἐπιστο- 5 *λὰς τὰς τοῦ Φιλίππου.*

ΕΠΙΣΤΟΛΑΙ

Εἰς ταῦτα κατέστησε Φίλιππον ἡ ἐμὴ πολιτεία, Αἰ- 222 *σχίνη· ταύτην τὴν φωνὴν ἐκεῖνος ἀφῆκε, πολλοὺς καὶ θρασεῖς τὰ πρὸ τούτων τῇ πόλει λόγους ἐπαιρόμενος.* 10 *ἀνθ' ὧν δικαίως ἐστεφανούμην ὑπὸ τουτωνί, καὶ σὺ παρὼν οὐκ ἀντέλεγες, ὁ δὲ γραψάμενος Διώνδας τὸ μέρος τῶν ψήφων οὐκ ἔλαβεν. Καί μοι λέγε ταῦτα τὰ ψηφίσματα τὰ ἀποπεφευγότα, ὑπὸ τούτου δ' οὐδὲ γραφέντα.*

15 ΨΗΦΙΣΜΑΤΑ

Ταυτὶ τὰ ψηφίσματ' ἄνδρες Ἀθηναῖοι τὰς αὐτὰς συλ- 223 *λαβὰς καὶ ταὐτὰ ῥήματ' ἔχει, ἅπερ πρότερον μὲν Ἀριστόνικος, νῦν δὲ Κτησιφῶν γέγραφεν οὑτοσί. καὶ ταῦτ' Αἰσχίνης οὔτ' ἐδίωξεν αὐτὸς οὔτε τῷ γραψαμένῳ συγ-* 20 *κατηγόρησεν. καίτοι τότε τὸν Δημομέλη τὸν ταῦτα γράφοντα καὶ τὸν Ὑπερείδην, εἴπερ ἀληθῆ μου νῦν κατη-*

1 *ἀναίσθητον* SF corr. QAY: *ἀναισθητῶν* F[1] Thomas mag. *ἀναισθήτως* Scrimger | *ἂν*] *ἄνευ* V 2 *μὴ γράψαι* Y | *βέλτιον* del. Madvig | *πράττοντά τι* F 3 *μηδὲ* S: *μήτε* VAY 4 *ἅπασιν* VY | *ἔταττον*] *ἔπραττον* ut vid. A[1] | *τὰς τοῦ* om. VY 8 *ἀφῆκε δι' ἐμὲ* VAY 9 *λόγους ἐπαιρόμενος* A: *ἐπαιρόμενος λόγους* SVY 10 *τούτων* A 11 *διώδας* A | *πέμπτον μέρος* VAY cf. § 103 12 *λέγε*] *λαβὲ* S quod nisi *ἔλαβεν* praecederet, servarem cf. XIX 165. XXIII 174. 183 13 *τὰ ἀποπεφευγότα* Sauppe: *ἀποπεφευγότα* S[1] *τὰ τότε μὲν ἀποπεφευγότα* S[d]VAY | *δ'*] *τε* F[1]Q 15 ΨΗΦΙΣΜΑ Y 16 *ὦ ἄνδρες* VAY 19 *συνκατηγόρησεν* S 20 *δημομέλην* A 21 *ὑπερίδην* Y

224 *γορεῖ, μᾶλλον ἂν εἰκότως ἢ τόνδ' ἐδίωκεν. διὰ τί; ὅτι*
τῷδε μὲν ἔστ' ἀνενεγκεῖν ἐπ' ἐκείνους καὶ τὰς τῶν δι-
καστηρίων γνώσεις καὶ τὸ τοῦτον αὐτὸν ἐκείνων μὴ
κατηγο|ρηκέναι ταὐτὰ γραψάντων ἅπερ οὗτος νῦν καὶ τὸ 308
τοὺς νόμους μηκέτ' ἐᾶν περὶ τῶν οὕτω πραχθέντων 5
κατηγορεῖν, καὶ πόλλ' ἕτερα· τότε δ' αὐτὸ τὸ πρᾶγμ' ἂν
225 *ἐκρίνετ' ἐφ' αὑτοῦ, πρίν τι τούτων προλαβεῖν. ἀλλ' οὐκ*
ἦν οἶμαι τόθ' ὃ νυνὶ ποιεῖν, ἐκ παλαιῶν χρόνων καὶ
ψηφισμάτων πολλῶν ἐκλέξανθ' ἃ μήτε προῄδει μηδεὶς
μήτ' ἂν ᾠήθη τήμερον ῥηθῆναι διαβάλλειν, καὶ μετενεγ- 10
κόντα τοὺς χρόνους καὶ προφάσεις ἀντὶ τῶν ἀληθῶν
ψευδεῖς μεταθέντα τοῖς πεπραγμένοις δοκεῖν τι λέγειν.
226 *οὐκ ἦν τότε ταῦτα, ἀλλ' ἐπὶ τῆς ἀληθείας, ἐγγὺς τῶν*
ἔργων, ἔτι μεμνημένων ὑμῶν καὶ μόνον οὐκ ἐν ταῖς χερ-
σὶν ἕκαστ' ἐχόντων, πάντες ἐγίγνοντ' ἂν οἱ λόγοι. διό- 15
περ τοὺς παρ' αὐτὰ τὰ πράγματ' ἐλέγχους φυγὼν νῦν
ἥκει, ῥητόρων ἀγῶνα νομίζων, ὥς γ' ἐμοὶ δοκεῖ, καὶ οὐχὶ
τῶν πεπολιτευμένων ἐξέτασιν ποιήσειν ὑμᾶς, καὶ λόγου
κρίσιν, οὐχὶ τοῦ τῇ πόλει συμφέροντος ἔσεσθαι.
227 *Εἶτα σοφίζεται καὶ φησὶν προσήκειν ἧς μὲν οἴκοθεν* 20
ἥκετ' ἔχοντες δόξης περὶ ἡμῶν ἀμελῆσαι, ὥσπερ δ' ὅταν
οἰόμενοι περιεῖναι χρήματά τῳ λογίζησθε, ἂν καθαιρῶ-

1 *διὰ τί; ὅτι τῷδε μὲν ἔστ'*] *τούτωι μὲν γὰρ ἔστιν* A 2 *τῶιδε* S: *τῶι* VY | *ἐνεγκεῖν* A[1] 4 *τἀυτὰ* S: *ταῦτα* VAY | *νυνὶ* VY 6 sq. *ἂν ἐκρίνετο* S: *ἀνεκρίνετο* VAY 7 *ἑαυτοῦ* VAY | *τούτων τι* A *τουτου* S[1] | *προσλαβεῖν* S[1]A 8 *τότε* om. A[1] add. A[2] | *ὃ* SA: *ἃ* VY | *ποιεῖν* S: *ποιεῖ* VAY 12 *δοκεν* S[1] 13 *ἐπὶ τῆς* S *γρ.* QA: *ἐπ' αὐτῆς* VY corr. *ἐπ' αὐτῆς τῆς* Y[1] | *ἐγγὺς* S *γρ.* QA: *ἐγγὺς οὔσης* VY 16 *νῦν ὕστερον* VY 17 *γ'* om. A 18 *ὑμᾶς ὑπολαμβάνων* VY 19 *οὐχὶ* S: *οὐ* VAY | *τοῦ*] post *τ* litt. eras. Q 22 *χρημά* Q | *λογίζεσθε* S[1]AY | *ἂν* SA: *κἂν* VY *ἂν* Blass | *καθαιρωσιν* S[1] (cf. Dion. Hal. Ant. VII 36, 2. 39, 2): *καθαραὶ ὦσιν* S[d] (*καθαιραὶ*) VAY

σιν αἱ ψῆφοι καὶ μηδὲν περιῇ, συγχωρεῖτε, οὕτω καὶ
νῦν τοῖς ἐκ τοῦ λόγου φαινομένοις προσθέσθαι. θεά-
σασθε τοίνυν ὡς σαθρόν, ὡς ἔοικεν, ἐστὶ φύσει πᾶν
ὅ τι ἂν μὴ δικαίως ᾖ πεπραγμένον. ἐκ γὰρ αὐτοῦ τοῦ σο- 228
5 φοῦ τούτου παραδείγματος ὡμολόγηκε νῦν γ' ἡμᾶς ὑπ-
άρχειν ἐγνωσμένους ἐμὲ μὲν λέγειν ὑπὲρ τῆς πατρίδος,
αὐτὸν δ' ὑπὲρ Φιλίππου· οὐ γὰρ ἂν μεταπείθειν ὑμᾶς |
304 ἐζήτει, μὴ τοιαύτης οὔσης τῆς ὑπαρχούσης ὑπολήψεως
περὶ ἑκατέρου. καὶ μὴν ὅτι γ' οὐ δίκαια λέγει μεταθέ- 229
10 σθαι ταύτην τὴν δόξαν ἀξιῶν, ἐγὼ διδάξω ῥᾳδίως, οὐ
τιθεὶς ψήφους (οὐ γάρ ἐστιν ὁ τῶν πραγμάτων οὗτος
λογισμός), ἀλλ' ἀναμιμνήσκων ἕκαστ' ἐν βραχέσι, λογι-
σταῖς ἅμα καὶ μάρτυσιν τοῖς ἀκούουσιν ὑμῖν χρώμενος.
ἡ γὰρ ἐμὴ πολιτεία, ἧς οὗτος κατηγορεῖ, ἀντὶ μὲν τοῦ
15 Θηβαίους μετὰ Φιλίππου συνεμβαλεῖν εἰς τὴν χώραν, ὃ
πάντες ᾤοντο, μεθ' ἡμῶν παραταξαμένους ἐκεῖνον κω-
λύειν ἐποίησεν· ἀντὶ δὲ τοῦ ἐν τῇ Ἀττικῇ τὸν πόλεμον 230
εἶναι, ἑπτακόσια στάδι' ἀπὸ τῆς πόλεως ἐπὶ τοῖς Βοιω-
τῶν ὁρίοις γενέσθαι· ἀντὶ δὲ τοῦ τοὺς λῃστὰς ἡμᾶς φέ-
20 ρειν καὶ ἄγειν ἐκ τῆς Εὐβοίας, ἐν εἰρήνῃ τὴν Ἀττικὴν
ἐκ θαλάττης εἶναι πάντα τὸν πόλεμον· ἀντὶ δὲ τοῦ τὸν
Ἑλλήσποντον ἔχειν Φίλιππον λαβόντα Βυζάντιον, συμ-
πολεμεῖν τοὺς Βυζαντίους μεθ' ἡμῶν πρὸς ἐκεῖνον. ἆρά 231

1 prius καὶ] κἂν Blass | συγχορεῖτε F[1] 2 πρόσθεσθε A 4 μὴ ἂν A 5 νῦν γ' S: νυνὶ VY om. A | ἡμᾶς SQ Oxyrh. pap.: ὑμᾶς FAY Cobet 6 ἐγνωκότας apogr. Paris. 3001 ἐγνω⟨κότας καὶ πεπει-⟩σμένους Cobet 7 ἑαυτὸν pap. 8 οὔσης τῆς om. pap. 9 οὐχὶ pap. 10 τὴν om. S[1] | ἀξιῶν ὑμᾶς VY 13 ἅμα om. pap. | τοῖς ἀκούουσιν om. A 15 συνεισβαλεῖν A 16 ᾤιοντο ἔσεσθαι VY συμπαραταξαμένους A 19 ἀντὶ] ἀν Y[1] | δὲ s. v. S[1] | τοῦ om. Q[1] add. ead. 20 ἄγειν] α in ras. S 21 πάντα s. v. Y[2] 22 τὸν φίλιππον ἔχειν A 23 τοὺς om. A | ἐκεῖνον ἐποίησεν A

σοι ψήφοις ὅμοιος ὁ τῶν ἔργων λογισμὸς φαίνεται; ἢ δεῖν ἀντανελεῖν ταῦτα, ἀλλ' οὐχ ὅπως τὸν ἅπαντα χρόνον μνημονευθήσεται σκέψασθαι; καὶ οὐκέτι προστίθημι ὅτι τῆς μὲν ὠμότητος, ἣν ἐν οἷς καθάπαξ τινῶν κύριος κατέστη Φίλιππος ἔστιν ἰδεῖν, ἑτέροις πειραθῆναι συν- 5
έβη, τῆς δὲ φιλανθρωπίας, ἣν τὰ λοιπὰ τῶν πραγμάτων ἐκεῖνος περιβαλλόμενος ἐπλάττετο, ὑμεῖς καλῶς ποιοῦντες τοὺς καρποὺς κεκόμισθε. ἀλλ' ἐῶ ταῦτα.

232 *Καὶ μὴν οὐδὲ ταῦτ' εἰπεῖν ὀκνήσω, ὅτι ὁ τὸν ῥήτορα βουλόμενος δικαίως ἐξετάζειν καὶ μὴ συκοφαντεῖν οὐκ* 10
ἂν οἷα σὺ νῦν ἔλεγες, | *τοιαῦτα κατηγόρει, παραδείγματα* 305
πλάττων καὶ ῥήματα καὶ σχήματα μιμούμενος (πάνυ γὰρ παρὰ τοῦτ', οὐχ ὁρᾷς; γέγονεν τὰ τῶν Ἑλλήνων, εἰ τουτὶ τὸ ῥῆμ', ἀλλὰ μὴ τουτὶ διελέχθην ἐγώ, ἢ δευρὶ τὴν
233 *χεῖρ', ἀλλὰ μὴ δευρὶ παρήνεγκα), ἀλλ' ἐπ' αὐτῶν τῶν* 15
ἔργων ἂν ἐσκόπει, τίνας εἶχεν ἀφορμὰς ἡ πόλις καὶ τίνας δυνάμεις, ὅτ' εἰς τὰ πράγματ' εἰσῄειν, καὶ τίνας συνήγαγον αὐτῇ μετὰ ταῦτ' ἐπιστὰς ἐγώ, καὶ πῶς εἶχεν τὰ τῶν ἐναντίων. εἶτ' εἰ μὲν ἐλάττους ἐποίησα τὰς δυνάμεις, παρ' ἐμοὶ τἀδίκημ' ἂν ἐδείκνυεν ὄν, εἰ δὲ πολλῷ μεί- 20
ζους, οὐκ ἂν ἐσυκοφάντει. ἐπειδὴ δὲ σὺ τοῦτο πέφευγας, ἐγὼ ποιήσω. καὶ σκοπεῖτ' εἰ δικαίως χρήσομαι τῷ λόγῳ.

234 *Δύναμιν μὲν τοίνυν εἶχεν ἡ πόλις τοὺς νησιώτας, οὐχ ἅπαντας, ἀλλὰ τοὺς ἀσθενεστάτους· οὔτε γὰρ Χίος οὔτε*

4 sq. *κατέστη κύριος ὁ* Dion. H. Thucyd. 949 7 *πρὸς ὑμᾶς ἐπλάττετο* VAY Dion. | *ἐκομίσασθε* Dion. 9 *ταῦτ'* SQ: *τοῦτ'* FAY 13 *ορας*, ε(?)ώ superscr. S rec. | *ἑλλήνων πράγματα* VY 14 *διελέγχθην* S[1](?)V[1] | *δευρει* S corr. | *ρι* ... 15 *δευ* add. F[1] mg. 17 *εισηει* S[1] ut vid., F corr. Y[1] 20 *ἐδείκνυεν* SF[1]A: *ἐδείκνυες* F corr. QY | *πολλῷ*] *ι* erasum S 21 *ἐσυκοφάντει* SF[1]A corr.: *ἐσυκοφάντεις* F corr. QA[1]Y 22 *δικαίως*] cf. § 252. XXIII 24 *δικαίῳ* Dobree 23 *ἡ πόλις εἶχεν* Y

Ῥόδος οὔτε Κέρκυρα μεθ' ἡμῶν ἦν· χρημάτων δὲ σύνταξιν εἰς πέντε καὶ τετταράκοντα τάλαντα, καὶ ταῦτ' ἦν προεξειλεγμένα· ὁπλίτην δ', ἱππέα πλὴν τῶν οἰκείων οὐδένα. ὃ δὲ πάντων καὶ φοβερώτατον καὶ μάλισθ' ὑπὲρ
5 *τῶν ἐχθρῶν, οὗτοι παρεσκευάκεσαν τοὺς περιχώρους πάντας ἔχθρας ἢ φιλίας ἐγγυτέρω, Μεγαρέας, Θηβαίους, Εὐβοέας. τὰ μὲν τῆς πόλεως οὕτως ὑπῆρχεν ἔχοντα, καὶ* 235 *οὐδεὶς ἂν ἔχοι παρὰ ταῦτ' εἰπεῖν ἄλλ' οὐδέν· τὰ δὲ τοῦ Φιλίππου, πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγών, σκέψασθε πῶς. πρῶ-*
10 *τον μὲν ἦρχε τῶν ἀκολουθούντων αὐτὸς αὐτοκράτωρ, ὃ τῶν εἰς τὸν πόλεμον μέγιστόν ἐστιν ἁπάντων· εἶθ' οὗτοι τὰ ὅπλ' εἶχον ἐν ταῖς χερσὶν ἀεί· ἔπειτα χρημάτων*
306 *ηὐπόρει καὶ ἔπραττεν ἃ | δόξειεν αὐτῷ, οὐ προλέγων ἐν τοῖς ψηφίσμασιν οὐδ' ἐν τῷ φανερῷ βουλευόμενος, οὐδ'*
15 *ὑπὸ τῶν συκοφαντούντων κρινόμενος, οὐδὲ γραφὰς φεύγων παρανόμων, οὐδ' ὑπεύθυνος ὢν οὐδενί, ἀλλ' ἁπλῶς αὐτὸς δεσπότης, ἡγεμών, κύριος πάντων. ἐγὼ δ' ὁ πρὸς* 236 *τοῦτον ἀντιτεταγμένος (καὶ γὰρ τοῦτ' ἐξετάσαι δίκαιον) τίνος κύριος ἦν; οὐδενός· αὐτὸ γὰρ τὸ δημηγορεῖν πρῶ-*
20 *τον, οὗ μόνου μετεῖχον ἐγώ, ἐξ ἴσου προὐτίθεθ' ὑμεῖς τοῖς παρ' ἐκείνου μισθαρνοῦσιν καὶ ἐμοί, καὶ ὅσ' οὗτοι περιγένοιντ' ἐμοῦ (πολλὰ δ' ἐγίγνετο ταῦτα, δι' ἣν ἕκαστον τύχοι πρόφασιν), ταῦθ' ὑπὲρ τῶν ἐχθρῶν ἀπῆτε βεβουλευμένοι. ἀλλ' ὅμως ἐκ τοιούτων ἐλαττωμάτων ἐγὼ* 237

2 *τεττεράκοντα* Q 3 *ἢ ἱππέα γρ* FAY 4 *πάντων φοβερώτατον* A 5 *παρεσκευάκεσαν* A: *παρεσκευάκεισαν* SVY 6 *ἅπαντας* A | *Μεγαρέας* Dindorf: *μεγαρεῖς* SVAY 7 *καὶ τὰ μὲν* A 10 *αὐτοκράτωρ ὢν* A 11 ὃ post *πόλεμον* Y 12 *ἐν ταῖς χερσὶν εἶχον* A 14 sq. *οὐδ' ὑπὸ . . . κρινόμενος* om. S[1] add. S[d] secl. Dobree 17 *ἦν* (?) *πάντων* Q[1] *ἁπάντων* A 20 *προυτίθεσθ'* SF[1] (ut. vid.) Q 22 *ταῦτα* SF[1]Q: *τοιαῦτα* F corr. *γρ.* QAY | *ἣν*] *ἥντιν'* Dobree 23 *ὑπὲρ τῶν*] *ερ των* in ras. A

συμμάχους μὲν ὑμῖν ἐποίησα Εὐβοέας, Ἀχαιούς, Κορινθίους, Θηβαίους, Μεγαρέας, Λευκαδίους, Κερκυραίους, ἀφ' ὧν μύριοι μὲν καὶ πεντακισχίλιοι ξένοι, δισχίλιοι δ' ἱππεῖς ἄνευ τῶν πολιτικῶν δυνάμεων συνήχθησαν· χρημάτων δ' ὅσων ἠδυνήθην ἐγὼ πλείστων συντέλειαν 5
238 ἐποίησα. εἰ δὲ λέγεις ἢ τὰ πρὸς Θηβαίους δίκαι' Αἰσχίνη, ἢ τὰ πρὸς Βυζαντίους ἢ τὰ πρὸς Εὐβοέας, ἢ περὶ τῶν ἴσων νυνὶ διαλέγῃ, πρῶτον μὲν ἀγνοεῖς ὅτι καὶ πρότερον τῶν ὑπὲρ τῶν Ἑλλήνων ἐκείνων ἀγωνισαμένων τριήρων, τριακοσίων οὐσῶν τῶν πασῶν, τὰς διακοσίας 10 ἡ πόλις παρέσχετο, καὶ οὐκ ἐλαττοῦσθαι νομίζουσ' οὐδὲ κρίνουσα τοὺς ταῦτα συμβουλεύσαντας οὐδ' ἀγανακτοῦσ' ἐπὶ τούτοις ἑωρᾶτο (αἰσχρὸν γάρ), ἀλλὰ τοῖς θεοῖς ἔχουσα χάριν, εἰ κοινοῦ κινδύνου τοῖς Ἕλλησι περιστάντος αὐτὴ διπλάσια τῶν ἄλλων εἰς τὴν ἁπάντων σωτηρίαν παρ- 15
239 έσχετο. εἶτα κενὰς χαρίζῃ χάριτας τουτοισὶ συ|κοφαντῶν ἐμέ. 307 τί γὰρ νῦν λέγεις οἷ' ἐχρῆν πράττειν, ἀλλ' οὐ τότ' ὢν ἐν τῇ πόλει καὶ παρὼν ταῦτ' ἔγραφες, εἴπερ ἐνεδέχετο παρὰ τοὺς παρόντας καιρούς, ἐν οἷς οὐχ ὅσ' ἠβουλόμεθα, ἀλλ' ὅσα δοίη τὰ πράγματ' ἔδει δέχεσθαι· 20 ὁ γὰρ ἀντωνούμενος καὶ ταχὺ τοὺς παρ' ἡμῶν ἀπελαυνομένους προσδεξόμενος καὶ χρήματα προσθήσων ὑπῆρχεν ἕτοιμος.

5 πλείστων Westermann: πλείστην SVAY (ὅσην . . . πλείστην Dobree) 10 τριακοσίων] διακοσίων A^{1} | τὰς om. γρ. QY 14 εἰ] η S^{1} | αὕτη Y 16 κενὰς SF corr. Y: κενάς γε A καινὰς F^{1}Q | χάριτας χαρίζηι Y 17 διφορεῖται ἡ ἀνάγνωσις· ἄλλως γὰρ ἀναγιγνώσκεται στιγμῆς ἐν τῷ λέγεις μεσιτευούσης καὶ ἄλλως ἐν μόνωι τῶι (τὸ SQ) πράττειν τιθεμένης S^{d} mg. V mg. 19 παροντα S^{1} 20 ἠβουλόμεθα SF^{1}Q: ἐβουλόμεθα A ἂνβουλώμεθα F corr. Y 21 ἡμῶν in ras. F

Ἀλλ' εἰ νῦν ἐπὶ τοῖς πεπραγμένοις κατηγορίας ἔχω, τί 240
ἂν οἴεσθ', εἰ τότε μου περὶ τούτων ἀκριβολογουμένου,
ἀπῆλθον αἱ πόλεις καὶ προσέθεντο Φιλίππῳ, καὶ ἅμ'
Εὐβοίας καὶ Θηβῶν καὶ Βυζαντίου κύριος κατέστη, τί
5 *ποιεῖν ἂν ἢ τί λέγειν τοὺς ἀσεβεῖς ἀνθρώπους τουτουσί;*
οὐχ ὡς „ἐξεδόθησαν, ἀπηλάθησαν βουλόμενοι μεθ' ὑμῶν 241
εἶναι; εἶτα τοῦ μὲν Ἑλλησπόντου διὰ Βυζαντίων ἐγκρα-
τὴς καθέστηκε καὶ τῆς σιτοπομπίας τῆς τῶν Ἑλλήνων
κύριος, πόλεμος δ' ὅμορος καὶ βαρὺς εἰς τὴν Ἀττικὴν
10 *διὰ Θηβαίων κεκόμισται, ἄπλους δ' ἡ θάλαττα ὑπὸ τῶν*
ἐκ τῆς Εὐβοίας ὁρμωμένων λῃστῶν γέγονεν;" οὐκ ἂν
ταῦτ' ἔλεγον καὶ πολλά γε πρὸς τούτοις ἕτερα; πονηρὸν 242
ἄνδρες Ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης ἀεὶ καὶ πανταχό-
χόθεν βάσκανον καὶ φιλαίτιον· τοῦτο δὲ καὶ φύσει κίνα-
15 *δος τἀνθρώπιόν ἐστιν, οὐδὲν ἐξ ἀρχῆς ὑγιὲς πεποιηκὸς*
οὐδ' ἐλεύθερον, αὐτοτραγικὸς πίθηκος, ἀρουραῖος Οἰνό-
μαος, παράσημος ῥήτωρ. τί γὰρ ἡ σὴ δεινότης εἰς ὄνη-
σιν ἥκει τῇ πατρίδι; νῦν ἡμῖν λέγεις περὶ τῶν παρεληλυ- 243
λυθότων; ὥσπερ ἂν εἴ τις ἰατρὸς ἀσθενοῦσι μὲν τοῖς
308 *κάμνουσιν εἰσιὼν μὴ λέγοι μηδὲ δεικνύοι | δι' ὧν ἀπο-*
21 *φεύξονται τὴν νόσον, ἐπειδὴ δὲ τελευτήσειέ τις αὐτῶν*
καὶ τὰ νομιζόμεν' αὐτῷ φέροιτο, ἀκολουθῶν ἐπὶ τὸ μνῆμα

2 *τότε* SF[1]QA: *ποτε* F corr. Y | *ἐμοῦ* AY | *τούτου* SF[1] 5 *οἴεσθε* post *λέγειν* add. A, post *τουτουσὶ γρ.* VY 6 *οὐχ ὡς* ante *ἀπηλάθησαν* add. S[d]VAY | *ἡμῶν* VAY 8 *κατέστη γρ.* VAY | *φίλιππος* ante *καὶ* add. S[d] *γρ.* V 9 *κύριος γέγονεν* VY 11 *ἐκ* om. S 13 *ὦ ἄνδρες* VA *ὦ Ἀθηναῖοι* Hermog. III 222 W. (245, 19 R.). 253 (278, 19) | *αἰεὶ* Y | *καὶ* om. Q 14 *φιλαίτιόν ἐστι* Hermog. | *κίναιδος* A[1] Hermog. P 15 *τἀνθρώπινον* Y[1] | *ὑγιὲς ἐξ ἀρχῆς* A 16 *ἐλευθέριον* Halm cf. Sophocl. Philoct. 1006 17 sq. *τίνα.. δεινότης ὄνησιν ἤνεγκε* Cobet 18 *τῇ* om. S[1] add. ead. 20 *εἰσιὼν* om. Q | *δεικνυη* S *δεικνύει* Q[1] 21 *ἐπειδὴ*] *ἐπεὶ δ' ἂν* A 22 *φέροιτο*] *φαίνοιτο* SQ

διεξίοι „εἰ τὸ καὶ τὸ ἐποίησεν ἄνθρωπος οὑτοσί, οὐκ ἂν
ἀπέθανεν.“ „ἐμβρόντητ', εἶτα νῦν λέγεις;“

244 Οὐ τοίνυν οὐδὲ τὴν ἧτταν, εἰ ταύτῃ γαυριᾷς ἐφ' ᾗ στέ-
νειν σ' ὦ κατάρατε προσῆκεν, ἐν οὐδενὶ τῶν παρ' ἐμοὶ
γεγονυῖαν εὑρήσετε τῇ πόλει. οὑτωσὶ δὲ λογίζεσθε. οὐ- 5
δαμοῦ πώποθ', ὅποι πρεσβευτὴς ἐπέμφθην ὑφ' ὑμῶν
ἐγώ, ἡττηθεὶς ἀπῆλθον τῶν παρὰ Φιλίππου πρέσβεων,
οὐκ ἐκ Θετταλίας οὐδ' ἐξ Ἀμβρακίας, οὐκ ἐξ Ἰλλυριῶν
οὐδὲ παρὰ τῶν Θρᾳκῶν βασιλέων, οὐκ ἐκ Βυζαντίου,
οὐκ ἄλλοθεν οὐδαμόθεν, οὐ τὰ τελευταῖ' ἐκ Θηβῶν, ἀλλ' 10
ἐν οἷς κρατηθεῖεν οἱ πρέσβεις αὐτοῦ τῷ λόγῳ, ταῦτα
245 τοῖς ὅπλοις ἐπιὼν κατεστρέφετο. ταῦτ' οὖν ἀπαιτεῖς παρ'
ἐμοῦ, καὶ οὐκ αἰσχύνει τὸν αὐτὸν εἴς τε μαλακίαν σκώ-
πτων καὶ τῆς Φιλίππου δυνάμεως ἀξιῶν ἕν' ὄντα κρείττω
γενέσθαι, καὶ ταῦτα τοῖς λόγοις. τίνος γὰρ ἄλλου κύριος 15
ἦν ἐγώ; οὐ γὰρ τῆς γ' ἑκάστου ψυχῆς οὐδὲ τῆς τύχης
τῶν παραταξαμένων οὐδὲ τῆς στρατηγίας, ἧς ἔμ' ἀπαι-
246 τεῖς εὐθύνας· οὕτω σκαιὸς εἶ. ἀλλὰ μὴν ὧν γ' ἂν ὁ
ῥήτωρ ὑπεύθυνος εἴη, πᾶσαν ἐξέτασιν λαμβάνετε· οὐ
παραιτοῦμαι. τίν' οὖν ἐστι ταῦτα; ἰδεῖν τὰ πράγματ' ἀρχό- 20
μενα καὶ προαισθέσθαι καὶ προειπεῖν τοῖς ἄλλοις. ταῦτα
πέπρακταί μοι. καὶ ἔτι τὰς ἑκασταχοῦ βραδυτῆτας, ὄκνους,
ἀγνοίας, φιλονικίας, ἃ πολιτικὰ ταῖς πό|λεσι πρόσεστιν 309
ἁπάσαις καὶ ἀναγκαῖ' ἁμαρτήματα, ταῦθ' ὡς εἰς ἐλάχιστα

1 ἅνθρωπος Bekker: ἄνθρωπος SVAY | οὗτος Y | ἂν om. Y
3 ἧτταν αὐτὴν A 4 ἐμοὶ SVY Oxyrh. pap.: ἐμοῦ A 6 ὅποι
SA: ὅπου VY | ἐξεπέμφθην A 8 οὐδ' SV: οὐκ AY 9 οὐδὲ
S: οὐ VAY | παρὰ om. S[1] add. ead. 10 post τελευταῖα add.
πρῴην VY νῦν A 13 αἰσχύνηι AY 14 ἀξιῶν] α in ras. A[1]
15 γεγενῆσθαι A 16 γὰρ δὴ A 18 γ' om. Y 19 λαμβάνετε
S: λάμβανε VAY 23 πολιτικὰ] πηλίκα A 24 εἰς] εἰ Y[1] | ἐλά-
χιστα S: ἐλάχιστον VAY

συστεῖλαι, καὶ τοὐναντίον εἰς ὁμόνοιαν καὶ φιλίαν καὶ τοῦ τὰ δέοντα ποιεῖν ὁρμὴν προτρέψαι. καὶ ταῦτά μοι πάντα πεποίηται, καὶ οὐδεὶς μήποθ' εὕρῃ κατ' ἔμ' οὐδὲν ἐλλειφθέν. εἰ τοίνυν τις ἔροιθ' ὁντινοῦν, τίσιν τὰ πλεῖ- 247
5 στα Φίλιππος ὧν κατέπραξε διῳκήσατο, πάντες ἂν εἴποιεν τῷ στρατοπέδῳ καὶ τῷ διδόναι καὶ διαφθείρειν τοὺς ἐπὶ τῶν πραγμάτων. οὐκοῦν τῶν μὲν δυνάμεων οὔτε κύριος οὔθ' ἡγεμὼν ἦν ἐγώ, ὥστ' οὐδ' ὁ λόγος τῶν κατὰ ταῦτα πραχθέντων πρὸς ἐμέ. καὶ μὴν τῷ διαφθαρῆναι χρήμασιν
10 ἢ μὴ κεκράτηκα Φίλιππον· ὥσπερ γὰρ ὁ ὠνούμενος νενίκηκε τὸν λαβόντα, ἐὰν πρίηται, οὕτως ὁ μὴ λαβὼν [καὶ διαφθαρεὶς] νενίκηκε τὸν ὠνούμενον. ὥστ' ἀήττητος ἡ πόλις τὸ κατ' ἐμέ.

Ἃ μὲν τοίνυν ἐγὼ παρεσχόμην εἰς τὸ δικαίως τοιαῦτα 248
15 γράφειν τοῦτον περὶ ἐμοῦ, πρὸς πολλοῖς ἑτέροις ταῦτα καὶ παραπλήσια τούτοις ἐστίν· ἃ δ' οἱ πάντες ὑμεῖς, ταῦτ' ἤδη λέξω. μετὰ γὰρ τὴν μάχην εὐθὺς ὁ δῆμος, εἰδὼς καὶ ἑορακὼς πάνθ' ὅσ' ἔπραττον ἐγώ, ἐν αὐτοῖς τοῖς δεινοῖς καὶ φοβεροῖς ἐμβεβηκώς, ἡνίκ' οὐδ' ἀγνω-
20 μονῆσαί τι θαυμαστὸν ἦν τοὺς πολλοὺς πρὸς ἐμέ, πρῶτον μὲν περὶ σωτηρίας τῆς πόλεως τὰς ἐμὰς γνώμας ἐχειροτόνει, καὶ πάνθ' ὅσα τῆς φυλακῆς ἕνεκ' ἐπράττετο,

1 συνστειλαι S[1] | φιλίαν ἀγαγεῖν A 2 τὴν τοῦ S corr. ant. | τρέψαι Q 2 sq. πάντά μοι Y 3 μήποτ' ἀνθρώπων VY | τὸ κατ' VAY 4 ελειφθεν S[1] | ὁντινοῦν ἔροιτο VY 7 δυναμένων A 9 εἰς ἐμὲ V | τωι S: τῶι γε VAY τό γε Dobree | διαφθαρῆναι χρήμασιν ἢ μὴ S γρ. QAY: μὴ διαφθαρῆναι χρήμασι F διαφθαρῆναι χρήμασι Q text. 10 φίλιππον S γρ. QA[1]: φιλίππου FQ text. A[2]Y | ὁ] οἱ A[1] 11 sq. καὶ διαφθαρεὶς S[1] μηδὲ διαφθαρεὶς γρ. S[d]VAY del. Gebauer; intrusum ex XIX 7 15 τουτονὶ A 16 οἱ om. A | ὑμεῖς ἴστε VAY 17 ἤδη] prius η in ras. et super alt. acc. eras. A (ταῦτα δή? A[1]) 19 φοβεροῖς καὶ δεινοῖς Y 21 βουλευόμενος post πόλεως add. S[d] γρ. Q

ἡ διάταξις τῶν φυλάκων, αἱ τάφροι, τὰ εἰς τὰ τείχη χρή|ματα, διὰ τῶν ἐμῶν ψηφισμάτων ἐγίγνετο· ἔπειθ' 310 αἱρούμενος σιτώνην ἐκ πάντων ἔμ' ἐχειροτόνησεν ὁ δῆ-
249 μος. καὶ μετὰ ταῦτα συστάντων οἷς ἦν ἐπιμελὲς κακῶς ἐμὲ ποιεῖν, καὶ γραφάς, εὐθύνας, εἰσαγγελίας, πάντα 5 ταῦτ' ἐπαγόντων μοι, οὐ δι' ἑαυτῶν τό γε πρῶτον, ἀλλὰ δι' ὧν μάλισθ' ὑπελάμβανον ἀγνοήσεσθαι (ἴστε γὰρ δήπου καὶ μέμνησθ', ὅτι τοὺς πρώτους χρόνους κατὰ τὴν ἡμέραν ἑκάστην ἐκρινόμην ἐγώ, καὶ οὔτ' ἀπόνοια Σωσικλέους οὔτε συκοφαντία Φιλοκράτους οὔτε Διών- 10 δου καὶ Μελάντου μανία οὔτ' ἄλλ' οὐδὲν ἀπείρατον ἦν τούτοις κατ' ἐμοῦ), ἐν τοίνυν τούτοις πᾶσι μάλιστα μὲν διὰ τοὺς θεούς, δεύτερον δὲ δι' ὑμᾶς καὶ τοὺς ἄλλους Ἀθηναίους ἐσῳζόμην, δικαίως· τοῦτο γὰρ καὶ ἀληθές ἐστι καὶ ὑπὲρ τῶν ὀμωμοκότων καὶ γνόντων τὰ εὔορκα 15
250 δικαστῶν. οὐκοῦν ἐν μὲν οἷς εἰσηγγελλόμην, ὅτ' ἀπεψηφίζεσθέ μου καὶ τὸ μέρος τῶν ψήφων τοῖς διώκουσιν οὐ μετεδίδοτε, τότ' ἐψηφίζεσθε τὰ ἄριστά με πράττειν· ἐν οἷς δὲ τὰς γραφὰς ἀπέφευγον, ἔννομα καὶ γράφειν καὶ λέγειν ἀπεδεικνύμην· ἐν οἷς δὲ τὰς εὐθύνας ἐπεσημαίνεσθε, 20 δικαίως καὶ ἀδωροδοκήτως πάντα πεπρᾶχθαί μοι προσωμολογεῖτε. τούτων οὖν οὕτως ἐχόντων, τί προσῆκον ἢ τί δίκαιον ἦν τοῖς ὑπ' ἐμοῦ πεπραγμένοις θέσθαι

1 φυλακῶν Y 5 ταῦτα πάντα A 7 ἀγνοηθήσεσθαι VAY 8 σχεδὸν κατὰ A 8 sq. κατὰ τὴν ἡμέραν ἑκάστην SA, cf. § 68: καθ' ἑκάστην ἡμέραν VY 9 sq. οὐδ' ... οὐδὲ Y 11 μελάντου SA: μελάνου VY μελάνδου γρ. V 13 ἄλλους ἅπαντας VY 15 καὶ ὑπὲρ τῶν τὰ εὔορκα γνόντων VY 17 πέμπτον μέρος VAY 18 μετεδίδοτε] εδι in ras. F | με τὰ ἄριστα Y 19 ἀπέφευγον SF¹A: ἀπέφυγον F corr. QY 20 sq. καὶ λέγειν καὶ γράφειν Y 20 ἐπεσημαίνεσθε] alterum ε in ras. 2 litt. Q 22 προσῆκεν A

τὸν Κτησιφῶντ' ὄνομα; οὐχ ὃ τὸν δῆμον ἑώρα τιθέμενον,
οὐχ ὃ τοὺς ὀμωμοκότας δικαστάς, οὐχ ὃ τὴν ἀλήθειαν
παρὰ πᾶσιν βεβαιοῦσαν;

Ναί, φησίν, ἀλλὰ τὸ τοῦ Κεφάλου καλόν, τὸ μηδεμίαν 251
5 γραφὴν φεύγειν. καὶ νὴ Δί' εὔδαιμόν γε. ἀλλὰ τί μᾶλ-
311 λον | ὁ πολλάκις μὲν φυγών, μηδεπώποτε δ' ἐξελεγχθεὶς
ἀδικῶν ἐν ἐγκλήματι γίγνοιτ' ἂν διὰ τοῦτο δικαίως; καί-
τοι πρός γε τοῦτον ἄνδρες Ἀθηναῖοι καὶ τὸ τοῦ Κεφά-
λου καλὸν εἰπεῖν ἔστι μοι. οὐδεμίαν γὰρ πώποτ' ἐγρά-
10 ψατό μ' οὐδ' ἐδίωξε γραφήν, ὥσθ' ὑπὸ σοῦ γ' ὡμολόγημαι
μηδὲν εἶναι τοῦ Κεφάλου χείρων πολίτης.

Πανταχόθεν μὲν τοίνυν ἄν τις ἴδοι τὴν ἀγνωμοσύνην 252
αὐτοῦ καὶ τὴν βασκανίαν, οὐχ ἥκιστα δ' ἀφ' ὧν περὶ
τῆς τύχης διελέχθη. ἐγὼ δ' ὅλως μέν, ὅστις ἄνθρωπος
15 ὢν ἀνθρώπῳ τύχην προφέρει, ἀνόητον ἡγοῦμαι· ἣν γὰρ
ὁ βέλτιστα πράττειν νομίζων καὶ ἀρίστην ἔχειν οἰόμενος
οὐκ οἶδεν εἰ μενεῖ τοιαύτη μέχρι τῆς ἑσπέρας, πῶς χρὴ
περὶ ταύτης λέγειν ἢ πῶς ὀνειδίζειν ἑτέρῳ; ἐπειδὴ δ'
οὗτος πρὸς πολλοῖς ἄλλοις καὶ περὶ τούτων ὑπερηφάνως
20 χρῆται τῷ λόγῳ, σκέψασθ' ὦ ἄνδρες Ἀθηναῖοι καὶ θεω-
ρήσατε, ὅσῳ καὶ ἀληθέστερον καὶ ἀνθρωπινώτερον ἐγὼ
περὶ τῆς τύχης τούτου διαλεχθήσομαι. ἐγὼ τὴν τῆς πό- 253

1 ὔνομα τὸν κτησιφῶντα Y 5 φεύγειν S[1]QA: φυγεῖν (ευ supra) F φυγεῖν γρ. S[d]Y Hermog. III 296 W. (313, 12 R.) 6 φεύγων A 7 ἐν om. Q 9 ἔστιν ἐμοί Y 12 πανταχόθεν S: πολλαχόθεν VAY 13 sq. διελέχθη περὶ τῆς τύχης Y 14 διελεγχθη S[1] διειλέχθη V 15 παντελῶς ἀνόητον AY Stobaeus XXXXVIII 14 H. | ἡγοῦμαι καὶ ἀπαίδευτον A 16 τὰ βέλτιστα S corr. ant. F corr. AY Stob. 17 μενει SQ | τοιαύτηι μενεῖ A τοιαύτη διαμένει Stob. 19 ὑπερηφάνως S γρ. QA: ὑπερηφάνωι FQ[1]Y 20 χρῆται S γρ. Q: κέχρηται FQ[1]AY | τῷ om. Y 21 καὶ ἀληθέστερον] δικαιότερον A 22 διαλεγχθήσομαι S διαλέξομαι F corr. γρ. QY cf. § 111 | τὴν μὲν γρ. QY

λεως τύχην ἀγαθὴν ἡγοῦμαι, καὶ ταῦθ' ὁρῶ καὶ τὸν Δία τὸν Δωδωναῖον ὑμῖν μαντευόμενον, τὴν μέντοι τῶν πάντων ἀνθρώπων, ἣ νῦν ἐπέχει, χαλεπὴν καὶ δεινήν· τίς γὰρ Ἑλλήνων ἢ τίς βαρβάρων οὐ πολλῶν κακῶν ἐν τῷ

254 *παρόντι πεπείραται; τὸ μὲν τοίνυν προελέσθαι τὰ κάλ-* 5 *λιστα καὶ τὸ τῶν οἰηθέντων Ἑλλήνων, εἰ πρόοινθ' ἡμᾶς, ἐν εὐδαιμονίᾳ διάξειν αὐτῶν ἄμεινον πράττειν τῆς ἀγαθῆς τύχης τῆς πόλεως εἶναι τίθημι· τὸ δὲ προσκροῦσαι καὶ μὴ πάνθ' ὡς | ἠβουλόμεθ' ἡμῖν συμβῆναι τῆς τῶν* 312 *ἄλλων ἀνθρώπων τύχης τὸ ἐπιβάλλον ἐφ' ἡμᾶς μέρος* 10

255 *μετειληφέναι νομίζω τὴν πόλιν. τὴν δ' ἰδίαν τύχην τὴν ἐμὴν καὶ τὴν ἑνὸς ἡμῶν ἑκάστου ἐν τοῖς ἰδίοις ἐξετάζειν δίκαιον εἶναι νομίζω. ἐγὼ μὲν οὑτωσὶ περὶ τῆς τύχης ἀξιῶ, ὀρθῶς καὶ δικαίως, ὡς ἐμαυτῷ δοκῶ, νομίζω δὲ καὶ ὑμῖν· ὁ δὲ τὴν ἰδίαν τύχην τὴν ἐμὴν τῆς κοινῆς τῆς* 15 *πόλεως κυριωτέραν εἶναί φησιν, τὴν μικρὰν καὶ φαύλην τῆς ἀγαθῆς καὶ μεγάλης. καὶ πῶς ἔνι τοῦτο γενέσθαι;*

256 *Καὶ μὴν εἴ γε τὴν ἐμὴν τύχην πάντως ἐξετάζειν Αἰσχίνη προαιρεῖ, πρὸς τὴν σεαυτοῦ σκόπει, κἂν εὕρῃς τὴν ἐμὴν βελτίω τῆς σῆς, παῦσαι λοιδορούμενος αὐτῇ.* 20 *σκόπει τοίνυν εὐθὺς ἐξ ἀρχῆς. καί μου πρὸς Διὸς μηδεμίαν ψυχρότητα καταγνῷ μηδείς. ἐγὼ γὰρ οὔτ' εἴ τις*

1 *ἡγοῦμαι* om. Q | *τοῦθ'* Y 2 *καὶ τὸν ἀπόλλω* (*ἀπόλλωνα* A) *τὸν πύθιον* add. post *ὑμῖν* S mg. rec. Y ante *ὑμῖν* A^3 mg. ubi verba addita velit *γρ.* V incertum; cf. epist. IV 3 | *ἡμῖν* F corr. QY | *ἁπάντων* Y 4 *κακῶν καὶ μεγάλων* A 5 *παρόντι καιρῶι* F corr. QY cf. XV 2 7 *διάξειν*] *α* in ras. A | *αὐτῶν* S^1F^1: *αὐτοὺς γρ.* S^dF corr. Q *αὐτῶν ἐκείνων γρ.* QY *τούτων αὐτῶν* A 9 *καὶ μὴ* om. Q^1 | *ὡς*] *ὅσα γρ.* VAY 10 *μέρος* om. A 12 *ὑμῶν* QAY 13 *μὲν οὖν* VY | *οὕτως* Y 14 *ἐξετάζειν ἀξιῶ* VY 15 *ὑμῖν συνδοκεῖν* VY 15 sq. *τὴν ἰδίαν ... πο* om. A^1 add. A^2 19 *προαιρῆι* VAY | *ἑαυτοῦ* Q *σαυτοῦ* V 21 *μου* F in ras. | *διὸς καὶ θεῶν* VAY

*πενίαν προπηλακίζει νοῦν ἔχειν ἡγοῦμαι, οὔτ' εἴ τις ἐν
ἀφθόνοις τραφεὶς ἐπὶ τούτῳ σεμνύνεται· ἀλλ' ὑπὸ τῆς
τουτουὶ τοῦ χαλεποῦ βλασφημίας καὶ συκοφαντίας εἰς
τοιούτους λόγους ἐμπίπτειν ἀναγκάζομαι, οἷς ἐκ τῶν
5 ἐνόντων ὡς ἂν δύνωμαι μετριώτατα χρήσομαι.*

Ἐμοὶ μὲν τοίνυν ὑπῆρξεν Αἰσχίνη παιδὶ μὲν ὄντι 257
*φοιτᾶν εἰς τὰ προσήκοντα διδασκαλεῖα καὶ ἔχειν ὅσα χρὴ
τὸν μηδὲν αἰσχρὸν ποιήσοντα δι' ἔνδειαν, ἐξελθόντι δ'
ἐκ παίδων ἀκόλουθα τούτοις πράττειν, χορηγεῖν τριη-
10 ραρχεῖν εἰσφέρειν, μηδεμιᾶς φιλοτιμίας μήτ' ἰδίας μήτε
δημοσίας ἀπολείπεσθαι, ἀλλὰ καὶ τῇ πόλει καὶ τοῖς φί-
λοις χρήσιμον εἶναι, ἐπειδὴ δὲ πρὸς τὰ κοινὰ προσελθεῖν
313 ἔδοξέ μοι, τοιαῦτα πολιτεύμαθ' | ἑλέσθαι, ὥστε καὶ ὑπὸ
τῆς πατρίδος καὶ ὑπ' ἄλλων Ἑλλήνων πολλῶν πολλάκις
15 ἐστεφανῶσθαι, καὶ μηδὲ τοὺς ἐχθροὺς ὑμᾶς, ὡς οὐ καλά
γ' ἦν ἃ προειλόμην, ἐπιχειρεῖν λέγειν. ἐγὼ μὲν δὴ τοι-* 258
*αύτῃ συμβεβίωκα τύχῃ, καὶ πόλλ' ἂν ἔχων ἕτερ' εἰπεῖν
περὶ αὐτῆς παραλείπω, φυλαττόμενος τὸ λυπῆσαί τιν'
ἐν οἷς σεμνύνομαι. σὺ δ' ὁ σεμνὸς ἀνὴρ καὶ διαπτύων
20 τοὺς ἄλλους, σκόπει πρὸς ταύτην ποίᾳ τινὶ κέχρησαι
τύχῃ, δι' ἣν παῖς μὲν ὢν μετὰ πολλῆς ἐνδείας ἐτράφης,
ἅμα τῷ πατρὶ πρὸς τῷ διδασκαλείῳ προσεδρεύων, τὸ
μέλαν τρίβων καὶ τὰ βάθρα σπογγίζων καὶ τὸ παιδαγω-
γεῖον κορῶν, οἰκέτου τάξιν, οὐκ ἐλευθέρου παιδὸς ἔχων,* 259

1 *προπηλακιζειν ου* S^1 3 *τούτου* A 6 *μὲν ὄντι φοιτᾶν εἰς* om. S^1 add. S^d mg. 7 sq. *καὶ ἔχειν ... ἔνδειαν* om. A^1 add. A^3 9 *παιδίων* A | *τἀκόλουθα* γρ. FY 12 *προσελθεῖν* SA: *προσῆλθον* VY 14 *ἄλλων ἑλλήνων πολλῶν* S: *τῶν ἄλλων ἑλλήνων* VAY 15 *μηδὲ*] *μὴ* A | *οὐ καλά γ' ἦν ἃ* γρ. S rec. VAY: *ουκαλλαγηναι* S^1 18 *τινας* S rec. Y 19 *σεμνὸς*] *σεμνυνομενος* S 20 *πρὸς ταύτηι* γρ. VY | *ὁποίαι* A 21 post *πολλῆς* add. *τὴν* (punctis notat.) S *τῆς* apogr. Laur. Scheibe

*ἀνὴρ δὲ γενόμενος τῇ μητρὶ τελούσῃ τὰς βίβλους ἀνε-
γίγνωσκες καὶ τἄλλα συνεσκευωροῦ, τὴν μὲν νύκτα νε-
βρίζων καὶ κρατηρίζων καὶ καθαίρων τοὺς τελουμένους
καὶ ἀπομάττων τῷ πηλῷ καὶ τοῖς πιτύροις, καὶ ἀνιστὰς
ἀπὸ τοῦ καθαρμοῦ κελεύων λέγειν „ἔφυγον κακόν, ηὗρον* 5
*ἄμεινον“, ἐπὶ τῷ μηδένα πώποτε τηλικοῦτ᾽ ὀλολύξαι
σεμνυνόμενος (καὶ ἔγωγε νομίζω· μὴ γὰρ οἴεσθ᾽ αὐτὸν
φθέγγεσθαι μὲν οὕτω μέγα, ὀλολύζειν δ᾽ οὐχ ὑπέρλαμ-*
260 *προν), ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιάσους ἄγων διὰ
τῶν ὁδῶν, τοὺς ἐστεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ,* 10
*τοὺς ὄφεις τοὺς παρείας θλίβων καὶ ὑπὲρ τῆς κεφαλῆς
αἰωρῶν καὶ βοῶν εὐοῖ σαβοῖ καὶ ἐπορχούμενος ὕης ἄττης
ἄττης ὕης, ἔξαρχος καὶ προηγεμὼν καὶ κιττοφόρος καὶ
λικνοφόρος καὶ τοιαῦθ᾽ ὑπὸ τῶν γραδίων προσαγορευό-
μενος, μισθὸν λαμβάνων τούτων ἔνθρυπτα καὶ στρε-* 314
πτοὺς καὶ νεήλατα, ἐφ᾽ οἷς τίς οὐκ ἂν ὡς ἀληθῶς αὑτὸν 16
261 *εὐδαιμονίσειε καὶ τὴν αὑτοῦ τύχην; ἐπειδὴ δ᾽ εἰς τοὺς
δημότας ἐνεγράφης ὁπωσδήποτε (ἐῶ γὰρ τοῦτο), ἐπειδή
γ᾽ ἐνεγράφης, εὐθέως τὸ κάλλιστον ἐξελέξω τῶν ἔργων,
γραμματεύειν καὶ ὑπηρετεῖν τοῖς ἀρχιδίοις. ὡς δ᾽ ἀπηλ-* 20

2 *καὶ τὴν μὲν* Q 4 *ἀπομμάτων* A[1] corr. A[3] | *ἀνιστὰς* SVA: *ἀναστὰς* Y 5 *καὶ κελεύων* VY 6 *τηλικοῦτον* S corr. AY 8 *οὕτως* Y | *ὀλολύξειν* F 9 *ἡμέραις*] *ἡμετέραις* A[1] | *θειάσους* Y[1] 10 *μαράθρωι* A 11 *παρίας* A 12 *αἰωρῶν*] *αι* in ras. F *εωρῶν* A[1] | *ευσαβοι* S[1] *οι* supra scr. S[d] *εὐοί* FY 13 *κιττοφόρος*] *ἔνιοι μετὰ τοῦ σ̅ γράφουσιν, κιστοφόρος* Harpocr. s. *κιττοφόρος*, Rubenius 14 *τὰ τοιαῦτα* VAY | *οὕτω προσαγορευόμενος* ex memoria Hermog. III 308 W. (325, 8 R.) 16 *οὐκ ἂν* om. Y | *αὐτὸν* S 17 *αὑτου* S 18 *τοῦτό γε γρ.* QA | *ἐπειδή γ᾽* SVY: *ἐπειδὴ δ᾽ οὖν γρ.* Q 18 sq. *ἐπειδὴ … ἐνεγράφης* om. A 19 *τῶν ἔργων ἐξελέξω* Y 20 *ὑπογραμματεύειν* F corr. *γρ.* QY (ex XIX 249) | *ἀρχιδίοις* SVY[1] (ut vid.) Pollux VIII 83: *ἀρχείοις γρ.* S[d] F mg. *γρ.* QAY corr.

λάγῃς ποτὲ καὶ τούτου, πάνθ' ἃ τῶν ἄλλων κατηγορεῖς
αὐτὸς ποιήσας, οὐ κατῄσχυνας μὰ Δί' οὐδὲν τῶν προϋπ- 262
ηργμένων τῷ μετὰ ταῦτα βίῳ, ἀλλὰ μισθώσας σαυτὸν
τοῖς βαρυστόνοις ἐπικαλουμένοις ἐκείνοις ὑποκριταῖς Σι-
5 μύκκᾳ καὶ Σωκράτει, ἐτριταγωνίστεις, σῦκα καὶ βότρυς
καὶ ἐλάας συλλέγων ὥσπερ ὀπωρώνης ἐκ τῶν ἀλλοτρίων
χωρίων, πλείω λαμβάνων ἀπὸ τούτων ἢ τῶν ἀγώνων,
οὓς ὑμεῖς περὶ τῆς ψυχῆς ἠγωνίζεσθε· ἦν γὰρ ἄσπον-
δος καὶ ἀκήρυκτος ὑμῖν πρὸς τοὺς θεατὰς πόλεμος, ὑφ'
10 ὧν πολλὰ τραύματ' εἰληφὼς εἰκότως τοὺς ἀπείρους τῶν
τοιούτων κινδύνων ὡς δειλοὺς σκώπτεις. ἀλλὰ γὰρ παρεὶς 263
ὧν τὴν πενίαν αἰτιάσαιτ' ἄν τις, πρὸς αὐτὰ τὰ τοῦ τρό-
που σου βαδιοῦμαι κατηγορήματα. τοιαύτην γὰρ εἵλου
πολιτείαν, ἐπειδή ποτε καὶ τοῦτ' ἐπῆλθέ σοι ποιῆσαι,
15 δι' ἣν εὐτυχούσης μὲν τῆς πατρίδος λαγὼ βίον ἔζης δε-
διὼς καὶ τρέμων καὶ ἀεὶ πληγήσεσθαι προσδοκῶν, ἐφ'
οἷς σαυτῷ συνῄδεις ἀδικοῦντι, ἐν οἷς δ' ἠτύχησαν οἱ
ἄλλοι, θρασὺς ὢν ὑφ' ἁπάντων ὦψαι. καίτοι ὅστις χι- 264
λίων πολιτῶν ἀποθανόντων ἐθάρρησεν, τί οὗτος παθεῖν
20 ὑπὸ τῶν ζώντων δίκαιός ἐστιν; πολλὰ τοίνυν ἕτερ' εἰπεῖν |
315 ἔχων περὶ αὐτοῦ παραλείψω· οὐ γὰρ ὅσ' ἂν δείξαιμι προσ-
όντ' αἰσχρὰ τούτῳ καὶ ὀνείδη, πάντ' οἶμαι δεῖν εὐχερῶς
λέγειν, ἀλλ' ὅσα μηδὲν αἰσχρόν ἐστιν εἰπεῖν ἐμοί.

1 ἃ om. A | κατηγόρεις A 2 ὑπηργμένων Y 3 σαυτὸν] αὐτὸν SF^{1} ἑαυτὸν Harpocr. s. Σιμύλος 4 ἐκείνοις ἐπικαλουμένοις A om. Harpocr. | σιμύκκαι SV: σιμύλωι γρ. S^{d} γρ. QA Harpocr. σιμύλα ἢ σιμύδωι γρ. F σιμύδωι Y Σιμύκᾳ Voemel coll. Athen. VIII 348 A 6 ἐλαίας FY 7 τούτων τραύματα S^{d}VAY 9 ὑμῖν post ἄσπονδος ponit Y | ὁ πρὸς VAY 11 κινδύνων om. A Herwerden 12 ἐξ ὧν γρ. VY 15 λαγῶν A^{1} 17 σεαυτῶι A 18 ὑπὸ πάντων AY 19 ἐθάρσησε A 20 δίκαιον A^{1} 21 παραλείπω A | ἂν δείξαιμι] ἀναδείξαιμι Q

265 *Ἐξέτασον τοίνυν παρ' ἄλληλα τὰ σοὶ κἀμοὶ βεβιωμένα, πράως, μὴ πικρῶς Αἰσχίνη, εἶτ' ἐρώτησον τουτουσί, τὴν ποτέρου τύχην ἂν ἕλοιθ' ἕκαστος αὐτῶν. ἐδίδασκες γράμματ', ἐγὼ δ' ἐφοίτων. ἐτέλεις, ἐγὼ δ' ἐτελούμην. ἐγραμμάτευες, ἐγὼ δ' ἠκκλησίαζον. ἐτριταγωνίστεις, ἐγὼ* 5 *δ' ἐθεώρουν. ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον. ὑπὲρ τῶν ἐχθρῶν πεπολίτευσαι πάντα, ἐγὼ δ' ὑπὲρ τῆς πατρίδος.*

266 *ἐῶ τἄλλα, ἀλλὰ νυνὶ τήμερον ἐγὼ μὲν ὑπὲρ τοῦ στεφανωθῆναι δοκιμάζομαι, τὸ δὲ μηδ' ὁτιοῦν ἀδικεῖν ἀνωμολόγημαι, σοὶ δὲ συκοφάντῃ μὲν εἶναι δοκεῖν ὑπάρχει, κιν-* 10 *δυνεύεις δ' εἴτε δεῖ σ' ἔτι τοῦτο ποιεῖν, εἴτ' ἤδη πεπαῦσθαι μὴ μεταλαβόντα τὸ πέμπτον μέρος τῶν ψήφων. ἀγαθῇ γ' (οὐχ ὁρᾷς;) τύχῃ συμβεβιωκὼς τῆς ἐμῆς κατηγορεῖς.*

267 *Φέρε δὴ καὶ τὰς τῶν λῃτουργιῶν μαρτυρίας ὧν λελῃτούργηκα ὑμῖν ἀναγνῶ. παρ' ἃς παρανάγνωθι καὶ σύ* 15 *μοι τὰς ῥήσεις ἃς ἐλυμαίνου,*

Eurip. Hec. 1 *„ἥκω νεκρῶν κευθμῶνα καὶ σκότου πύλας“*

καὶ

„κακαγγελεῖν μὲν ἴσθι μὴ θέλοντά με“,

1 *καιμοι* S 2 *πράως καὶ* S rec. VAY 3 *ὁποτέρου* S corr. VY 4 *ἐτελούμην* S Alexander Rhet. Gr. VIII 479 Tiber. ib. 570: *ἐτελούμην· ἐχόρευες, ἐγὼ δ' ἐχορήγουν* VAY add. *καὶ σὺ μὲν* ante *ἐχόρευες* Hermog. III 419 W. (431 R.) cod. Vc 5 *ηκκλησιαζον* S[1]F[1]: *ἐκκλησίαζον* S[d]F corr. QAY 6 *ἔπιπτες* Y | *ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον* del. L. Spengel 9 *τὸ δὲ*] *δὲ* s. v. A[3] 10 *σοὶ*] *σὺ* ut vid. Q[1] 11 *ἔτι* ante *δεῖ* add. Y 12 *πέμπτον* secl. Dindorf 13 *γ'* S[1]A: *δ'* S rec. VY | *συμβεβηκως* S[1] | *ἐμῆς ὡς φαύλης* VAY 14 *λειτουργων* S[1] *λειτουργειῶν* Y[1] | *λελειτουργικα* S[1] 15 *παρ' ἃς* SQ text.: *πάσας* F γρ. QAY | *παρανάγνωθι*] *παραγ* incohaverat S[1] | *καὶ σύ μοι* SV text.: *δ' ἡμῖν καὶ σὺ* γρ. VY *δὴ καὶ σύ μοι* A *δή μοι καὶ σὺ* Hermog. III 321 W. (338, 7 R.) 16 *ἐλυμήνω* A Hermog. 17 *νεκρῶν* S[1] Hermog.: *λιπὼν* S rec. VAY 19 *κακαγγελεῖν* F corr. Y Hermog.: *κακαγγελλειν* S[1] *κακ' ἀγγέλλειν* S corr. A[3] Hermog. cod. Pc *κακαγγέλλειν* F[1]Q *καταγγέλλειν* (ut vid.) A[1]

καὶ „κακὸν κακῶς σε“ μάλιστα μὲν οἱ θεοί, ἔπειθ' οὗτοι πάντες ἀπολέσειαν, πονηρὸν ὄντα καὶ πολίτην καὶ τριταγωνιστήν.

Λέγε τὰς μαρτυρίας.

5 ΜΑΡΤΥΡΙΑΙ

Ἐν μὲν τοίνυν τοῖς πρὸς τὴν πόλιν τοιοῦτος· ἐν δὲ 268
316 *τοῖς ἰδίοις εἰ μὴ πάντες ἴσθ' ὅτι κοινὸς καὶ φιλ|άνθρωπος καὶ τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ καὶ οὐδὲν ἂν εἴποιμ' οὐδὲ παρασχοίμην περὶ τούτων οὐδεμίαν μαρτυ-*
10 *ρίαν, οὔτ' εἴ τινας ἐκ τῶν πολεμίων ἐλυσάμην, οὔτ' εἴ τισιν θυγατέρας συνεξέδωκα, οὔτε τῶν τοιούτων οὐδέν. καὶ γὰρ οὕτω πως ὑπείληφα. ἐγὼ νομίζω τὸν μὲν εὖ* 269 *παθόντα δεῖν μεμνῆσθαι πάντα τὸν χρόνον, τὸν δὲ ποιήσαντ' εὐθὺς ἐπιλελῆσθαι, εἰ δεῖ τὸν μὲν χρηστοῦ, τὸν*
15 *δὲ μὴ μικροψύχου ποιεῖν ἔργον ἀνθρώπου. τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν μικροῦ δεῖν ὅμοιόν ἐστιν τῷ ὀνειδίζειν. οὐ δὴ ποιήσω τοιοῦτον οὐδέν, οὐδὲ προαχθήσομαι, ἀλλ' ὅπως ποθ' ὑπείλημμαι περὶ τούτων, ἀρκεῖ μοι.*

20 *Βούλομαι δὲ τῶν ἰδίων ἀπαλλαγεὶς ἔτι μικρὰ πρὸς* 270 *ὑμᾶς εἰπεῖν περὶ τῶν κοινῶν. εἰ μὲν γὰρ ἔχεις Αἰσχίνη τῶν ὑπὸ τοῦτον τὸν ἥλιον εἰπεῖν ἀνθρώπων, ὅστις ἀθῷος*

1 *ἔπειτα* SF[1]QA: *ἔπειτα δὲ* F corr. Y 1 sq. *πάντες ἀπολέσειαν οὗτοι* A 2 *πωνηρον* A[1] | *καὶ πολίτην* S[1]V text.: *πολίτην* S corr. A pap. *πολίτην καὶ προδότην γρ.* VY | *καὶ τριταγ.* om. pap. 8 *πᾶσι τοῖς* Hermog. III 409 W. (421, 10 R.) 9 verba *οὐδὲ π. οὐδ. μαρτυριαν* om. Hermog. III 409 (421), praeterea *περὶ* III 335 W. (351, 16 R) | *παρασχοίμην ἂν* AY 11 *τισι πενομένοις* Hermog. 351, *θυγατέρας ἀποροῦσι* 421 13 *παρὰ πάντα* Hermog. 421 | *πάντα τὸν* SVA: *τὸν πάντα γρ.* QY | *εὖ ποιήσαντα γρ.* VAY Hermog. 14 *αὐτὸν* ante *ἐπιλελῆσθαι* add. *γρ.* QY 15 *μικροψυχρου* S[1] 16 *ἀναμιμνήσκειν* (om. *καὶ λέγειν*) Hermog. 22 *τοῦτον* S[1]: *τουτονὶ* S corr. VAY

τῆς Φιλίππου πρότερον καὶ νῦν τῆς Ἀλεξάνδρου δυνα-
στείας γέγονεν ἢ τῶν Ἑλλήνων ἢ τῶν βαρβάρων, ἔστω,
συγχωρῶ τὴν ἐμὴν εἴτε τύχην εἴτε δυστυχίαν ὀνομάζειν
271 βούλει πάντων αἰτίαν γεγενῆσθαι. εἰ δὲ καὶ τῶν μηδε-
πώποτ' ἰδόντων ἐμὲ μηδὲ φωνὴν ἀκηκοότων ἐμοῦ πολ- 5
λοὶ πολλὰ καὶ δεινὰ πεπόνθασι, μὴ μόνον κατ' ἄνδρ'
ἀλλὰ καὶ πόλεις ὅλαι καὶ ἔθνη, πόσῳ δικαιότερον καὶ
ἀληθέστερον τὴν ἁπάντων ὡς ἔοικεν ἀνθρώπων τύχην
κοινὴν καὶ φοράν τινα πραγμάτων χαλεπὴν καὶ οὐχ οἵαν
272 ἔδει τούτων αἰτίαν ἡγεῖσθαι. σὺ τοίνυν ταῦτ' ἀφεὶς ἐμὲ 10
τὸν παρὰ τουτοισὶ πεπολιτευμένον αἰτιᾷ, καὶ ταῦτ' εἰ-
δὼς ὅτι, καὶ εἰ | μὴ τὸ ὅλον, μέρος γ' ἐπιβάλλει τῆς βλασ- 317
φημίας ἅπασι καὶ μάλιστα σοί. εἰ μὲν γὰρ ἐγὼ κατ'
ἐμαυτὸν αὐτοκράτωρ περὶ τῶν πραγμάτων ἐβουλευόμην,
273 ἦν ἂν τοῖς ἄλλοις ῥήτορσιν ὑμῖν ἔμ' αἰτιᾶσθαι· εἰ δὲ 15
παρῆτε μὲν ἐν ταῖς ἐκκλησίαις ἁπάσαις, ἀεὶ δ' ἐν κοινῷ
τὸ συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν, πᾶσι δὲ ταῦτ'
ἐδόκει τότ' ἄριστ' εἶναι καὶ μάλιστα σοί (οὐ γὰρ ἐπ'
εὐνοίᾳ γ' ἐμοὶ παρεχώρεις ἐλπίδων καὶ ζήλου καὶ τιμῶν,
ἃ πάντα προσῆν τοῖς τότε πραττομένοις ὑπ' ἐμοῦ, ἀλλὰ 20
τῆς ἀληθείας ἡττώμενος δῆλον ὅτι καὶ τῷ μηδὲν ἔχειν
εἰπεῖν βέλτιον), πῶς οὐκ ἀδικεῖς καὶ δεινὰ ποιεῖς τού-
274 τοις νῦν ἐγκαλῶν, ὧν τότ' οὐκ εἶχες λέγειν βελτίω; παρὰ
μὲν τοίνυν τοῖς ἄλλοις ἔγωγ' ὁρῶ πᾶσιν ἀνθρώποις διω-
ρισμένα καὶ τεταγμένα πως τὰ τοιαῦτα. ἀδικεῖ τις ἑκών· 25

3 συγχωρῶ σοι VY 4 αἰτίαν om. S[1] add. S[d] 5 ιδοτων S[1]
7 ἔθη Q 9 καινὴν F 10 τοίνυν] οὖν A 12 ὅτι εἰ μὴ καὶ A
14 αὐτοκράτωρ ὢν VY cf. § 235 16 αἰεὶ Y | δ' ἐν κοινῶι S:
ἐν κοινῶι δὲ VAY 17 τἄυτὰ Y 19 γέ μοι A 20 ἃ πάντα]
ἅπαντα F[1]A[1] 21 τῷ] τὸ F[1] (ut vid.) Q 23 λέγειν] εἰπεῖν A
25 καὶ τεταγμένα] κατεταγμενα S[1]

ὀργὴν καὶ τιμωρίαν κατὰ τούτου. ἐξήμαρτέ τις ἄκων·
συγγνώμην ἀντὶ τῆς τιμωρίας τούτῳ. οὔτ' ἀδικῶν τις
οὔτ' ἐξαμαρτάνων εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν ἑαυ-
τὸν δοὺς οὐ κατώρθωσεν μεθ' ἁπάντων· οὐκ ὀνειδίζειν
5 οὐδὲ λοιδορεῖσθαι τῷ τοιούτῳ δίκαιον, ἀλλὰ συνάχθεσθαι.
φανήσεται ταῦτα πάνθ' οὕτως οὐ μόνον τοῖς νόμοις, 275
ἀλλὰ καὶ ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νομίμοις καὶ τοῖς
ἀνθρωπίνοις ἤθεσιν διώρικεν. Αἰσχίνης τοίνυν τοσοῦ-
τον ὑπερβέβληκεν ἅπαντας ἀνθρώπους ὠμότητι καὶ συκο-
10 φαντίᾳ, ὥστε καὶ ὧν αὐτὸς ὡς ἀτυχημάτων ἐμέμνητο, καὶ
ταῦτ' ἐμοῦ κατηγορεῖ.

Καὶ πρὸς τοῖς ἄλλοις, ὥσπερ αὐτὸς ἁπλῶς καὶ μετ' 276
εὐνοίας πάντας εἰρηκὼς τοὺς λόγους, φυλάττειν ἐμὲ καὶ
318 τηρεῖν ἐκέλευεν, ὅπως μὴ | παρακρούσομαι μηδ' ἐξαπα-
15 τήσω, δεινὸν καὶ γόητα καὶ σοφιστὴν καὶ τὰ τοιαῦτ'
ὀνομάζων, ὡς ἐὰν πρότερός τις εἴπῃ τὰ προσόνθ' ἑαυτῷ
περὶ ἄλλου, καὶ δὴ ταῦθ' οὕτως ἔχοντα, καὶ οὐκέτι τοὺς
ἀκούοντας σκεψομένους τίς ποτ' αὐτός ἐστιν ὁ ταῦτα
λέγων. ἐγὼ δ' οἶδ' ὅτι γιγνώσκετε τοῦτον ἅπαντες καὶ
20 πολὺ τούτῳ μᾶλλον ἢ ἐμοὶ νομίζετε ταῦτα προσεῖναι.
καὶ ἐκεῖν' εὖ οἶδ' ὅτι τὴν ἐμὴν δεινότητα—ἔστω γάρ. καί- 277
τοι ἔγωγ' ὁρῶ τῆς τῶν λεγόντων δυνάμεως τοὺς ἀκού-

1 ὀργὴν καὶ τιμωρίαν SA: ὀργὴ καὶ τιμωρία VY | κατ' αὐτοῦ F 2 συγγνώμην SA: συγγνώμη VY 3 ἐξαμαρτὼν A | φερειν S[1] συμ add. ead. | αυτὸν A 4 κατορθωσεν S | μετὰ πάντων γρ. FAY | ὀνειδίζειν] alterum ν in ras. A 5 τῶι om. S[1] 6 φανησται S[1] | φανήσεται τοίνυν VAY pap. | ταῦτα πάνθ'] πάντα ταῦτα A καταστάνθ' Weil | ἐν τοῖς VY 7 νομίμοις SVA pap.: νόμοις Y supra νομίμοις nihil scriptum in S | καὶ τοῖς ἀνθρωπίνοις ἤθεσι del. Kan 8 ἤθεσιν om. S 9 υπερβληκεν pap. 10 ὧν αὐτὸς] ων αυ in ras. A[1] | καὶ post ἐμέμνητο om. Y 11 κατηγόρει AY 12 αὐτὸς om. A 14 παρακρούσωμαι VAY (παρακρύσωμαι Y[1]) 21 ἐκεῖνο δ' εὖ VY

οντας τὸ πλεῖστον κυρίους· ὡς γὰρ ἂν ὑμεῖς ἀποδέξησθε καὶ πρὸς ἕκαστον ἔχητ' εὐνοίας, οὕτως ὁ λέγων ἔδοξε φρονεῖν. εἰ δ' οὖν ἐστιν καὶ παρ' ἐμοί τις ἐμπειρία τοιαύτη, ταύτην μὲν εὑρήσετε πάντες ἐν τοῖς κοινοῖς ἐξεταζομένην ὑπὲρ ὑμῶν ἀεὶ καὶ οὐδαμοῦ καθ' ὑμῶν 5 οὐδ' ἰδίᾳ, τὴν δὲ τούτου τοὐναντίον οὐ μόνον τῷ λέγειν ὑπὲρ τῶν ἐχθρῶν, ἀλλὰ καὶ εἴ τις ἐλύπησέ τι τοῦτον ἢ προσέκρουσέ που, κατὰ τούτων· οὐ γὰρ αὐτῇ δι-278 καίως οὐδ' ἐφ' ἃ συμφέρει τῇ πόλει χρῆται. οὔτε γὰρ τὴν ὀργὴν οὔτε τὴν ἔχθραν οὔτ' ἄλλ' οὐδὲν τῶν τοι- 10 ούτων τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ τοὺς ὑπὲρ τῶν κοινῶν εἰσεληλυθότας δικαστὰς ἀξιοῦν αὐτῷ βεβαιοῦν, οὐδ' ὑπὲρ τούτων εἰς ὑμᾶς εἰσιέναι, ἀλλὰ μάλιστα μὲν μὴ ἔχειν ταῦτ' ἐν τῇ φύσει, εἰ δ' ἄρ' ἀνάγκη, πρᾴως καὶ μετρίως διακείμεν' ἔχειν. ἐν τίσιν οὖν σφοδρὸν εἶναι 15 τὸν πολιτευόμενον καὶ τὸν ῥήτορα δεῖ; ἐν οἷς τῶν ὅλων τι κινδυνεύεται τῇ πόλει, καὶ ἐν οἷς πρὸς τοὺς ἐναντίους ἐστὶ τῷ δήμῳ, ἐν τούτοις· ταῦτα γὰρ γενναίου καὶ 279 ἀγαθοῦ πολίτου. μηδενὸς δ' ἀδικήματος πώποτε δη|μο- 319 σίου, προσθήσω δὲ μηδ' ἰδίου, δίκην ἀξιώσαντα λαβεῖν 20 παρ' ἐμοῦ, μήθ' ὑπὲρ τῆς πόλεως μήθ' ὑπὲρ αὑτοῦ, στεφάνου καὶ ἐπαίνου κατηγορίαν ἥκειν συνεσκευασμένον καὶ τοσουτουσὶ λόγους ἀνηλωκέναι ἰδίας ἔχθρας καὶ φθόνου καὶ μικροψυχίας ἐστὶ σημεῖον, οὐδενὸς χρηστοῦ.

1 μέρος κυρίους ὄντας VAY 4 ἐν] ἐπὶ Y 5 αἰεὶ Y 6 οὐδ' secl. Blass coll. Ep. II 9 | ἰδίαν A | τῷ λέγειν secl. Weil 12 δικαστὰς εἰσεληλυθότας A 14 ἄρ' ἂν S corr. 15 διακείμεν' SF[1]A: διακείμενον F corr. QY 18 ἐστί τι F corr. QY | γάρ ἐστι A 20 δίκης S rec. Y 22 τοῦ στεφάνου S corr. | καὶ ἐπαίνου iterat S[1] | νῦν κατηγορίαν A κατηγορίαν νῦν VY | συνεσκευασμένου (ς supra) F συνεσκευασμένος Q 23 τοσούτους A

τὸ δὲ δὴ καὶ τοὺς πρὸς ἔμ' αὐτὸν ἀγῶνας ἐάσαντα νῦν ἐπὶ τόνδ' ἥκειν καὶ πᾶσαν ἔχει κακίαν. καί μοι δοκεῖς 280 *ἐκ τούτων Αἰσχίνη λόγων ἐπίδειξίν τινα καὶ φωνασκίας βουλόμενος ποιήσασθαι τοῦτον προελέσθαι τὸν ἀγῶνα,* 5 *οὐκ ἀδικήματος οὐδενὸς λαβεῖν τιμωρίαν. ἔστι δ' οὐχ ὁ λόγος τοῦ ῥήτορος Αἰσχίνη τίμιον οὐδ' ὁ τόνος τῆς φωνῆς, ἀλλὰ τὸ ταὐτὰ προαιρεῖσθαι τοῖς πολλοῖς καὶ τὸ τοὺς αὐτοὺς μισεῖν καὶ φιλεῖν οὕσπερ ἂν ἡ πατρίς. ὁ* 281 *γὰρ οὕτως ἔχων τὴν ψυχήν, οὗτος ἐπ' εὐνοίᾳ πάντ' ἐρεῖ·* 10 *ὁ δ' ἀφ' ὧν ἡ πόλις προορᾶταί τινα κίνδυνον ἑαυτῇ, τούτους θεραπεύων, οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς, οὔκουν οὐδὲ τῆς ἀσφαλείας τὴν αὐτὴν ἔχει προσδοκίαν. ἀλλ' (ὁρᾷς;) ἐγώ· ταὐτὰ γὰρ συμφέρονθ' εἱλόμην τουτοισί, καὶ οὐδὲν ἐξαίρετον οὐδ' ἴδιον πεποίημαι.* 15 *ἆρ' οὖν οὐδὲ σύ; καὶ πῶς; ὃς εὐθέως μετὰ τὴν μάχην* 282 *πρεσβευτὴς ἐπορεύου πρὸς Φίλιππον, ὃς ἦν τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμφορῶν αἴτιος τῇ πατρίδι, καὶ ταῦτ' ἀρνούμενος πάντα τὸν ἔμπροσθε χρόνον ταύτην τὴν χρείαν, ὡς πάντες ἴσασι. καίτοι τίς ὁ τὴν πόλιν ἐξαπα-* 20 *τῶν; οὐχ ὁ μὴ λέγων ἃ φρονεῖ; τῷ δ' ὁ κῆρυξ καταρᾶται δικαίως; οὐ τῷ τοιούτῳ; τί δὲ μεῖζον ἔχοι τις ἂν* **320** *εἰπεῖν ἀδίκημα | κατ' ἀνδρὸς ῥήτορος ἢ εἰ μὴ ταὐτὰ φρονεῖ καὶ λέγει; σὺ τοίνυν οὗτος ηὑρέθης. εἶτα σὺ φθέγγῃ* 283

1 *εμαυτὸν* A | *νῦν δ'* V　2 *καὶ . . . κακίαν* om. S (*καὶ* om. VY) verba suspecta sunt | *ἔμοι γε γρ.* QY　3 *τῶν λόγων γρ.* QAY | *καὶ* om. *γρ.* QAY　4 *προσελέσθαι* Y　5 *αδικηματος . . . ς λαβειν* pap. 5 sq. *οὐχ ὁ*] *χ ὁ* om. F[1]　6 *τίμιον* S pap.: *τίμιος* VAY　7 *ταῦτα* A 10 *κίνδυνον τίνα* S　11 *ορμη* S[1]　12 *ουκοῦν* A　13 *ταῦτα* AY 16 *τῶν* om. A[1] add. A[2] | *ἐν* om. S　18 *ἔμπροσθεν* A　20 *τῶι τίνι* F mg. | *καταρᾶται καθ' ἑκάστην ἐκκλησίαν* S[d] *γρ.* V ex XXIII 97 22 *ἢ* om. A | *ταυτα φρονει* S[1] *ταῦτ' ἃ φρονεῖ* S corr. *ταῦτα ἃ φρονεῖ* A　23 *οὗτος*] *τοιοῦτος γρ.* FQY, *ἀντὶ τοιοῦτος* schol. A

*καὶ βλέπειν εἰς τὰ τούτων πρόσωπα τολμᾷς; πότερ' οὐχ
ἡγεῖ γιγνώσκειν αὐτοὺς ὅστις εἶ; ἢ τοσοῦτον ὕπνον καὶ
λήθην ἅπαντας ἔχειν, ὥστ' οὐ μεμνῆσθαι τοὺς λόγους
οὓς ἐδημηγόρεις ἐν τῷ πολέμῳ, καταρώμενος καὶ διομνύ-
μενος μηδὲν εἶναι σοὶ καὶ Φιλίππῳ πρᾶγμα, ἀλλ' ἐμὲ* 5
τὴν αἰτίαν σοι ταύτην ἐπάγειν τῆς ἰδίας ἕνεκ' ἔχθρας,
284 *οὐκ οὖσαν ἀληθῆ. ὡς δ' ἀπηγγέλθη τάχισθ' ἡ μάχη,
οὐδὲν τούτων φροντίσας εὐθὺς ὡμολόγεις καὶ προσεποιοῦ
φιλίαν καὶ ξενίαν εἶναί σοι πρὸς αὐτόν, τῇ μισθαρνίᾳ
ταῦτα μετατιθέμενος τὰ ὀνόματα· ἐκ ποίας γὰρ ἴσης ἢ* 10
*δικαίας προφάσεως Αἰσχίνῃ τῷ Γλαυκοθέας τῆς τυμπα-
νιστρίας ξένος ἢ φίλος ἢ γνώριμος ἦν Φίλιππος; ἐγὼ
μὲν οὐχ ὁρῶ, ἀλλ' ἐμισθώθης ἐπὶ τῷ τὰ τουτωνὶ συμφέ-
ροντα διαφθείρειν. ἀλλ' ὅμως οὕτω φανερῶς αὐτὸς εἰ-
λημμένος προδότης καὶ κατὰ σαυτοῦ μηνυτὴς ἐπὶ τοῖς* 15
*συμβᾶσιν γεγονώς, ἐμοὶ λοιδορεῖ καὶ ὀνειδίζεις ταῦτα,
ὧν πάντας μᾶλλον αἰτίους εὑρήσεις.*

285 *Πολλὰ καὶ καλὰ καὶ μεγάλ' ἡ πόλις Αἰσχίνη καὶ
προείλετο καὶ κατώρθωσεν δι' ἐμοῦ, ὧν οὐκ ἠμνημόνη-
σεν. σημεῖον δέ· χειροτονῶν γὰρ ὁ δῆμος τὸν ἐροῦντ'* 20
*ἐπὶ τοῖς τετελευτηκόσι παρ' αὐτὰ τὰ συμβάντα, οὐ σ'
ἐχειροτόνησεν προβληθέντα καίπερ εὔφωνον ὄντα, οὐδὲ
Δημάδην, ἄρτι πεποιηκότα τὴν εἰρήνην, οὐδ' Ἡγήμον'*

1 *καὶ* ... *προσ* in ras. *ωπα* ... 2 *αὐτοὺς* in mg. F 1 *τουτωνὶ* VA 1 sq. *οὐχ ἡγῆι* VA^{3}Y *οὐχί γε* A^1 | *εἶ; ἢ* F corr. AY: *ειη·* S *εἴη ἢ* F^1 (ut vid.) Q 4 *πολέμωι* S^{1}A: *δήμωι* S rec. VY ex XIX 292? 6 *ενεχθρας* S^1 corr. S^d 7 *ταχιστημαχη* S^1 *τάχιστ' ἡ μάχη* S corr. 8 *εὐθέως* S^1 (corr. eadem) 11 *αἰσχίνη* F^{1}A | *γλυκοθεας* S 13 *τουτωνὶ*] ante *ου* 2 litt. erasae F *του* s. v. Q^1 16 *λοιδορῆι* VA *λοιδορεῖς* Y corr. 17 *αἰτίους μᾶλλον* AY | *εὑρήσεις ἢ ἐμέ* VAY 21 *οὐ σ'* SQA^2 (*οὓς* A^1) cf. Eurip. Troad. 945: *οὐ σὲ* F (*ε* in ras.) Y 22 *προθεντα* F^1 23 *ηγεμονα* ut vid. S^1 *ἡγεμόνα* A

οὐδ' ἄλλον ὑμῶν οὐδένα, ἀλλ' ἐμέ. καὶ παρελθόντος
321 σοῦ καὶ Πυθο|κλέους ὠμῶς καὶ ἀναιδῶς, ὦ Ζεῦ καὶ θεοί,
καὶ κατηγορούντων ἐμοῦ ταὔθ' ἃ καὶ σὺ νυνὶ καὶ λοι-
δορουμένων, ἔτ' ἄμεινον ἐχειροτόνησέν με. τὸ δ' αἴτιον 286
5 οὐκ ἀγνοεῖς μέν, ὅμως δὲ φράσω σοι καὶ ἐγώ. ἀμφότερ'
ᾔδεσαν αὐτοί, τήν τ' ἐμὴν εὔνοιαν καὶ προθυμίαν, μεθ'
ἧς τὰ πράγματ' ἔπραττον, καὶ τὴν ὑμετέραν ἀδικίαν·
ἃ γὰρ εὐθενούντων τῶν πραγμάτων ἠρνεῖσθε διομνύ-
μενοι, ταῦτ' ἐν οἷς ἔπταισεν ἡ πόλις ὡμολογήσατε. τοὺς
10 οὖν ἐπὶ τοῖς κοινοῖς ἀτυχήμασιν ὧν ἐφρόνουν λαβόντας
ἄδειαν ἐχθροὺς μὲν πάλαι, φανεροὺς δὲ τόθ' ἡγήσανθ'
αὑτοῖς γεγενῆσθαι· εἶτα καὶ προσήκειν ὑπολαμβάνοντες 287
τὸν ἐροῦντ' ἐπὶ τοῖς τετελευτηκόσι καὶ τὴν ἐκείνων ἀρε-
τὴν κοσμήσοντα μήθ' ὁμωρόφιον μήθ' ὁμόσπονδον γε-
15 γενημένον εἶναι τοῖς πρὸς ἐκείνους παραταξαμένοις, μηδ'
ἐκεῖ μὲν κωμάζειν καὶ παιωνίζειν ἐπὶ ταῖς τῶν Ἑλλήνων
συμφοραῖς μετὰ τῶν αὐτοχείρων τοῦ φόνου, δεῦρο δ'
ἐλθόντα τιμᾶσθαι, μηδὲ τῇ φωνῇ δακρύειν ὑποκρινό-
μενον τὴν ἐκείνων τύχην, ἀλλὰ τῇ ψυχῇ συναλγεῖν (τοῦτο 288
20 δ' ἑώρων παρ' ἑαυτοῖς καὶ παρ' ἐμοί, παρὰ δ' ὑμῖν οὔ),
διὰ ταῦτ' ἔμ' ἐχειροτόνησαν καὶ οὐχ ὑμᾶς. καὶ οὐχ ὁ
μὲν δῆμος οὕτως, οἱ δὲ τῶν τετελευτηκότων πατέρες καὶ

3 ταὐτὰ Bavaricus corr.: ταῦτα SVAY 4 ἔτι μᾶλλον coni. H. Wolf | με S: ἐμὲ VAY 6 αὐτοὶ SV: οὗτοι A om. Y utrum pap. habuerit incertum | τ' om. Q 8 εὐθηνόντων (-νούντων corr.) γρ. Y[2] | ηρνεισθαι pap. 12 εαυτοις pap. corr. I | ὑπολαμβάνοντες SV pap.: ὑπελάμβανον A ὑπέλαβον γρ. QY secl. Blass 13 ἐροῦντα τότ' F corr. γρ. QY (το ut vid. Y[1]) 14 μηδ' ὁμωρόφιον A ομορροφιον S[1] (corr. ead.) | μήτ' ὁμόσπ. ut vid. A[1] 16 καὶ παιωνίζειν om. Q[1] add. ead. mg. 17 δεῦρο δ'] δευρ S[1] | ἐλθόντα SA: ἐλθόντας VY 18 καὶ μηδὲ Y | ὑποκρινόμενον A: ὑποκρινομένους SVY 19 et 20 cancellos posui et interpunctionem mutavi

ἀδελφοί, οἱ ὑπὸ τοῦ δήμου τόθ' αἱρεθέντες ἐπὶ τὰς ταφάς, ἄλλως πως, ἀλλὰ δέον ποιεῖν αὐτοὺς τὸ περίδειπνον ὡς παρ' οἰκειοτάτῳ τῶν τετελευτηκότων, ὥσπερ τἆλλ' εἴωθε γίγνεσθαι, τοῦτ' ἐποίησαν παρ' ἐμοί. εἰκότως· γένει μὲν γὰρ ἕκαστος ἑκάστῳ μᾶλλον οἰκεῖος ἦν 5 *ἐμοῦ, κοινῇ δὲ πᾶσιν οὐδεὶς ἐγγυτέρω. ᾧ γὰρ ἐκείνους σωθῆναι | καὶ κατορθῶσαι μάλιστα διέφερεν, οὗτος καὶ* 322 *παθόντων ἃ μήποτ' ὤφελον τῆς ὑπὲρ ἁπάντων λύπης πλεῖστον μετεῖχεν.*

289 *Λέγε δ' αὐτῷ τουτὶ τὸ ἐπίγραμμα, ὃ δημοσίᾳ προείλεθ' ἡ πόλις αὐτοῖς ἐπιγράψαι, ἵν' εἰδῇς Αἰσχίνη καὶ* 10 *ἐν αὐτῷ τούτῳ σαυτὸν ἀγνώμονα καὶ συκοφάντην ὄντα καὶ μιαρόν. Λέγε.*

ΕΠΙΓΡΑΜΜΑ

Οἵδε πάτρας μὲν ἑκὰς σφετέρας εἰς δῆριν ἔθεντο 15
ὅπλα, καὶ ἀντιπάλων ὕβριν ἀπεσκέδασαν·
μαρνάμενοι δ' †ἀρετῆς καὶ δείματος οὐκ ἐσάωσαν
ψυχάς, ἀλλ' Ἀΐδην κοινὸν ἔθεντο βραβῆ,
οὕνεκεν Ἑλλήνων, ὡς μὴ ζυγὸν αὐχένι θέντες
δουλοσύνης στυγερὰν ἀμφὶς ἔχωσιν ὕβριν. 20
γαῖα δὲ πατρὶς ἔχει κόλποις τῶν πλεῖστα καμόντων
σώματ', ἐπεὶ θνητοῖς ἐκ Διὸς ἥδε κρίσις·
μηδὲν ἁμαρτεῖν ἐστι θεῶν καὶ πάντα κατορθοῦν
ἐν βιοτῇ, μοῖραν δ' οὔ τι φυγεῖν ἔπορεν.

1 οἱ om. FAY 3 οικιοτατωι S[1] οἰκειοτάτωι[ν] F οἰκειοτάτων Y corr. | τῶν om. Y 4 εἰώθει Y 6 τὸ ἐκείνους AY 12 αὐτὸν Y | ὄντα καὶ συκοφάντην ὄντα Y 14 epigramma om. SA 15 μὲν ἑκὰς Weil: ἕνεκα VY 17 μαρνάμενοι] μνησάμενοι Passow ἀρνύμενοι G. H. Schaefer | ἀρετῇ Wolf (Iacobs) ἀρετῆς κατὰ δείματος Graefe | δείματος] λήματος Valckenaer ἀδείματοι Klemm ἀπεσκέδασαν μαρνάμενοι· ἀρετὴ δ' ἐκ δείματος οὐκ ἐσάωσεν Wilamowitz | genetivos cum βραβῆ coniungunt Goeller al. | βραβῆ Schneider: βράβην VY 19 ζυγῷ αὐχένα δόντες Weil ζυγῷ αὐχένα θέντες Vitelli 24 φεύγειν VY

Ἀκούεις Αἰσχίνη [καὶ ἐν αὐτῷ τούτῳ] „μηδὲν ἁμαρτεῖν 290
ἐστι θεῶν καὶ πάντα κατορθοῦν“; οὐ τῷ συμβούλῳ τὴν
τοῦ κατορθοῦν τοὺς ἀγωνιζομένους ἀνέθηκε δύναμιν,
ἀλλὰ τοῖς θεοῖς. τί οὖν ὦ κατάρατ' ἐμοὶ περὶ τούτων
5 *λοιδορεῖ καὶ λέγεις, ἃ σοὶ καὶ τοῖς σοῖς οἱ θεοὶ τρέψειαν*
εἰς κεφαλήν;

Πολλὰ τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι καὶ ἄλλα κατηγορη- 291
κότος αὐτοῦ καὶ κατεψευσμένου, μάλιστ' ἐθαύμασα πάν-
των, ὅτε τῶν συμβεβηκότων τότε τῇ πόλει μνησθεὶς οὐχ
10 *ὡς ἂν εὔνους καὶ δίκαιος πολίτης ἔσχε τὴν γνώμην οὐδ'*
ἐδάκρυσεν οὐδ' ἔπαθεν τοιοῦτον οὐδὲν τῇ ψυχῇ, ἀλλ'
323 *ἐπάρας τὴν φωνὴν καὶ | γεγηθὼς καὶ λαρυγγίζων ᾤετο*
μὲν ἐμοῦ κατηγορεῖν δῆλον ὅτι, δεῖγμα δ' ἐξέφερεν καθ'
ἑαυτοῦ, ὅτι τοῖς γεγενημένοις ἀνιαροῖς οὐδὲν ὁμοίως ἔσχε
15 *τοῖς ἄλλοις. καίτοι τὸν τῶν νόμων καὶ τῆς πολιτείας* 292
φάσκοντα φροντίζειν, ὥσπερ οὗτος νυνί, καὶ εἰ μηδὲν
ἄλλο, τοῦτό γ' ἔχειν δεῖ, ταὐτὰ λυπεῖσθαι καὶ ταὐτὰ
χαίρειν τοῖς πολλοῖς, καὶ μὴ τῇ προαιρέσει τῶν κοινῶν
ἐν τῷ τῶν ἐναντίων μέρει τετάχθαι· ὃ σὺ νυνὶ πεποιη-
20 *κὼς εἶ φανερός, ἐμὲ πάντων αἴτιον καὶ δι' ἔμ' εἰς πρά-*
γματα φάσκων ἐμπεσεῖν τὴν πόλιν, οὐκ ἀπὸ τῆς ἐμῆς
πολιτείας οὐδὲ προαιρέσεως ἀρξαμένων ὑμῶν τοῖς Ἕλλησι

1 *αισχινηι* S[1] | *καὶ ἐν αὐτῷ τούτῳ* secl. Reiske ut illatum e § 289 | *ὡς τὸ* ante *μηδὲν* add. S rec. (postea erasum) VY 2 *θεου* S[1]AY 2 sq. *οὐ τῶι ... κατορθοῦν* om. S[1] add. S[d] 3 *κατορθῶν* A *κατορθοῦντος ἀγωνιζομένους* Q[1] 4 *ὦ* om. Q | *ἐμοὶ* om. Q 5 *λοιδορῆι* AY 8 *ἓν μάλιστ'* VY | *ἁπάντων* FY 9 *ὅτε* S[1]A: *ὅτι* S rec. VY | *τότε* om. Y | *μνησθεὶς* SVA: *ἀναμνησθεὶς* Y 10 *καὶ* SA: *οὐδὲ* VY 11 *οὐδ'*] *οὔτ'* A | *τοιοῦτον οὐδὲν* SQAY: *οὐδὲν τοιοῦτον* F *τοιοῦτον* del. Slameczka 13 *δειγμα* S[1] *ϊ* superscr. S rec. 17 *γ'* om. A | *δεῖ τὸ* VY | *ταῦτα* bis A 19 *ὃ σὺ*] *ὃς* Y[1]

293 βοηθεῖν· ἐπεὶ ἔμοιγ' εἰ τοῦτο δοθείη παρ' ὑμῶν, δι' ἔμ' ὑμᾶς ἠναντιῶσθαι τῇ κατὰ τῶν Ἑλλήνων ἀρχῇ πραττομένῃ, μείζων ἂν δοθείη δωρειὰ συμπασῶν ὧν τοῖς ἄλλοις δεδώκατε. ἀλλ' οὔτ' ἂν ἐγὼ ταῦτα φήσαιμι (ἀδικοίην γὰρ ἂν ὑμᾶς), οὔτ' ἂν ὑμεῖς εὖ οἶδ' ὅτι συγχωρήσαιτε, οὗ- 5 τός τ' εἰ δίκαι' ἐποίει, οὐκ ἂν ἕνεκα τῆς πρὸς ἔμ' ἔχθρας τὰ μέγιστα τῶν ὑμετέρων καλῶν ἔβλαπτεν καὶ διέβαλλεν.

294 Ἀλλὰ τί ταῦτ' ἐπιτιμῶ, πολλῷ σχετλιώτερ' ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου; ὃς γὰρ ἐμοῦ φιλιππισμόν, ὦ γῆ καὶ θεοί, κατηγορεῖ, τί οὗτος οὐκ ἂν εἴποι; 10 καίτοι νὴ τὸν Ἡρακλέα καὶ πάντας θεούς, εἴ γ' ἐπ' ἀληθείας δέοι σκοπεῖσθαι, τὸ καταψεύδεσθαι καὶ δι' ἔχθραν τι λέγειν ἀνελόντας ἐκ μέσου, τίνες ὡς ἀληθῶς εἰσὶν οἷς ἂν εἰκότως καὶ δικαίως τὴν τῶν γεγενημένων αἰτίαν ἐπὶ τὴν κεφαλὴν ἀναθεῖεν ἅπαντες, τοὺς ὁμοίους τούτῳ | παρ' 324

295 ἑκάστῃ τῶν πόλεων εὕροιτ' ἄν, οὐ τοὺς ἐμοί· οἵ, ὅτ' ἦν 16 ἀσθενῆ τὰ Φιλίππου πράγματα καὶ κομιδῇ μικρά, πολλάκις προλεγόντων ἡμῶν καὶ παρακαλούντων καὶ διδασκόντων τὰ βέλτιστα, τῆς ἰδίας ἕνεκ' αἰσχροκερδίας τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας ἕκαστοι 20 πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν, Θετταλοὺς Δάοχος Κινέας Θρασύδαος, Ἀρ-

1 τοσαῦτα δι' ἐμὲ V 2 εναντιωσθαι pap. 3 συνπασων pap. 5 συγχωρήσετε A pap. | ουτος δε pap. 6 τὰ δίκαια A | γ' ἐποίει Y corr. | πρός με A 8 ex επιτιμω corr. επειτιμῶ S rec. επιτειμω pap.[1] 11 καίτοι] καὶ F[1]Q | τοὺς θεοὺς V 12 εἰς (εἰ) τὸ καταψ. Dion. Hal. Thuc. p. 949 | κατεψεῦσθαι A 13 εἰσὶν] ἦσαν Dion. 16 εὕροιτ' S γρ. FAY Dion.: εὕροι τις F text. Q | οὐ] οὐχὶ V Dion. | τοῖς ἐμοὶ Q 17 πολλάκι Dion. 19 αἰσχροκερδίας SF[1]QA[1]Y[1]: αἰσχροκερδείας F corr. A corr. Y corr. 20 ἑκάστοις Dion. 22 θρασύδαιος F text. Q θρασυδαῖος ut vid. A[1] θρασύλαος γρ. FA corr. Y

κάδας Κερκιδᾶς Ἱερώνυμος Εὐκαμπίδας, Ἀργείους Μύρτις Τελέδαμος Μνασέας, Ἠλείους Εὐξίθεος Κλεότιμος Ἀρίσταιχμος, Μεσσηνίους οἱ Φιλιάδου τοῦ θεοῖς ἐχθροῦ παῖδες Νέων καὶ Θρασύλοχος, Σικυωνίους
5 *Ἀρίστρατος Ἐπιχάρης, Κορινθίους Δείναρχος Δημάρετος, Μεγαρέας Πτοιόδωρος Ἕλιξος Περίλας, Θηβαίους Τιμόλας Θεογείτων Ἀνεμοίτας, Εὐβοέας Ἵππαρχος Κλείταρχος Σωσίστρατος. ἐπιλείψει με λέγονθ' ἡ ἡμέρα τὰ* 296 *τῶν προδοτῶν ὀνόματα. οὗτοι πάντες εἰσὶν ἄνδρες Ἀθη-*
10 *ναῖοι τῶν αὐτῶν βουλευμάτων ἐν ταῖς αὑτῶν πατρίσιν, ὧνπερ οὗτοι παρ' ὑμῖν, ἄνθρωποι μιαροὶ καὶ κόλακες καὶ ἀλάστορες, ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, τὴν ἐλευθερίαν προπεπωκότες πρότερον μὲν Φιλίππῳ, νῦν δ' Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχί-*
15 *στοις τὴν εὐδαιμονίαν, τὴν δ' ἐλευθερίαν καὶ τὸ μηδέν' ἔχειν δεσπότην αὑτῶν, ἃ τοῖς προτέροις Ἕλλησιν ὅροι τῶν ἀγαθῶν ἦσαν καὶ κανόνες, ἀνατετροφότες.*

Ταύτης τοίνυν τῆς οὕτως αἰσχρᾶς καὶ περιβοήτου 297
325 *συστάσεως καὶ κακίας, μᾶλλον δ' ὦ ἄνδρες Ἀθη|ναῖοι*
20 *προδοσίας, εἰ δεῖ μὴ ληρεῖν, τῆς τῶν Ἑλλήνων ἐλευθερίας, ἥ τε πόλις παρὰ πᾶσιν ἀνθρώποις ἀναίτιος γέγονεν ἐκ τῶν ἐμῶν πολιτευμάτων καὶ ἐγὼ παρ' ὑμῖν.*

1 *εὐκαλπίδας* V 2 *ἡλίους* QY[1] *ἰλίους* A[1] *ἰλείους* A[2] | *Κλεότιμος*] *κλεο* in ras. A 5 *διναρχος* SQ | *δημάρατος* V 6 *πτοιόδωρος* SVAY, cf. Collitz Dialekt-Inschr. 571 a 9 | *Ἕλ. ... Θηβαίους* om. Y[1] | *Περίλας* Lipsius: *περίαλος* S *περίλαος* V *περίλλαος* A *πέριλλος γρ.* FY cf. § 48 7 *τιμόλας* S Polyb. XVII 14, 4: *τιμόλαος* VAY | *ἀνεμοίτας* (ε supra) F 8 *ἐπιλιψει* S[1] *ἐπιλείψαι* A 12 *εἰκρωτηριασμένοι* S corr. rec. 16 *πρότερον* A 17 *ἀνατετροφότες* S[1]VAY: *ἀνατετραφότες* S corr. 19 *στάσεως* pap., Tiberii VIII 535 cod. Paris. | *ὦ* om. A 21 *παράπασιν* i. e. *παρ' ἅπασιν* A

εἶτά μ' ἐρωτᾷς, ἀντὶ ποίας ἀρετῆς ἀξιῶ τιμᾶσθαι; ἐγὼ
δέ σοι λέγω, ὅτι τῶν πολιτευομένων παρὰ τοῖς Ἕλλησι
διαφθαρέντων ἁπάντων, ἀρξαμένων ἀπὸ σοῦ, πρότερον
298 μὲν ὑπὸ Φιλίππου, νῦν δ' ὑπ' Ἀλεξάνδρου, ἔμ' οὔτε
καιρὸς οὔτε φιλανθρωπία λόγων οὔτ' ἐπαγγελιῶν μέ- 5
γεθος οὔτ' ἐλπὶς οὔτε φόβος οὔτ' ἄλλ' οὐδὲν ἐπῆρεν
οὐδὲ προηγάγεθ', ὧν ἔκρινα δικαίων καὶ συμφερόντων
τῇ πατρίδι, οὐδὲν προδοῦναι, οὐδ', ὅσα συμβεβούλευκα
πώποτε τουτοισί, ὁμοίως ὑμῖν ὥσπερ ἂν τρυτάνη ῥέπων
ἐπὶ τὸ λῆμμα συμβεβούλευκα, ἀλλ' ἀπ' ὀρθῆς καὶ δικαίας 10
καὶ ἀδιαφθόρου τῆς ψυχῆς, καὶ μεγίστων δὴ πραγμάτων
τῶν κατ' ἐμαυτὸν ἀνθρώπων προστὰς πάντα ταῦθ' ὑγιῶς
299 καὶ δικαίως πεπολίτευμαι. διὰ ταῦτ' ἀξιῶ τιμᾶσθαι. τὸν
δὲ τειχισμὸν τοῦτον, ὃν σύ μου διέσυρες, καὶ τὴν τα-
φρείαν ἄξια μὲν χάριτος καὶ ἐπαίνου κρίνω (πῶς γὰρ 15
οὔ;), πόρρω μέντοι που τῶν ἐμαυτῷ πεπολιτευμένων
τίθεμαι. οὐ λίθοις ἐτείχισα τὴν πόλιν οὐδὲ πλίνθοις
ἐγώ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ· ἀλλ'
ἐὰν τὸν ἐμὸν τειχισμὸν βούλῃ δικαίως σκοπεῖν, εὑρήσεις

1 post ἐρωτᾷς 2 litt. eras. S 2 δέ SY[1] pap.: δή VAY corr. 3 sq. πρότερον ... Ἀλεξάνδρου del. Dobree 6 φόβος οὔτε χάρις S[d] γρ. QA | επηιρεν SAY 9 τούτοις A | ὥσπερ ἂν τρυτάνη Index Feliciani: ὥσπερ ἂν τρυτάνηι S[1]V[1]Y ὥσπερ ἐν τρυτάνηι A ὥσπερ ἂν εἰ ἐν τρυτάνηι S corr. V corr. ead. m. ὡσπερανεὶ τρυτάνη Dindorf, del. Dobree coll. V 12 11 ψυχῆς πάντα μοι (om. Q) πέπρακται VY 12 τῶν om. S[1] add. s. v. et postea eras. | ἀνθρώπων secl. Blass | προστὰς] προσ S[1] οστα in ras. A[2] | ταῦθ' om. A 13 δικαίως καὶ ἁπλῶς A ex § 58? 14 ταφρίαν A 16 που om. A 17 οὐ γὰρ F corr. γρ. QY 18 τῶν] τ' ἂν Y 19 ἐὰν μὲν A | βούλει QY[2] θέλῃς Tiber. VIII 548 W. Aristid. IX 352 W. | ἐὰν βούλῃ τὸν ἐ. τειχ. Hermog. III 244 W. (265, 10 R.) τὸν ἐ. τειχ. εἰ βούλει (ἐὰν βούλῃ VcSfPh) 431 (442, 16) | δικαίως om. Plut. mor. 543 B Hermog. 431 (442, 16) Tiber. Arist. (qui μαθεῖν habet)

ὅπλα καὶ πόλεις καὶ τόπους καὶ λιμένας καὶ ναῦς καὶ [πολλοὺς] ἵππους καὶ τοὺς ὑπὲρ τούτων ἀμυνομένους· ταῦτα προὐβαλόμην ἐγὼ πρὸ τῆς Ἀττικῆς, ὅσον ἦν ἀνθρω- 300
πίνῳ λογισμῷ δυνατόν, καὶ τούτοις ἐτείχισα τὴν χώραν,
326 οὐχὶ τὸν κύκλον | τοῦ Πειραιῶς οὐδὲ τοῦ ἄστεως. οὐδέ
5 γ᾽ ἡττήθην ἐγὼ τοῖς λογισμοῖς Φιλίππου, πολλοῦ γε καὶ δεῖ, οὐδὲ ταῖς παρασκευαῖς, ἀλλ᾽ οἱ τῶν συμμάχων στρατηγοὶ καὶ αἱ δυνάμεις τῇ τύχῃ. τίνες αἱ τούτων ἀποδείξεις; ἐναργεῖς καὶ φανεραί. σκοπεῖτε δέ.

10 Τί χρῆν τὸν εὔνουν πολίτην ποιεῖν, τί τὸν μετὰ πάσης 301
προνοίας καὶ προθυμίας καὶ δικαιοσύνης ὑπὲρ τῆς πατρίδος πολιτευόμενον; οὐκ ἐκ μὲν θαλάττης τὴν Εὔβοιαν προβαλέσθαι πρὸ τῆς Ἀττικῆς, ἐκ δὲ τῆς μεσογείας τὴν Βοιωτίαν, ἐκ δὲ τῶν πρὸς Πελοπόννησον τόπων τοὺς
15 ὁμόρους ταύτῃ; οὐ τὴν σιτοπομπίαν ὅπως παρὰ πᾶσαν φιλίαν ἄχρι τοῦ Πειραιῶς κομισθήσεται προϊδέσθαι; καὶ 302
τὰ μὲν σῶσαι τῶν ὑπαρχόντων ἐκπέμποντα βοηθείας καὶ λέγοντα καὶ γράφοντα τοιαῦτα, τὴν Προκόννησον, τὴν Χερρόνησον, τὴν Τένεδον, τὰ δ᾽ ὅπως οἰκεῖα καὶ σύμ-
20 μαχ᾽ ὑπάρξει πρᾶξαι, τὸ Βυζάντιον, τὴν Ἄβυδον, τὴν Εὔβοιαν; καὶ τῶν μὲν τοῖς ἐχθροῖς ὑπαρχουσῶν δυνά-

1 sq. ὅπλα .. ἀμυνομένους complectitur verbis ὅπλα καὶ πόλεις καὶ συμμάχους Hermog. 431 (442, 17) καὶ ὅπλα καὶ ἵππους καὶ συμμάχους Plut. | καὶ πόλεις om. A 2 πολλοὺς secl. Reiske, ante τοὺς transponit G. H. Schaefer | ἀμυνομένους SQA: ἀμυνουμένους FY cf. Isocr. VIII 139 3 προυβαλλόμην Y | ατικης S[1] 5 κύκλον μόνον VY | ἄστεως SA[1]: ἄστεος VA corr. Y 10 χρῆν] χρὴ A 11 προθυμίας] φιλοτιμίας γρ. Q 14 πρὸς om. S[1] add. ead. 16 πειρεως S[1] αι add. m. ant. (alterum ε vid. ex alia litt. corr. „ε linea del.“ Voemel) | προιδέσθαι, Heerdegen 17 ἐμπέμποντα A[1] 20 ὑπάρξει SF[1]QA: ὑπάρξηι F corr. Y | τὴν Εὔβοιαν secl. Reiske τὴν Σηλυμβρίαν coni. Weil

μεων τὰς μεγίστας ἀφελεῖν, ὧν δ' ἐνέλειπε τῇ πόλει,
303 *ταῦτα προσθεῖναι; ταῦτα τοίνυν ἅπαντα πέπρακται τοῖς*
ἐμοῖς ψηφίσμασιν καὶ τοῖς ἐμοῖς πολιτεύμασιν, ἃ καὶ
βεβουλευμέν' ὦ ἄνδρες Ἀθηναῖοι, ἐὰν ἄνευ φθόνου τις
βούληται σκοπεῖν, ὀρθῶς εὑρήσει καὶ πεπραγμένα πάσῃ 5
δικαιοσύνῃ καὶ τὸν ἑκάστου καιρὸν οὐ παρεθέντ' οὐδ'
ἀγνοηθέντ' οὐδὲ προεθένθ' ὑπ' ἐμοῦ, καὶ ὅσ' εἰς ἑνὸς
ἀνδρὸς δύναμιν καὶ λογισμὸν ἧκεν, οὐδὲν ἐλλειφθέν.
εἰ δ' ἢ δαίμονός τινος ἢ τύχης ἰσχὺς ἢ στρατηγῶν
φαυλότης ἢ τῶν προδιδόντων τὰς πόλεις ὑμῶν κακία ἢ 10
πάντα ταῦτ' ἐλυμαίνετο | *τοῖς ὅλοις, ἕως ἀνέτρεψεν, τί* 327
304 *Δημοσθένης ἀδικεῖ; εἰ δ' οἷος ἐγὼ παρ' ὑμῖν κατὰ τὴν*
ἐμαυτοῦ τάξιν εἷς ἐν ἑκάστῃ τῶν Ἑλληνίδων πόλεων
ἀνὴρ ἐγένετο, μᾶλλον δ' εἰ ἕν' ἄνδρα μόνον Θετταλία
καὶ ἕν' ἄνδρ' Ἀρκαδία ταὐτὰ φρονοῦντ' ἔσχεν ἐμοί, οὐ- 15
δένες οὔτε τῶν ἔξω Πυλῶν Ἑλλήνων οὔτε τῶν εἴσω
305 *τοῖς παροῦσι κακοῖς ἐκέχρηντ' ἄν, ἀλλὰ πάντες ἂν ὄντες*
ἐλεύθεροι καὶ αὐτόνομοι μετὰ πάσης ἀδείας ἀσφαλῶς ἐν
εὐδαιμονίᾳ τὰς ἑαυτῶν ᾤκουν πατρίδας, τούτων τοσού-
των καὶ τοιούτων ἀγαθῶν ὑμῖν καὶ τοῖς ἄλλοις Ἀθη- 20
ναίοις ἔχοντες χάριν δι' ἐμέ. ἵνα δ' εἰδῆθ' ὅτι πολλῷ

1 *ἐνέλειπε* SAY pap.: *ἐνέλιπε* V 2 *τοίνυν ὑμῖν* V 4 sq. *βούληταί τις* A 7 *προεθεντα* SAY: *προδοθέντα* V *πραθέντα* Dobree | *οὐδὲ προεθέντα* om. pap. 7 sq. *ἀνδρὸς ἑνὸς* VA pap. 8 *ἐλληφθὲν* S rec. 10 *κακίαι* A[1] | *ἢ* (post *κακία*) om. A *ἢ καὶ γρ.* S[d] *γρ.* Q 11 *ταῦτα πάντα* A | *ἅμα* ante *ἐλυμ.* add. *γρ.* S[d]VAY | *ἐλυμαίνετο* SY: *ἐλυμήνατο* VA | *ἀνέτρεψε(ν)* F[1]A: *ἀνέτρεψαν* SF corr. QY 12 *δ' οἷος*] *ος* S[1] (corr. S[d]) Y[1] *οἷος* Y mg. Marcellinus IV 422, 9 W. | *ἣν ἐγὼ* V 13 post *ἐμαυτοῦ* 5 litt. eras. Q 15 *ἔσχον* VY | *οὐδένες* Cobet: *οὐδεὶς* SVAY 17 *ἐκέχρηντ'* SF[1]Q: *ἐκέχρητ'* F corr. AY | *ἀλλ' ἅπαντες* Y 19 *τούτων* S: *τῶν* VAY

τοῖς λόγοις ἐλάττοσι χρῶμαι τῶν ἔργων, εὐλαβούμενος τὸν φθόνον, λέγε μοι ταυτὶ καὶ ἀνάγνωθι λαβών, τὸν ἀριθμὸν τῶν βοηθειῶν κατὰ τὰ ἐμὰ ψηφίσματα.

ΑΡΙΘΜΟΣ ΒΟΗΘΕΙΩΝ

5 Ταῦτα καὶ τοιαῦτα πράττειν Αἰσχίνη τὸν καλὸν 306 κἀγαθὸν πολίτην ἔδει, ὧν κατορθουμένων μὲν μεγίστοις ἀναμφισβητήτως ὑπῆρχεν εἶναι, καὶ τὸ δικαίως προσῆν, ὡς ἑτέρως δὲ συμβάντων τὸ γοῦν εὐδοκιμεῖν περίεστι, καὶ τὸ μηδένα μέμφεσθαι τὴν πόλιν μηδὲ τὴν προαί-
10 ρεσιν αὐτῆς, ἀλλὰ τὴν τύχην κακίζειν τὴν οὕτω τὰ πράγματα κρίνασαν, οὐ μὰ Δί' οὐκ ἀποστάντα τῶν συμ- 307 φερόντων τῇ πόλει, μισθώσαντα δ' αὐτὸν τοῖς ἐναντίοις τοὺς ὑπὲρ τῶν ἐχθρῶν καιροὺς ἀντὶ τῶν τῆς πατρίδος θεραπεύειν, οὐδὲ τὸν μὲν πράγματ' ἄξια τῆς πόλεως
15 ὑποστάντα λέγειν καὶ γράφειν καὶ μένειν ἐπὶ τούτων βασκαίνειν, ἂν δέ τις ἰδίᾳ τι λυπήσῃ, τοῦτο μεμνῆσθαι
328 καὶ τηρεῖν, οὐδέ γ' ἡσυχίαν ἄγειν ἄδικον καὶ ὕπουλον, ὃ σὺ ποιεῖς πολλάκις. ἔστι γάρ, ἔστιν ἡσυχία δικαία καὶ 308 συμφέρουσα τῇ πόλει, ἣν οἱ πολλοὶ τῶν πολιτῶν ὑμεῖς
20 ἁπλῶς ἄγετε. ἀλλ' οὐ ταύτην οὗτος ἄγει τὴν ἡσυχίαν, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ἀποστὰς ὅταν αὐτῷ δόξῃ τῆς

2 λέγε] λάβε A[1] (ut semper) λαβέ A[2] 2 sq. τὸν ἀριθμὸν . . . ψηφίσματα om. S 4 ΑΡΙΘΜΟΣ ΒΟΗΘΕΙΩΝ ΚΑΤΑ ΤΑ ΕΜΑ ΨΗΦΙΣΜΑΤΑ SVY ΑΡΙΘΜΟΣ et interiecto dimidii versus spatio ΨΗΦΙΣΜΑ A 5 τὰ τοιαῦτα F corr. AY 6 ἔδει L. Spengel: δεῖ SVAY, cf. § 301 | μὲν ὦ γῆ καὶ θεοὶ VA 7 ὑπῆρχεν SAY: ὑπάρχειν (η ε superscr.) F ὑπάρχειν Q 10 οὕτω] τουτω S[1] 11 κρίνουσαν A 14 τὸν] τῶν A[1] | πράγματα secl. Weil 15 τούτων] τοῦτον προελόμενον A 16 ἐὰν VA | λυπηισηι S 17 γ' om. V 18 ὃ SAY: ὡς V | τις ἡσυχία Dobree 19 sq. ἁπλῶς ὑμεῖς A 21 αὐτῷ om. Y[1] | δοκῆι F[1]Q

πολιτείας (πολλάκις δὲ δοκεῖ), φυλάττει πηνίκ' ἔσεσθε
μεστοὶ τοῦ συνεχῶς λέγοντος, ἤ παρὰ τῆς τύχης τι συμβέ-
βηκεν ἐναντίωμα, ἢ ἄλλο τι δύσκολον γέγονεν (πολλὰ δὲ
τἀνθρώπινα)· εἶτ' ἐπὶ τούτῳ τῷ καιρῷ ῥήτωρ ἐξαίφνης
ἐκ τῆς ἡσυχίας ὥσπερ πνεῦμ' ἐφάνη, καὶ πεφωνασκηκὼς 5
καὶ συνειλοχὼς ῥήματα καὶ λόγους συνείρει τούτους
σαφῶς καὶ ἀπνευστεί, ὄνησιν μὲν οὐδεμίαν φέροντας
οὐδ' ἀγαθοῦ κτῆσιν οὐδενός, συμφορὰν δὲ τῷ τυχόντι
309 τῶν πολιτῶν καὶ κοινὴν αἰσχύνην. καίτοι ταύτης τῆς
μελέτης καὶ τῆς ἐπιμελείας Αἰσχίνη, εἴπερ ἐκ ψυχῆς 10
δικαίας ἐγίγνετο καὶ τὰ τῆς πατρίδος συμφέροντα προῃρη-
μένης, τοὺς καρποὺς ἔδει γενναίους καὶ καλοὺς καὶ πᾶσιν
ὠφελίμους εἶναι, συμμαχίας πόλεων, πόρους χρημάτων,
ἐμπορίου κατασκευήν, νόμων συμφερόντων θέσεις, τοῖς
310 ἀποδειχθεῖσιν ἐχθροῖς ἐναντιώματα. τούτων γὰρ ἁπάν- 15
των ἦν ἐν τοῖς ἄνω χρόνοις ἐξέτασις καὶ ἔδωκεν ὁ παρελ-
θὼν χρόνος πολλὰς ἀποδείξεις ἀνδρὶ καλῷ κἀγαθῷ,
ἐν οἷς οὐδαμοῦ σὺ φανήσει γεγονώς, οὐ πρῶτος, οὐ
δεύτερος, οὐ τρίτος, οὐ τέταρτος, οὐ πέμπτος, οὐχ ἕκτος,
οὐχ ὁποστοσοῦν, οὔκουν ἐπί γ' οἷς ἡ πατρὶς ηὐξάνετο. 20
311 τίς γὰρ συμμαχία σοῦ πράξαντος γέγονεν τῇ πόλει; τίς
δὲ βοήθει' ἢ κτῆσις εὐνοίας ἢ δόξης; τίς δὲ πρεσβεία,
τίς διακονία δι' ¦ ἣν ἡ πόλις ἐντιμοτέρα; τί τῶν οἰκείων 329

1 πηνίκ' S pap.: ὁπηνίκα VY ὁπηνίχ' ὑμεῖς A | ἔσεσθε S corr. (sed ε super αι rursus erasum): ἔσεσθαι S[1] ἐστὲ VAY pap. 2 ἢ om. S[1] 5 ἀνεφάνη A 6 συνειλεχὼς SV συνειληχὼς γρ. FY | συνηρει S συνήιρει Y 7 ἀπνευστεί S: ἀπνευστί VAY pap. 10 Αἰσχίνη post μελέτης A 12 καλοὺς καὶ γενναίους A 13 κτημάτων ut vid. S[1] 16 ἔδωκεν iteratum SY[2] 17 καλῶι τε SVAY cf. Mus. Rhen. XXXIII 581 18 φανήσηι A φανήισηι Y 20 οὐκοῦν A | ἐπί γ' οἷς S γρ. QA: ἐπὶ οἷς Y ἐπεὶ οἷς γρ. F ἐπεί γε καὶ V 23 ἐντιμωτέρα S | post ἐντιμοτέρα add. γεγονε(ν) VAY

ἢ τῶν Ἑλληνικῶν καὶ ξενικῶν οἷς ἐπέστης ἐπηνώρθωται;
ποῖαι τριήρεις; ποῖα βέλη; ποῖοι νεώσοικοι; τίς ἐπισκευὴ
τειχῶν; ποῖον ἱππικόν; τί τῶν ἁπάντων σὺ χρήσιμος
εἶ; τίς ἢ τοῖς εὐπόροις ἢ τοῖς ἀπόροις πολιτικὴ καὶ κοινὴ
5 βοήθεια χρημάτων; οὐδεμία. ἀλλ' ὦ τᾶν, εἰ μηδὲν τού- 312
των, εὔνοιά γε καὶ προθυμία· ποῦ; πότε; ὅστις ὦ πάν-
των ἀδικώτατε, οὐδ' ὅθ' ἅπαντες ὅσοι πώποτ' ἐφθέγξαντ'
ἐπὶ τοῦ βήματος, εἰς σωτηρίαν ἐπεδίδοσαν καὶ τὸ τελευ-
ταῖον Ἀριστόνικος τὸ συνειλεγμένον εἰς τὴν ἐπιτιμίαν,
10 οὐδὲ τότ' οὔτε παρῆλθες οὔτ' ἐπέδωκας οὐδέν, οὐκ ἀπο-
ρῶν, πῶς γάρ; ὅς γ' ἐκεκληρονομήκεις μὲν τῶν Φίλωνος
τοῦ κηδεστοῦ χρημάτων πλειόνων ἢ πέντε ταλάντων, διτά-
λαντον δ' εἶχες ἔρανον δωρειὰν παρὰ τῶν ἡγεμόνων τῶν
συμμοριῶν ἐφ' οἷς ἐλυμήνω τὸν τριηραρχικὸν νόμον·
15 ἀλλ' ἵνα μὴ λόγον ἐκ λόγου λέγων τοῦ παρόντος ἐμαυ- 313
τὸν ἐκκρούσω, παραλείψω ταῦτα. ἀλλ' ὅτι γ' οὐχὶ δι'
ἔνδειαν οὐκ ἐπέδωκας, ἐκ τούτων δῆλον, ἀλλὰ φυλάττων
τὸ μηδὲν ἐναντίον γενέσθαι παρὰ σοῦ τούτοις οἷς ἅπαντα

1 οἷς] ας SY[1] αἷς Y corr. ἐφ' ἃ A | οἷς ἐπέστης om. V Alexand. VIII 474 | ἐπηνώρθωται διὰ σέ VA Alex. Cass. Dio XLVI 10 2 ποῖα βέλη] ποία βουλή Y | νεωσηκοι A[2] 4 εἶ] om. Alex. (qui ἁπάντων τι χρήσιμον) secl. Weil γέγονας A | ἢ τοῖς εὐπόροις ἢ om. Alex. del. Reiske 5 χρημάτων secl. Blass | οὐδεμία SA[1]Y[1]: παρὰ σοῦ; οὐδεμία VY[2] post οὐδεμία add. παρὰ σοῦ A[2] mg. | τούτων] πάντων A 6 post γε iterat. και ευνοια γε A[1] (punctis del.) | ποῦ] οπου ut vid. S[1] ὅτου S corr. 7 οταπαντες S[1] οτε ἅπαντες S corr. | ante ἅπαντες 3 litt. eras. Q 8 ἐπεδίδοσαν εἰς σωτηρίαν A 9 ἀργύριον εἰς τ. ἐπ. VY εἰς τ. ἐπ. ἀργύριον A 10 prius οὔτε om. V | οὐδὲ ἐπέδωκας Q 11 ἐκεκληρονομήκεις A. Schaefer: κεκληρονόμηκας S (-μικας ut vid. S[1]) VAY | τῶν] του ut vid. S[1] 12 πέντεταλάντων SQAY πεντεταλάντων Reiske | διτάλαντον] post δι litt. eras. A 13 δωρεὰν om. A[1] add. A[2] mg. secl. Lipsius 16 δι bis S 18 γινέσθαι F corr. | σοῦ om. S[1]

πολιτεύῃ. ἐν τίσιν οὖν σὺ νεανίας καὶ πηνίκα λαμπρός;
ἡνίκ' ἂν κατὰ τούτων τι δέῃ, ἐν τούτοις λαμπροφωνότατος,
μνημονικώτατος, ὑποκριτὴς ἄριστος, τραγικὸς Θεοκρίνης.
314 Εἶτα τῶν πρότερον γεγενημένων ἀγαθῶν ἀνδρῶν
μέμνησαι. καὶ καλῶς ποιεῖς. οὐ μέντοι δίκαιόν ἐστιν 5
ἄνδρες Ἀθηναῖοι τὴν πρὸς τοὺς τετελευτηκότας εὔνοιαν
ὑπάρχουσαν προ|λαβόντα παρ' ὑμῶν, πρὸς ἐκείνους 330
ἐξετάζειν καὶ παραβάλλειν ἐμὲ τὸν νῦν ζῶντα μεθ' ὑμῶν.
315 τίς γὰρ οὐκ οἶδεν τῶν πάντων, ὅτι τοῖς μὲν ζῶσι πᾶσιν
ὕπεστί τις ἢ πλείων ἢ ἐλάττων φθόνος, τοὺς τεθνεῶτας 10
δ' οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἔτι μισεῖ; οὕτως οὖν ἐχόν-
των τούτων τῇ φύσει, πρὸς τοὺς πρὸ ἐμαυτοῦ νῦν ἐγὼ
κρίνωμαι καὶ θεωρῶμαι; μηδαμῶς· οὔτε γὰρ δίκαιον οὔτ'
ἴσον Αἰσχίνῃ, ἀλλὰ πρὸς σὲ καὶ ἄλλον εἴ τινα βούλει
316 τῶν ταὐτά σοι προῃρημένων καὶ ζώντων. κἀκεῖνο σκόπει. 15
πότερον κάλλιον καὶ ἄμεινον τῇ πόλει διὰ τὰς τῶν
πρότερον εὐεργεσίας, οὔσας ὑπερμεγέθεις (οὐδὲ μὲν
οὖν εἴποι τις ἂν ἡλίκας) τὰς ἐπὶ τὸν παρόντα βίον γιγνο-
μένας εἰς ἀχαριστίαν καὶ προπηλακισμὸν ἄγειν, ἢ πᾶσιν
ὅσοι τι μετ' εὐνοίας πράττουσι τῆς παρὰ τούτων τιμῆς 20
317 καὶ φιλανθρωπίας μετεῖναι; καὶ μὴν εἰ καὶ τοῦτ' ἄρα δεῖ
μ' εἰπεῖν, ἡ μὲν ἐμὴ πολιτεία καὶ προαίρεσις, ἄν τις

1 νεανικὸς Cobet 2 κατὰ τούτων τι S[1]: εἰπεῖν κατὰ τούτων τι VY κατὰ τούτων εἰπεῖν τι S corr. A | δέοι VY 4 ἀνδρῶν ἀγαθῶν F 6 ὦ ἀθηναῖοι A 7 προλαβόντα SA[1] (ut vid.) Y: προσλαβόντα VA corr. 8 νῦν ζῶντα SY: συζῶντα VA schol. p. 322, 20 συνζῶντα Priscian. XVIII 285; utrum pap. habuerit incertum 9 ἁπάντων A Stobaeus LII 46 H. 11 ἔτι om. pap. 12 πρὸ om. A 13 κρίνωμαι SF corr. pap.: κρίνομαι F[1]QAY | θεωροῦμαι A καὶ θεωρῶμαι om. pap. 14 εἴ τινα] ὅντινα A | βούληι S 17 ουδε S[1]Y: οὐ S corr. VA 18 ἐπὶ] περὶ G. H. Schaefer 19 ἀχρηστίαν QY 20 τῆς om. γρ. S[d] | παρὰ add. γρ. S[d]VA: om. S[1]Y 21 καὶ post εἰ om. A

σκοπῇ, ταῖς τῶν τότ' ἐπαινουμένων ἀνδρῶν ὁμοία καὶ
ταὐτὰ βουλομένη φανήσεται, ἡ δὲ σὴ ταῖς τῶν τοὺς τοι-
ούτους τότε συκοφαντούντων· δῆλον γὰρ ὅτι καὶ κατ'
ἐκείνους ἦσάν τινες, οἳ διασύροντες τοὺς ὄντας τότε τοὺς
5 [δὲ] πρότερον γεγενημένους ἐπῄνουν, βάσκανον πρᾶγμα
καὶ ταὐτὸ ποιοῦντες σοί. εἶτα λέγεις ὡς οὐδὲν ὅμοιός 318
εἰμ' ἐκείνοις ἐγώ; σὺ δ' ὅμοιος Αἰσχίνῃ; ὁ δ' ἀδελφὸς
ὁ σός; ἄλλος δέ τις τῶν νῦν ῥητόρων; ἐγὼ μὲν γὰρ
οὐδένα φημί. ἀλλὰ πρὸς τοὺς ζῶντας ὦ χρηστέ, ἵνα
10 μηδὲν ἄλλ' εἴπω, τὸν ζῶντ' ἐξέταζε καὶ τοὺς καθ' αὑτόν,
331 ὥσπερ τἄλλα πάντα, τοὺς | ποιητάς, τοὺς χορούς, τοὺς
ἀγωνιστάς. ὁ Φιλάμμων οὐχ ὅτι Γλαύκου τοῦ Καρυστίου 319
καί τινων ἑτέρων πρότερον γεγενημένων ἀθλητῶν ἀσθενέ-
στερος ἦν, ἀστεφάνωτος ἐκ τῆς Ὀλυμπίας ἀπῄει, ἀλλ'
15 ὅτι τῶν εἰσελθόντων πρὸς αὐτὸν ἄριστ' ἐμάχετο, ἐστε-
φανοῦτο καὶ νικῶν ἀνηγορεύετο. καὶ σὺ πρὸς τοὺς νῦν
ὅρα με ῥήτορας, πρὸς σαυτόν, πρὸς ὅντινα βούλει τῶν
ἁπάντων· οὐδέν' ἐξίσταμαι. ὧν, ὅτε μὲν τῇ πόλει τὰ 320
βέλτισθ' ἑλέσθαι παρῆν, ἐφαμίλλου τῆς εἰς τὴν πατρίδ'
20 εὐνοίας ἐν κοινῷ πᾶσι κειμένης, ἐγὼ κράτιστα λέγων
ἐφαινόμην, καὶ τοῖς ἐμοῖς καὶ ψηφίσμασι καὶ νόμοις καὶ
πρεσβείαις ἅπαντα διῳκεῖτο, ὑμῶν δ' οὐδεὶς ἦν οὐδαμοῦ,

1 ὀρθῶς σκοπῆι VAY | σκοπεῖ S | ἀνδρῶν om. Y 2 ταῖς] τίς γρ. S[d] γρ. Q | τοιούτους τότε] ἄλλους A 4 τοὺς χρόνους add. post τινες F ante ἦσαν QA[s] mg. Y corr. pr. m. ut vid. | οἳ A: οἱ SVY | διασύροντες SVY: διέσυρον μὲν A 5 δὲ secl. Weil post Reiskium 6 καὶ ταὐτὸ S γρ. VAY: καὶ αὐτὸ ut vid. F[1] καταυτὸ F corr. Q 7 ὁ δ' VAY Hermog. III 252 W. (272, 9 R.) 345 (360, 22): ὁ S 10 καταυτὸν F[1]Q κατασαυτὸν A 13 ἑτέρων om. A 17 προσαυτὸν AY[1] 18 οὐδένα SY Bekk. Anecd. p. 138: οὐδενὶ γρ. S[d]VA 20 κράτιστα] τὰ βέλτιστα A 21 καὶ ante ψηφίσμασι om. VA 22 ἦν om. V

πλὴν εἰ τούτοις ἐπηρεάσαι τι δέοι. ἐπειδὴ δ' ἃ μήποτ'
ὤφελεν συνέβη, καὶ οὐκέτι συμβούλων ἀλλὰ τῶν τοῖς
ἐπιταττομένοις ὑπηρετούντων καὶ τῶν κατὰ τῆς πατρί-
δος μισθαρνεῖν ἑτοίμων καὶ τῶν κολακεύειν ἕτερον βου-
λομένων ἐξέτασις, τηνικαῦτα σὺ καὶ τούτων ἕκαστος ἐν 5
τάξει καὶ μέγας καὶ λαμπρὸς ἱπποτρόφος, ἐγὼ δ' ἀσθενής,
321 ὁμολογῶ, ἀλλ' εὔνους μᾶλλον ὑμῶν τουτοισί. δύο δ'
ἄνδρες Ἀθηναῖοι τὸν φύσει μέτριον πολίτην ἔχειν δεῖ
(οὕτω γάρ μοι περὶ ἐμαυτοῦ λέγοντι ἀνεπιφθονώτατον
εἰπεῖν), ἐν μὲν ταῖς ἐξουσίαις τὴν τοῦ γενναίου καὶ τοῦ 10
πρωτείου τῇ πόλει προαίρεσιν διαφυλάττειν, ἐν παντὶ
δὲ καιρῷ καὶ πράξει τὴν εὔνοιαν· τούτου γὰρ ἡ φύσις
κυρία, τοῦ δύνασθαι δὲ καὶ ἰσχύειν ἕτερα. ταύτην τοί-
322 νυν παρ' ἐμοὶ μεμενηκυῖαν εὑρήσεθ' ἁπλῶς. ὁρᾶτε δέ.
οὐκ ἐξαιτούμενος, οὐκ εἰς Ἀμφικτύονας δίκας ἐπαγόν- 15
των, | οὐκ ἀπειλούντων, οὐκ ἐπαγγελλομένων, οὐχὶ τοὺς 332
καταράτους τούτους ὥσπερ θηρία μοι προσβαλλόντων,
οὐδαμῶς ἐγὼ προδέδωκα τὴν εἰς ὑμᾶς εὔνοιαν. τὸ γὰρ
ἐξ ἀρχῆς εὐθὺς ὀρθὴν καὶ δικαίαν τὴν ὁδὸν τῆς πολι-
τείας εἱλόμην, τὰς τιμάς, τὰς δυναστείας, τὰς εὐδοξίας 20
τὰς τῆς πατρίδος θεραπεύειν, ταύτας αὔξειν, μετὰ τού-
323 των εἶναι. οὐκ ἐπὶ μὲν τοῖς ἑτέρων εὐτυχήμασι φαιδρὸς

1 τούτους Q 3 ἐπιτασσομένοις Q 4 μισθανειν S[1] | ἕτερον SY pap.: ἑτέρους VA 5 ἦν post ἐξέτασις add. VAY 7 τουτοισί(ν) SF corr. AY (pap.): τούτοις F[1]Q 8 ὦ ἄνδρες A ὦ (θ superscr.) pap. | ταῦτα τὸν VAY ταυτον pap. 9 sq. οὕτω ... εἰπεῖν om. pap. 10 γεναιου S[1] | καὶ τοῦ S: καὶ τὴν τοῦ VY pap. καὶ A 13 δὲ δύνασθαι A | ἕτερα Q: ετερα S[1] ἑτέρα S[2]FAY schol. p. 338, 8 ἑτέρα] ἡ τύχη 15 εἰς ἀμφικτύονας S cf. LIX 98: ἀμφικτυονικὰς VAY corr. (ἀμφικτυονιακὰς Y[1] ut vid.) | ἐπαγόντων μοι VY 16 οὐκ ἀπειλούντων om. S[1] add. S[d] | οὐχὶ S γρ. QAY: οὐχ ὅτι V 18 προδέδωκα ἐγὼ V 21 τὰς ante τῆς om. V 22 τοῖς τῶν ἑτέρων A[1]

ἐγὼ καὶ γεγηθὼς κατὰ τὴν ἀγορὰν περιέρχομαι, τὴν δεξιὰν προτείνων καὶ εὐαγγελιζόμενος τούτοις οὓς ἂν ἐκεῖσ᾽ ἀπαγγελεῖν οἴωμαι, τῶν δὲ τῆς πόλεως ἀγαθῶν πεφρικὼς ἀκούω καὶ στένων καὶ κύπτων εἰς τὴν γῆν, 5 *ὥσπερ οἱ δυσσεβεῖς οὗτοι, οἳ τὴν μὲν πόλιν διασύρουσιν, ὥσπερ οὐχ αὑτοὺς διασύροντες, ὅταν τοῦτο ποιῶσιν, ἔξω δὲ βλέπουσιν καὶ ἐν οἷς ἀτυχησάντων τῶν Ἑλλήνων ηὐτύχησεν ἕτερος, ταῦτ᾽ ἐπαινοῦσι καὶ ὅπως τὸν ἅπαντα χρόνον μενεῖ φασὶ δεῖν τηρεῖν.*

10 *Μὴ δῆτ᾽ ὦ πάντες θεοί, μηδεὶς ταῦθ᾽ ὑμῶν ἐπινεύσειεν, ἀλλὰ μάλιστα μὲν καὶ τούτοις βελτίω τινὰ νοῦν καὶ φρένας ἐνθείητε, εἰ δ᾽ ἄρ᾽ ἔχουσιν ἀνιάτως, τούτους μὲν αὐτοὺς καθ᾽ ἑαυτοὺς ἐξώλεις καὶ προώλεις ἐν γῇ καὶ θαλάττῃ ποιήσατε, ἡμῖν δὲ τοῖς λοιποῖς τὴν ταχίστην* 15 *ἀπαλλαγὴν τῶν ἐπηρτημένων φόβων δότε καὶ σωτηρίαν ἀσφαλῆ.* 324

3 *ἀπαγγελεῖν* Markland: *ἀπαγγέλλειν* SVAY 4 *ἀκούων* V 8 *ἕτερος εὐτύχησε* A 9 *μενεῖ* S A[1]: *μένει* A corr. *διαμενεῖ* F corr. *διαμένει* F[1]QY 10 *δῆτ᾽ ὦ*] *δήτωι* A | *ὑμῶν ταῦτα* A | *ἐπινεύσειεν*] *επηνευσειεν* S[1] 12 *ἐνθείητε*] ultimum *ε* in ras. A | *οὕτως ἀνιάτως* V 13 *ἑαυτοὺς*] *αυτοὺς* A | *καὶ προώλεις* om. A 14 *ἐν θαλάττηι* Y[1] | *ποιήσατε* S: *ποιήσαιτε* F corr. a pr. m. QAY corr. *ποιήσοιτε* (?) Y[1] *ποιησετε* pap. 15 *δοίητε* S corr. pap.

In SY subscriptum

ΔΗΜΟΣΘΕΝΟΥΣ ῾ΥΠΕΡ ΚΤΗΣΙΦΩΝΤΟΣ ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ

ΧΧ𐅅ΗΗ𐅄ΔΠΙΙΙ

in V *περὶ τοῦ στεφάνου*

ΧΧ𐅅ΗΗ𐅄ΔΠ(ΗF)ΙΙΙ

in A *περὶ τοῦ στεφάνου*

in pap. *υπερ κτησιφωντος περι του στεφανου*

ευτυχως τω γραψαντι και λαμβανοντι και αναγινωσκοντι

DEMOSTHENIS
ORATIONES

EDIDIT

CAROLUS FUHR

EDITIO MAIOR
VOLUMEN I · PARS III
ORATIONEM XIX CONTINENS



LIPSIAE IN AEDIBUS B. G. TEUBNERI MCMXIV

Conspectus notarum.

S = cod. Parisinus 2934
    S^d = scriptura eius correctoris qui subscripsit διώρθωται
    [L = Laurentianus conv. sopp. 136]
F = cod. Marcianus 416
    [B = cod. Bavaricus, nunc Monacensis 85, ex cod. F descriptus]
Q = cod. Marcianus 418
V = cod. F et cod. Q
A = cod. Augustanus primus, nunc Monacensis 485
Y = cod. Parisinus 2935
    [O = cod. Bruxellensis 11295, ex cod. Y descriptus]
U = cod. Urbinas 113
Γ = cod. Laurentianus pl. LIX, 9

Libanii vitae et argumentorum codices adhibui F, Y, cod. Ambrosianum Q 12 sup. (= m)
γρ. semper ante, corr. post codicis notam posui

XIX
ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ

ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ

XIX 281 Αἰσχίνης ἦν ἀνὴρ Ἀθηναῖος, υἱὸς Ἀτρομήτου καὶ Γλαυκο-
XVIII 259 θέας, ἀμφοτέρων ἀδόξων, ὥς φησι Δημοσθένης· τὸν μὲν γὰρ
XIX 249 γράμματα διδάσκοντα, τὴν δὲ καθαίρουσαν καὶ τελετάς τινας οὐ
σπουδαίας τελοῦσάν φησι ζῆν. παραδέδοται δὲ καὶ αὐτὸς ὁ Αἰ-
σχίνης τραγῳδιῶν θ' ὑποκριτὴς γενόμενος καὶ γραμματεὺς τῆς 5
2 πόλεως, ἥτις ἦν εὐτελὴς ὑπηρεσία. ὕστερον μέντοι τῶν ῥητόρων
εἷς ἐγένετο καὶ περὶ τῆς εἰρήνης πρὸς Φίλιππον ἐπρέσβευσεν.
πολεμοῦντες γὰρ Ἀθηναῖοι Φιλίππῳ περὶ Ἀμφιπόλεως καὶ πολ-
λὰ μὲν αὐτοὶ δεινὰ πάσχοντες, δρῶντες δ' οὐδὲν ἄξιον λόγου,
ἐπείσθησαν ὑπὲρ εἰρήνης πρεσβεύσασθαι πρὸς Φίλιππον. πέμ- 10
πουσι δὴ πρέσβεις δέκα τὸν ἀριθμόν, ἐν οἷς Αἰσχίνης τε καὶ
Δημοσθένης ἦσαν. δεξαμένου δὲ Φιλίππου τὰς διαλύσεις, πάλιν
οἱ αὐτοὶ πρεσβεύουσι δεύτερον, ὅπως οἱ περὶ τῆς εἰρήνης ὅρκοι
3 γένοιντο. περὶ δὴ ταῦτα τὰ πράγματα κατηγορεῖ Δημοσθένης
Αἰσχίνου τρία· ὅτι Φιλοκράτους αἰσχρὰν καὶ ἀσύμφορον εἰρήνην | 15
λέγοντος καὶ γράφοντος συνεῖπεν αὐτῷ· ὅτι τοὺς χρόνους καταν-

ὑπόθεσις εἰς τὸν παραπρεσβείας FY 2 ἀδόξων ἀμφοτέρων Y
3 οὐ om. Y 4 τελοῦσαν Ym: διαγγέλλουσαν F | ζῆν F διαζῆν YUm
cf. XIX 249 7 cf. Gregorius Cor. VII 1221 W. 8 οἱ ἀθην. Y
9 δεινὰ om. m 10 ἐπεί (ι F[1]) σθεισαν F 12 δεξάμενοι F | καὶ
τὰς F 14 δὴ Ym: δὲ F Gregor. | δημοσθένης Ym: ὁ δημ. F
16 λέγοντος καὶ om. Y καὶ γράφοντος om. m (Φιλοκράτει) γρά-
φοντι τε καὶ λέγοντι Gregor.

ήλωσε, παρ' ὃ συνέβη τὰ ἐν Θρᾴκῃ διαφθαρῆναι· ὅτι ψευδῆ πρὸς XIX 21
Ἀθηναίους ἀπήγγειλε, παρ' ὃ συνέβη Φωκέας ἀπολέσθαι· εἶπε
γάρ, φησίν, ὅτι Φωκέας οὐκ ἀναιρήσει Φίλιππος, καὶ ὑμεῖς τοῦτο
334 πιστεύσαντες οὐκ ἐβοηθήσατε τοῖς ἀν|δράσι. φησὶ δὲ ταῦτα
5 πάντ' ἐπὶ μισθῷ καὶ δώροις τὸν Αἰσχίνην κεκακουργηκέναι.
ἔστιν ἡ στάσις περὶ οὐσίας καὶ στοχαστική· ἡ δὲ κίνησις τῆς 4
ἔχθρας λέγεται διὰ Τίμαρχον τὸν φίλον Δημοσθένους, ὃν ἠτί-
μωσεν Αἰσχίνης κατηγορήσας ὡς κακοῦ βίου, διότι πρὸς Πιτ-
τάλακον τὸν ὀρνιθίαν, φησίν, εἰσῄει εὔμορφος ὤν, ἐπὶ τῷ θεᾶ- (Aesch. I 59)
10 σθαι τὰς μάχας τῶν ὀρνίθων, διαφθειρόμενον καὶ διαφθείροντα. XIX 245

ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ

Πόλεμος συνειστήκει Φιλίππῳ καὶ Ἀθηναίοις μακρός, ἐξ
οὗπερ παραβὰς τὰς πρὸς αὐτοὺς συνθήκας ἔλαβε παρ' Ὀλυνθίων
Ἀμφίπολιν, οὖσαν κτῆμα τῆς πόλεως· καὶ ἦν ὑπ' Ὀλυνθίοις
15 καθ' ὃν καιρὸν ἀπέστησαν καὶ οἱ σύμμαχοι. συνειστήκει δὲ καὶ
ἕτερος Φωκεῦσι πρὸς Θετταλοὺς καὶ Θηβαίους, τοῦτο μὲν περὶ
τοῦ ἱεροῦ τοῦ Πυθοῖ πρὸς Θετταλούς, τοῦτο δ' ὑπὲρ Ὀρχο-
μενοῦ καὶ Κορωνείας πρὸς τοὺς Θηβαίους· εὔδηλον γὰρ ἐκ τῆς
ἱστορίας, ὅτι τῶν μὲν παρείλοντο τὰς δύο πόλεις γειτνιώσας
20 αὐτοῖς, Θετταλοὺς δὲ παρωσάμενοι τὴν Ἀμφικτυονίαν, ἅτ' ἐν
μέσῃ Φωκίδι τῶν ἐν Δελφοῖς ἱερῶν ἱδρυμένων. ἐπειδὴ δὲ πολὺν 2
χρόνον ἐπολέμησαν πρὸς ἑαυτοὺς Ἀθηναῖοι καὶ Φίλιππος, τῷ
χρόνῳ τὴν εἰρήνην ἑκάτεροι ποιεῖν ἐβούλοντο, ἀλλ' ὁπότερος
24 ταῦτα προβάλλοιτο, αἰσχύνην ἔχειν ἐνόμιζον. Ἀριστόδημος δὲ
335 καὶ Νεοπτό|λεμος ὑποκριταὶ τραγῳδίας ἐτύγχανον· οὗτοι διὰ

1 καταν(α)ήλωσε F κατανάλωσεν Ym | καὶ ὅτι Y corr. 2 Φωκέας Dindorf: φωκεῖς FYm 4 τοῦτο F Gregor.: τούτῳ Ym 6 ἔστιν ἡ στάσις] τὴν στάσιν codd. ἡ δὲ στάσις Y rec. mg. ἔστι δὲ ἡ στάσις Gregor. ἡ στάσις Felicianus | στοχαστική Felic.: στοχαστικὴν codd. 7 ἔχθρας Ym: μάχης F 8 ἠτίμασεν Fm | Αἰσχίνης om. F 9 τὸ θεάσασθαι F 21 ἱδρυμένων Vind. 1. 7: ἱδρυμένην vulg.

τὴν οἰκείαν τέχνην ἄδειαν εἶχον ἀπιέναι ὅπου ἂν βούλωνται, ἀλλὰ δὴ καὶ πρὸς πολεμίους. ἀπελθόντες οὖν οὗτοι εἰς τὴν Μακεδονίαν ἐπεδείξαντο τὴν οἰκείαν τέχνην, καὶ οὕτω φιλοφρόνως αὐτοὺς ἐδέξατο Φίλιππος, ὥστε πρὸς τοῖς ἄλλοις χρήμασι καὶ ἄλλα ἐκ τῶν οἰκείων παρεῖχεν αὐτοῖς. αἰσθόμενος δὲ 5 *μελλόντων πρεσβεύεσθαι πρὸς αὐτὸν Φωκέων καὶ Θετταλῶν καὶ Θηβαίων, ἐβουλήθη τοὺς Ἀθηναίους ἐξαπατῆσαι. καὶ ταύτης τῆς προφάσεως δραξάμενος Φίλιππος, ἀπολύων Ἀριστόδημον καὶ Νεοπτόλεμον ἔλεγεν αὐτοῖς, ὅτι φίλος εἰμὶ Ἀθη-*
3 *ναίοις. συνέβη δὲ πάλιν τι τοιοῦτον γενέσθαι. Φρύνων τις* 10 *Ἀθηναῖος ἀπιὼν Ὀλυμπίασιν ἀγωνισόμενος ἢ θεασόμενος, ἐκρατήθη ὑπό τινων στρατιωτῶν τοῦ Φιλίππου ἐν ἱερομηνίᾳ καὶ ἀφῃρέθη πάντα τὰ αὐτοῦ. καὶ ἐλθὼν εἰς Ἀθήνας παρεκάλει τοὺς Ἀθηναίους, ἵνα χειροτονήσωσιν αὐτὸν πρεσβευτήν, ὅπως ἀπελθὼν πρὸς Φίλιππον λάβῃ ἅπερ ἀφῃρέθη· καὶ πει-* 15 *σθέντες Ἀθηναῖοι ἐχειροτόνησαν αὐτὸν καὶ Κτησιφῶντα. καὶ ἐλθόντων αὐτῶν εἰς Μακεδονίαν, φιλοφρόνως αὐτοὺς ἐδέξατο ὁ Φίλιππος, ὥστε καὶ τὰ ἀφαιρεθέντα ὑπὸ τῶν στρατιωτῶν πάντα ἀποδοῦναι αὐτῷ καὶ ἐκ τῶν οἰκείων ἄλλα ἐπιδοῦναι, καὶ ἀπολογεῖσθαι, ὅτι ἠγνόουν οἱ στρατιῶται, ὅτι ἱερομηνία ἐστί.* 20 *καὶ τούτοις πάλιν ὁμοίως ἔλεγεν, ὡς φίλος εἰμὶ Ἀθηναίοις. καὶ*
4 *ἐλθόντες εἰς τὴν Ἀττικὴν τὰ αὐτὰ τοῖς ἄλλοις ἀπήγγειλαν. ταῦτα ἀκούσαντες Ἀθηναῖοι ἐβούλοντο μαθεῖν εἰ μετ᾽ ἀληθείας εἰρήνην ἄγειν βούλεται Φίλιππος. καὶ δὴ χειροτονοῦσι | δέκα* **336** *πρέσβεις. εἰσὶ δ᾽ οὗτοι Κτησιφῶν, Ἀριστόδημος, Ἰατροκλῆς,* 25 *Κίμων, Ναυσικλῆς, Δέρκυλλος, Φρύνων, Φιλοκράτης, Αἰσχίνης, Δημοσθένης. πέμπουσι δὲ τούτους εἰς Μακεδονίαν, ἵνα μάθωσιν εἰ μετ᾽ ἀληθείας βούλεται εἰρήνην ἄγειν ὁ Φίλιππος· καὶ εἰ ἀληθές ἐστιν, ἐνέγκαι παρ᾽ αὐτοῦ πρέσβεις τοὺς ληψο-*
5 *μένους τοὺς ὅρκους. ἀπελθόντων οὖν τῶν δέκα πρέσβεων, ὧν* 30

1 *ὅποι* Schaefer at v. *ἐκεῖσε* § 7 26 „immo *Δερκύλος*" Turr. at vide ad § 60. 125. 175

ἦν καὶ Δημοσθένης, ἤγαγον ἀπὸ τοῦ Φιλίππου τρεῖς πρέσβεις, Ἀντίπατρον, Παρμενίωνα καὶ Εὐρύλοχον, ὀφείλοντας λαβεῖν τοὺς ὅρκους. συναγομένων δὲ τῶν συμμάχων τῶν Ἀθηναίων ἐπὶ τῷ παρασχεῖν τοὺς ὅρκους χρόνος παρήρχετο. καὶ γινώ-
5 *σκων τὴν φύσιν τοῦ Φιλίππου ὁ Δημοσθένης, ὡς ἀεὶ καταστρεφομένου καὶ ἐπηρεάζοντος, λέγει τοῖς Ἀθηναίοις ταχέως δοῦναι τοὺς ὅρκους, καὶ μὴ παρόντος Κερσοβλέπτου· ἔλεγε γὰρ ὅτι εἰς τὴν Θρᾴκην ἀπερχομένων ἡμῶν παρέξει τοὺς ὅρκους ὁ Κερσοβλέπτης. ἰστέον δὲ ὅτι Δημοσθένης ἀπῆλθεν ἐν τῇ* 6
10 *δευτέρᾳ πρεσβείᾳ διὰ τοιαύτην πρόφασιν· ἀπελθὼν γὰρ εἰς τὴν πρώτην πρεσβείαν εὗρεν ἐν Μακεδονίᾳ τινὰς τῶν Ἀθηναίων αἰχμαλώτους, καὶ ὑπέσχετο φέρειν ἐκ τῶν ἰδίων χρημάτων καὶ ῥύσασθαι αὐτούς, οὐκ ἠδύνατο δὲ τοῦτο ποιῆσαι, εἰ μὴ ἐν προσχήματι πρεσβευτοῦ. ἔλεγε δὲ τὴν πρεσβείαν ἀπελθεῖν πλῷ διὰ* 7
15 *τὸ αὐτοὺς ταχέως ἀπελθεῖν· καὶ ὅπου ἂν ὄντα πύθωνται Φίλιππον, δεῖν αὐτοὺς ἀπελθεῖν καὶ ἐκεῖσε τοὺς ὅρκους λαβεῖν. οἱ δὲ μὴ πεισθέντες πεζῇ ἀπῆλθον, καὶ εἰς Μακεδονίαν ἀπελ-*
337 *θόντες ἐκάθισαν ὅλους τρεῖς μῆνας, | ἕως οὗ πολλὰ τῶν Ἀθηναίων χωρία καταστρέψας ὑπέστρεφε Φίλιππος, ἐν οἷς καὶ*
20 *Κερσοβλέπτης. καὶ ἐλθὼν οὐκ εὐθὺς παρέσχεν αὐτοῖς τοὺς ὅρκους, ἀλλ' εἵλκυσεν αὐτούς, ἕως ηὐτρέπισε τὴν ἐπὶ Φωκέας στρατιάν, καίτοι πρεσβευσαμένων πρὸς αὐτὸν Φωκέων περὶ διαλύσεως τοῦ πολέμου. καὶ ἐξελθόντος αὐτοῦ ἐπὶ τοὺς Φωκέας, ἀντὶ τοῦ παρασχεῖν ἐν ἱερῷ τοὺς ὅρκους, ἐν πανδοκείῳ παρέσχε*
25 *λέγων οὕτω, „σπένδομαι Ἀθηναίοις καὶ τοῖς Ἀθηναίων συμμάχοις, χωρὶς Ἀλέων καὶ Φωκέων.“ ἔλεγε γὰρ ὅτι „οἱ Ἀλεῖς ἐχθροὶ ἦσαν τῶν φίλων μου, τῶν Φαρσαλίων· Φωκεῦσι δὲ οὐ σπένδομαι, ἐπειδήπερ ἠσέβησαν εἰς τὸ ἱερόν.“ ἐλθούσης οὖν τῆς* 8
δευτέρας πρεσβείας εἰς τὴν Ἀττικὴν ὁ Δημοσθένης ἐστασίαζε,

9 *ἀπῆλθεν* Paris. 2940: *οὐκ ἀπῆλθεν* cett. 16 *δεῖν* Ald. Lessingiana: *δεῖ* codd. | *ἀπελθεῖν ἐκεῖσε καὶ* Ald. Voem. 22 *στρατείαν* Voemel 24 *πανδοχείῳ* nonnulli codd. 26 *Ἀλέων*] sic auctor argumenti in codd. suis legit, cf. ad § 174; rectius *Ἁλέων*

λέγων ὅτι οὐκ ἀρέσκει μοι τὰ ὑπὸ Φιλίππου δεδογμένα. ὁ δὲ Αἰσχίνης ἔλεγεν ὅτι ταῦτα εἶπε Φίλιππος ἐν τῷ φανερῷ· ἐμοὶ δὲ εἶπεν εἰς τὸ οὖς, ὅτι „πλὴν Ἀλέων καὶ Φωκέων εἶπον, ἵνα μὴ μαθόντες Θηβαῖοι παραφυλάξωνται· αὐτοὺς γὰρ εἰσερχό-
9 *μενος ἀπολέσω, τούτους δὲ σώσω.“ οἱ δὲ Ἀθηναῖοι πεισθέντες* 5
Αἰσχίνῃ ἐχειροτόνησαν τρίτην πρεσβείαν, βουλόμενοι μαθεῖν εἰ φυλάττει Φίλιππος τὰ ὑπ' Αἰσχίνου λεχθέντα. καὶ ἐξωμόσατο Δημοσθένης μήτε πρεσβεῦσαι μήτε κοινωνεῖν, εἴτε καλῶς εἴτε κακῶς πράξει ἡ πρεσβεία. καὶ τότε φοβηθεὶς ὁ Αἰσχίνης, μή-ποτε μένων ὁ Δημοσθένης πέμψαι πείσει τὸν δῆμον τοῖς Φω- 10
XIX 124 *κεῦσι βοήθειαν, προσεποιήσατο, ὡς λέγει Δημοσθένης, ἀρ-ρωστεῖν. καὶ τότε ὁ ἀδελφὸς αὐτοῦ Εὔνομος ἦλθεν ἔχων ἰα-τρὸν καὶ ὀμνύων ὅτι ἀρρωστεῖ | Αἰσχίνης. καὶ αὐτὸν τὸν Εὔ-* 338
νομον ἀντὶ τούτου ἐχειροτόνησεν ὁ δῆμος πρεσβευτήν. καὶ ἀπελθόντων τούτων τῶν πρέσβεων, ὡς κατέλαβον Εὔβοιαν, 15
ἤκουσαν ὅτι Φωκέας κατεστρέψατο ὁ Φίλιππος, καὶ μετ' αἰσχύ-νης ὑπέστρεψαν. ἐλθούσης δὲ τῆς τρίτης πρεσβείας εἰς τὴν Ἀττικήν, Αἰσχίνης αὐτοχειροτόνητος πρεσβευτὴς ἀπῆλθε πρὸς
XIX 126 *Φίλιππον, ὡς λέγει Δημοσθένης.*

10 *Ἰστέον δὲ ὅτι μετὰ τὴν πρεσβείαν ἕκαστος τῶν πρέσβεων* 20
εὐθύνας ἐδίδου. καὶ ἡ μὲν πρώτη πρεσβεία παρέσχεν εὐθύνας οὕτω καλῶς, ὥστε τὸν Δημοσθένην γράψαι καλέσαι αὐτοὺς ἐπ' ἄριστον· ἔθος γὰρ ἦν τοὺς καλῶς πρεσβευσαμένους εἰς δημό-σιον ἄριστον καλεῖσθαι. ἀποροῦσι δέ τινες ὅτι, εἰ ἠπίστατο Δημοσθένης ὅτι προδόται ἦσαν, διὰ τί ἐποίησεν αὐτοὺς κληθῆ- 25
ναι εἰς δημόσιον ἄριστον; καὶ λέγομεν, ὅτι μετὰ τὸ ἄριστον ἔγνω τὸν σκοπὸν αὐτῶν. τῶν δὲ τῆς δευτέρας πρεσβείας μόνος ὁ Δημοσθένης δέδωκεν εὐθύνας. μέλλοντος δὲ τοῦ Αἰσχίνου παρέχειν, ἐπέστη Τίμαρχος καὶ Δημοσθένης κατηγορήσοντες τούτου. καὶ ᾔτησεν Αἰσχίνης ἀνάκρισιν γενέσθαι, καὶ γενο- 30

12 Aeschinis fratres erant Philochares et Aphobetus 23 „debebat scribere *πρεσβεύσαντας*“ Schaefer 24 *ὅτι* del. Sauppe

μένης ἀνακρίσεως ἔδειξε Τίμαρχον ἡταιρηκότα, καὶ ἐξέβαλον αὐτόν· νόμος γὰρ ἦν τὸν ἡταιρηκότα μὴ πολιτεύεσθαι. εἶτα 11
ἐπέστη κατηγορήσων ὁ Δημοσθένης. καὶ λέγουσί τινες, πῶς ἐνταῦθα μέμνηται τῆς τρίτης πρεσβείας; λέγομεν δ' ὅτι μετὰ
5 *τρία ἔτη τῆς γραφῆς εἰσῆλθεν ἔχων τὴν κατηγορίαν. γενομένης γὰρ τῆς δευτέρας πρεσβείας, μαθόντες οἱ Ἀθηναῖοι τὴν τῶν*
339 *Φωκέων ἀπώλειαν, ἐσκευαγώγουν ἐκ τῶν ἀγρῶν καὶ ἐν | πολλῷ θορύβῳ ἦσαν· καὶ μετὰ τρία ἔτη εἰσῆλθεν ὁ Δημοσθένης κατηγορήσων Αἰσχίνου. καὶ κρίνει αὐτὸν διὰ δύο ἐγκλήματα,*
10 *διὰ τὴν ἀπώλειαν τῶν Φωκέων καὶ διὰ δωροδοκίαν. ἰστέον δὲ ὅτι προηγούμενόν ἐστιν ἔγκλημα, ὅτι Φωκεῖς ἀπολώλασιν. πρὸς σύστασιν τούτου δεύτερον ἀνέκυψε ζήτημα, ὅτι ἐπὶ χρήμασιν Αἰσχίνῃ τοῦτο τετόλμηται, ὡς σύστασιν γίνεσθαι τοῦ προτέρου ἐγκλήματος τοῦ κατὰ Φωκέας. τεκμήριά ἐστι τοῦ πάλαι ταῦτα* 12
15 *ἐσκευωρῆσθαι καὶ κατεσκευάσθαι, δι' ὧν ἅμα καὶ προαναιρεῖ τὸ χρῶμα Αἰσχίνου, καταφεύγοντος ἐπὶ ἄγνοιαν καὶ συγγνώμην· καὶ τούτων τὰ μὲν ἐκ τῶν παρειμένων εἴληφε, τὰ δὲ ἐκ τῶν πεπραγμένων· συνεῖπε γὰρ Φιλοκράτει ἄνευ Φωκέων γράφοντι τὴν εἰρήνην. οὐκ ἔλαβεν ὅρκους παρὰ Θετταλῶν συμ-*
20 *μαχούντων Φιλίππῳ, οἳ οὐκ ἂν συνεστράτευσαν ἐπὶ Φωκέας, εἴπερ δεδωκότες ἦσαν τοὺς ὅρκους. ἐνέδωκε Φιλίππῳ χρόνον παρασκευάσασθαι τὴν ἐπὶ Φωκέας στρατείαν· διέτριψε γὰρ ἐκεῖνος τοὺς χρόνους ἐξεπίτηδες ἀναλίσκων, ἵνα μὴ περιπλεύσας ὁ δῆμος κλείσῃ τὰς Πύλας. ἐξηπάτησε τὴν πόλιν ἐπανελθὼν ἐπί-*
25 *τηδες διτταῖς ἐλπίσι, μιᾷ μὲν ὅτι ἀπολοῦνται Θηβαῖοι, ἑτέρᾳ δὲ ὅτι Φωκεῖς σωθήσονται, ὥστε μὴ ἐγγενέσθαι βουλεύσασθαί τι δεξιὸν ὑπὲρ Φωκέων· εἶπε γὰρ δεῖν Φιλίππῳ πιστεύειν· σώσειν γὰρ αὐτοὺς τῇ πόλει ἐπηγγείλατο. καὶ τοῦ μὲν προτέρου* 13
ταῦτα τεκμήρια. τοῦ δὲ δευτέρου τοῦ περὶ τῶν δώρων, ἐν ᾧ
30 *δείκνυται ὅτι χρήματα εἴληφεν Αἰσχίνης, ταῦτα τεκμήρια· ὧν*

12 ἀνέκυψε H. Wolf: ἐνέκυψε codd. 13 ὡς σύστασιν κτλ. idem est quod πρὸς σύστασιν, sed cf. § 5 in.

ὁμοίως τὰ μὲν ἐκ τῶν παρειμένων ἐστί, τὰ δὲ ἐκ τῶν πεπραγμένων. οὐ μισεῖ Φίλιππον, καίπερ | ἐξαπατηθεὶς ὑπ' αὐτοῦ, ὥς **340**
φησι. συνεῖπε Φιλίππῳ γενέσθαι Ἀμφικτύονα, πρεσβευσαμένων περὶ αὐτοῦ τῶν Ἀμφικτυόνων. σύνεστιν ἀεὶ Φιλοκράτει χρήματα εἰληφότι. καλούμενος ἐπὶ μαρτυρίαν, ἡνίκα Ὑπερείδης 5
εἰσήγγειλε Φιλοκράτην, παρὼν οὐκ ἐφθέγξατο. χειροτονηθεὶς πρεσβευτὴς ἐπὶ τὴν Φωκίδα πρὸς Φίλιππον ἐπὶ ταῖς ὑποσχέσεσιν ἀρρωστεῖν προσεποιήσατο. ἁλόντων Φωκέων μετὰ τὴν ἐξωμοσίαν ἀχειροτόνητος πορεύεται, ὅτε καὶ φυλάξασθαι αὐτὸν ἐχρῆν. ταῦτα [τὰ] τεκμήρια τοῦ δευτέρου λόγου. ἔστι δὲ τού- 10
των τὸ ἰσχυρότατον, καὶ οὗ μάλιστα ἀντέχεται, ἡ ἐπαγγελία καὶ ἡ ὑπόσχεσις Αἰσχίνου ἡ περὶ Θηβαίων καὶ Φωκέων.

14 *Ἡ μὲν ὑπόθεσις τοῦ λόγου στοχαστική· οὐ γὰρ συντρέχει τοῖς ἐγκαλουμένοις Αἰσχίνης, ἀλλ' ἀρνεῖται παντάπασι. τὸ δὲ εἶδος οἱ μὲν ἁπλοῦν νενομίκασιν, ὕλης πολλῆς ὡς ἐν ἀληθείᾳ* 15
συνδραμούσης, οἱ δὲ συγκατασκευαζόμενον, δύο λαβόντες ἐγκλήματα, τὸ κατὰ Φωκέας καὶ Θρᾴκην. Μένανδρος δὲ ἐμπίπτοντά φησιν. εἴληπται δὲ ἐκ διαβολῆς τὸ προοίμιον· δι' ὧν γὰρ αὐτὸν δεδιότα ποιεῖ καὶ δεόμενον, διὰ τούτων δείκνυσιν οὐ πάνυ τοῖς δικαίοις τεθαρρηκότα. καὶ ἅμα συγκρουστικὸν 20
ἂν εἴη τὸ νόημα ἐκ διαβολῆς τοῦ τε ἀντιδίκου καὶ τῶν συνηγόρων αὐτοῦ, οἷον τοῦ Εὐβούλου καὶ τῶν περὶ αὐτόν· ἀεὶ γὰρ ὁ Εὔβουλος ἐπολέμει τῷ Δημοσθένει ἀπὸ τῆς αἰτίας τῆς κατὰ Ἀρίσταρχον, ὡς ἔγνωμεν ἐν τῷ κατὰ Μειδίου.

Ὅση μὲν ὦ ἄνδρες Ἀθηναῖοι σπουδὴ περὶ τουτονὶ **341**
τὸν ἀγῶνα καὶ παραγγελία γέγονεν, σχεδὸν οἶμαι πάντας 26
ὑμᾶς ᾐσθῆσθαι, ἑορακότας ἄρτι τοὺς ὅτ' ἐκληροῦσθ'

5 *ὑπερείδης* m.: *ὑπερίδης* cett. 10 *τὰ* om. m. cf. p. 401, 29
13 cf. schol. p. 334, 1 sq.q 15 *ἀληθείαις* schol. 16 ad *συγκατασκευαζόμενον* cf. schol. p. 418, 2 17 cf. Rhet. Gr. VII 374, 13 et 252, 8 W. 20 cf. schol. p. 334, 11 25 *τοῦτον* Y 27 *οτ εκληρουσθαι* S[1]

ἐνοχλοῦντας καὶ προσιόντας ὑμῖν. δεήσομαι δὲ πάντων ὑμῶν, ἃν καὶ τοῖς μὴ δεηθεῖσιν δίκαιόν ἐστιν ὑπάρχειν, μηδεμίαν μήτε χάριν μήτ' ἄνδρα ποιεῖσθαι περὶ πλείονος ἢ τὸ δίκαιον καὶ τὸν ὅρκον ὃν εἰσελήλυθεν ὑμῶν
5 ἕκαστος ὀμωμοκώς, ἐνθυμουμένους ὅτι ταῦτα μέν ἐστιν ὑπὲρ ὑμῶν καὶ ὅλης τῆς πόλεως, αἱ δὲ τῶν παρακλήτων αὗται δεήσεις καὶ σπουδαὶ τῶν [ἰδίων] πλεονεξιῶν ἕνεκα γίγνονται, ἃς ἵνα κωλύηθ' οἱ νόμοι συνήγαγον ὑμᾶς, οὐχ ἵνα κυρίας τοῖς ἀδικοῦσι ποιῆτε. τοὺς μὲν οὖν ἄλ- 2
10 λους, ὅσοι πρὸς τὰ κοινὰ δικαίως προσέρχονται, κἂν δεδωκότες ὦσιν εὐθύνας, τὴν ἀειλογίαν ὁρῶ προτεινομένους, τουτονὶ δ' Αἰσχίνην πολὺ τἀναντία τούτου· πρὶν γὰρ εἰσελθεῖν εἰς ὑμᾶς καὶ λόγον δοῦναι τῶν πεπραγμένων τὸν μὲν ἀνήρηκεν τῶν ἐπὶ τὰς εὐθύνας
15 ἐλθόντων, τοῖς δ' ἀπειλεῖ περιιών, δεινότατον πάντων ἔθος εἰς τὴν πολιτείαν εἰσάγων καὶ ἀσυμφορώτατον ὑμῖν· εἰ γὰρ ὁ πράξας τι τῶν κοινῶν καὶ διοικήσας τῷ καθ' ἑαυτὸν φόβῳ καὶ μὴ τῷ δικαίῳ κατασκευάσει μηδέν' |
342 εἶναι κατήγορον αὑτοῦ, παντάπασιν ἄκυροι πάντων ὑμεῖς
20 γενήσεσθε.

Τὸ μὲν οὖν ἐξελέγξειν πολλὰ καὶ δεινὰ πεποιηκότα 3 τουτονὶ καὶ τῆς ἐσχάτης ὄντα τιμωρίας ἄξιον θαρρῶ καὶ πάνυ πιστεύω· ὃ δὲ καίπερ ὑπειληφὼς ταῦτα φοβοῦμαι, φράσω πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι, ὅτι μοι δοκοῦ-

1 προιοντας S[1] 4 sq. ἕκαστος ὑμῶν VAU corr. ἕκαστος U[1] 6 ὅλης] post ο litt. eras. Q 7 ἰδίων om. S[1] add. S[d] 8 συνηγαγον S[1]VAYU: συνηγον S corr. ex quo συνήγαγον restituit S[d]

9 κυρείας F (ι in mg.) 12 τούτου SYU: τούτου (ων superscr.) F τούτων S[d]QA 17 τῷ] τὸ A 18 αὑτὸν A 19 αὑτοῦ Q: αυτοῦ SFAY 21 ἐξελέγξειν SF[1]Q: ἐξελέγχειν F corr. AY 24 ἀποτρέψομαι corr. A[2] ex ἀποκρύψομαι

σιν ἅπαντες οἱ παρ' ὑμῖν ἀγῶνες οὐχ ἧττον ὦ ἄνδρες
Ἀθηναῖοι τῶν καιρῶν ἢ τῶν πραγμάτων εἶναι, καὶ τὸ
χρόνον γεγενῆσθαι μετὰ τὴν πρεσβείαν πολὺν δέδοικα
μή τινα λήθην ἢ συνήθειαν τῶν ἀδικημάτων ὑμῖν ἐμ-
4 πεποιήκῃ. ὡς δή μοι δοκεῖτ' ἂν ὅμως ἐκ τούτων καὶ 5
γνῶναι τὰ δίκαια καὶ δικάσαι νυνί, τοῦθ' ὑμῖν λέξω· εἰ
σκέψαισθε παρ' ὑμῖν αὐτοῖς ὦ ἄνδρες δικασταὶ καὶ
λογίσαισθε, τίνων προσήκει τῇ πόλει λόγον παρὰ πρε-
σβευτοῦ λαβεῖν· πρῶτον μὲν τοίνυν ὧν ἀπήγγειλεν,
δεύτερον δ' ὧν ἔπεισεν, τρίτον δ' ὧν προσετάξατ' αὐτῷ, 10
μετὰ ταῦτα τῶν χρόνων, ἐφ' ἅπασι δὲ τούτοις, εἰ
5 ἀδωροδοκήτως ἢ μὴ πάντα ταῦτα πέπρακται. τί δήποτε
τούτων; ὅτι ἐκ μὲν τῶν ἀπαγγελιῶν τὸ βουλεύσασθαι
περὶ τῶν πραγμάτων ὑμῖν ἐστίν· ἂν μὲν οὖν ὦσιν ἀλη-
θεῖς, τὰ δέοντ' ἔγνωτε, ἂν δὲ μὴ τοιαῦται, τἀναντία. τὰς 15
δὲ συμβουλίας πιστοτέρας ὑπολαμβάνετ' εἶναι τὰς τῶν
πρέσβεων· ὡς γὰρ εἰδότων περὶ ὧν ἐπέμφθησαν ἀκούετε·
οὐδὲν οὖν ἐξελέγχεσθαι δίκαιός ἐστιν ὁ πρεσβευτὴς

3 γενέσθαι U 4 ἐμπεποιήκῃι S^d VA: πεποιήκῃι S[1] ἐμπεποιή-
κει YU cf. Isocr. V 37. I 8 ἐμπεποίηκεν Markland 5 τούτου A
6 τοῦθ' SYU: τα̂ῦθ' F ταῦθ' AQ | εἰ σκέψαισθε S corr. VY
corr.: εἰ σκέψασθε S[1] AY[1] schol. 340, 14 quid U habuerit in-
certum (εἰ μὲν σκέψασθε? εἰ περισκέψασθε?) σκέψασθε Hermog. III
99 W. (127, 13 R.) (qui a verbo σκέψασθε orditur) Turic. 7 sq. ὦ...
λογίσαισθε om. Hermog. 8 λογίσαισθε VYU: λογίσασθαι S λο-
γίσεσθε A | τῇ πόλει om. Hermog. III 99 (127, 14) (non 211
[235, 12]) Anon. Seguer. 13 p. 354 Hamm. al. 9 μὲν om. Q |
τοίνυν om. Hermog. 211 (235, 14) secl. Blass 11 μετὰ ταῦτα
SVYU Hermog.: εἶτα A | τῶν χρόνων SF mg. γρ. QYU Hermog.:
χρόνων V[1] τὸν χρόνον A 12 ταῦτα πάντα A Hermog. 100 (127, 17)
Anon. 13 τούτων S[1] VY: τούτων ἕκαστον S^d τούτων ἑκάστου AU
ἀπαγγελιῶν] prius α in ras. S | βουλεύεσθαι A 14 ὑμῖν S γρ. Q:
ὀρθῶς ὑμῖν VAYU | ἐὰν μὲν A | ὦσιν] ω ex συ corr. S 15 ἐὰν
δὲ F[1] QA 16 συμβουλείας A[2] 18 δίκαιον A | post ὁ ras. 3 litt. S
(ἀεὶ fuisse put. Dindorf) | ὁ πρεσβευτὴς etiam γρ. S^d

φαῦλον οὐδ' ἀσύμφορον ὑμῖν συμβεβουλευκώς. καὶ μὴν 6
περὶ ὧν γε προσετάξατ' εἰπεῖν ἢ πρᾶξαι καὶ διαρρήδην
ἐψηφίσασθε ποιῆσαι, προσήκει διῳκηκέναι. εἶεν· τῶν δὲ
343 δὴ χρόνων διὰ τί; ὅτι | πολλάκις ὦ ἄνδρες Ἀθηναῖοι
5 συμβαίνει πολλῶν πραγμάτων καὶ μεγάλων καιρὸν ἐν
βραχεῖ χρόνῳ γίγνεσθαι, ὃν ἄν τις ἑκὼν καθυφῇ τοῖς
ἐναντίοις καὶ προδῷ, οὐδ' ἂν ὁτιοῦν ποιῇ πάλιν οἷός τ'
ἔσται σῶσαι. ἀλλὰ μὴν ὑπέρ γε τοῦ προῖκ' ἢ μή, τὸ μὲν 7
ἐκ τούτων λαμβάνειν, ἐξ ὧν ἡ πόλις βλάπτεται, πάντες
10 οἶδ' ὅτι φήσαιτ' ἂν εἶναι δεινὸν καὶ πολλῆς ὀργῆς ἄξιον·
ὁ μέντοι τὸν νόμον τιθεὶς οὐ διώρισεν τοῦτο, ἀλλ'
ἁπλῶς εἶπεν μηδαμῶς δῶρα λαμβάνειν, ἡγούμενος, ὡς
ἐμοὶ δοκεῖ, τὸν ἅπαξ λαβόντα καὶ διαφθαρένθ' ὑπὸ
χρημάτων οὐδὲ κριτὴν ἔτι τῶν συμφερόντων ἀσφαλῆ
15 μένειν τῇ πόλει. ἂν μὲν τοίνυν ἐξελέγξω καὶ δείξω 8
σαφῶς Αἰσχίνην τουτονὶ καὶ μηδὲν ἀληθὲς ἀπηγγελκότα
καὶ κεκωλυκότ' ἐμοῦ τὸν δῆμον ἀκοῦσαι τἀληθῆ, καὶ
πάντα τἀναντία τῶν συμφερόντων συμβεβουλευκότα, καὶ
μηδὲν ὧν προσετάξατ' ἐν τῇ πρεσβείᾳ πεποιηκότα, καὶ
20 ἀνηλωκότα τοὺς χρόνους ἐν οἷς πολλῶν καὶ μεγάλων
πραγμάτων καιροὶ προεῖνται τῇ πόλει, καὶ πάντων τού-
των δῶρα καὶ μισθοὺς εἰληφότα μετὰ Φιλοκράτους, κατα-
ψηφίσασθ' αὐτοῦ καὶ δίκην ἀξίαν τῶν ἀδικημάτων λά-

2 ἐπέμφθησαν post ὧν add. S[d] marg. (ex § 5) γε(?) ἐπέμφθησαν ἢ U mg. | γε ἢ S corr. γε om. U[1]　3 ποιῆσαι secl. Weidner　3 sq. τὸν ... χρόνον A corr. (τῶν χρόνων A[1])　6 ἐὰν VA　8 ἔστι Q　10 εὖ οἶδ' VA | φήσετ' A　11 θεὶς U　12 εἶπεν S[1]VAY: ἀπεῖπεν γρ. S[d] γρ. Q　13 λαμβάνοντα A　15 μενεῖν Dindorf | ἐν τῆι V | ἐλέγξω V | καὶ δείξω om. Hermog. 417 (429, 2)　18 post συμφερόντων add. τῆι πόλει S[d] ex § 24 ὑμῖν VYU cf. XVIII 198 | βεβουλευκότα Q　19 προσετάξατε ὑμεῖς Hermog. III 283 W. (301, 1 R.) | πεποιηκότα VA Hermog.: ποιήσαντα SYU

βετε· ἂν δὲ μὴ δείξω ταῦτ', ἢ μὴ πάντα, ἐμὲ μὲν φαῦλον ἡγεῖσθε, τοῦτον δ' ἄφετε.

9 *Πολλὰ δὲ καὶ δεινὰ κατηγορεῖν ἔχων ἔτι πρὸς τούτοις ἕτερ' ὦ ἄνδρες Ἀθηναῖοι, ἐξ ὧν οὐκ ἔσθ' ὅστις ἂν οὐκ εἰκότως μισήσειεν αὐτόν, βούλομαι πρὸ πάντων ὧν* 5 *μέλλω λέγειν μνημονεύοντας ὑμῶν οἶδ' ὅτι τοὺς πολλοὺς ὑπομνῆσαι, τίνα τάξιν ἑαυτὸν ἔταξεν Αἰσχίνης ἐν τῇ πολιτείᾳ τὸ πρῶτον, καὶ τίνας λόγους κατὰ τοῦ Φιλίππου δημηγορεῖν ᾤετο | δεῖν, ἵν' εἰδῆθ' ὅτι τοῖς ὑφ' ἑαυτοῦ* **344** *πεπραγμένοις καὶ δεδημηγορημένοις ἐν ἀρχῇ μάλιστ' ἐξ-* 10

10 *ελεγχθήσεται δῶρ' ἔχων. ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον, ὡς τότε δημηγορῶν ἔφη, ἐπιβουλεύοντα τοῖς Ἕλλησι καὶ διαφθείροντά τινας τῶν ἐν Ἀρκαδίᾳ προεστηκότων, καὶ ἔχων Ἴσχανδρον τὸν Νεοπτολέμου δευτεραγωνιστὴν προσιὼν μὲν τῇ βουλῇ,* 15 *προσιὼν δὲ τῷ δήμῳ περὶ τούτων, καὶ πείσας ὑμᾶς πανταχοῖ πρέσβεις πέμψαι τοὺς συνάξοντας δεῦρο τοὺς βου-*

11 *λευσομένους περὶ τοῦ πρὸς Φίλιππον πολέμου, καὶ ἀπαγγέλλων μετὰ ταῦθ' ἥκων ἐξ' Ἀρκαδίας τοὺς καλοὺς ἐκείνους καὶ μακροὺς λόγους, οὓς ἐν τοῖς μυρίοις ἐν Μεγάλῃ* 20 *πόλει πρὸς Ἱερώνυμον τὸν ὑπὲρ Φιλίππου λέγονθ' ὑπὲρ ὑμῶν ἔφη δεδημηγορηκέναι, καὶ διεξιὼν ἡλίκα τὴν Ἑλλά-*

1 *ἐὰν* QA 2 *τουτονὶ* VA Hermog. 305 (322, 10. 323, 2) 3 *δὲ* om. Q 4 *εστ* S *ἐξ ὧν ὅστις ἂν οὖν* A[1] (cf. ad XVIII 206) *οὐκ ἔσθ'* add. A[3] mg. 5 *βούλομαι* ... p. 407 18 *ἐλάνθανεν* adf. [Dionys.] Ars rh. p. 289 sqq. 6 *εὖ οἶδ'* A | *τοὺς* om. A 7 *εἰς τίνα* VAY | *ἔταξεν ἑαυτὸν* VA 9 *αυτοῦ* A 10 *καὶ δεδημηγορημένους* om. A | *τούτοις μάλιστα γρ.* S[d] A | *μάλιστα πάντων γρ.* QY corr. a pr. m. ut vid. 11 *οὗτος* om. [Dionys.] 15 *προσιὼν μὲν τῇ βουλῇ* om. Q 16 *πανταχοῖ* S: *πανταχοῦ* VY pap. Bodl. [Dionys.] *πανταχῆι* A 17 *πέμψαι* SAYU pap. [Dionys.]: *πέμπειν* V 19 *μακροὺς ἐκ. κ. καλοὺς* A 22 *καὶ* del. Dobree | *εξιων* S[1] corr. S[d]

δα πᾶσαν, οὐχὶ τὰς ἰδίας ἀδικοῦσι μόνον πατρίδας οἱ
δωροδοκοῦντες καὶ χρήματα λαμβάνοντες παρὰ Φιλίππου.
ἐπειδὴ τοίνυν ταῦτα πολιτευομένου τούτου τότε καὶ 12
τοῦτο τὸ δεῖγμ' ἐξενηνοχότος περὶ αὑτοῦ, τοὺς περὶ τῆς
5 *εἰρήνης πρέσβεις πέμπειν ὡς Φίλιππον ἐπείσθηθ' ὑπ'*
Ἀριστοδήμου καὶ Νεοπτολέμου καὶ Κτησιφῶντος καὶ τῶν
ἄλλων τῶν ἐκεῖθεν ἀπαγγελλόντων οὐδ' ὁτιοῦν ὑγιές,
γίγνεται τῶν πρέσβεων τούτων εἷς καὶ οὗτος, οὐχ ὡς
τῶν ἀποδωσομένων τὰ ὑμέτερα, οὐδ' ὡς τῶν πεπιστευ-
10 *κότων τῷ Φιλίππῳ, ἀλλ' ὡς τῶν φυλαξόντων τοὺς ἄλ-*
λους· διὰ γὰρ τοὺς προειρημένους λόγους καὶ τὴν πρὸς
τὸν Φίλιππον ἀπέχθειαν ταύτην εἰκότως περὶ αὐτοῦ
πάντες εἴχετε τὴν δόξαν. προσελθὼν τοίνυν ἐμοὶ μετὰ 13
345 *ταῦτα συνετάττετο κοινῇ πρε|σβεύειν, καὶ ὅπως τὸν μια-*
15 *ρὸν καὶ ἀναιδῆ φυλάξομεν ἀμφότεροι, τὸν Φιλοκράτην,*
πολλὰ παρεκελεύσατο. καὶ μέχρι τοῦ δεῦρ' ἐπανελθεῖν
ἀπὸ τῆς πρώτης πρεσβείας ἐμὲ γοῦν ὦ ἄνδρες Ἀθηναῖοι
διεφθαρμένος καὶ πεπρακὼς ἑαυτὸν ἐλάνθανεν. χωρὶς
γὰρ τῶν ἄλλων ὧν, ὅπερ εἶπον, εἰρήκει πρότερον, ἀνα-
20 *στὰς τῇ προτέρᾳ τῶν ἐκκλησιῶν ἐν αἷς περὶ τῆς εἰρή-*
νης ἐβουλεύεσθε, ἤρξατ' ἀρχήν, ἣν ἐγὼ καὶ τοῖς ῥήμασιν
οἶμαι τοῖς αὐτοῖς, οἷσπερ οὗτος εἶπεν ἐν ὑμῖν, ἀπομνη-
μονεύσειν. „εἰ πάνυ πολὺν" ἔφη „χρόνον ἐσκόπει Φιλο- 14

4 *τὸ* om. V | *εξενηχοτος* S[1]Y[1] | *αὐτοῦ* Y: *αυτοῦ* SA *ἑαυτοῦ* V *αυτου* fr. Graf. *αὐτοῦ* [Dionys.] 5 *ως φιλιππον πεμπειν* fr. G. *ὑπ'*] *ὑπερ* A 10 *τῷ* om. A 12 *τὸν* om. V fr. G. [Dionys.] *εικοτως ταυτην* fr. G. 13 *ἔχετε* A 14 *πρεσβεύει* F[1] 15 *λίαν ἀναιδῆ* [Dionys.] | *φυλάξομεν* SV fr. G. [Dionys.]: *φυλάξωμεν* AY
17 *ὦ* (superscr. *θ*) fr. G. 19 *ὧν ὅπερ* S corr. pr. m. F corr. AY: *ὧν περ* S[1]F[1]Q | *ὧν προειρήκει γρ.* Q fr. G. ut vid. *προειρήκει* etiam S rec. 20 *προτέραι* A fr. G.: *προτεραίαι* SVY | *τῶν ἐκκλησιῶν*] *ἐκκλησία* A 22 *ἐν* om. F

κράτης ὦ ἄνδρες Ἀθηναῖοι, πῶς ἂν ἄριστ' ἐναντιωθείη τῇ εἰρήνῃ, οὐκ ἂν αὐτὸν ἄμεινον εὑρεῖν οἶμαι ἢ τοιαῦτα γράφοντα. ἐγὼ δὲ ταύτην μὲν τὴν εἰρήνην, ἕως ἂν εἷς Ἀθηναίων λείπηται, οὐδέποτ' ἂν συμβουλεύσαιμι ποιή-σασθαι τῇ πόλει, εἰρήνην μέντοι φημὶ δεῖν ποιεῖσθαι". 5 καὶ τοιούτους τινὰς εἶπεν βραχεῖς καὶ μετρίους λόγους.

15 *ὁ δὲ ταῦτ' εἰπὼν τῇ προτεραίᾳ πάντων ἀκουόντων ὑμῶν, εἰς τὴν ὑστεραίαν, ἐν ᾗ τὴν εἰρήνην ἔδει κυροῦσθαι, ἐμοῦ τῷ τῶν συμμάχων συνηγοροῦντος δόγματι καὶ τὴν εἰρήνην ὅπως ἴση καὶ δικαία γένηται πράττοντος, καὶ* 10 *ὑμῶν βουλομένων ταῦτα καὶ οὐδὲ φωνὴν ἐθελόντων ἀκούειν τοῦ καταπτύστου Φιλοκράτους, ἀναστὰς ἐδημη-γόρει καὶ συνηγόρει 'κείνῳ πολλῶν ἀξίους, ὦ Ζεῦ καὶ*

16 *πάντες θεοί, θανάτων λόγους, ὡς οὔτε τῶν προγόνων ὑμᾶς μεμνῆσθαι δέοι, οὔτε τῶν τὰ τρόπαια καὶ τὰς ναυ-* 15 *μαχίας λεγόντων ἀνέχεσθαι, νόμον τε θήσειν καὶ γρά-ψειν μηδενὶ τῶν Ἑλλήνων ὑμᾶς βοηθεῖν, ὃς ἂν μὴ πρό-τερος βεβοηθηκὼς ὑμῖν ᾖ. | καὶ ταῦθ' ὁ σχέτλιος καὶ* 346 *ἀναιδὴς οὗτος ἐτόλμα λέγειν ἐφεστηκότων τῶν πρέσβεων καὶ ἀκουόντων, οὓς ἀπὸ τῶν Ἑλλήνων μετεπέμψασθ' ὑπὸ* 20 *τούτου πεισθέντες, ὅτ' οὔπω πεπρακὼς αὐτὸν ἦν.*

17 *Ὃν μὲν οὖν τρόπον ὦ ἄνδρες Ἀθηναῖοι χειροτο-*

1 *πῶς* SF[1]Q: *ὅπως* F corr. AY | *ἂν* om. S[1] 2 *οἴομαι* A 4 *λίπηται* QY 5 *δεῖν*] *ν* in ras. F 6 *βραχεῖς εἶπεν* fr. G. 7 *προτεραίαι* S[d]VAY: *προτέραι* S[1] cf. Hermog. III 96 W. (124, 23 R.) 8 *ὑστεραίαν*] *αι* in ras. F 8 sqq. *ἔδει ... εἰρήνην* om. A[1] add. in mg. ead. (?) 10 *γένηται* SAY: *γενήσεται* V cf. § 230. XVIII 161 | *πράττοντος γένηται* A 11 *ταυτὰ* A 11 sq. *ἀκούειν ἐθελόντων* AY 13 *συνηγόρησεν* A 14 *πάντες* om. V 15 sq. *λε-γόντων καὶ τὰς ναυμαχίας* A 16 *γράφειν* A 17 *ὃς*] *ὡς* Q | *πρό-τερον* A 18 *ὑμῖν* ante *βεβοηθηκὼς* A, om. Q 19 *ἔτι τῶν πρέσβεων* A | *τῶν* ante *πρέσβεων* om. F[1] 21 *τούτου τότε* S[d]V *ἑαυτὸν* VA

νησάντων ὑμῶν ἐπὶ τοὺς ὅρκους αὐτὸν πάλιν τούς τε
χρόνους κατέτριψε καὶ τὰ πράγματα πάντ᾽ ἐλυμήνατο
τῆς πόλεως, καὶ ὅσαι περὶ τούτων ἐμοὶ πρὸς τοῦτον
ἀπέχθειαι συνέβησαν βουλομένῳ κωλύειν, αὐτίκ᾽ ἀκού-
5 σεσθε. ἀλλ᾽ ἐπειδὴ πάλιν ἥκομεν ἐκ τῆς πρεσβείας ταύ-
της τῆς ἐπὶ τοὺς ὅρκους, ἥσπερ εἰσὶν αἱ νῦν εὔθυναι,
οὔτε μικρὸν οὔτε μέγ᾽ οὐδ᾽ ὁτιοῦν ηὑρημένοι τῶν ὅτε
τὴν εἰρήνην ἐποιεῖσθε λεχθέντων καὶ προσδοκηθέντων,
ἀλλὰ πάντ᾽ ἐξηπατημένοι, καὶ τούτων ἕτερ᾽ αὖθις αὖ
10 πεπραχότων καὶ παρ᾽ αὐτὸ τὸ ψήφισμα πεπρεσβευκό-
των, προσῆμεν τῇ βουλῇ. καὶ ταυτὶ πολλοὶ συνίσασιν ἃ
μέλλω λέγειν· τὸ γὰρ βουλευτήριον μεστὸν ἦν ἰδιωτῶν.
παρελθὼν δ᾽ ἐγὼ πάντα τἀληθῆ πρὸς τὴν βουλὴν ἀπ- 18
ήγγειλα, καὶ κατηγόρησα τούτων, καὶ ἀνηριθμησάμην
15 ἀπὸ τῶν πρώτων ἐλπίδων ἐκείνων ὧν ὁ Κτησιφῶν καὶ
ὁ Ἀριστόδημος ἀπήγγειλαν πρὸς ὑμᾶς, καὶ μετὰ ταῦθ᾽
ὅτε τὴν εἰρήνην ἐποιεῖσθε, ἃ οὗτος ἐδημηγόρησεν καὶ
εἰς ἃ προήχασιν τὴν πόλιν, καὶ περὶ τῶν ὑπολοίπων
(ταῦτα δ᾽ ἦν Φωκεῖς καὶ Πύλαι) μὴ προέσθαι συνεβού-
20 λευον, μηδὲ ταὐτὰ παθεῖν, μηδ᾽ ἀναρτωμένους ἐλπίσιν
ἐξ ἐλπίδων καὶ ὑποσχέσεσιν εἰς τοὔσχατον ἐλθεῖν τὰ
πράγματ᾽ ἐᾶσαι. καὶ ἔπεισα ταῦτα τὴν βουλήν. ἐπειδὴ 19

3 τῆς πόλεως SY (fr. G.?): τὰ τῆς πόλεως VA secl. Weil cf. § 207 4 γρ αὐτίκα δὴ μάλα S[d] γρ. Q cf. § 39 | ἀκούεσθε A[1] corr. ead. 6 ἐπὶ] περὶ A 9 εξηπατηθεντων S[1] corr. γρ. S[d] 10 πεπρακότων A | αὐτὸ om. V 11 προσῆιμεν γρ. VY Hermog. III 263 W. (282, 23 R.) (προσηϊμεν S[1]) προσίημεν S corr. προσήειμεν A προσήειν V 15 ὁ om. A | Κτησιφῶν] αριστοφων S[1] superscr. κτησιφων S[2] 17 καὶ om. S[1] (add. γρ. S[d]) quo probato οἷς οὗτος Weil 18 προσήχασι(ν) SY προήκασιν γρ. S[d] γρ. Q 20 ταῦτα QA | αναρτουμενους ut vid. S[1] | post ἐλπίσιν 3 litt. eras. S 21 ὑπόσχεσιν F[1]Y[1] | καὶ ὑποσχέσεσιν secl. Blass

δ' ἧκεν ἡ ἐκκλησία καὶ πρὸς | ὑμᾶς ἔδει λέγειν, παρελ- 347
θὼν Αἰσχίνης οὑτοσὶ πρῶτος ἡμῶν ἁπάντων (καὶ πρὸς
Διὸς καὶ θεῶν πειρᾶσθε συνδιαμνημονεύειν, ἂν ἀληθῆ
λέγω· τὰ γὰρ πάντα τὰ πράγματα λυμηνάμεν' ὑμῶν καὶ
διαφθείρανθ' ὅλως ταῦτ' ἐστὶν ἤδη) τοῦ μὲν ἀπαγγέλ- 5
λειν τι τῶν πεπρεσβευμένων ἢ περὶ τῶν ἐν τῇ βουλῇ
ῥηθέντων, εἰ ἄρ' ἠμφεσβήτει μὴ ἀληθῆ λέγειν ἐμέ, μνη-
σθῆναι πάμπληθες ἀπέσχεν, εἶπεν δὲ τοιούτους λόγους
καὶ τηλικαῦτα καὶ τοσαῦτ' ἔχοντας ἀγαθά, ὥσθ' ἅπαντας
20 ὑμᾶς λαβὼν ᾤχετο. ἔφη γὰρ ἥκειν πεπεικὼς Φίλιππον 10
ἅπανθ' ὅσα συμφέρει τῇ πόλει, καὶ περὶ τῶν ἐν Ἀμφι-
κτύοσιν καὶ περὶ τῶν ἄλλων ἁπάντων, καὶ διεξῆλθε λό-
γον μακρὸν ὑμῖν, ὃν κατὰ Θηβαίων εἰπεῖν πρὸς Φίλιπ-
πον ἔφη, καὶ τὰ κεφάλαι' ἀπήγγελλε πρὸς ὑμᾶς, καὶ ἀπ-
ελογίζετ' ἐκ τῶν αὐτῷ πεπρεσβευμένων δυοῖν ἢ τριῶν 15
ἡμερῶν ὑμᾶς, μένοντας οἴκοι καὶ οὐ στρατευομένους οὐδ'
ἐνοχλουμένους, Θήβας μὲν πολιορκουμένας αὐτὰς καθ'
21 αὑτὰς χωρὶς τῆς ἄλλης Βοιωτίας ἀκούσεσθαι, Θεσπιὰς
δὲ καὶ Πλαταιὰς οἰκιζομένας, τῷ θεῷ δὲ τὰ χρήματ' εἰσ-
πραττόμεν' οὐ παρὰ Φωκέων, ἀλλὰ παρὰ Θηβαίων τῶν 20
βουλευσάντων τὴν κατάληψιν τοῦ ἱεροῦ· διδάσκειν γὰρ
αὐτὸς ἔφη τὸν Φίλιππον, ὅτι οὐδὲν ἧττον ἠσεβήκασιν
οἱ βεβουλευκότες τῶν ταῖς χερσὶ πραξάντων, καὶ διὰ

3 ἀληθῆ] ταληθη fr. G. 4 τα λυμηναμενα S[1] (τα lineolis deletum), Y τα s. v. et punctis del. F | ἡμῶν F 7 ημφ^ε^σβητει fr. G. ἠμφισβήτει SVAY | ἀληθῆ SVY fr. G.: τἀληθῆ A 9 τοσ^ο^αῦτα F: τοιαῦτα SQAY fr. G., cf. 24. 35 11 πάνθ' VA fr. G. 13 υπερ φω[κεων προς φιλιπ]πον εφη fr. G. 14 ἀπήγγελλε SY fr. G.: ἀπήγγειλεν VA | ὑπελογίζετο A corr. 15 ἑαυτῶι A fr. G. | δυεῖν V 18 ἀκούσεσθε S[1]VA | θεσπειὰς A, ει in ras. 19 πλατειας ut vid. S[1] 21 διδάξαι fr. G.

τοῦτο χρήμαθ' ἑαυτῷ τοὺς Θηβαίους ἐπικεκηρυχέναι. ἀκούειν δὲ καὶ τῶν Εὐβοέων ἐνίων ἔφη πεφοβημένων 22 καὶ τεταραγμένων τὴν πρὸς τὴν πόλιν οἰκειότητα Φιλίππῳ γεγενημένην, ὅτι „οὐ λελήθαθ' ἡμᾶς ὦ ἄνδρες | 348 πρέσβεις, ἐφ' οἷς πεποίησθε τὴν εἰρήνην πρὸς Φίλιππον, 6 οὐδ' ἀγνοοῦμεν, ὅτι ὑμεῖς μὲν Ἀμφίπολιν δεδώκατ' ἐκείνῳ, Φίλιππος δ' ὑμῖν Εὔβοιαν ὡμολόγηκεν παραδώσειν“. εἶναι μέντοι καὶ ἄλλο διῳκημένον αὐτῷ, οὐ μήν πω τοῦτο βούλεσθαι λέγειν· καὶ γὰρ νῦν φθονεῖν τινὰς αὐτῷ τῶν 10 συμπρέσβεων. ὑπηνίττετο δ' οὕτω καὶ παρεδήλου τὸν Ὠρωπόν. εὐδοκιμῶν δ' ἐπὶ τούτοις εἰκότως καὶ δοκῶν 23 καὶ ῥήτωρ ἄριστος εἶναι καὶ ἀνὴρ θαυμαστός, κατέβη μάλα σεμνῶς. ἀναστὰς δ' ἐγὼ ταῦτά τ' οὐκ ἔφην εἰδέναι καὶ ἐπειρώμην τι λέγειν τούτων ὧν εἰς τὴν βουλὴν ἀπ- 15 ήγγειλα. καὶ παραστὰς ὁ μὲν ἔνθεν, ὁ δ' ἔνθεν, οὑτοσὶ καὶ Φιλοκράτης, ἐβόων, ἐξέκρουόν με, τελευτῶντες ἐχλεύαζον. ὑμεῖς δ' ἐγελᾶτε καὶ οὔτ' ἀκούειν ἠθέλετ' οὔτε πιστεύειν ἐβούλεσθ' ἄλλα πλὴν ἃ οὗτος ἀπηγγέλκει. καὶ 24 νὴ τοὺς θεοὺς εἰκός τι παθεῖν ἔμοιγε δοκεῖτε· τίς γὰρ 20 ἂν ἠνέσχετο, τηλικαῦτα καὶ τοσαῦτ' ἔσεσθαι προσδοκῶν ἀγαθά, ἢ ταῦθ' ὡς οὐκ ἔσται λέγοντός τινος, ἢ κατηγο-

1 τοῦτο fr. G. (coni. Voemel): ταῦτα SVAY cf. § 35 | αὐτῶι VA fr. G. 4 ὅτι] καὶ λεγόντων ὅτι A καὶ λεγειν οτι fr. G.[1] 5 ἐφ' οἷς om. S[1] | προς φιλιππον την ειρηνην fr. G. 6 φιλιππωι (supra: εκεινωι) fr. G. ωμολογησεν ευβοιαν fr. G. 8 μέντοι] δὲ V fr. G. | καὶ SY: τι καὶ VA fr. G. | αὐτῷ Taylor | μὴν] μὲν SY | τουτο γε fr. G. 9 τινὰς αὐτῶι φθονεῖν A 10 συνπεσβεων fr. G. πρέσβεων Q | οὕτω που A ουτω πω fr. G. corr. 11 εωρωπον S[1] 12 καὶ ante ῥήτωρ om. fr. G. 14 καὶ ἅμα S corr. καὶ μάλα γρ. Q 15 οὑτωσὶ F[1] 17 οὐδ' ἀκούειν A 18 ἠβούλεσθ' V fr. G. | ἄλλα om. Priscian. XVIII 269 | ἃ ex ὧν ut vid. corr. A[2] | ἀπήγγελκε SF[1]Q 19 εμοιγε δοκειτε S ἔμοιγε δοκεῖτε A: ἔμοιγ' ἐδοκεῖτε VY fr. G. 20 τοιαῦτα fr. G., cf. § 19 | καὶ τοσαῦτα iterat Y

ροῦντος τῶν πεπραγμένων τούτοις; πάντα γὰρ τἄλλ'
οἶμαι τότε δεύτερ' ἦν τῶν ὑποκειμένων προσδοκιῶν καὶ
τῶν ἐλπίδων, οἱ δ' ἀντιλέγοντες ὄχλος ἄλλως καὶ βα-
σκανία κατεφαίνετο, ταῦτα δὲ θαυμάσι' ἡλίκα καὶ συμ-
φέροντ' ἐδόκει πεπρᾶχθαι τῇ πόλει. 5

25 Τοῦ χάριν δὴ ταῦθ' ὑπέμνησα πρῶτα νῦν ὑμᾶς καὶ
διεξῆλθον τούτους τοὺς λόγους; ἑνὸς μὲν ὦ ἄνδρες
Ἀθηναῖοι μάλιστα καὶ πρώτου, ἵνα μηδεὶς ὑμῶν, ἐπει-
δάν τι λέγοντος ἀκούῃ μου τῶν πε|πραγμένων καὶ δοκῇ 349
δεινὸν αὐτῷ καὶ ὑπερβάλλον εἶναι, „εἶτα τότ' οὐκ ἔλεγες 10
26 παραχρῆμα ταῦτ' οὐδ' ἐδίδασκες ἡμᾶς;“ θαυμάζῃ, ἀλλὰ
μεμνημένοι τὰς ὑποσχέσεις τὰς τούτων, ἃς ἐφ' ἑκάστων
ποιούμενοι τῶν καιρῶν ἐξέκλειον λόγου τυγχάνειν τοὺς
ἄλλους, καὶ τὴν ἐπαγγελίαν τὴν τούτου ταύτην τὴν κα-
λήν, εἰδῆθ' ὅτι πρὸς ἅπασι τοῖς ἄλλοις καὶ τοῦτ' ἠδί- 15
κησθ' ὑπ' αὐτοῦ, ὅτι τἀληθῆ παραχρῆμα καὶ ἡνίκ' ἔδει
πυνθάνεσθαι διεκωλύθητ' ἐλπίσι καὶ φενακισμοῖς καὶ
27 ὑποσχέσεσιν [ἐξαπατώμενοι]. πρώτου μὲν τούτου καὶ
μάλισθ', ὅπερ εἶπον, ἕνεκα ταῦτα διεξῆλθον, δευτέρου
δὲ τίνος καὶ οὐδὲν ἐλάττονος ἢ τούτου; ἵνα τὴν ὅτ' 20
ἀδωροδόκητος ὑπῆρχεν προαίρεσιν αὐτοῦ τῆς πολιτείας
ἀναμνησθέντες, ὡς προβεβλημένη καὶ ἄπιστος ἦν πρὸς

1 τἄλλ'] τότ' Y 4 καὶ del. Cobet cf. § 87 5 τῆι πόλει πε-
πρᾶχθαι A | τῇ πόλει susp. Blass 6 δὴ om. S[1] add. m. antiqua |
πρῶτον γρ. S[d] schol. p. 346, 25 8 πρώτου cf. Hermog. III 216 W.
(240, 8 R.). 268 (287, 15) 9 μου καὶ κατηγοροῦντος VAY, cf. § 24 |
δοκεῖ A 12 ἑκάστωι A 13 ἐξέκλειον] ἐξέκρουον γρ. S[d] γρ. V |
τοῦ ante λόγου ad infinitivum add. Reiske 16 ὑπ'] παρ' A
18 ἐξαπατώμενοι om. S[1] add. S[d]FAY ἐξηπατημένοι Q | μὲν οὖν
F[1]Q Hermog. 216 (240, 11) (οὖν punctis del. F) 19 ὅπερ γρ.
Ald. Voem.: οὗπερ SVAY Hermog. | ταῦτα om. A[1] add. ead.
20 signum interrogandi Reiske post τίνος posuerat, transposuit
rursus Weil | ουδενος fr. G.

τὸν Φίλιππον, τὴν μετὰ ταῦτ' ἐξαίφνης γεγονυῖαν πίστιν
καὶ φιλίαν σκέψησθε, εἶτ' εἰ μὲν ἐκβέβηκεν ὅσ' ἀπήγ- 28
γειλεν πρὸς ὑμᾶς οὗτος καὶ καλῶς ἔχει τὰ πεπραγμένα,
διὰ τὴν ἀλήθειαν καὶ τὸ συμφέρον τῇ πόλει γεγενῆσθαι
5 νομίσητε, εἰ δὲ πάντα τἀναντί' ὧν οὗτος εἶπεν πέπρα-
κται, καὶ πολλὴν αἰσχύνην καὶ μεγάλους κινδύνους ταῦτ'
ἔχει τῇ πόλει, διὰ τὴν αἰσχροκερδίαν τὴν ἑαυτοῦ καὶ τὸ
χρημάτων ἀποδόσθαι τἀληθῆ μεταβεβλημένον αὐτὸν
εἰδῆτε.

10 Βούλομαι δ', ἐπειδήπερ εἰς τούτους προήχθην τοὺς 29
λόγους, ὃν τρόπον τὰ περὶ τοὺς Φωκέας πράγμαθ' ὑμῶν
παρείλοντο, πρῶτον εἰπεῖν ἁπάντων. δεῖ δὲ μηδέν' ὑμῶν
350 ὦ ἄνδρες δικασταί, εἰς τὸ τῶν πραγ|μάτων μέγεθος βλέ-
ψαντα μείζους τὰς κατηγορίας καὶ τὰς αἰτίας τῆς τούτου
15 δόξης νομίσαι, ἀλλ' ἐκεῖν' ὁρᾶν, ὅτι ὅντιν' ἂν ὑμεῖς εἰς
ταύτην τὴν τάξιν κατεστήσατε καὶ τῶν συμβάντων και-
ρῶν ἐποιήσατε κύριον, οὗτος, εἴπερ ὥσπερ οὗτος ἐβου-
λήθη μισθώσας αὐτὸν ἐξαπατᾶν ὑμᾶς καὶ φενακίζειν,
τῶν ἴσων αἴτιος ἦν ἂν κακῶν ὅσωνπερ καὶ οὗτος. οὐ 30
20 γὰρ εἰ φαύλοις χρῆσθ' ὑμεῖς εἰς τὰ κοινὰ πολλάκις ἀν-
θρώποις, καὶ τὰ πράγματ' ἐστὶν φαῦλα, ὧν ἡ πόλις ἀξιοῦ-
ται παρὰ τοῖς ἄλλοις, οὐδὲ πολλοῦ δεῖ. εἶτα καὶ Φωκέας
ἀπολώλεκεν μὲν οἶμαι Φίλιππος, συνηγωνίσαντο δ' οὗ-

2 ἀπήγγελκε A 3 ἔχει SAY fr. G.: εἶχε V 5 εἶπεν] εἰ Q[1] πε s. v. add. ead. 7 αἰσχροκέρδειαν S rec. F mg. A cf. XVIII 295 | ἑαυτοῦ S γρ. FY: τούτου VA 12 παρείλαντο Q 13 δι-κασταί] ἀθηναῖοι Y | βλέψαντα SY: ἀποβλέψαντα VA 15 ὅντιν' ἂν SY: εἰ καὶ ὅντιν' οὖν VA 17 εἶθ' ante prius οὗτος add. VY | οὗτος δὲ εἴπερ A | ὥσπερ οὗτος post Reiskium secl. Dindorf 18 αὐτὸν SAY: ἑαυτὸν V | ante ἐξαπατᾶν add. τοῖς ἐχθροῖς VY 19 αἴτιος ἦν ἂν SY: ἂν αἴτιος ἦν V αἴτιος ἦν A 20 ὑμεῖς χρῆσθε A | ανθρωποισι fr. G. 22 καὶ om. fr. G.

τοι· τοῦτο δὴ δεῖ σκοπεῖν καὶ ὁρᾶν, εἰ ὅσα τῆς Φωκέων σωτηρίας ἐπὶ τὴν πρεσβείαν ἧκεν, ταῦθ' ἅπαντ' ἀπώλεσαν οὗτοι καὶ διέφθειραν ἑκόντες, οὐχ ὡς ὅδε Φωκέας ἀπώλεσεν καθ' ἑαυτόν. πόθεν;

31 *Δὸς δέ μοι τὸ προβούλευμα, ὃ πρὸς τὴν ἐμὴν ἀπαγ-* 5 *γελίαν ἐψηφίσαθ' ἡ βουλή, καὶ τὴν μαρτυρίαν τὴν τοῦ γράψαντος αὐτὸ τότε, ἵν' εἰδῆθ' ὅτι ἐγὼ μὲν οὐ τότε σιγήσας νῦν ἀφίσταμαι τῶν πεπραγμένων, ἀλλ' εὐθὺς κατηγόρουν καὶ προεώρων τὰ μέλλοντα, ἡ βουλὴ δέ, ἡ μὴ κωλυθεῖσ' ἀκοῦσαι τἀληθῆ παρ' ἐμοῦ, οὔτ' ἐπῄνεσε* 10 *τούτους οὔτ' εἰς τὸ πρυτανεῖον ἠξίωσεν καλέσαι. καίτοι τοῦτ', ἀφ' οὗ γέγονεν ἡ πόλις, οὐδείς πώποτέ φησι παθεῖν οὐδένας πρέσβεις, οὐδὲ Τιμαγόραν, οὗ θάνατον* 32 *κατεχειροτόνησεν ὁ δῆμος. ἀλλ' οὗτοι πεπόνθασι. λέγε δ' αὐτοῖς πρῶτον μὲν τὴν μαρτυρίαν, εἶτα τὸ προβού-* 15 *λευμα.* |

ΜΑΡΤΥΡΙΑ. ΠΡΟΒΟΥΛΕΥΜΑ 351

Ἐνταῦθ' οὔτ' ἔπαινος οὔτε κλῆσις εἰς τὸ πρυτανεῖόν ἐστι τῶν πρέσβεων ὑπὸ τῆς βουλῆς. εἰ δέ φησιν οὗτος, δειξάτω καὶ παρασχέσθω, κἀγὼ καταβαίνω. ἀλλ' οὐκ 20 *ἔστιν. εἰ μὲν τοίνυν ταὔθ' ἅπαντες ἐπρεσβεύομεν, δικαίως οὐδέν' ἐπῄνεσεν ἡ βουλή· δεινὰ γὰρ τὰ πεπραγμένα πᾶσιν· εἰ δ' οἱ μὲν τὰ δίκαι' ἔπραττον ἡμῶν, οἱ*

1 *τουτο δε δη δει* fr. G. | *εἰ* om. A | *τῆς τῶν φωκέων* V fr. G. 2 *ταῦτα πάντα* VA fr. G. | *απολεσαν* S[1] 4 *ἀπώλεσεν* SA fr. G.: *ἀπώλεσεν ἂν* VY | *το καθ αυτον* fr. G. | *αὐτὸν* A 5 *ἀπαγγελίαν* SA fr. G.: *ἐπαγγελίαν* VY 7 *ινα γνωτε* fr. G. 8 *ἐφίσταμαι* SF mg. Q 9 *προωρώμην* V cf. § 154 10 *ακουειν παρ εμου* [*ταληθη ου*]*τ* fr. G. | *ἐμοῦ τότε* S corr. 12 *φησι* SVY fr. G.: *φήσει* A 15 *μὲν* om. A 18 *ἐνταῦθ'*] *ἐντεῦθεν* A 21 *ἅπαντες* SY: *πάντες* VA 22 *γὰρ ὡς ἀληθῶς* VY ex XVIII 63? 23 *δίκαι'*] *καὶ* s. v. Q

δὲ τἀναντία, διὰ τοὺς πεπονηρευμένους ὡς ἔοικεν τοῖς ἐπιεικέσι συμβεβηκὸς ἂν εἴη ταύτης τῆς ἀτιμίας μετεσχηκέναι. πῶς οὖν ῥᾳδίως πάντες εἴσεσθε, τίς ποτ' ἔσθ' 33 ὁ πονηρός; ἀναμνήσθητε παρ' ὑμῖν αὐτοῖς, τίς ἐσθ' ὁ 5 κατηγορῶν τῶν πεπραγμένων ἐξ ἀρχῆς. δῆλον γὰρ ὅτι τῷ μὲν ἠδικηκότι σιγᾶν ἐξήρκει καὶ διακρουσαμένῳ τὸν παρόντα χρόνον μηκέτ' εἰς λόγον περὶ τῶν πεπραγμένων ἑαυτὸν καθιστάναι, τῷ δὲ μηδὲν ἑαυτῷ συνειδότι δεινὸν εἰσῄει, εἰ δεινῶν καὶ πονηρῶν ἔργων δόξει κοινωνεῖν τῷ 10 σιωπῆσαι. εἰμὶ τοίνυν ὁ κατηγορῶν ἐξ ἀρχῆς ἐγὼ τούτων, τούτων δ' οὐδεὶς ἐμοῦ.

Ἡ μὲν τοίνυν βουλὴ ταῦτα προὐβεβουλεύκει, τῆς δ' 34 ἐκκλησίας γιγνομένης καὶ τοῦ Φιλίππου παρόντος ἐν Πύλαις ἤδη—ἦν γὰρ τοῦτο πρῶτον ἁπάντων τῶν ἀδικη-15 μάτων, τὸ τὸν Φίλιππον ἐπιστῆσαι τοῖς πράγμασι τούτοις καὶ δέον ὑμᾶς ἀκοῦσαι περὶ τῶν πραγμάτων, εἶτα βουλεύσασθαι, μετὰ ταῦτα δὲ πράττειν ὅ τι δόξαι, ἅμ' ἀκούειν κἀκεῖνον παρεῖναι καὶ μηδ' ὅ τι χρὴ ποιεῖν ῥᾴδιον εἰπεῖν εἶναι. πρὸς δὲ τούτοις τοῦτο μὲν οὐδεὶς ἀν- 35 352 έγνω τῷ δήμῳ τὸ προβούλευμα, οὐδ' ἤκουσεν | ὁ δῆμος, 21 ἀναστὰς δ' οὗτος ἐδημηγόρει ταῦθ' ἃ διεξῆλθον ἄρτι πρὸς ὑμᾶς ἐγώ, τὰ πολλὰ καὶ μεγάλ' ἀγαθά, ἃ πεπεικὼς ἔφη τὸν Φίλιππον ἥκειν καὶ διὰ τοῦτο χρήμαθ' ἑαυτῷ τοὺς Θηβαίους ἐπικεκηρυχέναι. ὥσθ' ὑμᾶς, ἐκπεπληγ-

3 ἅπαντες VY 4 ἂν ἀναμνησθῆτε Dobree 7 αὐτὸν περὶ τῶν πεπραγμένων A 8 αὐτῶι V 8 sq. δεινὸν εἰσῄει εἰ SF[1] (ut vid.) QA: δεινὸν εἰ σιγῴη F corr. Y 9 δεινῶν καὶ πονηρῶν SAY: πονηρῶν καὶ δεινῶν V δεινῶν καὶ del. Dobree 10 τούτων om. F[1]Q (add. γρ. Q) A 12 τοίνυν] οὖν A | προβεβουλεύκει SAY 17 δόξηι A 18 χρὴ SAY: χρῆν V 23 τοῦτο SY: ταῦτα VA | χρήματ' αὐτῶι VA 24 επικηρυχεναι S[1] | ἡμᾶς A

μένους τῇ παρουσίᾳ τὸ πρῶτον τῇ τοῦ Φιλίππου καὶ τούτοις ὀργιζομένους ἐπὶ τῷ μὴ προηγγελκέναι, πραοτέρους γενέσθαι τινός, πάνθ' ὅσ' ἐβούλεσθ' ὑμῖν ἔσεσθαι προσδοκήσαντας, καὶ μηδὲ φωνὴν ἐθέλειν ἀκούειν
36 *ἐμοῦ μηδ' ἄλλου μηδενός. καὶ μετὰ ταῦτ' ἀνεγιγνώσκεθ'* 5
ἡ ἐπιστολὴ ἡ παρὰ τοῦ Φιλίππου, ἣν οὗτος ἔγραψεν ἀπολειφθεὶς ἡμῶν, ἄντικρυς οὕτως καὶ διαρρήδην ἀπολογία γεγραμμένη τῶν τούτοις ἡμαρτημένων. καὶ γὰρ ὡς αὐτὸς κατεκώλυσεν αὐτοὺς βουλομένους ἐπὶ τὰς πόλεις ἰέναι καὶ τοὺς ὅρκους ἀπολαμβάνειν, ἔνεστιν, καὶ 10
ὡς, ἵνα συνδιαλλάττωσιν αὐτῷ τοὺς Ἀλέας πρὸς τοὺς Φαρσαλίους, κατέσχεν αὐτούς· καὶ πάντ' ἀναδεχόμενος καὶ εἰς αὐτὸν ποιούμενος τὰ τούτων ἁμαρτήματ' ἐστίν.
37 *ὑπὲρ δὲ Φωκέων καὶ Θεσπιῶν ἣ ὧν οὗτος ἀπήγγελλε πρὸς ὑμᾶς, ἀλλ' οὐδὲ μικρόν. καὶ τοῦτ' οὐκ ἀπὸ ταὐτο-* 15
μάτου τοῦτον ἐπράχθη τὸν τρόπον, ἀλλ' ὑπὲρ μὲν ὧν παρὰ τούτων ὑμᾶς ἔδει δίκην λαμβάνειν οὐ πεποιηκότων οὐδὲ διῳκηκότων οὐδὲν ὧν ὑμεῖς προσετάξατ' ἐν τῷ ψηφίσματι, ἐκεῖνος ἐκδέχεται τὴν αἰτίαν καί φησιν αὐτὸς αἴτιος γεγενῆσθαι, ὃν οὐκ ἐμέλλεθ' ὑμεῖς οἶμαι δυνή- 20
38 *σεσθαι κολάσαι· ἃ δ' ἐκεῖνος ἐξαπατῆσαι καὶ προλαβεῖν*

2 *προσηγγελκέναι* SF[2]Y 3 *τίνος* A 4 *ἀκούειν ἐθέλειν* A 5 *μηδ' ἄλλου*] *μηδαμου*, ut vid. S[1] 7 *ἀποληφθεὶς* A[1] | *ουτως* S[1]: *οὑτωσί* S corr. VAY 11 *Ἀλέας* Harpocr.: *αλεις* S[1] *αλεεις* S corr. *ἀλεῖς* F[1]Q *αλεῖς* A *ἄλεις* F corr. *ἄλεις* Y 12 *ἑαυτοὺς* A 13 *καὶ* et *ποιούμενος* del. Herwerden 14 *καὶ* SY: *ἢ* VA post *καὶ* s. v. signum ad quod refertur *θετταλῶν ἢ* S[d] (significat ante *θεσπιέων* inser. *θετταλῶν ἤ*, non pro *θεσπιέων* scribendum esse *θετταλῶν*: eodem modo § 35 *επικηρυχέναι* correxerat) *καὶ θετταλῶν γρ.* V mg. | *Θεσπιῶν* Dobree: *θεσπιέων* SVAY | *ἀπήγγελλε* SY: *ἀπήγγειλε* VA, cf. §§ 20. 38. 39 16 *τοῦτον*] *τουτων* S[1] 19 sq. *καὶ* ... *γεγενῆσθαι* del. Cobet

τῆς πόλεως ἐβούλετο, οὗτος ἀπήγγειλεν, ἵνα μηδ' ἐγκα-
353 λέσαι μηδὲ | μέμψασθαι μηδὲν ὕστερον ὑμεῖς ἔχοιτε Φι-
λίππῳ, μήτ' ἐν ἐπιστολῇ μήτ' ἄλλοθι μηδαμοῦ τῶν παρ'
ἐκείνου τούτων ἐνόντων. λέγε δ' αὐτοῖς αὐτὴν τὴν ἐπι-
5 στολήν, ἣν ἔγραψε μὲν οὗτος, ἔπεμψε δ' ἐκεῖνος· καὶ
σκοπεῖθ' ὅτι τοῦτον ἔχει τὸν τρόπον, ὃν διεξελήλυθ'
ἐγώ. λέγε.

ΕΠΙΣΤΟΛΗ

Ἀκούετ' ὦ ἄνδρες Ἀθηναῖοι τῆς ἐπιστολῆς, ὡς καλὴ 39
10 καὶ φιλάνθρωπος. περὶ δὲ Φωκέων ἢ Θηβαίων ἢ τῶν
ἄλλων ὧν οὗτος ἀπήγγειλεν, οὐδὲ γρῦ. ταύτης τοίνυν
οὐδ' ὁτιοῦν ἐσθ' ὑγιές. καὶ τοῦτ' αὐτίκα δὴ μάλ' ὑμεῖς
ὄψεσθε. οἱ μὲν γὰρ Ἀλεῖς, οὓς ἵνα συνδιαλλάττωσιν κατα-
σχεῖν φησι τούτους, τοιαύτης τετυχήκασι διαλλαγῆς, ὥστ'
15 ἐξελήλανται καὶ ἀνάστατος ἡ πόλις αὐτῶν γέγονεν· τοὺς
δ' αἰχμαλώτους ὁ σκοπῶν τί ἂν ὑμῖν χαρίσαιτο οὐδ' ἐν-
θυμηθῆναί φησι λύσασθαι. μεμαρτύρηται δὲ δήπουθεν 40
ὑμῖν ἐν τῷ δήμῳ πολλάκις, ὡς ἐγὼ τάλαντον ἔχων ἐπ'
αὐτοὺς ᾠχόμην, καὶ νῦν μαρτυρηθήσεται· διὸ καὶ τὴν
20 ἐμὴν φιλοτιμίαν οὗτος ἀφαιρούμενος τοῦτ' ἔπεισεν ἐκεῖ-
νον ἐγγράψαι. ὃ τοίνυν μέγιστον ἁπάντων· ὁ γὰρ εἰς
τὴν προτέραν γράψας ἐπιστολήν, ἣν ἠνέγκαμεν ἡμεῖς, ὅτι
„ἔγραφον δ' ἂν καὶ διαρρήδην ἡλίχ' ὑμᾶς εὖ ποιήσω, εἰ

1 ἐβούλετο om. A[1] add. A[2] | ἀπήγγελλεν A 2 ὑμεῖς om. A[1] add. A[2] | ἔχητε ut vid. A[1] 3 μηθαλλοτε S | τῶν A: om. SY τοῖς V ἐν τοῖς γρ. S[d] 4 ἐνόντων SAY: ὄντων V 10 θηβαίων ἢ φωκέων V 11 ἀπήγγειλεν πρὸς ὑμᾶς VAY ex § 28 13 ἁλεῖς A: αλεεις S ἀλεῖς V ἄλεις F mg. ᾶλεις Y cf. § 36 | διαλλάττωσι Y[1] 14 τῆς διαλλαγῆς V 15 ἀνάσπαστος Y | αὐτῶν] ω in ras. F 16 τί ἂν ποιῶν VA cf. p. 418, 2. 11. 421, 2 | οὐδ'] οὐδέν' Blass 19 νῦν δὲ A 21 ἐγγράψαι] ἐγκρύψαι Y 23 δ' ἂν] μὲν ἂν V ἡλίχ'] ηνικα S

εὖ ᾔδειν καὶ τὴν συμμαχίαν μοι γενησομένην", γεγονυίας τῆς συμμαχίας οὔ φησιν εἰδέναι τί ἂν ποιῶν χαρίσαιτο, οὐδ' ὃ αὐτὸς ὑπέσχετο· τοῦτο γὰρ ᾔδει δῆλον ὅτι, εἴπερ μὴ ἐφενάκιζεν. ἀλλὰ μὴν ὅτι ταῦθ' οὕτω τότ' | ἔγραψεν, 354 *λέγε μοι λαβὼν ἐκ τῆς προτέρας ἐπιστολῆς αὐτὸ τοῦτο,* 5 *ἐνθένδε. λέγε.*

ΕΞ ΕΠΙΣΤΟΛΗΣ

41 *Οὐκοῦν πρὶν μὲν εἰρήνης τυχεῖν, εἰ καὶ συμμαχία προσγένοιτ' αὐτῷ, γράψειν ὡμολόγει, ἡλίκα τὴν πόλιν εὖ ποιήσει· ἐπειδὴ δ' ἀμφότερ' αὐτῷ γέγονεν, οὐκ εἰδέναι* 10 *φησὶ τί ἂν ποιῶν χαρίσαιτο, ἂν δ' ὑμεῖς λέγητε, ποιήσειν ὃ μήτ' αἰσχύνην μήτ' ἀδοξίαν αὐτῷ φέρει, εἰς ταύτας τὰς προφάσεις καταφεύγων, κἂν ἄρ' εἴπητέ τι καὶ προαχθῆθ' ὑμεῖς ἐπαγγείλασθαι, ἀναχώρησιν ἑαυτῷ καταλείπων.* 15

42 *Ταῦτα τοίνυν καὶ πόλλ' ἕτερ' ἐνῆν παραχρῆμα τότ' εὐθὺς ἐξελέγχειν καὶ διδάσκειν ὑμᾶς καὶ μὴ προέσθαι τὰ πράγματ' ἐᾶν, εἰ μὴ Θεσπιαὶ καὶ Πλαταιαὶ καὶ τὸ Θηβαίους αὐτίκα δὴ μάλα δώσειν δίκην ἀφείλετο τὴν ἀλήθειαν. καίτοι ταῦτα, εἰ μὲν ἀκοῦσαι μὲν ἔδει, φενακι-* 20

1 *γεγονυίας δὲ* V 2 *ποιῶν ὑμῖν* S[d] *γρ.* V cf. p. 417, 16 3 *ὃ* F corr. Y: *ἃ* S (pr. m. teste Rabe) F[1]QA 4 *ἐφενάκιζεν ὑμᾶς* VA | *οὕτω* (vel *-ως*) S *γρ.* VA corr. pr. m. Y: *οὗτος* V text. A[1] | *τότ'* S *γρ.* VA corr. rec. Y: om. V text. A[1] 5 *ἐκ τῆς*] *εκεινης* S[1] ante quod *εκ της* add. S corr. 7 ΕΠΙΣΤΟΑΗ A 8 *πρὶν* om. Q[1] add. ead. 9 *προσγένοιτο* F (ε in ras.) *προσγίνοιτο* Q 10 sq. *οὔ φησιν εἰδέναι* A 11 *ἐὰν* V 12 *ὃ* SAY: *ἃ* V | *φέροι* Cobet 13 sqq. *κἂν ... καταλείπων* S: *κἂν ... καταλείπει* F corr. Y *ἵνα κἂν ... καταλείπηι γρ.* S[d]F[1]QA 14 *ἀναχωρήσειν* A[1] | *ἑαυτῷ*] *ὑμῖν γρ.* S[d] 16 *ἐνῆν* in ras. S[1] 17 *προεσθαι* SA: *προίεσθαι* VY 18 *εἰ μὴ*] *καὶ μὴν* ut vid. A[1] | *θεσπια* ut vid. S[1] *θέσπειαι* A 19 *δὴ* om. F[1]Q | *δωσει* S[1] | *ἀφείλατο* A 20 *μὲν ἔδει* S: *μόνον ἔδει γρ.* S[d]VAY 20 sq. *φενακισθῆναι δὲ* SA: *καὶ φενακισθῆναι* VY

σθῆναι δὲ τὴν πόλιν, ὀρθῶς ἐλέγετο, εἰ δὲ πραχθῆναι
τῷ ὄντι, σιωπᾶσθαι συνέφερεν. εἰ μὲν γὰρ ἐνταῦθ' ἦν
ἤδη τὰ πράγμαθ', ὥστε μηδ' αἰσθομένοις τοῖς Θηβαίοις
πλέον εἶναι μηδέν, τί οὐ γέγονεν; εἰ δὲ παρὰ τὸ προαι-
5 *σθέσθαι κεκώλυται, τίς ὁ ἐκλαλήσας; οὐχ οὗτος; ἀλλ'* 43
οὔτ' ἤμελλεν οὔτ' ἠβουλήθη ταῦτ' οὐδ' ἤλπισεν οὗτος·
ὥστε τοῦ γ' ἐκλελαληκέναι μηδ' αἰτίαν ἐχέτω· ἀλλὰ φενα-
κισθῆναι τοῖς λόγοις τούτοις ὑμᾶς ἔδει, καὶ ἐμοῦ τἀληθῆ
μὴ 'θελῆσαι ἀκοῦσαι, καὶ αὐτοὺς οἴκοι καταμεῖναι, καὶ
10 *ψήφισμα νικῆσαι τοιοῦτο δι' οὗ Φωκεῖς ἀπολοῦνται. διὰ*
355 *ταῦτ' ἐσπαθᾶτο ταῦτα καὶ διὰ | ταῦτ' ἐδημηγορεῖτο.*

Ἀκούων τοίνυν ἐγὼ τηλικαῦτα καὶ τοιαῦτ' ἐπαγγελλο- 44
μένου τούτου, καὶ ἀκριβῶς εἰδὼς ὅτι ψεύδεται (καὶ ὅθεν,
φράσω πρὸς ὑμᾶς· πρῶτον μὲν ἐκ τοῦ, ὅτε τοὺς ὅρκους
15 *ἤμελλε Φίλιππος ὀμνύναι τοὺς περὶ τῆς εἰρήνης, ἐκσπόν-*
δους ἀποφανθῆναι τοὺς Φωκέας ὑπὸ τούτων, ὃ σιωπᾶν
καὶ ἐᾶν εἰκὸς ἦν, εἴπερ ἤμελλον σῴζεσθαι· ἔπειτ' ἐκ τοῦ
μὴ τοὺς παρὰ τοῦ Φιλίππου πρέσβεις ταῦτα λέγειν μηδὲ
τὴν ἐπιστολὴν τὴν Φιλίππου, ἀλλὰ τοῦτον) ἐκ τούτων 45
20 *οὖν τεκμαιρόμενος, ἀναστὰς καὶ παρελθὼν ἐπειρώμην*
μὲν ἀντιλέγειν, ὡς δ' ἀκούειν οὐκ ἠθέλετε, ἡσυχίαν ἔσχον,
τοσοῦτο μόνον διαμαρτυράμενος (καὶ πρὸς Διὸς καὶ θεῶν

2 *ἐνταῦθ'*] *ταῦθ'* A 3 *πράγματα Αἰσχίνη* Hermog. III 269 W. (288, 1 R.) | *αισθομενος* S^1 *αἰσθανομένοις* A Hermog. *αἰσθομένων*^{οις} (ω corr. ν in ras.) *τῶν*^{οις} *θηβαίων*^{οις} F 4 *ταρα* S^1 ut vid. | *παρὰ τὸ προαισθέσθαι*] *ρὰ τὸ προαισθ* in ras. F | *αἴσθεσθαι* Q *προαίσθεσθαι γρ.* Q 6 *ἤμελλον* A | *ἐβουλήθη* VY | *οὐδ'* Bekker: *οὔτ'* SVAY 7 *τοῦ γ'* om. Q 8 *καὶ τούτοις* A 9 *μὴ* om. Y^1 | *ἀκούειν ... καταμένειν* A | prius *καὶ* om. SY 12 *ἐγὼ* om. A 13 *τούτου τότε* VA 17 *ἔμελλον* F^1Q 18 *μὴ ... μηδὲ* S: *μήτε ... μήτε* VAY 19 *τοῦ φιλίππου* VA 21 *μὲν* om. V 22 *τοσοῦτον* VAY

ἀναμιμνῄσκεσθε) ὅτι ταῦτ' οὔτ' οἶδ' οὔτε κοινωνῶ, προσέθηκα δ' ὡς οὐδὲ προσδοκῶ. τραχέως δ' ὑμῶν τῷ μηδὲ προσδοκᾶν σχόντων, „καὶ ὅπως γ' ὦ ἄνδρες Ἀθηναῖοι", ἔφην, „ἄν τι τούτων γίγνηται, τούτους ἐπαινέσεσθε καὶ τιμήσετε καὶ στεφανώσετε, ἐμὲ δὲ μή· καὶ μέντοι κἄν τι 5 *τῶν ἐναντίων, ὅπως τούτοις ὀργιεῖσθε· ἐγὼ δ' ἀφίσταμαι".*

46 *„μὴ νῦν", ὑπολαβὼν ἔφη Αἰσχίνης οὑτοσί, „μὴ νῦν ἀφίστασο, ἀλλ' ὅπως τότε μὴ προσποιήσει". „νὴ Δί', ἢ ἀδικήσω γ'" ἔφην. ἐπαναστὰς δ' ὁ Φιλοκράτης μάλ' ὑβριστικῶς „οὐδέν", ἔφη, „θαυμαστὸν ὦ ἄνδρες Ἀθηναῖοι,* 10 *μὴ ταὔτ' ἐμοὶ καὶ Δημοσθένει δοκεῖν· οὗτος μὲν γὰρ ὕδωρ, ἐγὼ δ' οἶνον πίνω". καὶ ὑμεῖς ἐγελᾶτε.*

47 *Σκέψασθε δὴ τὸ ψήφισμα, ὃ δίδωσι γράψας μετὰ ταῦθ' ὁ Φιλοκράτης· ἀκοῦσαι μὲν γὰρ οὑτωσὶ παγκάλως ἔχει· ἐπειδὰν δὲ τοὺς καιροὺς συλλογίσηταί τις ἐφ' ὧν | ἐγράφη* **356** *καὶ τὰς ὑποσχέσεις ἃς οὗτος ὑπισχνεῖτο τότε, οὐδὲν ἄλλο* 16 *φανήσονται πλὴν παραδόντες Φιλίππῳ καὶ Θηβαίοις Φωκέας, μόνον οὐκ ὀπίσω τὼ χεῖρε δήσαντες. Λέγε τὸ ψήφισμα.*

ΨΗΦΙΣΜΑ 20

48 *Ὁρᾶτ' ὦ ἄνδρες Ἀθηναῖοι τὸ ψήφισμα, ὅσων ἐπαίνων καὶ ὅσης εὐφημίας μεστόν ἐστιν, καὶ „τὴν εἰρήνην εἶναι τὴν αὐτὴν ἥνπερ Φιλίππῳ καὶ τοῖς ἐγγόνοις, καὶ τὴν συμμαχίαν", καὶ „ἐπαινέσαι δὲ Φίλιππον, ὅτι ἐπαγγέλ-*

2 *ἐπὶ τῶι* V 3 *ἐχόντων* VA 4 *γίγνεται* (η supra ε) F | *τούτους μὲν* A | *ἐπαινέσετε* A 6 *ἐναντίων γίνηται* S[d] *ἐναντίων γένηται γρ.* V | *ὀργίζεσθε* A[1] 7 *ἔφη* post *ἀφίστασο* v. 8 A 8 *προσποιήσηι* VAY | *ἢ* om. VAY 9 *ἀναστὰς* A 10 *οὐδέν ἐστιν* VA 11 *εἰ μὴ γρ.* S[d]F[1]Q | *ταῦτα* A | *δοκεῖ γρ.* S[d] 14 *ὁ* om. F[1]Q | *οὕτως* *ει* A[1], corr. A[3] | *πάνυ καλῶς* A 18 *οὐκ*] *οὐχὶ* A | *δήσαντες*] *η* in ras. (*ει*?) F 23 *ἐγγόνοις* SY: *ἐγγόνοις* (κ supra γ) F *ἐκγόνοις* QA cf. § 54

λεται τὰ δίκαια ποιήσειν". ἀλλ' οὐδὲν ἐκεῖνός γ' ἐπηγγέλλετο, ἀλλὰ τοσούτου ἔδει ἐπαγγέλλεσθαι, ὥστ' οὐδ' εἰδέναι φησὶ τί ἂν ποιῶν ὑμῖν χαρίσαιτο. ἀλλ' οὗτος ἦν 49 ὁ λέγων ὑπὲρ αὐτοῦ καὶ ὑπισχνούμενος. πρὸς δὲ τοὺς
5 παρὰ τούτου λόγους ὡρμηκότας λαβὼν ὑμᾶς ὁ Φιλοκράτης ἐγγράφει τοῦτ' εἰς τὸ ψήφισμα· „ἐὰν δὲ μὴ ποιῶσι Φωκεῖς ἃ δεῖ καὶ παραδιδῶσι τοῖς Ἀμφικτύοσι τὸ ἱερόν, ὅτι βοηθήσει ὁ δῆμος ὁ Ἀθηναίων ἐπὶ τοὺς διακωλύοντας ταῦτα γίγνεσθαι". οὐκοῦν ἄνδρες Ἀθηναῖοι μενόν- 50
10 των μὲν ὑμῶν οἴκοι καὶ οὐκ ἐξεληλυθότων, ἀπεληλυθότων δὲ τῶν Λακεδαιμονίων καὶ προῃσθημένων τὴν ἀπάτην, οὐδενὸς δ' ἄλλου παρόντος τῶν Ἀμφικτυόνων πλὴν Θετταλῶν καὶ Θηβαίων, εὐφημότατ' ἀνθρώπων τούτοις παραδοῦναι γέγραφε τὸ ἱερὸν γράψας τοῖς Ἀμφικτύοσιν
15 παραδοῦναι (ποίοις; οὐ γὰρ ἦσαν αὐτόθι πλὴν Θηβαῖοι καὶ Θετταλοί), ἀλλ' οὐ 'συγκαλέσαι δὲ τοὺς Ἀμφικτύονας,' οὐδ' 'ἐπισχεῖν ἕως ἂν συλλεγῶσιν,' οὐδὲ 'βοηθεῖν Πρόξενον εἰς Φωκέας,' οὐδ' 'ἐξιέναι Ἀθηναίους,' οὐδὲ
357 τοιοῦτ' οὐδέν. καίτοι καὶ | ἐπιστολὰς ἔπεμψεν ὁ Φίλιπ- 51
20 πος δύο καλούσας ὑμᾶς, οὐχ ἵν' ἐξέλθητε (πώμαλα· οὐ γὰρ ἄν ποτε τοὺς χρόνους ἀνελών, ἐν οἷς ἠδυνήθητ' ἂν ἐξελθεῖν, τηνικαῦτ' ἐκάλει, οὐδ' ἂν ἐμέ, ἡνίκα δεῦρ' ἀπο-

2 τοσούτου γ' V; de hiatu cf. XXIII 158. LIV 5. XIX 68 | ἐπαγγέλλεσθαι del. Benseler 3 ἡμῖν F¹QA 5 ὑμᾶς λαβὼν VA | ὁ postea add. S pr. m. ut vid. 6 ἐγγράφει] prius γ in ras. S | δὲ om. S¹ (s. v. add. S^d) Y 8 διακωλύσοντας A corr. 9 ταῦτα S γρ. FAY: αὐτὰ F text. Q | ὦ ἄνδρες VA 11 post Λακεδαιμονίων 15—16 litt. erasae in S 12 παρόντων A 14 γέγραφε παραδοῦναι A 16 οὐ συγκαλέσαι δὲ SA: οὐδὲ συγκαλέσαι VY | ἔδει ante τοὺς add. S^dF marg. γρ. Q 19 τοιοῦτον A 20 ἐξέλθητε SVAY Suid. s. πώμαλα: ἐξέλθοιτε Ald. Voem. 21 ἐδυνήθητε V

πλεῖν ἐβουλόμην, κατεκώλυεν, οὐδὲ τοιαῦτα λέγειν τούτῳ προσέταττεν, ἐξ ὧν ἥκισθ' ὑμεῖς ἐμέλλετ' ἐξιέναι), ἀλλ' ἵνα, ἃ ἐβούλεσθ' οἰόμενοι πράξειν αὐτόν, μηδὲν ἐναντίον ψηφίσαισθ' αὐτῷ, μηδ' ἀμύνοιντο μηδ' ἀντέχοιεν οἱ Φωκεῖς ἐπὶ ταῖς παρ' ὑμῶν ἐπανέχοντες ἐλπίσιν, 5 *ἀλλ' ἀπογνόντες ἅπανθ' αὑτοὺς ἐγχειρίσαιεν. Λέγε δ' αὐτοῖς αὐτὰς τὰς ἐπιστολὰς τὰς τοῦ Φιλίππου.*

ΕΠΙΣΤΟΛΑΙ

52 *Αἱ μὲν τοίνυν ἐπιστολαὶ καλοῦσιν αὗται, καὶ νὴ Δί' ἤδη γε· τούτοις δ', εἴπερ ἦν ὑγιές τι τούτων, τί ἄλλο* 10 *προσῆκεν ἢ συνειπεῖν ὅπως ἐξέλθηθ' ὑμεῖς, καὶ τὸν Πρόξενον ὃν περὶ τοὺς τόπους ᾔδεσαν ὄντα γράφειν εὐθέως βοηθεῖν; πάντα τοίνυν τἀναντία τούτων φαίνονται πεποιηκότες. εἰκότως· οὐ γὰρ οἷς ἐπέστελλε προσεῖχον τὸν νοῦν, ἀλλ' ἃ φρονῶν ταῦτ' ἔγραφεν συνῄδεσαν· τούτοις* 15
53 *οὖν συνέπραττον καὶ τούτοις συνηγωνίζοντο. οἱ μὲν τοίνυν Φωκεῖς, ὡς τὰ παρ' ὑμῶν ἐπύθοντ' ἐκ τῆς ἐκκλησίας καὶ τό τε ψήφισμα τοῦτ' ἔλαβον τὸ τοῦ Φιλοκράτους καὶ τὴν ἐπαγγελίαν ἐπύθοντο τὴν τούτου καὶ τὰς ὑποσχέσεις, κατὰ πάντας τοὺς τρόπους ἀπώλοντο. σκοπεῖτε γάρ. ἦσαν* 20 *ἀπιστοῦντές τινες αὐτόθι τῷ Φιλίππῳ καὶ νοῦν ἔχοντες·*

1 *οὐδὲ τοιαῦτα*] *δε τοι* et ultimum *α* in ras. F | *τοιαυτι* Q 2 *ὑμεῖς ἥκιστα* A | *ὑμεῖς*] *ει* in ras. S 2 sq. *ἠμέλλετε . . . ἠβούλεσθε* A 3 *οιμενοι* S[1] 4 *ψηφίσαισθε* F corr. (*αι* in ras., non fuit *η*) Y: *ψηφίσασθ'* S (*η* supra *α* scripsit ant. m.) *ψηφίσησθε* QA | *ἀμύνοιντο* VA: *ἀμύναιντο* SY 5 *ἐπανέχοντες* A cf. Useneri opusc. I p. 158: *υπεχοντες* S[1] *ἐπέχοντες* S corr. VY secl. Weil 6 *ἅπαντα* S *γρ.* QA: *ἅπαντες* VY | *ἑαυτοὺς* VAY | *ἐγχειρησαιεν* S corr. A[1] 7 *αὐτὰς* om. A 11 *προσῆκον* A | *ἐξέλθοιτε* V 13 *φαινον* Y[1] 18 *τε* om. V eras. Y | *τουτολαβων* ut vid. S[1] 19 *ἐπαγγελίαν* S[1]VA pap.: *ἀπαγγελίαν* S corr. Y cf. § 26 20 *τοὺς* del. Dobree

οὗτοι πιστεύειν ὑπήχθησαν. διὰ τί; ὅτι ἡγοῦντο, οὐδ' εἰ
358 δεκάκις Φίλιππος αὐτοὺς | ἐξηπάτα, οὐδέποτ' ἂν τούς γ'
Ἀθηναίων πρέσβεις Ἀθηναίους ἐξαπατᾶν τολμῆσαι, ἀλλ'
εἶναι ταῦτ' ἀληθῆ, ἃ οὗτος ἀπήγγελλε πρὸς ὑμᾶς, καὶ
5 τοῖς Θηβαίοις ἥκειν, οὐκ αὐτοῖς ὄλεθρον. ἦσαν ἄλλοι 54
τινὲς οἳ πάσχειν ὁτιοῦν καὶ ἀμύνεσθαι δεῖν ᾤοντο· ἀλλὰ
καὶ τούτους μαλακοὺς ἐποίησε τὸ τὸν Φίλιππον ὑπάρχειν
αὐτοῖς πεισθῆναι, καὶ τὸ ταῦτ' εἰ μὴ ποιήσουσιν ὑμᾶς
ἐπ' αὐτοὺς ἥξειν, οὓς βοηθήσειν αὐτοῖς ἤλπιζον ἐκεῖνοι.
10 ἀλλὰ καὶ μεταμέλειν ὑμῖν ᾤοντό τινες πεποιημένοις τὴν
πρὸς Φίλιππον εἰρήνην· τούτοις ὅτι καὶ τοῖς ἐγγόνοις
τὴν αὐτὴν ἐψηφίσασθ' ἐπέδειξαν, ὥστε πανταχῇ τὰ παρ'
ὑμῶν ἀπογνωσθῆναι. διόπερ πάντα ταῦτ' εἰς ἓν ψή-
φισμα συνεσκεύασαν. ὃ καὶ μέγιστον ἔμοιγε δοκοῦσιν 55
15 ἁπάντων ὑμᾶς ἠδικηκέναι· τὸ γὰρ πρὸς ἄνδρα θνητὸν
καὶ διὰ καιρούς τινας ἰσχύοντα γράφοντας εἰρήνην ἀθά-
νατον συνθέσθαι τὴν κατὰ τῆς πόλεως αἰσχύνην, καὶ
ἀποστερῆσαι μὴ μόνον τῶν ἄλλων, ἀλλὰ καὶ τῶν παρὰ
τῆς τύχης εὐεργεσιῶν τὴν πόλιν, καὶ τοσαύτῃ περιουσίᾳ
20 χρήσασθαι πονηρίας, ὥστε μὴ μόνον τοὺς ὄντας Ἀθηναί-
ους, ἀλλὰ καὶ τοὺς ὕστερόν ποτε μέλλοντας ἔσεσθαι πάν-
τας ἠδικηκέναι, πῶς οὐχὶ πάνδεινόν ἐστιν; τοῦτο τοίνυν 56

1 διὰ τί om. ut vid. F[1] (habet διὰ τί ὅτι ἡγουν in ras. et partim in mg.) Q add. γρ. mg. 2 γ' om. A 3 πρεσβεις εις S | Ἀθηναίους] αθηναιων S[1] ut vid. (ω certum) 4 ἀπήγγελλε S: ἀπήγγειλε VAY pap. 5 οὐχαυτοῖς A 7 ὑπάρξειν A 8 ποιήσουσιν F corr. Y pap. corr. (πο(ι)ηουσιν I): ποιήσωσιν SF[1]QA 9 αὐτοῖς] αὐτοὺς Q 11 τὸν φίλιππον A | ἐγγόνοις S pap.: ἐκγόνοις QAY ἐ͂γγόνοις F idem p. 424, 2 cf. § 48 13 ὑμῖν A | πάντα ταῦτ' (conieceram quod habet pap.): ἅπαντα ταῦτα SY ταῦτα πάντ' VA 14 οὗτοι συνεσκεύασαν S[d]V 18 παρὰ τῶν ἄλλων VY[1] (παρὰ punctis del.) 20 χρῆσθαι A

οὐδέποθ' ὑμεῖς ὑπεμείνατ' ἂν ὕστερον προσγράψαι πρὸς
τὴν εἰρήνην, τὸ καὶ τοῖς ἐγγόνοις, εἰ μὴ ταῖς παρ' Αἰ-
σχίνου ῥηθείσαις ὑποσχέσεσιν τότ' ἐπιστεύσατε, αἷσπερ
οἱ Φωκεῖς πιστεύσαντες ἀπώλοντο. καὶ γάρ τοι παρα-
δόντες αὑτοὺς Φιλίππῳ καὶ ἑκόντες ἐγχειρίσαντες ἐκείνῳ 5
τὰς | πόλεις ἁπάντων τῶν ἐναντίων ὧν πρὸς ὑμᾶς οὗτος 359
ἀπήγγειλεν ἔτυχον.

57 Ἵνα δ' εἰδῆτε σαφῶς ὅτι ταῦθ' οὕτω καὶ διὰ τούτους
ἀπόλωλεν, τοὺς χρόνους ὑμῖν λογιοῦμαι καθ' οὓς ἐγί-
γνεθ' ἕκαστα. περὶ ὧν δ' ἄν τις ἀντιλέγῃ τούτων, ἀνα- 10
στὰς ἐν τῷ ἐμῷ ὕδατι εἰπάτω. ἡ μὲν τοίνυν εἰρήνη ἐλα-
φηβολιῶνος ἐνάτῃ ἐπὶ δέκα ἐγένετο, ἀπεδημήσαμεν δ'
ἡμεῖς ἐπὶ τοὺς ὅρκους τρεῖς μῆνας ὅλους· καὶ τοῦτον
58 ἅπαντα τὸν χρόνον ἦσαν οἱ Φωκεῖς σῷοι. ἥκομεν δὲ δεῦρ'
ἀπὸ τῆς πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους τρίτῃ ἐπὶ δέκα 15
τοῦ σκιροφοριῶνος μηνός, καὶ παρῆν ὁ Φίλιππος ἐν Πύ-
λαις ἤδη καὶ τοῖς Φωκεῦσιν ἐπηγγέλλετο, ὧν οὐδὲν ἐπί-
στευον ἐκεῖνοι. σημεῖον δέ· οὐ γὰρ ἂν δεῦρ' ἧκον ὡς
ὑμᾶς. ἡ δ' ἐκκλησία μετὰ ταῦτα, ἐν ᾗ πάντα τὰ πράγματ'
ἀπώλεσαν οὗτοι ψευσάμενοι καὶ φενακίσαντες ὑμᾶς, τῇ 20
59 ἕκτῃ ἐπὶ δέκα ἐγίγνετο τοῦ σκιροφοριῶνος. ἀπὸ τοίνυν
ταύτης πεμπταῖα λογίζομαι τὰ παρ' ὑμῶν ἐν τοῖς Φωκεῦσι
γενέσθαι· παρῆσαν γὰρ οἱ τῶν Φωκέων πρέσβεις ἐνθάδε,
καὶ ἦν αὐτοῖς καὶ τί ἀπαγγελοῦσιν οὗτοι καὶ τί ψηφι-

1 ὑπεμείνετ' A | ὕστερον secl. Weil cf. § 87 2 εἰ μὴ om. Y[1]
5 ἑαυτοὺς S corr. AY pap. | ἐγχειρήσαντες SQA[1] cf. § 51 6 ἡμᾶς F
10 ἀντιλέγει ut vid. F[1] 11 εἰπέτω F[1] | ἡ in ras. F 12 δέκα]
δεκάτῃ(ι) γρ. FY | ἐγίγνετο V | ἀπεδησαμεν A[1] corr. A[3] 15 δέκα]
δεκάτῃ SY δεκάτηι γρ. V 16 τοῦ om. SY | ἐν πύλαις ὁ φίλιππος
VA 20 ἀπολωλέκεσαν A[2] (εκεσαν in ras.) 21 τοῦ σκιροφοριῶ-
νος ἐγίγνετο V | μηνός post σκιροφοριῶνος add. A 24 ἀπαγ-
γέλλουσιν SQA

εἶσθ' ὑμεῖς ἐπιμελές. οὐκοῦν εἰκάς, ἣ τίθεμεν πυθέσθαι
τοὺς Φωκέας τὰ παρ' ὑμῶν· ἀπὸ γὰρ τῆς ἕκτης εἰς ταύ-
την πέμπτη γίγνεται. ὑστέρα τοίνυν δεκάτη, ἐνάτη, ὀγδόη·
ταύτῃ ἐγίγνονθ' αἱ σπονδαί, καὶ πάντα τἀκεῖ πράγματ'
5 *ἀπωλώλει καὶ τέλος εἶχεν. τῷ τοῦτο δῆλον; τῇ τετράδι* 60
φθίνοντος ἠκκλησιάζετε μὲν τόθ' ὑμεῖς ἐν Πειραιεῖ περὶ
360 *τῶν ἐν τοῖς νεωρίοις, ἧκεν δὲ Δερ|κύλος ἐκ Χαλκίδος καὶ*
ἀπήγγελλεν ὑμῖν, ὅτι πάντα τὰ πράγματ' ἐγκεχείρικε
Θηβαίοις ὁ Φίλιππος, καὶ πέμπτην εἶναι ταύτην ἡμέραν
10 *ἐλογίζετ' ἀφ' οὗ γεγόνασιν αἱ σπονδαί. ὀγδόη τοίνυν,*
ἑβδόμη, ἕκτη, πέμπτη, τετράς· αὐτὸ συμβαίνει εἰς ταύτην
εἶναι πέμπτην. οὐκοῦν τοῖς χρόνοις, οἷς ἀπήγγελλον, οἷς
ἔγραφον, πᾶσιν ἐξελέγχονται συνηγωνισμένοι Φιλίππῳ
καὶ συναίτιοι γεγονότες τοῦ τῶν Φωκέων ὀλέθρου. ἔτι 61
15 *τοίνυν τὸ μηδεμίαν τῶν πόλεων τῶν ἐν Φωκεῦσιν ἁλῶ-*
ναι πολιορκίᾳ μηδ' ἐκ προσβολῆς κατὰ κράτος, ἀλλ' ἐκ
τοῦ σπείσασθαι πάντας ἄρδην ἀπολέσθαι, μέγιστόν ἐστι
σημεῖον τοῦ διὰ τούτους πεισθέντας αὐτοὺς ὡς ὑπὸ τοῦ
Φιλίππου σωθήσονται ταῦτα παθεῖν· οὐ γὰρ ἐκεῖνόν γ'
20 *ἠγνόουν. φέρε δή μοι καὶ τὴν συμμαχίαν τὴν τῶν Φω-*
κέων καὶ τὰ δόγμαθ' ὑφ' ὧν καθεῖλον αὐτῶν τὰ τείχη,
ἵν' εἰδῆθ' οἵων ὑπαρχόντων αὐτοῖς παρ' ὑμῶν οἵων ἔτυ-
χον διὰ τούτους τοὺς θεοῖς ἐχθρούς. λέγε.

1 *εἰδέναι* post *ἐπιμελὲς* add. *γρ.* S^{d}VAY 5 *ἀπωλώλει* F corr. Y: *ἀπολώλει* SF^{1}QA 6 *ηκλησιαζετε* S *ἠ*^{ε}*κκλησιάζετε* F *ἐκκλη-σιάζετε* QA | *τόθ'* om. A 7 *δερκύλλος* A 8 *ἀπήγγελλεν* SF *γρ.* QY: *ἀπήγγειλεν* Q^{1}A | *ἐγκεχείρηκε* F^{1}QA^{1} 9 *ἡμέραν εἶναι ταύτην* V 10 *ἐλογίζετ'* del. Cobet 16 *πολιορκια* S^{1} (ut saepe) *πολιορκίαι* S corr. item § 70 *βουλῆι* | *κατὰ κράτος* del. Cobet 20 *μοι καὶ* om. A 21 *καθεῖλον* S: *καθεῖλεν* VAY 22 *οἵων* ante *ὑπαρχ.* VA: *ων* SY 23 *τουτουσὶ* S corr. | *τοὺς*] *τοῖς* F^{1}

ΣΥΜΜΑΧΙΑ ΦΩΚΕΩΝ ΚΑΙ ΑΘΗΝΑΙΩΝ

62 *Ἃ μὲν τοίνυν ὑπῆρχε παρ' ὑμῶν αὐτοῖς, ταῦτ' ἐστίν, φιλία, συμμαχία, βοήθεια· ὧν δ' ἔτυχον διὰ τοῦτον τὸν βοηθῆσαι κωλύσανθ' ὑμᾶς, ἀκούσατε. λέγε.*

ΟΜΟΛΟΓΙΑ ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΦΩΚΕΩΝ 5

Ἀκούετ' ὦ ἄνδρες Ἀθηναῖοι. „ὁμολογία Φιλίππου καὶ Φωκέων", φησίν, οὐχὶ Θηβαίων καὶ Φωκέων, οὐδὲ Θετταλῶν καὶ Φωκέων, οὐδὲ Λοκρῶν, οὐδ' ἄλλου τῶν παρόντων οὐδενός· καὶ πάλιν „παραδοῦναι δὲ τὰς πόλεις Φωκέας", φησί, „Φιλίππῳ", οὐχὶ Θηβαίοις | οὐδὲ Θετταλοῖς, οὐδ' ἄλλῳ οὐδενί. διὰ τί; ὅτι Φίλιππος ἀπηγγέλλετο πρὸς ὑμᾶς ὑπὸ τούτου ἐπὶ τῇ τῶν Φωκέων σωτηρίᾳ παρεληλυθέναι. τούτῳ δὴ πάντ' ἐπίστευον καὶ πρὸς τοῦτον πάντ' ἐσκόπουν, πρὸς τοῦτον ἐποιοῦντο τὴν εἰρήνην. λέγε δὴ τἀπίλοιπα. καὶ σκοπεῖτε τί πιστεύσαντες τί ἔπασχον. ἆρά γ' ὅμοι' ἢ παραπλήσι' οἷς οὗτος ἀπήγγελλεν; λέγε. 361 (63) 11 15

ΔΟΓΜΑΤΑ ΑΜΦΙΚΤΥΟΝΩΝ

64 *Τούτων ὦ ἄνδρες Ἀθηναῖοι δεινότερ' οὐ γέγονεν οὐδὲ μείζω πράγματ' ἐφ' ἡμῶν ἐν τοῖς Ἕλλησιν, οἶμαι δ' οὐδ' ἐν τῷ πρόσθεν χρόνῳ. τηλικούτων μέντοι καὶ τοιούτων* 20

1 ΑΘΗΝΑΙΩΝ S γρ. Q: ΘΗΒΑΙΩΝ FQ text. Y ΚΑΙ ΑΘΗΝΑΙΩΝ om. A 2 *μὲν*] *μονον* S[1] *μεν* corr. m. antiqua *μεν οὖν* m. rec. 4 *κωλύσοντα ἡμᾶς* A 7 *οὐδὲ Θετταλῶν καὶ Φωκέων* om. Q 10 *φησὶ φωκέας* VA | *οὐδὲ*] *οὐχὶ* F[1]Q 14 *πάντ' ἐσκόπουν πρὸς τοῦτον* om. VA, in γρ. habet Q, *πάντ' ἐσκόπουν* F mg. | *ἐποιοῦντο* S γρ. QAY: *πάντες ἐποιοῦντο* V 15 *τί ... τί* V: *τίνα ... τί* SY *οἷα ... οἷα* γρ. S[d]A | *ἔπασχον* S: *ἔπαθον* γρ. S[d]VAY γρ. *οἷα ... οἷα ἔπαθον* et *τίνα ... τί ἔπασχον* Q ead. m. 16 *ἀπήγγελλεν* SVY: *ἀπήγγειλε* A 18 ΔΟΓΜΑΤΑ S[1](?) O alia apographa: ΔΟΓΜΑ SVAY 19 *οὐ* SF corr. Y: *οὔτε* F[1]QA 21 *ἔμπροσθεν* A

πραγμάτων κύριος εἷς ἀνὴρ [Φίλιππος] γέγονεν διὰ τούτους, οὔσης τῆς Ἀθηναίων πόλεως, ᾗ προεστάναι τῶν Ἑλλήνων πάτριον καὶ μηδὲν τοιοῦτον περιορᾶν γιγνόμενον. ὃν μὲν τοίνυν τρόπον οἱ ταλαίπωροι Φωκεῖς ἀπο-
5 λώλασιν, οὐ μόνον ἐκ τῶν δογμάτων τούτων ἔστιν ἰδεῖν, ἀλλὰ καὶ ἐκ τῶν ἔργων ἃ πέπρακται, θέαμα δεινὸν ὦ 65 ἄνδρες Ἀθηναῖοι καὶ ἐλεινόν· ὅτε γὰρ νῦν ἐπορευόμεθ' εἰς Δελφούς, ἐξ ἀνάγκης ἦν ὁρᾶν [ἡμῖν] πάντα ταῦτα, οἰκίας κατεσκαμμένας, τείχη περιῃρημένα, χώραν ἔρημον
10 τῶν ἐν ἡλικίᾳ, γύναια δὲ καὶ παιδάρι' ὀλίγα καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς· οὐδ' ἂν εἷς δύναιτ' ἐφικέσθαι τῷ λόγῳ τῶν ἐκεῖ κακῶν νῦν ὄντων. ἀλλὰ μὴν ὅτι τὴν ἐναντίαν ποτὲ Θηβαίοις ψῆφον ἔθενθ' οὗτοι περὶ ἡμῶν ὑπὲρ ἀνδραποδισμοῦ προτεθεῖσαν, ὑμῶν ἔγωγ' ἀκούω
15 πάντων. τίν' ἂν οὖν οἴεσθ' ὦ ἄνδρες Ἀθηναῖοι τοὺς 66
362 προγόνους | ὑμῶν, εἰ λάβοιεν αἴσθησιν, ψῆφον ἢ γνώμην θέσθαι περὶ τῶν αἰτίων τοῦ τούτων ὀλέθρου; ἐγὼ μὲν γὰρ οἶμαι κἂν καταλεύσαντας αὐτοὺς ταῖς ἑαυτῶν χερσὶν καθαροὺς ἔσεσθαι νομίζειν. πῶς γὰρ οὐκ αἰσχρόν,
20 μᾶλλον δ' εἴ τις ἔστιν ὑπερβολὴ τούτου, τοὺς σεσῳκότας ἡμᾶς τότε καὶ τὴν σῴζουσαν περὶ ἡμῶν ψῆφον θεμένους, τούτους τῶν ἐναντίων τετυχηκέναι διὰ τούτους καὶ

1 *Φίλιππος* del. Cobet 2 *προσεστάναι* ut vid. S[1]Y[1] 3 *τοιοῦτο* V 8 *ἡμῖν ὁρᾶν* A | *ἡμῖν* om. Hermog. III 96 W. (124, 12 R.) cf. 439 (451, 1). Theon I 153. Alexand. VIII 456 W. | *ἅπαντα* A *ταῦτα πάντα* Hermog. Theon Alexander 10 *τῶν* om. Y[1] | *γυναι* F[1] 11 *ὅλως δὲ οὐδ'* VAY[2] | *ἐφικέσθαι δύναιτο τῷ λόγῳ* V (ut FAY XIV 1 et omnes prooem. VII 1) *ἐφικέσθαι τῷ λόγῳ δύναιτο* A (ut S XIV 1) cf. XX 122. XXXVI 44 13 *ὑμῶν* A 15 *τιναν* S[1]Y: *τίνα* S corr. VA | *ὦ* om. A 17 *του τουτων* S[1]: *τοῦ τῶν φωκέων* S corr. VAY | *μὲν* om. Q 18 *γὰρ*] corr. vid. ab antiqua m. S | *καταλεύσαντας*] *ας* in ras. A | *αὐτῶν* A 20 *τούτου*] *του* S[1]

περιῶφθαι τοιαῦτα πεπονθότας οἷ' οὐδένες ἄλλοι τῶν Ἑλλήνων; τίς οὖν ὁ τούτων αἴτιος; τίς ὁ ταῦτα φενακίσας; οὐχ οὗτος;

67 *Πολλὰ τοίνυν ἄν τις ὦ ἄνδρες Ἀθηναῖοι Φίλιππον εὐδαιμονίσας τῆς τύχης εἰκότως, τοῦτο μάλιστ' ἂν εὐ-* 5 *δαιμονίσειεν ἁπάντων, οὗ μὰ τοὺς θεοὺς καὶ τὰς θεὰς οὐκ ἔχω λέγειν ἔγωγ' ἄλλον ὅστις τετύχηκεν ἐφ' ἡμῶν. τὸ μὲν γὰρ πόλεις μεγάλας εἰληφέναι καὶ χώραν πολλὴν ὑφ' ἑαυτῷ πεποιῆσθαι καὶ πάντα τὰ τοιαῦτα ζηλωτὰ μέν ἐστιν οἶμαι καὶ λαμπρά (πῶς γὰρ οὔ;), ἔχοι δ' ἄν τις* 10
68 *εἰπεῖν πεπραγμένα καὶ ἑτέροις πολλοῖς. ἀλλ' ἐκεῖν' ἴδιον καὶ οὐδενὶ τῶν πάντων ἄλλῳ γεγονὸς εὐτύχημα. τὸ ποῖον; τὸ ἐπειδὴ πονηρῶν ἀνθρώπων εἰς τὰ πράγματ' αὐτῷ ἐδέησεν, πονηροτέρους εὑρεῖν ἢ ἐβούλετο. πῶς γὰρ οὐχ οὗτοι τοιοῦτοι δικαίως ὑποληφθεῖεν ἄν, οἵ γε, ἃ ὑπὲρ αὐ-* 15 *τοῦ Φίλιππος τηλικούτων ὄντων αὐτῷ τῶν διαφόρων οὐκ ἐτόλμα ψεύσασθαι, οὐδ' ἔγραψεν οὔτ' εἰς ἐπιστολὴν οὐδεμίαν, οὔτε πρεσβευτὴς οὐδεὶς εἶπεν τῶν παρ' ἐκείνου, ἐπὶ ταῦτα μισθώσαντες ἑαυτοὺς ὑμᾶς ἐξηπάτων;*
69 *καὶ ὁ μὲν Ἀντίπατρος καὶ ὁ Παρμενίων, δεσπότῃ δια-* 20 *κονοῦντες καὶ οὐ μέλλοντες | ὑμῖν μετὰ ταῦτ' ἐντεύξεσθαι,* 363

2 *ταῦτα* om. F[1]Q (add. in *γρ.*) 4 *πολλὰ μὲν* V | *ἂν* om. A 5 *ευδαιμονησειεν* S[1] *εὐδαιμονίσοιεν* A 6 *οὗ* (*ου* S[1] *ὀὺ* S corr.) V: *ὃ γρ.* VAY 7 *τετύχηκεν* Sauppe: *ευτετυχηκεν* S *γρ.* Q *εὐτύχηκεν* VAY 10 *οὔκ* S 11 *ἐκεῖνό γε* A 12 *ἄλλωι* SQY: *ἄλλο* F om. A 13 *αὐτῷ*] de hiatu v. ad § 48 14 *ἢ ἐβούλετο*] *ἠβούλετο* Q 15 *ὑπολειφθεῖεν* F[1]Q | *οἵ* SAY: *εἴ γρ.* S[d]V | *ἃ ὑπὲρ αὐτοῦ* (*αυτοῦ*) SA: *ὑπὲρ ὧν αὐτὸς* F corr. pr. m. (*ὑ* in ras. *ὧν* in mg.; fuitne *ἅπερ αὐτὸς*?) QY *ὑπὲρ ὧν γρ.* S[d] 16 *διαφόρων* A: *διαφορῶν* S et S[d]V *διαφορων* Y 17 *οὐδ' ἔγραψεν οὔτ' εἰς ἐπιστολὴν* SY: *οὔτ' εἰς ἐπιστολὴν γράψαι* V *οὐδὲ γράψαι οὔτ' εἰς ἐπιστολὴν* A 18 *οὔτε* SAY: *οὐδὲ* V 19 *ταῦτα οὗτοι* VY

21 *μετὰ ταῦθ' ὑμῖν* V | *ἐντεύξασθαι* (ε supra α) F *ἐντεύξασθαι* A

ὅμως τοῦθ' ηὕροντο, μὴ δι' αὐτῶν ὑμᾶς ἐξαπατηθῆναι·
οἱ δέ, Ἀθηναῖοι, τῆς ἐλευθερωτάτης πόλεως, πρέσβεις
ταχθέντες ὑμᾶς, οἷς ἀπαντῶντας ἐμβλέπειν, οἷς συζῆν
ἀνάγκη τὸν λοιπὸν βίον καὶ ἐν οἷς εὐθύνας ἤμελλον
5 δώσειν τῶν πεπραγμένων, τούτους ἐξαπατᾶν ὑπέστησαν.
πῶς ἂν ἄνθρωποι κακίους ἢ μᾶλλον ἀπονενοημένοι τού-
των γένοιντο;

Ἵνα τοίνυν εἰδῆθ' ὅτι καὶ κατάρατός ἐστιν ὑφ' ὑμῶν, 70
καὶ οὐδ' ὅσιον ὑμῖν οὐδ' εὐσεβές ἐστιν τοιαῦτ' ἐψευ-
10 σμένον αὐτὸν ἀφεῖναι, λέγε τὴν ἀρὰν καὶ ἀνάγνωθι λαβὼν
τὴν ἐκ τοῦ νόμου ταυτηνί.

ΑΡΑ

Ταῦθ' ὑπὲρ ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι καθ' ἑκάστην
τὴν ἐκκλησίαν ὁ κῆρυξ εὔχεται νόμῳ προστεταγμένα, καὶ
15 ὅταν ἡ βουλὴ καθῆται, παρ' ἐκείνῃ πάλιν. καὶ ταῦτ'
οὐκ ἔνεστιν εἰπεῖν τούτῳ, ὡς οὐκ εὖ ᾔδει· ὑπογραμμα-
τεύων γὰρ ὑμῖν καὶ ὑπηρετῶν τῇ βουλῇ αὐτὸς ἐξηγεῖτο
τὸν νόμον τοῦτον τῷ κήρυκι. πῶς οὖν οὐκ ἄτοπον καὶ 71
ὑπερφυὲς ἂν πεποιηκότες ὑμεῖς εἴητε, εἰ ἄρ' ἃ προστάττετε,
20 μᾶλλον δ' ἀξιοῦτε ποιεῖν ὑπὲρ ὑμῶν τοὺς θεούς, ταῦτ'
αὐτοὶ κύριοι γεγενημένοι τήμερον μὴ ποιήσαιτε, ἀλλ'
ὃν ἐκείνοις εὔχεσθ' ἐξώλη ποιεῖν αὐτὸν καὶ γένος καὶ

1 εὕροντο S: εὗρον τὸ AY εὕροντο τὸ F corr. εὕραντο τὸ F[1]Q | ἐξηπατηθηναι S[1] 2 οἱ τῆς A 3 ὑμᾶς secl. Weil 4 βίον] χρόνον A 6 ἂν om. S[1] add. ead. 9 ὑμῖν οὐδ' εὐσεβές om. V (Q add. in γρ.) 10 λέγε] λαβὲ A 11 ταύτην QA 12 ΑΡΑ om. A 13 ὦ om. A 14 τὴν om. VA 16 ἔνεστιν S corr. (εὐ oculo ad οὐκ εὖ aberrante S[1] incohaverat) γρ. QA (ἔνεστ') Y: ἔστιν V 17 ημιν S[1] 19 αρ S[1]Y: punctis et lineolis del. S corr. om. VA | προστατταιται S 20 δ' om. S[1] | ποιήσειν F corr. (ησει in ras.) QY 20 sq. ταῦτ' αὐτοὶ γρ. S[d]VAY: ταυθ' οἱ S[1] 21 ποιήσαιτε SV: ποιήσετε AY 22 ἐξώλη] η ex ει corr. S

οἰκίαν, τοῦτον ἀφείητ' αὐτοί; μηδαμῶς· ὃς γὰρ ἂν ὑμᾶς λάθῃ, τοῦτον ἀφίετε τοῖς θεοῖς κολάζειν· ὃν δ' ἂν αὐτοὶ λάβητε, μηκέτ' ἐκείνοις περὶ τούτου προστάττετε.

72 *Εἰς τοίνυν τοῦτ' ἀναιδείας καὶ τόλμης αὐτὸν ἥξειν ἀκούω, ὥστε πάντων τῶν πεπραγμένων ἐκστάντα, ὧν* 5 *ἀπήγγειλεν, ὧν ὑπέσχετο, ὧν πεφενάκικε τὴν πόλιν, ὥσπερ ἐν ἄλλοις τισὶ κρινόμενον καὶ οὐκ ἐν ὑμῖν τοῖς | ἅπαντ'* 364 *εἰδόσιν, πρῶτον μὲν Λακεδαιμονίων, εἶτα Φωκέων, εἶθ' Ἡγησίππου κατηγορήσειν. ἔστιν δὲ ταῦτα γέλως, μᾶλλον*

73 *δ' ἀναισχυντία δεινή. ὅσα γὰρ νῦν ἐρεῖ περὶ τῶν Φω-* 10 *κέων ἢ τῶν Λακεδαιμονίων ἢ τοῦ Ἡγησίππου, ὡς Πρόξενον οὐχ ὑπεδέξαντο, ὡς ἀσεβεῖς εἰσίν, ὡς—ὅ τι ἂν δήποτ' αὐτῶν κατηγορῇ, πάντα δήπου ταῦτα πρὸ τοῦ τοὺς πρέσβεις τούτους δεῦρ' ἥκειν ἐπέπρακτο, καὶ οὐκ ἦν ἐμποδὼν τῷ τοὺς Φωκέας σῴζεσθαι, ὡς τίς φησιν;* 15

74 *Αἰσχίνης αὐτὸς οὑτοσί. οὐ γὰρ ὡς εἰ μὴ διὰ Λακεδαιμονίους, οὐδ' ὡς εἰ μὴ Πρόξενον οὐχ ὑπεδέξαντο, οὐδ' ὡς εἰ μὴ δι' Ἡγήσιππον, οὐδ' ὡς εἰ μὴ διὰ τὸ καὶ τὸ ἐσώθησαν ἂν οἱ Φωκεῖς, οὐχ οὕτω τότ' ἀπήγγειλεν, ἀλλὰ πάντα ταῦθ' ὑπερβὰς διαρρήδην ἥκειν πεπεικὼς ἔφη* 20 *Φίλιππον Φωκέας σῴζειν, τὴν Βοιωτίαν οἰκίζειν, ὑμῖν τὰ πράγματ' οἰκεῖα ποιεῖν· ταῦτα πεπράξεσθαι δυοῖν ἢ τριῶν ἡμερῶν· διὰ ταῦτα χρήμαθ' ἑαυτῷ τοὺς Θηβαίους*

1 *ἀφείητε* Bekker: *αφιητε* S *ἀφίετε* VAY 2 *ἂν* S *γρ.* QAY: om. V 3 *προτάττετε* F[1] 4 *τοῦτο τοίνυν* A | *ἥξειν αὐτὸν* V 7 *πάντ'* V 10 *ὅσα*] *ὃς* Y[1] 11 *ἢ ὡς πρόξενον* et 12 *ἢ ὡς ἀσεβεῖς γρ.* S[d]VY | *ἢ ὡς ὅτι* S corr. *γρ.* S[d] | *ἂν* om. *γρ.* S[d] 15 *σώιζεσθε* Y[1] 16 *διὰ* S *γρ.* QAY: om. V 18 prius *ὡς εἰ*] *ὡς η* A 19 *ἂν* S *γρ.* QAY: om. V | *ἀπήγγελλεν* F[1]A corr. pr. m. (acc. s. prius *ε* eras. et *εν* in ras.) 20 *ταῦτα πάντα* A | *ἔφη πεπεικὼς* VA 21 *ἡμῖν* A 22 *πεπραξεσθε* S 23 *καὶ διὰ* A *ταῦτα*] *τοῦτο* Voemel cf. § 21 | *αυτῶι* A

ἐπικεκηρυχέναι. μὴ τοίνυν ἃ πρὸ τοῦ τοῦτον ἀπαγγεῖλαι 75
ταῦτ' ἐπέπρακτ' ἢ Λακεδαιμονίοις ἢ Φωκεῦσιν ἀκούετε
μηδ' ἀνέχεσθε, μηδὲ κατηγορεῖν ἐᾶτε Φωκέων ὡς πονη-
ροί. οὐδὲ γὰρ Λακεδαιμονίους διὰ τὴν ἀρετὴν αὐτῶν
5 ποτ' ἐσώσατε, οὐδὲ τοὺς καταράτους Εὐβοέας τουτουσί,
οὐδ' ἄλλους πολλούς, ἀλλ' ὅτι συμφέρον ἦν σῶς εἶναι
τῇ πόλει, ὥσπερ Φωκέας νυνί. καὶ τί τῶν Φωκέων ἢ
τῶν Λακεδαιμονίων ἢ ὑμῶν ἢ ἄλλου τινὸς ἀνθρώπων
μετὰ τοὺς παρὰ τούτου λόγους ἐξαμαρτόντος οὐκ ἀπέβη
365 τὰ πρὸς ὑμᾶς ὑπὸ τούτου τότε ῥηθέντα; τοῦτ' | ἐρωτᾶτε·
11 οὐ γὰρ ἕξει δεῖξαι. πέντε γὰρ ἡμέραι γεγόνασι μόναι, 76
ἐν αἷς οὗτος ἀπήγγειλε τὰ ψευδῆ, ὑμεῖς ἐπιστεύσατε, οἱ
Φωκεῖς ἐπύθοντο, ἐνέδωκαν ἑαυτούς, ἀπώλοντο. ὅθεν
οἶμαι καὶ δῆλόν ἐστι σαφῶς, ὅτι πᾶσ' ἀπάτη καὶ τέχνη
15 συνεσκευάσθη τοῦ περὶ Φωκέας ὀλέθρου. ὃν μὲν γὰρ
χρόνον οὐχ οἷός τ' ἦν ἐλθεῖν ὁ Φίλιππος διὰ τὴν εἰρή-
νην, ἀλλ' ἦν ἐν παρασκευῇ, τοὺς Λακεδαιμονίους μετε-
πέμπετο, πάντα τὰ πράγμαθ' ὑποσχόμενος πράξειν ἐκεί-
νοις, ἵνα μὴ δι' ὑμῶν αὐτοὺς οἱ Φωκεῖς ὑποποιήσωνται.
20 ἐπειδὴ δ' ἧκεν εἰς Πύλας, οἱ Λακεδαιμόνιοι δ' αἰσθό- 77
μενοι τὴν ἐνέδραν ὑπεχώρησαν, τοῦτον αὖ προκαθῆκεν
ἐξαπατᾶν ὑμᾶς, ἵνα μὴ πάλιν, ὑμῶν αἰσθομένων ὅτι
Θηβαίοις τὰ πράγματα πράττει, εἰς χρόνους καὶ πόλε-

4 οὐδὲ VA: οὐ SY 4 sq. ποτ' αὐτῶν A 7 νῦν V 9 τοὺς παρὰ om. Y[1] | τούτων A 10 τότε S γρ. QAY: om. V 11 γεγόνασιν ἡμέραι VA 12 ἀπήγγειλε] ει ex ε in scribendo corr. S | ψεύδη? cf. ad XVIII 136 14 ἡ πᾶσα Sauppe πᾶσα ἡ Markland 15 φωκέας SF corr. γρ. QY: τοὺς φωκέας F[1]Q text. A | ἕνεκεν ὀλέθρου γρ. S[d] ὀλέθρου ἕνεκεν γρ. Q (ὀλέθρου et ἕνεκεν litt. transp. ut vid.) 16 ἦν om. F | διὰ SF: μετὰ QAY 18 ἐκείνοις ante ὑποσχόμενος A 19 ἡμῶν A | αὐτοὺς Blass | ποιήσωνται S, Blass προσποιήσωνται Ald. Less. Herwerden

μον καὶ τριβὴν ἐμπέσῃ, τῶν μὲν Φωκέων ἀμυνομένων, ὑμῶν δὲ βοηθούντων, ἀλλ' ἀκονιτὶ πάνθ' ὑφ' ἑαυτῷ ποιήσηται· ὅπερ καὶ γέγονεν. μὴ οὖν ὅτι καὶ Λακεδαιμονίους καὶ Φωκέας ἐξηπάτησε Φίλιππος, διὰ ταῦθ' ὧν ὑμᾶς οὗτος ἐξηπάτησεν μὴ δότω δίκην· οὐ γὰρ δί- 5
καιον.

78 *Ἂν τοίνυν ἀντὶ Φωκέων καὶ Πυλῶν καὶ τῶν ἄλλων τῶν ἀπολωλότων Χερρόνησος ὡς περίεστιν τῇ πόλει λέγῃ, πρὸς Διὸς καὶ θεῶν μὴ ἀποδέξησθ' ὦ ἄνδρες δικασταὶ μηδ' ὑπομείνητε, πρὸς οἷς ἐκ τῆς πρεσβείας ἠδίκησθε,* 10 *καὶ ἐκ τῆς ἀπολογίας ὄνειδος προσκατασκευασθῆναι τῇ πόλει, ὡς ἄρ' ὑμεῖς τῶν ἰδίων τι κτημάτων ὑπεξαιρούμενοι τὴν τῶν συμμάχων σωτηρίαν προήκασθε. οὐ γὰρ ἐποιήσατε τοῦτο, ἀλλ' ἤδη τῆς εἰρήνης γεγονυίας καὶ τῆς Χερρονήσου σῴας οὔ|σης τέτταρας μῆνας ὅλους ἐσῴζονθ'* 366 *οἱ Φωκεῖς τοὺς ὕστερον, ἡ δὲ τούτου ψευδολογία μετὰ* 16
79 *ταῦθ' ὕστερον αὐτοὺς ἀπώλεσεν, ἐξαπατήσασ' ὑμᾶς. εἶτα καὶ νῦν ἐν μείζονι κινδύνῳ τὴν Χερρόνησον οὖσαν εὑρήσετ' ἢ τότε. πότερον γὰρ εὐπορώτερον ἂν δίκην ἔδωκε Φίλιππος ἐξαμαρτὼν εἰς αὐτὴν πρὶν τούτων τι τῆς πό-* 20 *λεως προλαβεῖν ἢ νυνί; ἐγὼ μὲν οἶμαι, τότε πολλῷ. τίς οὖν ἡ ταύτης περιουσία, τῶν φόβων ἀφῃρημένων καὶ τῶν κινδύνων τῶν τοῦ βουληθέντος ἂν αὐτὴν ἀδικῆσαι;*

2 *ἀκονιτὶ* S corr. QY corr. *ακονιτει* S[1] *ἀκονήτὶ* F *ἀκονητὶ* A *ἀκονειτὶ* Y[1] | *ὑπ' αὐτῶν* A[1] *ὑπ' αὐτὸν* A corr. cf. VI 7 3 *ποιησητε* S[1] corr. S[d] 5 *ὑμᾶς* post *ἐξηπάτησεν* A | *οὗτος* om. S[1] ; *δότω* S *γρ.* QAY: *διδότω* FQ text. 7 cf. Hermog. III 105 (189, 13) 8 *χερρόνησον* A | *λέγει* A 9 *ὦ* om. A 11 *προκατασκευασθῆναι* A Hermog. Pc[1]Vc 12 *τι* om. Q 18 *οὖσαν* om. Hermog. 105 (139, 24) 19 *ἂν* om. A 20 *τούτων τι*] *τι τῶν γρ.* S[d] *γρ.* Q 21 *προσλαβεῖν* A | *νῦν* F[1]Q 23 *ἂν*] punctis del. F om. Y

Ἔτι τοίνυν τοιοῦτό τι μέλλειν αὐτὸν ἀκούω λέγειν, 80
ὅτι θαυμάζει τί δήποτε Δημοσθένης αὐτοῦ κατηγορεῖ,
Φωκέων δ' οὐδείς. ὡς δὴ τοῦτ' ἔχει, βέλτιον προακοῦ-
σαι παρ' ἐμοῦ. Φωκέων τῶν ἐκπεπτωκότων οἱ μὲν οἶμαι
5 βέλτιστοι καὶ μετριώτατοι φυγάδες γεγενημένοι καὶ τοι-
αῦτα πεπονθότες ἡσυχίαν ἄγουσιν, καὶ οὐδεὶς ἂν αὐτῶν
ἐθελήσειεν ὑπὲρ τῶν κοινῶν συμφορῶν ἰδίαν ἔχθραν
ἀνελέσθαι· οἱ δ' ὁτιοῦν ἂν ἀργυρίου ποιήσαντες τὸν
δώσοντ' οὐκ ἔχουσιν αὐτοῖς. οὐ γὰρ ἔγωγ' ἂν ἔδωκ' 81
10 οὐδενὶ οὐδέν, ὥστε μοι παραστάντας ἐνταυθὶ βοᾶν οἷα
πεπόνθασιν· ἡ γὰρ ἀλήθεια καὶ τὰ πεπραγμέν' αὐτὰ
βοᾷ. ἀλλὰ μὴν ὅ γε δῆμος ὁ τῶν Φωκέων οὕτω κακῶς
καὶ ἐλεινῶς διάκειται, ὥστε μὴ περὶ τοῦ κατηγορεῖν ἑκάστῳ
τὰς Ἀθήνησιν εὐθύνας εἶναι τὸν λόγον, ἀλλὰ δουλεύειν
15 καὶ τεθνάναι τῷ φόβῳ Θηβαίους καὶ τοὺς Φιλίππου
ξένους, οὓς ἀναγκάζονται τρέφειν, διῳκισμένοι κατὰ κώ-
μας καὶ παρῃρημένοι τὰ ὅπλα. μὴ δὴ ταῦτα λέγειν αὐτὸν 82
367 ἐᾶτε, ἀλλ' ὡς οὐκ ἀπολώλα|σι Φωκεῖς δεικνύναι, ἢ ὡς
οὐχ ὑπέσχετο σώσειν αὐτοὺς Φίλιππον. τοῦτο γάρ εἰσι
20 πρεσβείας εὔθυναι· τί πέπρακται; τί ἀπήγγειλας; εἰ μὲν
ἀληθῆ, σῴζου· εἰ δὲ ψεύδη, δίκην δός. εἰ δὲ μὴ πάρεισι

1 τοίνυν καὶ VAY | τοιοῦτον A 2 δημοσθένης μὲν A 3 οὐδ' εἷς F[1] οὐδὲ εἷς A | δὴ SY: δὲ VA | προακοῦσαι ὑμᾶς S[d] γρ. Q 6 ἂν om. Q[1], add. ead. 8 ἀνελέσθαι] ἑλέσθαι A[1] corr. A[3] | οἱ δὲ om. Y[1] add. ead. | ὁτιοῦν ἂν] μηδ' ὁτιοῦν ἄνευ F corr. rec. Y | ἀργύριον A | ποιήσοντες (α supra ο) F ποιήσοντες AY 9 ἑαυτοῖς V 10 παραστάντα A | ἐνταυθι S: ἐνταυθοῖ VY ἐνταῦθα A 12 βοᾶν A[1] | γε] τε A[1] 13 ἐλεεινος F[1] | post κατηγορεῖν 3 litt. eras. (οὐχ?) Y 14 ἀλλὰ γρ. S[d]QAY[1]: ἀλλ' οὐ S text. Y corr. ἀλλὰ (ου supra) F ἀλλὰ τοῦ Ind. Lamb. 15 τοὺς ´θηβαίους S[d] γρ. Q 16 κώμας] χώραν A 17 περιηιρημένοι γρ. S[d]F rec. Q 18 απολωσι S[1] | ὡς (post ἢ)] ους S[1] 19 εἰσι] ἐστι A 21 ψευδῆ SVAY | ante μὴ ras. 3 litt. Q

Φωκεῖς, τί τοῦτο; οὕτω γὰρ διέθηκας αὐτοὺς οἶμαι τὸ μέρος σύ, ὥστε μήτε τοῖς φίλοις βοηθεῖν μήτε τοὺς ἐχθροὺς ἀμύνεσθαι δύνασθαι.

83 *Καὶ μὴν ὅτι χωρὶς τῆς ἄλλης αἰσχύνης καὶ ἀδοξίας, ἣν τὰ πεπραγμέν' ἔχει, καὶ μεγάλοι κίνδυνοι περιεστᾶσιν* 5 *ἐκ τούτων τὴν πόλιν, ῥᾴδιον δεῖξαι. τίς γὰρ οὐκ οἶδεν ὑμῶν ὅτι τῷ Φωκέων πολέμῳ καὶ τῷ κυρίους εἶναι Πυλῶν Φωκέας ἥ τ' ἀπὸ Θηβαίων ἄδει' ὑπῆρχεν ἡμῖν, καὶ τὸ μηδέποτ' ἐλθεῖν ἂν εἰς Πελοπόννησον μηδ' εἰς Εὔβοιαν* 84 *μηδ' εἰς τὴν Ἀττικὴν Φίλιππον [μηδὲ Θηβαίους]; ταύ-* 10 *την μέντοι τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν πραγμάτων αὐτῶν ἀσφάλειαν ὑπάρχουσαν τῇ πόλει ταῖς τούτων ἀπάταις καὶ ψευδολογίαις πεισθέντες προήκασθ' ὑμεῖς, καὶ τετειχισμένην ὅπλοις καὶ πολέμῳ συνεχεῖ καὶ πόλεσιν μεγάλαις συμμάχων ἀνδρῶν καὶ χώρᾳ πολλῇ περιείδετ' ἀναστᾰθεῖ-* 15 *σαν. καὶ ματαία μὲν ἡ πρότερον βοήθει' εἰς Πύλας ὑμῖν γέγονεν, ἣν μετὰ πλειόνων ἢ διακοσίων ταλάντων ἐποιήσασθε, ἂν λογίσησθε τὰς ἰδίας δαπάνας τὰς τῶν στρατευ-* 85 *σαμένων, μάταιαι δὲ καὶ αἱ κατὰ Θηβαίων ἐλπίδες. ὃ δέ, πολλῶν ὄντων καὶ δεινῶν ὧν οὗτος ὑπηρέτηκε Φι-* 20 *λίππῳ, πλείστην ὕβριν ὡς ἀληθῶς ἔχει κατὰ τῆς πόλεως καὶ ἁπάντων ὑμῶν, τοῦτ' ἀκούσατέ μου, ὅτι τοῖς Θη-*

1 sq. *τὸ κατὰ σαυτὸν μέρος γρ.* S[d] *γρ.* Q 3 *ἀμύνεσθαι* Q: *ἀμύνασθαι* SAY *ἀμύνεσθαι* (α supra ε) F 5 *μεγάλοι*] *α* corr. S 6 *τὴν πόλιν* ante *περιεστᾶσιν* v. 5 A 7 *ὅτι*] *ὁ* Q[1] 8 *ὑμῖν* A 9 *ἂν ἐλθεῖν* V | *ἂν* om. A 10 *μηδὲ Θηβαίους* del. Weidner, cf. schol. p. 382, 6 11 *αὐτῶν* S *γρ.* QAY: om. FQ text. 13 *προήκασθ'*] *η* in ras. F | *καὶ* post *ὑμεῖς* non om. Y[1] (in fin. vers. eras. et in seq. add. Y[2]) | *τετιχισμενης* S[1] 14 *μεγάλοις* F 16 *πρότερον* S: *προτέρα* VAY | *εἰς*] *ἢ εἰς* A | *ἡμῖν* FA 17 *ἐποιήσασθε ὑμεῖς* A 18 *ἐὰν* V | *τὰς* ante *τῶν* om. VA 19 *καὶ* om. A 20 *ὧν* om. S[1] 22 *ἁπάντων* SY: *κατὰ πάντων* V *πάντων* A

βαίοις ἐγνωκότος ἐξ ἀρχῆς τοῦ Φιλίππου πάνθ' ἃ πεποίη-
368 κε | ποιεῖν, οὗτος ἀπαγγείλας τἀναντία καὶ φανεροὺς
ἐπιδείξας ὑμᾶς οὐχὶ βουλομένους, ὑμῖν μὲν τὴν ἔχθραν
τὴν πρὸς Θηβαίους μείζω, Φιλίππῳ δὲ τὴν χάριν πε-
5 ποίηκεν. πῶς ἂν οὖν ὑβριστικώτερον ἄνθρωπος ὑμῖν
ἐχρήσατο;

Λέγε δὴ τὸ ψήφισμα λαβὼν τὸ τοῦ Διοφάντου καὶ 86
τὸ τοῦ Καλλισθένους, ἵν' εἰδῆθ' ὅτι, ὅτε μὲν τὰ δέοντ'
ἐποιεῖτε, θυσιῶν καὶ ἐπαίνων ἠξιοῦσθε παρ' ὑμῖν αὐτοῖς
10 καὶ παρὰ τοῖς ἄλλοις, ἐπειδὴ δ' ὑπὸ τούτων παρεκρού-
σθητε, παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν κατεκομίζεσθε
καὶ τὰ 'Ηράκλει' ἐντὸς τείχους θύειν ἐψηφίζεσθε, εἰρήνης
οὔσης. ὃ καὶ θαυμάζω, εἰ τὸν μηδὲ τοὺς θεούς, καθ'
ὃ πάτριον ἦν, τιμᾶσθαι ποιήσαντα, τοῦτον ἀτιμώρητον
15 ἀφήσετε. λέγε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ

Ταῦτα μὲν τότ' ἄξι' ὦ ἄνδρες Ἀθηναῖοι τῶν πεπρα-
γμένων ἐψηφίσασθε. Λέγε δὴ τὰ μετὰ ταῦτα.

ΨΗΦΙΣΜΑ

20 Ταῦτα τότ' ἐψηφίζεσθ' ὑμεῖς διὰ τούτους, οὐκ ἐπὶ ταύ- 87
ταις ταῖς ἐλπίσιν οὔτε κατ' ἀρχὰς ποιησάμενοι τὴν εἰρή-

1 ἐγνωκότος] δεδωκοτος S[1] | ἃ πεποίηκε SA: ἅπερ προήιρητο VY 2 φανερῶς Cobet 5 οὖν S γρ. QY: om. VA | ὑμῖν ἄνθρωπος A 7 λαβὼν post Διοφάντου A 10 ἄλλοις Ἕλλησιν A 11 κατεκομίζεσθε S γρ. QY: κατακομίζετε (σθε superscr.) F κατακομίζετε Q κατεκομίζετε (ζε superscr.) A cf. § 125 12 τοῦ τείχους Q | ἐψηφίσασθε F 13 εἰ ... 15 ἀφήσετε om. SY[1] add. ead. m.; verba suspecta sunt: maxime displicet frigidum illud τιμᾶσθαι ... ἀτιμώρητον, quae vox nusquam alibi apud Demosthenem; num etiam verba ὃ καὶ θαυμάζω delenda sunt? | μηδὲ τὸν VY 17 τότε ante πεπραγμένων A 18 ἐψηφίσασθε om. A 21 οὐδὲ SY[1] οὔτε (δ superscr.) F

*νην καὶ τὴν συμμαχίαν, οὐθ' ὕστερον ἐγγράψαι πεισθέν-
τες ⟨εἰς⟩ αὐτὴν „καὶ τοῖς ἐκγόνοις“, ἀλλ' ὡς θαυμάσι'
ἡλίκα πεισόμενοι διὰ τούτους ἀγαθά. καὶ μὴν καὶ μετὰ
ταῦθ' ὁσάκις πρὸς Πορθμῷ ἢ πρὸς Μεγάροις ἀκούοντες
δύναμιν Φιλίππου καὶ ξένους ἐθορυβεῖσθε, πάντες ἐπί-* 5
*στασθε. οὐ τοίνυν εἰ μήπω τῆς Ἀττικῆς ἐπιβαίνει, δεῖ
σκοπεῖν οὐδὲ ῥᾳθυμεῖν, ἀλλ' εἰ διὰ τούτους ἐξουσία
γέγονεν αὐτῷ τοῦθ' ὅταν βούληται ποιῆσαι, τοῦθ' ὁρᾶν,
καὶ πρὸς ἐκεῖνο τὸ δεινὸν βλέπειν, καὶ τὸν αἴτιον καὶ
παρασκευάσαντα τὴν ἐξουσίαν ταύτην ἐκείνῳ μισεῖν καὶ* 369
τιμωρεῖσθαι. 11

88 *Οἶδα τοίνυν ὅτι τοὺς μὲν ὑπὲρ τῶν κατηγορημένων
αὐτῶν λόγους Αἰσχίνης φεύξεται, βουλόμενος δ' ὑμᾶς ὡς
πορρωτάτω τῶν πεπραγμένων ἀπάγειν διέξεισιν, ἡλίκα
πᾶσιν ἀνθρώποις ἀγάθ' ἐκ τῆς εἰρήνης γίγνεται καὶ τοὐ-* 15
*ναντίον ἐκ τοῦ πολέμου κακά, καὶ ὅλως ἐγκώμι' εἰρήνης
ἐρεῖ καὶ τοιαῦτ' ἀπολογήσεται. ἔστι δὲ καὶ ταῦτα κατη-
γορήματα τούτου. εἰ γὰρ ἡ τοῖς ἄλλοις ἀγαθῶν αἰτία
τοσούτων πραγμάτων καὶ ταραχῆς ἡμῖν αἰτία γέγονεν,
τί τις εἶναι τοῦτο φῇ πλὴν ὅτι δῶρα λαβόντες οὗτοι* 20
89 *καλὸν πρᾶγμα φύσει κακῶς διέθηκαν; „τί δ'; οὐ τριήρεις
τριακόσιαι καὶ σκεύη ταύταις καὶ χρήμαθ' ὑμῖν περίεστιν
καὶ περιέσται διὰ τὴν εἰρήνην;“ ἴσως ἂν εἴποι. πρὸς δὴ
ταῦτ' ἐκεῖν' ὑμᾶς ὑπολαμβάνειν δεῖ, ὅτι καὶ τὰ Φιλίπ-*

2 *εἰς* add. Markland cf. § 310 | *ἐκγόνοις* ut § 310. VI 31; *ἐγγόνοις* § 48. 54. 56 3 alterum *καὶ* om. A 4 *Μεγάροις*] *γ* in ras. A^3 10 *τὸν* ante *παρασκευάσαντα* add. V (etiam *γρ.* Q) A | *συμπαρασκευάσαντα* S^d *γρ.* Q 13 *αυτων* S^1 (supra scr. *ου* m. ant.): *αὐτοῦ* VAY 14 *πεπραγμένων* S *γρ.* QAY: *πραγμάτων* V 17 alterum *καὶ* om. A | *ταῦτα πάντα* VAY 18 *ἀγαθῶν* *γρ.* S^dFAY: *ἀγαθοῖς* SQ 18 sq. *αἰτία … ἡμῖν* om. Q 19 *τηλικαύτης ταραχῆς* FY 20 *φαίη* VY 22 *διακόσιαι* A | $\overset{χρ}{κτήμαθ'}$ F 23 $\overset{η}{δὲ}$ F *δὲ* A

που πράγματ' ἐκ τῆς εἰρήνης γέγονεν εὐπορώτερα πολλῷ,
καὶ κατασκευαῖς ὅπλων καὶ χώρας καὶ προσόδων αἳ γε-
γόνασιν ἐκείνῳ μεγάλαι. γεγόνασιν δὲ καὶ ἡμῖν τινές.
ἡ δέ γε τῶν πραγμάτων κατασκευὴ καὶ τῶν συμμάχων, 90
5 δι' ἣν ἢ αὐτοῖς ἢ τοῖς κρείττοσι τἀγαθὰ πάντες κέκτην-
ται, ἡ μὲν ἡμετέρα πραθεῖσ' ὑπὸ τούτων ἀπόλωλεν καὶ
γέγονεν ἀσθενής, ἡ δ' ἐκείνου φοβερὰ καὶ μείζων πολλῷ.
οὐ δὴ δίκαιον ἐκείνῳ μὲν ἀμφότερ' ηὐξῆσθαι διὰ τού-
τους καὶ τὰ τῶν συμμάχων καὶ τὰ τῶν προσόδων, ἃ δ'
10 ἡμῖν καὶ ὣς ἂν ὑπῆρχεν ἐκ τῆς εἰρήνης, ταῦτ' ἀνθ' ὧν
370 ἀπέδοντ' αὐτοὶ λογίζεσθαι. | οὐ γὰρ ταῦτ' ἀντ' ἐκείνων
γέγονεν, οὐδὲ πολλοῦ δεῖ, ἀλλὰ ταῦτα μὲν ἦν ἂν ὁμοίως
ἡμῖν, ἐκεῖνα δὲ τούτοις ἂν προσῆν εἰ μὴ διὰ τούτους.

Ὅλως δ' ὦ ἄνδρες Ἀθηναῖοι δίκαιον δήπου φήσαιτ' 91
15 ἂν εἶναι, μήτ' εἰ πολλὰ καὶ δεινὰ τὰ συμβεβηκότ' ἐστὶν
τῇ πόλει, μηδενὸς δ' Αἰσχίνης αἴτιος τούτων, εἰς τοῦ-
τον ἐλθεῖν τὴν ὀργήν, μήτ' εἴ τι τῶν δεόντων πέπρακται
δι' ἄλλον τινά, τοῦτο σῷσαι τουτονί· ἀλλ' ὅσων οὗτος
αἴτιος σκεψάμενοι καὶ χάριν ἂν ταύτης ἄξιος ᾖ, καὶ
20 τοὐναντίον ὀργήν, ἂν τοιαῦτα φαίνηται, ποιεῖσθε. πῶς 92
οὖν εὑρήσετε ταῦτα δικαίως; ἐὰν μὴ πάνθ' ἅμ' ἐᾶτε
ταράττειν αὐτόν, τὰ τῶν στρατηγῶν ἀδικήματα, τὸν πόλε-

2 ὅπλων om. Q | χώραις F corr. | προσόδοις A 3 ἡμῶν V 5 prius ἢ om. A | ἑαυτοῖς A | κρείττοσι] ειττ in ras. F 7 ἐκείν^{ου}ῶν F | μείζω A^1 9 προσόδων ... ξυμμάχων A | ἃ δ' ἡμῖν γρ. F: ἃ δ' ὑμῖν SY ἡμῖν δὲ ἃ V ὑμῖν δὲ ἃ A 10 καὶ ὣς Blass post Weilii δὴ καὶ ὣς: δικαίως SVAY | ἂν om. γρ. FY^1 | ὑπῆρξεν A 11 αὐτοὶ SY: οὗτοι VA 12 ἀνομοίως F 14 καὶ δίκαιον F^2Y | φήσετ' A 15 ἐστὶ om. V text. hab. γρ. V 18 τοῦτον A 20 τοιαῦτα] ταῦτα γρ. S^d γρ. Q | φαίνηται πεποιηκὼς γρ. S^dV γρ. QY | ποιεῖσθε] ἀπονείματε αὐτῶι γρ. S^d γρ. Q 21 ευρησεται S | ἂν A 22 ταράττειν S corr. (ut vid) γρ. S^dF γρ. Q (ταράττειν αὐτὸν ἐᾶτε) AY: πράττειν SQ

μον τὸν πρὸς Φίλιππον, τἀπὸ τῆς εἰρήνης ἀγαθά, ἀλλ'
ἕκαστον ἐφ' ἑαυτοῦ σκοπῆτε. οἷον, ἦν ἡμῖν πόλεμος πρὸς
Φίλιππον; ἦν. ἐνταῦθ' ἐγκαλεῖ τις Αἰσχίνῃ; βούλεταί
τις τούτου κατηγορεῖν περὶ τῶν ἐν τῷ πολέμῳ πραχθέν-
των; οὐδὲ εἷς. οὐκοῦν περὶ τούτου γ' ἀφεῖται καὶ οὐδὲν 5
αὐτὸν δεῖ λέγειν· περὶ γὰρ τῶν ἀμφισβητουμένων καὶ
τοὺς μάρτυρας παρέχεσθαι καὶ τὰ τεκμήρια δεῖ λέγειν
τὸν φεύγοντα, οὐ τὰ ὁμολογούμεν' ἀπολογούμενον ἐξ-
απατᾶν. ὅπως τοίνυν περὶ τοῦ πολέμου μηδὲν ἐρεῖς· οὐ-
93 δεὶς γὰρ οὐδὲν αἰτιᾶται περὶ αὐτοῦ σε. μετὰ ταῦτ' εἰρήνην 10
τινὲς ἡμᾶς ἔπειθον ποιήσασθαι· ἐπείσθημεν· πρέσβεις
ἐπέμψαμεν· ἤγαγον οὗτοι δεῦρο τοὺς ποιησομένους τὴν
εἰρήνην. πάλιν ἐνταῦθα περὶ τούτου μέμφεταί τις Αἰσχί-
νην; φησί τις εἰσηγήσασθαι τοῦτον εἰρήνην, ἢ ἀδικεῖν
ὅτι δεῦρ' ἤγαγε τοὺς ποιησομένους; οὐδὲ εἷς. οὔκουν 15
οὐδ' ὑπὲρ | αὐτοῦ τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην 371
94 οὐδὲν αὐτῷ λεκτέον· οὐ γὰρ οὗτος αἴτιος. „τί οὖν ἄν-
θρωπε λέγεις“ εἴ τις ἔροιτό με, „καὶ πόθεν ἄρχῃ κατη-
γορεῖν;“ ὅθεν ὦ ἄνδρες Ἀθηναῖοι βουλευομένων ὑμῶν,
οὐ περὶ τοῦ εἰ ποιητέον εἰρήνην ἢ μή (ἐδέδοκτο γὰρ ἤδη 20
τοῦτό γε), ἀλλ' ὑπὲρ τοῦ ποίαν τινά, τοῖς τὰ δίκαια λέ-
γουσιν ἀντειπὼν τῷ μισθοῦ γράφοντι· συνεῖπε δῶρα

2 σκοπεῖτε F^{1}QY | ὑμῖν Y 3 ἐντεῦθ' A cf. § 32 5 τού-
του S^{1}A: τούτων S corr. VY cf. § 93 8 φυγοντα S^1 9 ἐρῇς
F corr. Y^1(?) 10 αὐτοῦ σε] αυτους S^1 | ante μετὰ 2 litt. eras. S
(καὶ ut vid.) 11 ποιεῖσθαι Ortner 12 οὗτοι] αὐτοὶ Y 13 περὶ] περ
in ras. A^1 | τούτ^{ου}ῶν F 14 φησί SF^1 γρ. QY corr.: φήσει F corr.
QAY^1 15 ηγαγετο ut vid. S^{1}Y^1 | ποιησ^{ο}αμένους F | ουδεις SAY
οὐκοῦν SA 18 εἴ τις ἔροιτό με del. Cobet 20 εἰ] η SQ
om. A^1 21 γε om. A | τοῖς γὰρ VY | λέγουσιν S γρ. QY:
γράφουσιν VA

λαβών, καὶ μετὰ ταῦτ' ἐπὶ τοὺς ὅρκους αἱρεθείς, ὧν μὲν
ὑμεῖς προσετάξατε, οὐδ' ὁτιοῦν ἐποίησεν, τοὺς δ' ἐπὶ
τοῦ πολέμου διασωθέντας ἀπώλεσε τῶν συμμάχων, καὶ
τηλικαῦτα καὶ τοιαῦτ' ἐψεύσαθ' ἡλίκ' οὐδεὶς πώποτ'
5 ἄλλος ἀνθρώπων οὔτε πρότερον οὔθ' ὕστερον. τὸ μὲν
γὰρ ἐξ ἀρχῆς ἄχρι τοῦ λόγου τυχεῖν Φίλιππον ὑπὲρ τῆς
εἰρήνης, Κτησιφῶν καὶ Ἀριστόδημος τὴν πρώτην ἔφερον
τοῦ φενακισμοῦ, ἐπειδὴ δ' εἰς τὸ πράττειν ἤδη τὰ πρά-
γμαθ' ἧκεν, Φιλοκράτει καὶ τούτῳ παρέδωκαν, ἐκδεξά-
10 μενοι δ' οὗτοι πάντ' ἀπώλεσαν. εἶτ' ἐπειδὴ δεῖ λόγον 95
καὶ δίκην ὑπέχειν τῶν πεπραγμένων, ὢν οἶμαι πανοῦργος
οὗτος καὶ θεοῖς ἐχθρὸς καὶ γραμματεύς, ὡς ὑπὲρ εἰρή-
νης κρινόμενος ἀπολογήσεται, οὐχ ἵνα πλειόνων ἢ κατη-
γορεῖ τις αὐτοῦ δῷ λόγον (μανία γὰρ τοῦτό γε), ἀλλ'
15 ὁρᾷ τοῦθ' ὅτι ἐν μὲν τοῖς ὑφ' αὐτοῦ πεπραγμένοις ἀγα-
θὸν μὲν οὐδέν ἐστιν, ἅπαντα δὲ τἀδικήματα, ἡ δ' ὑπὲρ
τῆς εἰρήνης ἀπολογία, καὶ εἰ μηδὲν ἄλλο, τοὔνομα γοῦν
ἔχει φιλάνθρωπον. ἣν δέδοικα μὲν ὦ ἄνδρες Ἀθηναῖοι 96
372 δέδοικα, | μὴ λελήθαμεν ὥσπερ οἱ δανειζόμενοι ἐπὶ πολλῷ
20 ἄγοντες (τὸ γὰρ ἀσφαλὲς αὐτῆς καὶ τὸ βέβαιον οὗτοι
προὔδοσαν, Φωκέας καὶ Πύλας)· οὐ μὴν διὰ τοῦτόν γ'
ἐξ ἀρχῆς ἐποιησάμεθα, ἀλλ' ἄτοπον μέν ἐστιν ὃ μέλλω

2 sq. ἐν τῶι πολέμωι A 4 καὶ τοιαῦτ' S γρ. VAY: om. V 5 ἄλλος om. A 6 τοῦ om. A | ὑπὲρ om. γρ. S[d] γρ. QA 7 τὴν πρώτην γρ. S[d] γρ. QA Harpocr. s. Κτησιφῶν, cf. schol. p. 115, 19 ad III 2: τὴν ἀρχὴν τὴν πρώτην SVY | τὰ πρῶτ' ἐφέροντο Cobet 8 ἐπειδὴ SAY: ἐπεὶ V | ἤδη om. A 9 ἧκον A | ἐκδεξάμενοι γρ. S[d] F[1] QAY: δεξάμενοι S text. F corr. cf. § 321. XVIII 21 10 λόγον αὐτὸν γρ. S[d] γρ. Q 11 ὑποσχεῖν γρ. S[d] γρ. QA | ὢν] ὤν (in ras. 1 litt.) F, A | ὁ ante πανοῦργος add. F s. v. 12 τῆς εἰρήνης VAY 14 δώσηι F[1] Q 15 ἑαυτοῦ V 16 δ' ἀδικήματα Hertlein 19 ὥσπερ οἱ δανειζόμενοι del. Dobree ut illata ex I 15 22 ἐποιησάμεθα τὴν εἰρήνην S[d] γρ. V

λέγειν, ἀληθὲς δὲ πάνυ· εἰ γάρ τις ὡς ἀληθῶς χαίρει
τῇ εἰρήνῃ, τοῖς στρατηγοῖς, ὧν κατηγοροῦσιν ἅπαντες,
χάριν αὐτῆς ἐχέτω· εἰ γὰρ ἐκεῖνοι ὡς ὑμεῖς ἐβούλεσθ'
97 ἐπολέμουν, οὐδ' ὄνομ' εἰρήνης ἂν ὑμεῖς ἠνέσχεσθε. εἰρήνη
μὲν οὖν δι' ἐκείνους, ἐπικίνδυνος δὲ καὶ σφαλερὰ καὶ 5
ἄπιστος διὰ τούτους γέγονεν δωροδοκήσαντας. εἴργετ'
οὖν, εἴργετ' αὐτὸν τῶν ὑπὲρ τῆς εἰρήνης λόγων, εἰς δὲ
τοὺς ὑπὲρ τῶν πεπραγμένων ἐμβιβάζετε. οὐ γὰρ Αἰσχί-
νης ὑπὲρ τῆς εἰρήνης κρίνεται, οὔ, ἀλλ' ἡ εἰρήνη δι'
Αἰσχίνην διαβέβληται. σημεῖον δέ· εἰ γὰρ ἡ μὲν εἰρήνη 10
ἐγεγόνει, μηδὲν δ' ὕστερον ἐξηπάτησθ' ὑμεῖς μηδ' ἀπω-
λώλει [τῶν συμμάχων] μηδείς, τίν' ἀνθρώπων ἐλύπησεν
ἂν ἡ εἰρήνη, ἔξω τοῦ ἄδοξος γεγενῆσθαι; καίτοι καὶ τού-
του συναίτιος οὗτος συνειπὼν Φιλοκράτει. ἀλλ' ἀνή-
κεστόν γ' οὐδὲν ἂν ἦν γεγονός. νῦν δ' οἶμαι πόλλ', ὧν 15
αἴτιος οὗτος.

98 Ὅτι μὲν τοίνυν αἰσχρῶς καὶ κακῶς πάντα ταῦθ' ὑπὸ
τούτων ἀπόλωλεν καὶ διέφθαρται, οἶμαι πάντας ὑμᾶς εἰ-
δέναι. ἐγὼ δ' ὦ ἄνδρες δικασταὶ τοσοῦτ' ἀπέχω τοῦ
συκοφαντίαν τινὰ τοῖς πράγμασι τούτοις προσάγειν ἢ 20
ὑμᾶς ἀξιοῦν, ὥστ' εἰ ταῦθ' ὑπ' ἀβελτερίας ἢ δι' εὐήθειαν
ἢ δι' ἄλλην ἄγνοιαν ἡντινοῦν οὕτω πέπρακται, αὐτός

3 αὐτοῖς F rec. om. A | ὑμεῖς om. A 4 εἰρήνην Y 6 τού-
του S[1] 8 ἐμβιβάζετε A: ἐμβιβάζετε (συμ suprascr.) F συμβιβάζετε SQA | οὐ
in ras. Y 11 δ' om. Q 12 τῶν συμμάχων om. S cf. § 100 |
ανθρωπον S[1] 13 ἡ εἰρήνη om. V | ἀδόξως FY corr. 15 οἶμαι]
οἶδα ὅτι γρ. S[d] | πόλλ', ὧν Weil: πολλῶν SVAY 16 αἴτιος
οὗτος SQ: οὗτος αἴτιός ἐστι A κακῶν αἴτιος οὗτος γρ. S[d] ἄλλων
ἐστὶ κακῶν αἴτιος οὗτος FY ἄλλων οὗτός ἐστι κακῶν αἴτιος γρ. Q
17 ταῦτα πάντα A 19 τοσοῦτον VA 21 ἀβελτηρίας FA item
p. 441, 12 22 post ἣν litt. eras. (ι?) in A | οὕτω] αὐτῶι A

373 τ' ἀφίημι Αἰσχίνην καὶ ὑμῖν συμ|βουλεύω. καίτοι τῶν 99
σκήψεων τούτων οὐδεμί' ἐστὶν πολιτικὴ οὐδὲ δικαία.
οὐδένα γὰρ τὰ κοινὰ πράττειν ὑμεῖς κελεύετ' οὐδ' ἀναγ-
κάζετε· ἀλλ' ἐπειδάν τις ἑαυτὸν πείσας δύνασθαι προσ-
5 έλθῃ, πρᾶγμα ποιοῦντες ἀνθρώπων χρηστῶν καὶ φιλαν-
θρώπων, εὐνοϊκῶς δέχεσθε καὶ οὐ φθονερῶς, ἀλλὰ καὶ
χειροτονεῖτε καὶ τὰ ὑμέτερ' αὐτῶν ἐγχειρίζετε. ἐὰν μὲν 100
οὖν κατορθοῖ τις, τιμήσεται καὶ πλέον ἕξει τῶν πολλῶν
κατὰ τοῦτο· ἂν δ' ἀποτυγχάνῃ, σκήψεις καὶ προφάσεις
10 ἐρεῖ; ἀλλ' οὐ δίκαιον. οὐ γὰρ ἂν ἐξαρκέσειεν τοῖς ἀπο-
λωλόσιν συμμάχοις οὐδὲ τοῖς παισὶν αὐτῶν οὐδὲ ταῖς
γυναιξὶν οὐδὲ τοῖς ἄλλοις διὰ τὴν ἀβελτερίαν τὴν ἐμήν,
ἵνα μὴ τὴν τούτου λέγω, τοιαῦτα πεπονθέναι· πολλοῦ
γε καὶ δεῖ. ἀλλ' ὅμως ὑμεῖς ἄφετ' Αἰσχίνῃ τὰ δεινὰ 101
15 ταῦτα καὶ ὑπερβάλλοντα, ἂν δι' εὐήθειαν ἢ δι' ἄλλην
ἄγνοιαν ἡντινοῦν λελυμασμένος φανῇ· ἂν μέντοι διὰ
πονηρίαν ἀργύριον λαβὼν καὶ δῶρα, καὶ τοῦτ' ἐξελεγχθῇ
σαφῶς ὑπ' αὐτῶν τῶν πεπραγμένων, μάλιστα μέν, εἰ
οἷόν τ', ἀποκτείνατε, εἰ δὲ μή, ζῶντα τοῖς λοιποῖς παρά-
20 δειγμα ποιήσατε. σκοπεῖτε δὴ τὸν ὑπὲρ τούτων ἔλεγχον,
ὡς δίκαιος ἔσται, μεθ' ὑμῶν.

Ἀνάγκη δή που τοὺς λόγους τούτους Αἰσχίνην πρὸς 102

1 ἀφεῖναι συμβουλεύω VAY 3 ἐκελεύετε SY 4 αυτὸν A 5 ἀνθρώπων om. A 6 δέχεσθε] προσέχεσθε A | καὶ post ἄλλα om. Y^1 7 τὰ om. S^1Y^1 8 τιμηθήσεται V τιμήσετε Y^1 8 sq. ἕξει κατὰ τοῦτο τῶν πολλῶν A 9 ἐὰν VA 10 ἀλλ' οὐ S, F in ras. γρ. QAY: οὐ γὰρ Q text. 11 αὐτῶν om. V (add. γρ. Q) 14 αἰσχίνην F^1Q 15 ἄλλην τινὰ A 17 ἐλεγχθῇ A 18 εἰ οἷόν τε del. Cobet 19 μὴ ζῶντα] μειζων τα S^1 | λοιποῖς S γρ. QAY: πολλοῖς V 20 τὸν] των A^1 | τουτου S^1 22 Αἰσχίνην del. Weidner; potius erat. del. p. 442, 1 τουτονί quod post Αἰσχίνην VA

ὑμᾶς εἰπεῖν τουτονί, τοὺς περὶ τῶν Φωκέων καὶ τῶν Θεσπιῶν καὶ τῆς Εὐβοίας, εἴπερ μὴ πεπρακὼς αὑτὸν ἑκὼν ἐξηπάτα, δυοῖν θάτερον, ἢ διαρρήδην ἀκούσανθ' ὑποσχομένου Φιλίππου, ὅτι πράξει ταῦτα καὶ ποιήσει, ἢ εἰ μὴ τοῦτο, γοητευθέντα καὶ φενακισθέντα τῇ περὶ τἄλ|λα 374 φιλανθρωπίᾳ καὶ ταῦτ' ἐλπίσαντα παρ' αὐτοῦ. οὐκ ἔνεστι 6

103 τούτων οὐδὲ ἓν χωρίς. ἐκ τοίνυν τούτων ἀμφοτέρων μάλιστα πάντων ἀνθρώπων μισεῖν αὐτῷ προσῆκε Φίλιππον. διὰ τί; ὅτι τὸ μὲν ἐκείνου μέρος πάντ' αὐτῷ γέγονεν τὰ δεινότατα καὶ τὰ αἴσχιστα. ὑμᾶς ἐξηπάτηκεν, 10 ἀδοξεῖ, [δικαίως ἀπόλωλε,] κρίνεται· [καὶ] εἴ γε τι τῶν προσηκόντων ἐγίγνετο, ἐν εἰσαγγελίᾳ πάλαι ἂν ἦν. νῦν δὲ διὰ τὴν ὑμετέραν εὐήθειαν καὶ πραότητ' εὐθύνας

104 δίδωσι, καὶ ταύτας ὁπηνίκα βούλεται. ἔστιν οὖν ὅστις

— ὑμῶν φωνὴν ἀκήκοεν Αἰσχίνου κατηγοροῦντος Φιλίπ- 15

109 που; τί δ'; ἐξελέγχοντ' ἢ λέγοντά τι τοῦτον ἑόρακεν; οὐδὲ εἷς· ἀλλὰ πάντες Ἀθηναῖοι πρότερον κατηγοροῦσι Φιλίππου, καὶ ὁ τυχὼν ἀεί, ὧν οὐδὲν οὐδεὶς ἠδίκηται, ἰδίᾳ δήπου. ἐγὼ δ' ἐκείνους τοὺς λόγους ἐζήτουν παρὰ τούτου, εἴπερ μὴ πεπρακὼς αὑτὸν ἦν, „ἄνδρες Ἀθη- 20 ναῖοι, ἐμοὶ μὲν χρήσασθ' ὅ τι βούλεσθε· ἐπίστευσα,

1 τῶν post καὶ om. V 2 Θεσπιῶν Dobree: θεσπιέων SVAY 4 ταῦτα πράξει A | ποιησει ut vid. S[1] 7 χωρὶς τοίνυν τούτων F[1]Q (ἐκ τούτων γρ. Q) | post τούτων ras. 6 litt. Q unius F 8 προσῆκε Reiske: προσήκει SVAY 11 δικαίως ἀπόλωλε γρ. SQ: del. Weil ut ex § 110 illata, coll. §§ 118 et 115: δικαίως ἀπολωλέναι VA (qui interpungit post δικαίως) Y: δίκαιος ἀπολωλέναι Lambinus | καὶ om. S 13 ἡμετέραν F | πραότητα καὶ εὐήθειαν V 15 ἀκηεν Y[1] 16 τοῦτον] τούτων A 17 οὐδεὶς A | ἅπαντες V | πρότεροι A 18 οὐδεὶς οὐδὲν VA 18 sq. ἰδίᾳ ἠδίκηται V 19 ἐζήτουν VA: ἐξήτουν S ἐξῃτουν γρ. FY 20 τούτου in mg. εἴπερ in ras. A[1] (εἴπερ initio omissum erat) | ἑαυτὸν V 21 χρήσασθε S γρ. QAY: χρῆσθε V

ἐξηπατήθην, ἥμαρτον, ὁμολογῶ. τὸν δ' ἄνθρωπον ἄνδρες Ἀθηναῖοι φυλάττεσθε· ἄπιστος, γόης, πονηρός. οὐχ ὁρᾶθ' οἷα πεποίηκεν ἐμέ, οἷ' ἐξηπάτηκεν;" τούτων οὐδέν' ἀκούω τῶν λόγων, οὐδ' ὑμεῖς. διὰ τί; ὅτι οὐ παρακρου- 110
5 σθεὶς οὐδ' ἐξαπατηθείς, ἀλλὰ μισθώσας αὑτὸν καὶ λαβὼν ἀργύριον ταῦτ' εἶπεν καὶ προὔδωκεν ἐκείνῳ, καὶ γέγονεν καλὸς κἀγαθὸς καὶ δίκαιος μισθωτὸς ἐκείνῳ, πρεσβευτὴς μέντοι καὶ πολίτης ὑμῖν προδότης καὶ τρίς, οὐχ ἅπαξ, ἀπολωλέναι δίκαιος.

10 Οὐ τοίνυν ἐκ τούτων μόνον δῆλός ἐσθ' ὅτι χρημάτων 111
375 ἅπαντ' εἶπεν ἐκεῖνα· ἀλλ' ἧκον ὡς ὑμᾶς ἔναγχος | Θετταλοὶ καὶ Φιλίππου πρέσβεις μετ' αὐτῶν, ἀξιοῦντες ὑμᾶς Φίλιππον Ἀμφικτύον' εἶναι ψηφίσασθαι. τῷ προσῆκεν οὖν ἀντειπεῖν τούτοις μάλιστα πάντων ἀνθρώπων; Αἰ-
15 σχίνῃ τουτῳί. διὰ τί; ὅτι οἷς οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, τούτοις τἀναντί' ἐποίησεν ἐκεῖνος. οὗτος μὲν γὰρ ἔφη 112 Θεσπιὰς καὶ Πλαταιὰς αὐτὸν τειχιεῖν, καὶ τοὺς μὲν Φωκέας οὐκ ἀπολεῖν, τὴν δὲ Θηβαίων ὕβριν καταλύσειν· ὁ δὲ τοὺς μὲν Θηβαίους μείζους ἢ προσῆκε πεποίηκεν,
20 τοὺς δὲ Φωκέας ἄρδην ἀπολώλεκεν, καὶ τὰς μὲν Θεσπιὰς καὶ Πλαταιὰς οὐ τετείχικεν, τὸν δ' Ὀρχομενὸν καὶ τὴν Κορώνειαν προσεξηνδραπόδισται. πῶς ἂν ἐναντιώτερα πράγμαθ' ἑαυτοῖς τούτων γένοιτο; οὐ τοίνυν ἀντεῖπεν, οὐδὲ διῆρεν τὸ στόμα, οὐδ' ἐφθέγξατ' ἐναντίον οὐδέν.

1 ὦ ἄνδρες V 5 ἑαυτὸν V 7 ἐκείνῳ] φιλίππωι A 8 ὑμῖν] ὑμέτερος A 10 μόνον ἐκ τούτων A | δῆλον A 11 ἡμᾶς F | ἔναγχος om. A 13 sq. προσῆκεν οὖν] προσῆκον ἦν A 15 τουτῳί Dindorf: τούτωι SVAY 16 ἔφη om. S[1] 18 ὕβριν ὑμῖν VY 19 ἢ προσῆκε del. Dobree 21 καὶ Πλαταιὰς om. S[1] add. S[d] | post οὐ ras. 2 litt. in F 22 ἂν] οὖν A

113 καὶ οὐχὶ τοῦτό πω τηλικοῦτον· ἀλλὰ καὶ συνεῖπεν μόνος τῶν ἐν τῇ πόλει πάντων ἀνθρώπων. καίτοι τοῦτό γ' οὐδὲ Φιλοκράτης ἐτόλμησε ποιῆσαι ὁ μιαρός, ἀλλ' Αἰσχίνης οὑτοσί. καὶ θορυβούντων ὑμῶν καὶ οὐκ ἐθελόντων ἀκούειν αὐτοῦ, καταβαίνων ἀπὸ τοῦ βήματος, ἐνδεικνύμενος τοῖς πρέσβεσιν τοῖς παρὰ τοῦ Φιλίππου παροῦσιν, πολλοὺς ἔφη τοὺς θορυβοῦντας εἶναι, ὀλίγους δὲ τοὺς στρατευομένους ὅταν δέῃ (μέμνησθε δήπου), αὐτὸς οἶμαι θαυμάσιος στρατιώτης, ὦ Ζεῦ. 5

114 Ἔτι τοίνυν, εἰ μὲν μηδένα μηδὲν ἔχοντ' εἴχομεν δεῖξαι τῶν πρέσβεων, μηδ' ἦν ὥστ' ἰδεῖν ἅπαντας, βασάνους καὶ τὰ τοιαῦθ' ὑπόλοιπον ἂν ἦν σκοπεῖν. εἰ δὲ Φιλοκράτης μὴ μόνον ὡμολόγει παρ' ὑμῖν ἐν τῷ δήμῳ πολλάκις, ἀλλὰ καὶ ἐδεί|κνυεν ὑμῖν, πυροπωλῶν, οἰκοδομῶν, βαδιεῖσθαι φάσκων κἂν μὴ χειροτονῆθ' ὑμεῖς, ξυληγῶν, τὸ χρυσίον καταλλαττόμενος φανερῶς ἐπὶ ταῖς τραπέζαις, οὐκ ἔνι δήπου τοῦτον εἰπεῖν ὡς οὐκ εἴληφε, τὸν αὐτὸν 10 376 15

115 ὁμολογοῦντα καὶ δεικνύντα. ἔστιν οὖν οὕτω τις ἀνθρώπων ἀνόητος ἢ κακοδαίμων, ὥσθ' ἵνα λαμβάνῃ μὲν Φιλοκράτης, ἀδοξῇ δ' αὐτὸς καὶ κινδυνεύῃ, ἐξὸν αὐτῷ μετὰ τῶν μηδὲν ἠδικηκότων ἐξετάζεσθαι, τούτοις μὲν πολεμεῖ, πρὸς δ' ἐκεῖνον ἐλθὼν κρίνεσθαι βούλεται; ἐγὼ μὲν 20

1 πω SY¹: πω δεινὸν VAY³ | τηλικοῦτον S: τηλικοῦτον ὂν VY καίπερ ὂν δεινόν A ex IX 55 | συνειπειν S¹ 4 post ὑμῶν add. ἐπὶ τούτοις A³ s. v. 6 τοῦ om. V 8 στρατευσομένους Markland, cf. § 116 | μέμνησθε F μεμνῆσθαι (αι s. v.) QA | γὰρ ante δήπου add. S^d VAY cf. § 117 | δήπουθεν A |·αὐτὸς ὢν γρ. S^d VAY Hermog. III 337 W. (352, 24 R.) cf. XVIII 235 10 μὲν om. S 11 ειδην S¹ ωστειδεῖν F ει in ras. 15 χειροτονειτε S 19 ὥσθ'] ὅστις apogr. Harleianum Index Feliciani 21 πολεμεῖ] πολεμεῖν SVAY cf. § 118 22 βούλεται] βούλεσθαι marg. Morelii

οὐδέν᾽ οἶμαι. ἀλλὰ πάντα ταῦτ᾽, ἐὰν ὀρθῶς σκοπῆτε, εὑρήσετε μεγάλ᾽ ὦ ἄνδρες Ἀθηναῖοι καὶ ἐναργῆ σημεῖα τοῦ χρήματα τοῦτον ἔχειν.

Ὃ τοίνυν ὕστατον μὲν γέγονεν, οὐδενὸς δ᾽ ἐστὶν ἔλαττον (116) σημεῖον τοῦ πεπρακέναι τοῦτον ἑαυτὸν Φιλίππῳ, θεάσασθε. ἴστε δήπου πρῴην, ὅτ᾽ εἰσήγγελλεν Ὑπερείδης Φιλοκράτην, ὅτι παρελθὼν ἐγὼ δυσχεραίνειν ἔφην ἕν τι τῆς εἰσαγγελίας, εἰ μόνος Φιλοκράτης τοσούτων καὶ τοιούτων ἀδικημάτων αἴτιος γέγονεν, οἱ δ᾽ ἐννέα τῶν 10 πρέσβεων μηδενός. καὶ οὐκ ἔφην τοῦθ᾽ οὕτως ἔχειν· οὐδαμοῦ γὰρ ἂν φανῆναι καθ᾽ αὑτὸν ἐκεῖνον, εἰ μὴ τοὺς συναγωνιζομένους τούτων τινὰς εἶχεν. ἵν᾽ οὖν μήτ᾽ ἀφῶ (117) μήτ᾽ αἰτιάσωμαι μηδέν᾽, ἔφην, ἐγώ, ἀλλὰ τὸ πρᾶγμ᾽ αὐτὸ τοὺς μὲν αἰτίους εὕρῃ, τοὺς δὲ μὴ μετεσχηκότας ἀφῇ, 15 ἀναστὰς ὁ βουλόμενος καὶ παρελθὼν εἰς ὑμᾶς ἀποφηνάσθω μὴ μετέχειν μηδ᾽ ἀρέσκειν αὐτῷ τὰ ὑπὸ Φιλοκράτους πεπραγμένα. | [377] καὶ τὸν τοῦτο ποιήσαντ᾽ ἀφίημ᾽ ἔγωγ᾽, ἔφην. ταῦτα μνημονεύεθ᾽, ὡς ἐγᾦμαι. οὐ τοίνυν (118) παρῆλθεν οὐδεὶς οὐδ᾽ ἔδειξεν ἑαυτόν. καὶ τῶν μὲν ἄλ-20 λων ἔστιν ἑκάστῳ τις πρόφασις· ὁ μὲν οὐχ ὑπεύθυνος ἦν, ὁ δ᾽ οὐχὶ παρῆν ἴσως, τῷ δὲ κηδεστής ἐστιν ἐκεῖνος· τούτῳ δ᾽ οὐδὲν τούτων. ἀλλ᾽ οὕτω καθάπαξ πέπρακεν

1 οἴομαι A | ταῦτα πάντα A | ἂν A 2 ἐναργῆ] α in ras. A 6 εἰσήγγελλεν S: εἰσήγγειλεν VAY | ὑπερίδης AY 9 τοιούτων SA: τηλικούτων VY 10 συμπρέσβεων A 11 ἑαυτὸν VA | τοὺς] υς in ras. A 12 συναγωνιουμένους Dobree, cf. § 113 13 αιτιασομαι S[1] | ἔφην, ἐγὼ Voemel: ἔφην ἐγὼ SVAY | τὸ πρᾶγμ᾽ αὐτὸ] τὰ πεπραγμένα τὰ (τὰ in mg.) αὐτὰ A 17 πεπραγμένα] εἰρημένα γρ. S[d] γρ. Q | καὶ bis Q | ποιήσοντα FA 18 ταῦτα καὶ VY ταῦτα γὰρ A | ἐγᾦμαι Voemel: ἐγὼ οἶμαι SVY οἶμαι A 19 αυτόν A 20 τις ὡς ἔοικε A | προφασεις S[1] | ουκ S cf. XVIII 117 21 ἦν] ἐστιν A | κηδεστη S[1] | ἐστιν S γρ. S[d] A: ἦν VY | ἐκεῖνος S: ἐκεῖ γρ. S[d] VAY

ἑαυτὸν καὶ οὐκ ἐπὶ τοῖς παρεληλυθόσι μεμισθάρνηκε μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα δῆλός ἐστιν, ἄν περ ἐκφύγῃ νῦν, καθ' ὑμῶν ὑπάρξων ἐκείνῳ, ὥσθ' ἵνα μηδὲ ῥῆμ' ἐναντίον μηδὲν προῆται Φιλίππῳ, οὐδ' ἀφιέντων ἀφίεται, ἀλλ' ἀδοξεῖν, κρίνεσθαι, πάσχειν ὁτιοῦν αἱρεῖται παρ' 5 *ὑμῖν μᾶλλον ἢ Φιλίππῳ τι ποιῆσαι μὴ πρὸς ἡδονήν.* 119 *καίτοι τίς ἡ κοινωνία, τίς ἡ πολλὴ πρόνοι' ὑπὲρ Φιλοκράτους αὕτη; ὃς εἰ τὰ κάλλιστα καὶ πάντα τὰ συμφέροντ' ἐπεπρεσβεύκει, χρήματα δ' ὡμολόγει λαβεῖν ἐκ τῆς πρεσβείας, ὥσπερ ὡμολόγει, τοῦτό γ' αὐτὸ φυγεῖν καὶ* 10 *διευλαβηθῆναι τῷ προῖκα πρεσβεύοντι προσῆκεν, καὶ διαμαρτύρεσθαι τὸ καθ' αὑτόν. οὐ τοίνυν πεποίηκε τοῦτ' Αἰσχίνης. ταῦτ' οὐ φανέρ' ἄνδρες Ἀθηναῖοι; ταῦτ' οὐχὶ βοᾷ καὶ λέγει, ὅτι χρήματ' εἴληφεν Αἰσχίνης καὶ πονηρός ἐστιν ἀργυρίου συνεχῶς, οὐ δι' ἀβελτερίαν οὐδὲ δι'* 15 *ἄγνοιαν, οὐδ' ἀποτυγχάνων;*

120 *Καὶ τίς μου καταμαρτυρεῖ, φήσει, δῶρα λαβεῖν; τοῦτο γάρ ἐστι τὸ λαμπρόν· τὰ πράγματ' Αἰσχίνη, ἅπερ πιστότατ' ἐστὶν ἁπάντων (καὶ οὐκ ἔνεστ' εἰπεῖν οὐδ' αἰτιάσασθαι, ὡς ἢ πεπεισμέν' ἢ χαριζόμενά τῳ ἐστιν τοι-* 20 *αῦτα, ἀλλ' οἷάπερ αὐτὰ προ|δοὺς καὶ διαφθείρας σὺ* 378 *πεποίηκας, τοιαῦτ' ἐξεταζόμενα φαίνεται)· πρὸς δὲ τοῖς*

2 *ἐὰν* V 3 *ῥῆμα* cum Blassio post *μηδὲ* posui: *μηδὲ ἐναντίον μηδὲν ῥῆμα* SY *μηδὲν ἐναντίον μηδὲ ῥῆμα* VA 4 *ἀφίεται* SA: *ἀφίησιν* FY *ἀφίεισιν* Q *ἀφίσταται γρ.* Q 8 *τὰ* post *πάντα* om. Q[1]

10 *ὁμολογεῖ* Paris. 2994 al. apogr. 12 *διαμαρτύρασθαι* F *διαμαρτύρασθαι* A | *ἑαυτὸν* A 13 *ὦ ἄνδρες* S corr. VA 15 *ἀβελτηρίαν* FA cf. § 98 17 *φήσει* SV mg.: *φησι* VAY | *δῶρα λαβεῖν* om. V del. Blass *ἐν ἄλλοι καὶ τίς μου καταμαρτυρεῖ φήσει δῶρα λαβεῖν* V mg. 17 sq. *τοῦτο . . . λαμπρόν* del. Dobree ut interpolata ex § 279 19 *ἐστ. ἁπάντων* F[1] 20 *χαριζόμενα ἢ πεπεισμένα* A 21 *οἵπερ* F[1] | *σὺ* post *αὐτὰ* A

πράγμασιν αὐτὸς αὐτίκα δὴ σὺ σαυτοῦ. ἀπόκριναι γὰρ δεῦρ' ἀναστάς μοι. οὐ γὰρ δὴ δι' ἀπειρίαν γ' οὐ φήσεις ἔχειν ὅ τι εἴπῃς· ὃς γὰρ ἀγῶνας καινοὺς ὥσπερ δράματα, καὶ τούτους ἀμαρτύρους, πρὸς διαμεμετρημένην τὴν ἡμέ- 5 *ραν αἱρεῖς διώκων, δῆλον ὅτι πάνδεινος εἶ τις.*

Πολλῶν τοίνυν καὶ δεινῶν ὄντων τῶν πεπραγμένων 121 *Αἰσχίνῃ τουτῳὶ καὶ πολλὴν κακίαν ἐχόντων, ὡς καὶ ὑμῖν οἴομαι δοκεῖν, οὐδέν ἐστιν οὗ μέλλω λέγειν, ὡς ἐγὼ κρίνω, δεινότερον, οὐδ' ὅ τι μᾶλλον ἐπ' αὐτοφώρῳ δε-* 10 *δωροδοκηκότ' αὐτὸν καὶ πεπρακότα πάντ' ἐξελέγξει. ἐπειδὴ γὰρ ἀπεστέλλετ' αὖθις αὖ τὸ τρίτον τοὺς πρέσβεις ὡς τὸν Φίλιππον, ἐπὶ ταῖς καλαῖς καὶ μεγάλαις ἐλπίσι ταύταις αἷς οὗτος ὑπέσχητο, ἐχειροτονήσατε καὶ τοῦτον κἀμὲ καὶ τῶν ἄλλων τοὺς πλείστους τοὺς αὐτούς. ἐγὼ μὲν δὴ* 122 15 *παρελθὼν ἐξωμοσάμην εὐθέως, καὶ θορυβούντων τινῶν καὶ κελευόντων βαδίζειν οὐκ ἂν ἔφην ἐλθεῖν· οὗτος δ' ἐκεχειροτόνητο. ἐπειδὴ δ' ἀνέστη μετὰ ταῦθ' ἡ ἐκκλησία, συνελθόντες ἐβουλεύονθ' οὗτοι τίν' αὐτοῦ καταλείψουσιν. ἔτι γὰρ τῶν πραγμάτων ὄντων μετεώρων καὶ τοῦ* 20 *μέλλοντος ἀδήλου, σύλλογοι καὶ λόγοι παντοδαποὶ κατὰ τὴν ἀγορὰν ἐγίγνοντο τότε· ἐφοβοῦντο δὴ μὴ σύγκλη-* 123 *τος ἐκκλησία γένοιτ' ἐξαίφνης, εἶτ' ἀκούσαντες ὑμεῖς*

1 *δὴ μάλα* γρ. S[d] γρ. Q | *σαυτοῦ καταμαρτυρήσεις* γρ. S[d]VAY 2 *ἀναστάς*] secl. Blass *παρελθών* Harpocr. s. v. *ἀπόκρισις* | *γε* om. Hermog. III 152 W. (177, 21 R.) cod. P 3 *ἀγῶνας* cf. Hermog. III 103 W. (131, 15 R.) 4 *μεμετρημένην* A | *ἡμετέραν* A[1] 5 *αιρεις* S[1]Q *αἱρεις* S[2] *αἵρεις* FA[1]Y[1] 6 *τῶν* om. S 7 *τουτῳί* Dindorf: *τούτωι* SVAY 8 *οἶμαι* VAY 9 *αυτοφορωι* S[1] | *δεδωροδόκητ'* Y[1] 10 *καὶ πεπρακότα* om. A, *πάντα* ante *αὐτὸν* posito 11 *ἀπεστέλλετ'* SAY: *ἀπεστείλατ'* V 13 *ὑπέσχητο* SY: *ὑπέσχετο* A *ὑπισχνεῖτο* V 14 *τοὺς αὐτοὺς* om. A 15 *ἐξωμοσάμην* γρ. S[d]VAY: *εξωμολογησάμην* S 16 *ἐλθεῖν* S: *ἀπελθεῖν* S corr. VAY 22 *γένηται* A

*ἐμοῦ τἀληθῆ ψηφίσαισθέ τι τῶν δεόντων ὑπὲρ τῶν Φω-
κέων, καὶ τὰ πράγματ' ἐκφύγοι τὸν Φίλιππον. εἰ γὰρ
ἐψηφίσασθε μόνον | καὶ μικρὰν ὑπεφήνατ' ἐλπίδ' ἥντιν-* 379
*οῦν αὐτοῖς, ἐσώθησαν ἄν. οὐ γὰρ ἐνῆν [οὐκ ἐνῆν] μὴ
παρακρουσθέντων ὑμῶν μεῖναι Φιλίππῳ. οὔτε γὰρ σῖτος* 5
*ἦν ἐν τῇ χώρᾳ, ἀσπόρῳ διὰ τὸν πόλεμον γεγονυίᾳ, οὔθ'
ἡ σιτοπομπία δυνατὴ τριήρων οὐσῶν ὑμετέρων ἐκεῖ καὶ
τῆς θαλάττης κρατουσῶν, αἵ τε πόλεις πολλαὶ καὶ χαλε-
παὶ λαβεῖν αἱ τῶν Φωκέων, μὴ οὐ χρόνῳ καὶ πολιορκίᾳ.
εἰ γὰρ ἐν ἡμέρᾳ πόλιν ᾕρει, δύο καὶ εἴκοσίν εἰσιν ἀριθμῷ.* 10
124 *διὰ δὴ ταῦτα πάντα, ἵνα μηδὲν μεταθῆσθ' ὧν ἐξηπάτη-
σθε, τοῦτον αὐτοῦ κατέλιπον. ἐξομόσασθαι μὲν δὴ μὴ
μετ' αἰτίας τινὸς δεινὸν ἦν καὶ ὑποψία μεγάλη· „τί λέ-
γεις; ἐπὶ τηλικαῦτα καὶ τοιαῦτ' ἀγαθὰ οὐχὶ βαδίζεις
ἀπαγγείλας οὐδὲ πρεσβεύεις;" ἔδει δὲ μένειν. πῶς οὖν;* 15
*ἀρρωστεῖν προφασίζεται, καὶ λαβὼν Ἐξήκεστον τὸν ἰατρὸν
ἀδελφὸς αὐτοῦ καὶ προσελθὼν τῇ βουλῇ ἐξώμοσεν ἀρρω-*
125 *στεῖν τουτονὶ καὶ αὐτὸς ἐχειροτονήθη. ἐπειδὴ δ' ἀπωλώ-
λεσαν οἱ Φωκεῖς ὕστερον ἡμέραις πέντ' ἢ ἕξ, καὶ τέλος
εἶχε τὸ μίσθωμ' ὥσπερ ἂν ἄλλο τι τούτῳ, καὶ ὁ Δερκύ-* 20
*λος ἐκ τῆς Χαλκίδος ἧκεν ἀναστρέψας καὶ ἀπήγγειλεν
ὑμῖν ἐκκλησιάζουσιν ἐν Πειραιεῖ, ὅτι Φωκεῖς ἀπολώλασι,*

1 *ψηφίσαισθε* S[1]F[1]Y corr.: *ψηφίσησθε* S corr. F corr. QY[1]: *ψηφίσεσθε* A 2 *ἐκφύγοι* S corr. VAY corr.: *ἐκφεύγῃ*(?) S[1] (*οι* in erasis) *ἐκφεύγοι* Y[1] cf. XVIII 33 3 *ἀπεφήνατ'* Y[1] 4 *οὐκ ἐνῆν* om. S text. add. *γρ.* S[d] 5 *μεῖναι* SA: *μεῖναί τι* VY 6 *ἐνῆν* V 7 *δυνατὴ γρ.* S[d]VAY: *δυναται* S text. 8 *κρατούντων ὑμῶν γρ.* S[d] *γρ.* Q 9 *οὐ* om. S[1] (add. ant. m.) 11 *μετάθησθε* VAY *μεταθησεσθε* S *μεταθοῖσθε* Schaefer 12 *κατέλειπον* Blass | *εξομοσασθε* S 14 *τοσαῦτα* VY cf. § 19 | *βαδίζειν* A[3] 15 *ἀπαγγείλας* om. F[1] add. ead.; ex *ὑ*(?)*πήγγειλας* corr. A[3] 17 *ἁδελφὸς* Q: *αδελφος* SA *ἀδελφὸς* FY | *ἐξώμοσεν* S: *ἐξωμόσατο γρ.* S[d]VAY 18 *δ'* om. Q 20 *τούτωι*] *ωι* in ras. Y | *δερκύλλος* A 22 *ἡμῖν* A

καὶ ὑμεῖς ὦ ἄνδρες Ἀθηναῖοι ταῦτ᾽ ἀκούσαντες εἰκότως κἀκείνοις συνήχθεσθε καὶ ἑαυτοῖς ἐξεπέπληχθε, καὶ παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν κατακομίζειν ἐψηφίζεσθε καὶ τὰ φρούρι᾽ ἐπισκευάζειν καὶ τὸν Πειραιᾶ τειχίζειν καὶ
5 *τὰ Ἡράκλει᾽ ἐν ἄστει θύειν—ἐπειδὴ ταῦτ᾽ ἦν καὶ τοι-* 126
380 *αύτη ταραχὴ καὶ τοιοῦτος θόρυβος πε|ριειστήκει τὴν πόλιν, τηνικαῦθ᾽ ὁ σοφὸς καὶ δεινὸς οὗτος καὶ εὔφωνος, οὔτε βουλῆς οὔτε δήμου χειροτονήσαντος αὐτόν, ᾤχετο πρεσβεύων ὡς τὸν ταῦτα πεποιηκότα, οὔτε τὴν ἀρρωστίαν*
10 *ἐφ᾽ ᾗ τότ᾽ ἐξωμόσαθ᾽ ὑπολογισάμενος, οὔθ᾽ ὅτι πρεσβευτὴς ἄλλος ᾕρητ᾽ ἀνθ᾽ αὐτοῦ, οὔθ᾽ ὅτι τῶν τοιούτων ὁ νόμος θάνατον τὴν ζημίαν εἶναι κελεύει, οὔθ᾽ ὅτι πάν-* 127
δεινόν ἐστιν ἀπηγγελκόθ᾽ ὡς ἐπικεκήρυκται χρήματ᾽ αὐτῷ ἐν Θήβαις, ἐπειδὴ Θηβαῖοι πρὸς τῷ τὴν Βοιωτίαν ἅπασαν
15 *ἔχειν καὶ τῆς Φωκέων χώρας ἐγκρατεῖς γεγόνασιν, τηνικαῦτ᾽ εἰς μέσας τὰς Θήβας καὶ τὸ τῶν Θηβαίων στρατόπεδον βαδίζειν· ἀλλ᾽ οὕτως ἔκφρων ἦν καὶ ὅλος πρὸς τῷ λήμματι καὶ τῷ δωροδοκήματι, ὥστε πάντα ταῦτ᾽ ἀνελὼν καὶ παριδὼν ᾤχετο.*

20 *Καὶ τοιούτου τοῦ πράγματος ὄντος, ἔτι πολλῷ δεινό-* 128
τερ᾽ ἐστὶν ἃ ἐκεῖσ᾽ ἐλθὼν διεπράξατο. ἁπάντων γὰρ ὑμῶν τουτωνὶ καὶ τῶν ἄλλων Ἀθηναίων οὕτω δεινὰ καὶ

1 τοῦτ᾽ A 2 ἑαυτοῖς S γρ. F Y: αὐτοὶ VA 5 ταῦτ᾽] τοιαύτη Y[1] corr. ead. ταῦτ᾽ ἦν καὶ om. A | τοιαύτη SQA: τοσαύτη FY τηλικαύτη γρ. S[d] γρ. Q 6 τοιοῦτος] τοσοῦτος γρ. S[d]FY 7 σοφὸς καὶ δεινὸς οὗτος SY: δεινὸς καὶ σοφὸς οὗτος V σοφὸς οὑτοσὶ καὶ δεινὸς A σοφὸς καὶ suspectum cf. Bekkeri An. Gr. 234, 25 δεινός ... σοφός 10 ᾗ] ἦν γρ. Q | τότ᾽] ταῦτα F | εξωμοσασθ S[1] 11 ηρηται ut vid. S[1] ᾕρετο A | ἀντ᾽ αὐτοῦ VA 12 οὐδ᾽ A 17 ουτος S | ἦν ἔκφρων A | ὅλως Y 18 καὶ τῷ δωροδοκήματι om. A del. Reiske | ἅπαντα A 20 τοῦ om. V (habet γρ. Q) | πολλῷ om. A 22 τουτωνὶ SF mg. γρ. QAY: om. V text.

σχέτλι' ἡγουμένων τοὺς ταλαιπώρους πάσχειν Φωκέας, ὥστε μήτε τοὺς ἐκ τῆς βουλῆς θεωροὺς μήτε τοὺς θεσμοθέτας εἰς τὰ Πύθια πέμψαι, ἀλλ' ἀποστῆναι τῆς πατρίου θεωρίας, οὗτος εἰς τἀπινίκια τῶν πραγμάτων καὶ τοῦ πολέμου, ἃ Θηβαῖοι καὶ Φίλιππος ἔθυον, εἱστιᾶτ' ἐλθὼν 5 *καὶ σπονδῶν μετεῖχε καὶ εὐχῶν, ἃς ἐπὶ τοῖς τῶν συμμάχων τῶν ὑμετέρων τείχεσι καὶ χώρᾳ καὶ ὅπλοις ἀπολωλόσιν ηὔχετ' ἐκεῖνος, καὶ συνεστεφανοῦτο καὶ συνεπαιώνιζεν Φιλίππῳ καὶ φιλοτησίας προὔπινεν.*

129 *Καὶ ταῦτ' οὐκ ἔνεστιν ἐμοὶ μὲν οὕτως, τούτῳ δ' ἄλλως* 10 *πως εἰπεῖν· ἀλλ' ὑπὲρ μὲν τῆς* | 381 *ἐξωμοσίας ἐν τοῖς κοινοῖς τοῖς ὑμετέροις γράμμασιν ἐν τῷ μητρῴῳ ταῦτ' ἐστίν, ἐφ' οἷς ὁ δημόσιος τέτακται, καὶ ψήφισμ' ἄντικρυς περὶ τούτου τοῦ ὀνόματος γέγραπται· ὑπὲρ δ' ὧν ἐκεῖ διεπράξατο, οἱ συμπρεσβεύοντες καὶ παρόντες καταμαρτυρή-* 15 *σουσιν, οἵπερ ἐμοὶ ταῦτα διηγοῦντο· οὐ γὰρ ἔγωγ' αὐ-* 130 *τοῖς συνεπρέσβευσα, ἀλλ' ἐξωμοσάμην. Καί μοι λέγε τὸ ψήφισμα [καὶ τὰ γράμματα], καὶ τοὺς μάρτυρας κάλει.*

ΨΗΦΙΣΜΑ ΜΑΡΤΥΡΕΣ

Τίνας οὖν εὐχὰς ὑπολαμβάνετ' εὔχεσθαι τοῖς θεοῖς 20 *τὸν Φίλιππον, ὅτ' ἔσπενδεν, ἢ τοὺς Θηβαίους; ἆρ' οὐ* ***κράτος πολέμου καὶ νίκην*** *αὐτοῖς καὶ τοῖς συμμάχοις*

1 *πάσχειν*] *φάσκειν* A 5 *εισιατο* S[1] super *ει* scr. *ï* S[2] 7 *χώραις* S corr. Y[3] 8 *ηὔχετο* QA: *εὔχετο* SY *ἠὔχετο* (*ε* supra) F | *συνεπαιάνιζε* A[2] 9 *προὔτεινεν* γρ. FY[1], cf. § 139 11 *ἐξομοσίας* A 14 *ἐκεῖ*] *ἐκεῖσε ἐλθὼν* A ex § 128 15 *συμπρεσβεύσαντες* A | *καταμαρτυροῦσιν* A 17 *οὐ γὰρ* in ras. 3 vel 4 litt. S[1] 17 *συνεπρε σα* sine ras. Q 18 *καὶ τὰ γράμματα* secl. Weil 19 titulos om. S spatio vacuo relicto | ΓΡΑΜΜΑΤΑ post ΨΗΦΙΣΜΑ add. A 20 sq. *τὸν φίλιππον τοῖς θεοῖς* A 22 *κράτος καὶ νίκην πολέμου* S[1] corr. lineolis appositis cf. locos a Schneidewino ad Soph. El. 85 collectos

διδόναι καὶ τἀναντία τοῖς τῶν Φωκέων; οὐκοῦν ταῦτα συνηύχεθ' οὗτος καὶ κατηρᾶτο τῇ πατρίδι, ἃ νῦν εἰς κεφαλὴν ὑμᾶς αὐτῷ δεῖ τρέψαι.

Οὐκοῦν ᾤχετο μὲν παρὰ τὸν νόμον, ὃς θάνατον κελεύει 131
5 *τούτων τὴν ζημίαν εἶναι· ἐλθὼν δ' ἐκεῖσ' ἑτέρων θανάτων ἄξια ποιῶν πέφανται· τὰ δὲ πρόσθεν πεπραγμένα καὶ πεπρεσβευμέν' ὑπὲρ τούτων ἀποκτείνειεν ἂν αὐτὸν δικαίως. σκοπεῖτε τοίνυν τί ἔσται τίμημα, ὃ ταύτην ἕξει τὴν ἀξίαν ὥστε τοσούτων πραγμάτων ἀξιόχρεων φαίνε-*
10 *σθαι. πῶς γὰρ οὐκ αἰσχρὸν ὦ ἄνδρες Ἀθηναῖοι, δημο-* 132
σίᾳ μὲν ἅπαντας ὑμᾶς καὶ ὅλον τὸν δῆμον πᾶσι τοῖς πεπραγμένοις ἐκ τῆς εἰρήνης ἐπιτιμᾶν, καὶ μήτε τῶν ἐν Ἀμφικτύοσι κοινωνεῖν ἐθέλειν, δυσκόλως τ' ἔχειν καὶ ὑπόπτως πρὸς τὸν Φίλιππον, ὡς ἀσεβῶν καὶ δεινῶν ὄν-
382 *των | τῶν πεπραγμένων καὶ οὔτε δικαίων οὔθ' ὑμῖν συμ-*
16 *φερόντων, εἰς δὲ τὸ δικαστήριον εἰσελθόντας τὰς ὑπὲρ τούτων εὐθύνας δικάσοντας, ὅρκον ὑπὲρ τῆς πόλεως ὀμωμοκότας, τὸν ἁπάντων τῶν κακῶν αἴτιον καὶ ὃν εἰλήφατ' ἐπ' αὐτοφώρῳ τοιαῦτα πεποιηκότα, τοῦτον ἀφεῖ-*
20 *ναι; καὶ τίς οὐ δικαίως ὑμῖν ἐγκαλεῖ τῶν ἄλλων πολι-* 133
τῶν, μᾶλλον δ' ἁπάντων τῶν Ἑλλήνων, ὁρῶν Φιλίππῳ μὲν ὑμᾶς ὀργιζομένους, ὃς ἐκ πολέμου ποιούμενος εἰρή-

1 *τἀναντία τούτων* A 2 *συνηύχετο* QA: *συνευχετο* SY *συνηύχετο* F cf. § 128 6 *δὲ πρόσθεν* S γρ. Q: *δ' ἔμπροσθεν* VAY 7 *ὑπὲρ τούτων* del. Hirschig 8 *τίμημα ἔσται* V 9 *πραγμάτων* S γρ. FY: *ἀδικημάτων* VA (ex § 116?) susp. Dobree, secl. Weil 10 *ὦ* om. A 11 *ἅπασι* V 12 *τῶν* om. Y[1] 16 *τὰς* om. Y 17 *καὶ ὅρκον* S rec. Y *καὶ τὸν ὅρκον* V | *τὸν ὑπὲρ* VY 18 *τὸν*] *ων* Y[1] | *τῶν* om. Y 19 *αυτοφοϱωι* SY[1] 20 *δικαίως ἂν* A | *ἐγκαλεῖ* Cobet: *ἐγκαλέσει* SVY *ἐγκαλέσειε* A cf. XXIII 123 21 *ἄλλων ἑλλήνων* A 22 *τὴν εἰρήνην* V

νην παρὰ τῶν πωλούντων τὰς πράξεις ἐωνεῖτο, πρᾶγμα
πολλὴν συγγνώμην ἔχον διαπραττόμενος, τουτονὶ δ'
ἀφιέντας, ὃς τὰ ὑμέτερ' οὕτως αἰσχρῶς ἀπέδοτο, τῶν νό-
μων τὰ ἔσχατα ταττόντων ἐπιτίμια, ἐάν τις ταῦτα ποιῇ;
134 Τάχα τοίνυν ἴσως καὶ τοιοῦτος ἥξει τις λόγος παρὰ 5
τούτων, ὡς ἀρχὴ γενήσεται πρὸς Φίλιππον ἔχθρας, εἰ
τῶν πρεσβευσάντων τὴν εἰρήνην καταψηφιεῖσθε. ἐγὼ
δ', εἰ τοῦτ' ἔστιν ἀληθές, οὐκ ἔχω σκοπούμενος εὑρεῖν
ὅ τι μεῖζον τούτου κατηγορήσω. εἰ γὰρ ὁ τῆς εἰρήνης
χρήματ' ἀναλώσας ὥστε τυχεῖν, οὗτος οὕτω γέγονεν φο- 10
βερὸς καὶ μέγας, ὥστε τῶν ὅρκων καὶ τῶν δικαίων ἀμελή-
σαντας ὑμᾶς ἤδη τί Φιλίππῳ χαριεῖσθε σκοπεῖν, τί πα-
θόντες ἂν οἱ τούτων αἴτιοι τὴν προσήκουσαν δίκην
135 δεδωκότες εἶεν; οὐ μὴν ἀλλ' ὅτι καὶ φιλίας ἀρχὴ συμ-
φερούσης ὑμῖν | οὕτω μᾶλλον ἐκ τῶν εἰκότων γενήσεται, καὶ 15
τοῦτ' οἴομαι δείξειν. εὖ γὰρ εἰδέναι χρὴ τοῦθ' ὅτι οὐ
καταφρονεῖ Φίλιππος ὦ ἄνδρες Ἀθηναῖοι τῆς πόλεως
τῆς ὑμετέρας, οὐδ' ἀχρηστοτέ|ρους νομίσας Θηβαίων ἐκεί- 383
νους εἵλετ' ἀνθ' ὑμῶν, ἀλλ' ὑπὸ τούτων ἐδιδάχθη καὶ
ταῦτ' ἤκουσεν, ἃ καὶ πρότερόν ποτ' εἶπον ἐγὼ πρὸς ὑμᾶς 20
136 ἐν τῷ δήμῳ καὶ τούτων οὐδεὶς ἀντεῖπεν, ὡς ὁ μὲν δῆ-
μός ἐστιν ἀσταθμητότατον πρᾶγμα τῶν πάντων καὶ ἀσυν-

1 ὠνεῖτο A 2 εχων S[1] 3 ἀφέντας A[1] 6 τῆς πρὸς VA 9 μειζων S[1] τούτου μεῖζον V 10 τυχεῖν αὐτῆς Hermog. III 105 W. (139, 7 R.) οὕτω νῦν VA Hermog. 11 ἀμελήσοντας V 12 χαριεῖσθαί[ε] F χαριεῖσθαι Q Hermog. cod. P 15 ἡμῖν VA | οὕτω om. V 16 οἶμαι VA 18 ἡμετέρας A | post νομίσας add. ὑμᾶς F ἡμᾶς Q ante νομ. ἡμᾶς Y[2] 22 ἐστιν ὄχλος VY ἐστ' ὄχλος A | πραγματων S[1] πραγμάτων S[2] | ἁπάντων V | ἀσυνθετώτατον AY corr.; γρ. ἀλλ' ἀσυνθετώτατον F γρ. ἐν ἄλλω ἀσυνθετώτατον Q, Harpocr.: ἀσυνετώτατον SV text. Y[1]

θετώτατον, ὥσπερ ἐν θαλάττῃ κῦμ' ἀκατάστατον, ὡς ἂν
τύχῃ κινούμενον. ὁ μὲν ἦλθεν, ὁ δ' ἀπῆλθεν· μέλει δ'
οὐδενὶ τῶν κοινῶν, οὐδὲ μέμνηται. δεῖ δέ τινας φίλους
ὑπάρχειν τοὺς ἕκαστα πράξοντας ἐν ὑμῖν αὐτῷ καὶ διοι-
5 κήσοντας, οἷον αὐτὸς δή· κἄνπερ αὐτῷ τοῦτο κατασκευα-
σθῇ, πᾶν ὅ τι ἂν βούληται παρ' ὑμῖν ῥᾳδίως διαπράξε-
ται. εἰ μὲν οὖν ἤκουσεν οἶμαι τοὺς τότε ταῦτα πρὸς 137
αὐτὸν εἰπόντας παραχρῆμα, ὡς δεῦρ' ἐπανῆλθον, ἀπο-
τετυμπανισμένους, ἐποίησεν ἂν ταὐτὸ τῷ βασιλεῖ. τί δ'
10 ἦν ὃ ἐκεῖνος ἐποίησεν; ἐξαπατηθεὶς ὑπὸ Τιμαγόρου καὶ
τετταράκοντα τάλαντα, ὡς λέγεται, δεδωκὼς αὐτῷ, ἐπειδὴ
παρ' ὑμῖν ἐπύθετ' αὐτὸν τεθνεῶτα καὶ οὐδὲ τοῦ ζῆν
ὄντα κύριον αὐτῷ βεβαιῶσαι, μή τί γ' ἃ ἐκείνῳ τόθ'
ὑπέσχετο πρᾶξαι, ἔγνω τὴν τιμὴν οὐχὶ τῷ κυρίῳ τῶν
15 πραγμάτων δεδωκώς. καὶ γάρ τοι πρῶτον μὲν Ἀμφίπολιν
πάλιν ὑμετέραν [δούλην] κατέπεμψεν, ἣν τότε σύμμαχον
αὐτοῦ καὶ φίλην ἔγραψεν· εἶτ' οὐδενὶ πώποτ' ἔδωκεν
χρήματα τοῦ λοιποῦ. ταὐτὸ τοίνυν τοῦτ' ἂν ἐποίησε Φί- 138
λιππος, εἴ τινα τούτων εἶδε δίκην δόντα, καὶ νῦν, ἂν

1 κῦμα Felicianus, cf. Appian. b. c. III 20 ὁ δὲ δῆμός ἐστιν, ὥσπερ καὶ σὺ τῶν Ἑλληνικῶν ἀρτιδίδακτος ὢν ἔμαθες, ἀστάθμητον ὥσπερ ἐν θαλάσσῃ κῦμα κινούμενον· ὃ μὲν ἦλθεν, ὃ δ' ἀπῆλθεν (v. et. Hom. B 394 sq.): πνεῦμ' SVAY Aristid. IX 352 W. πνεύματι κῦμα Shilleto praeeunte Schaefero | ἀκαταστάτῳ (post πνεύματι κῦμ') Herwerden 2 κινούμενον F[1]A Appian.: κινούμενος SF rec. QY | ὁ μὲν om. S[1] fort. recte 3 ἀλλ' ante οὐδὲ add. F corr. γρ. QY 4 παρ' ὑμῖν οὕτω A 5 οἷον αὐτὸς δή SVY: ὅ τι ἂν αὐτῶι δοκῆι A | κατεσκευάσθη A 7 ταῦτα om. Y 8 ἀποτετυπανισμένους QY[1] 11 τεττεράκοντα Q 13 ἑαυτῶι V | γ' ἃ S corr. VAY: γαν S[1] 14 ὑπέσχητο Y 16 πάλιν F[1]QA[1]Y: πόλιν SF corr. A corr. Tiberius VIII 557, Eustathius ad Il. B 756 | δούλην del. Funkhaenel | κατέπεμψεν S: κατέστησεν γρ. S[d]VAY 17 οὐδενὶ] ι in ras. S 18 ὁ φίλιππος A (non F[1] ubi ν eras.) 19 διδόντα VA

ἴδῃ, ποιήσει. ἐπειδὰν δ' ἀκούῃ λέγοντας, εὐδοκιμοῦντας
ἐν ὑμῖν, ἑτέρους κρίνοντας, τί καὶ ποιή|σῃ; ζητῇ πόλλ' 384
ἀναλίσκειν, ἐξὸν ἐλάττω, καὶ πάντας θεραπεύειν βούλη-
ται, δύ' ἢ τρεῖς ἐξόν; μαίνοιτο μένταν. οὐδὲ γὰρ τὴν
τῶν Θηβαίων πόλιν εἵλετο δημοσίᾳ ποιεῖν ὁ Φίλιππος 5
εὖ, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ὑπὸ τῶν πρέσβεων ἐπείσθη.
139 ὃν δὲ τρόπον, φράσω πρὸς ὑμᾶς ἐγώ. ἦλθον ὡς αὐτὸν
πρέσβεις ἐκ Θηβῶν ὅτεπερ καὶ παρ' ὑμῶν ἡμεῖς ἦμεν
ἐκεῖ. τούτοις χρήματ' ἐκεῖνος ἐβούλετο δοῦναι, καὶ πάνυ
γ', ὡς ἔφασαν, πολλά. οὐκ ἐδέξαντ' οὐδ' ἔλαβον ταῦθ' 10
οἱ τῶν Θηβαίων πρέσβεις. μετὰ ταῦτ' ἐν θυσίᾳ τινὶ καὶ
δείπνῳ πίνων καὶ φιλανθρωπευόμενος πρὸς αὐτοὺς ὁ
Φίλιππος ἄλλα τε δὴ πολλά, οἷον αἰχμάλωτα καὶ τοιαῦ-
τα, καὶ τελευτῶν ἐκπώματ' ἀργυρᾶ καὶ χρυσᾶ προὔπινεν
αὐτοῖς. πάντα ταῦτ' ἐκεῖνοι διεωθοῦντο καὶ οὐδαμῇ 15
140 προΐενθ' αὑτούς. τελευτῶν δὲ Φίλων, εἷς τῶν πρέσβεων,
εἶπεν ὦ ἄνδρες Ἀθηναῖοι λόγον οὐχ ὑπὲρ Θηβαίων ἀλλ'
ὑπὲρ ὑμῶν ἄξιον εἰρῆσθαι. ἔφη γὰρ τὸν Φίλιππον ὁρῶν
καὶ μεγαλοψύχως καὶ φιλανθρώπως ἔχοντα πρὸς αὐτοὺς
ἥδεσθαι καὶ χαίρειν· αὐτοὶ μὲν οὖν ὑπάρχειν αὐτῷ φίλοι 20
καὶ ξένοι καὶ ἄνευ τῶν δώρων τούτων, εἰς δὲ τὰ τῆς πό-
λεως πράγματ', ἐν οἷς ἦν τότε, τὴν φιλανθρωπίαν αὐτὸν
ἠξίουν ταύτην προσθέντ' ἄξιόν τι καὶ αὑτοῦ καὶ τῶν

1 ἴδηι γρ. QY: ειδη S εἰδῆι FA εἴδη Q | ἀκούσηι VY 2 ποιησηι· ζητηι S γρ. Q: ποιῆσαι ζητῆι F (ει in mg.) QAY (ζητεῖ) 3 βούλη-ται om. Vind. 4, del. Weidner 7 ἐγὼ om. A 7 sq. ἧκον πρὸς αὐτὸν ἐκ θηβῶν ὅτε περ A 8 εξαθηνων S[1] corr. ead. m. 9 ἠβούλετο F 11 καὶ δείπνῳ om. A 13 τὰ τοιαῦτα VA 14 προὔτεινεν F rec. cf. § 128 15 ταῦτα πάντα VA | διω-θοῦντο A 16 προσίεντο ut vid. A[1] | αυτους S[1]: ἑαυτοὺς S corr. (pr. m. teste Dindorfio) VAY 17 λόγον ὃν F[1]Q | θηβῶν A 19 prius καὶ om. V 21 καὶ ante ξένοι om. F[1] 23 εαυτοῦ A

Θηβαίων πρᾶξαι, καὶ ὅλην τε τὴν πόλιν οὕτω καὶ σφεῖς
ὡμολόγουν ὑπάρξειν αὐτῷ. καὶ γάρ τοι σκέψασθε, τί τοῖς 141
Θηβαίοις γέγονεν ἐκ τούτων καὶ τί συμβέβηκεν, καὶ θεά-
σασθ' ἐπ' αὐτῆς τῆς ἀληθείας, ἡλίκον ἐστὶ τὸ μὴ πωλεῖν
5 τὰ τῆς πόλεως. πρῶτον μὲν τοίνυν εἰρήνη γέγονεν αὐ-
385 τοῖς πονοῦσι καὶ ταλαιπωρουμένοις ἤδη τῷ πολέμῳ καὶ
ἡττωμένοις, εἶτα τῶν ἐχθρῶν Φωκέων ἄρδην ὄλεθρος
καὶ ὅλων τῶν τειχῶν καὶ τῶν πόλεων ἀναίρεσις. ἆρα
καὶ μόνα ταῦτα; οὐ μὰ Δί', ἀλλ' ἔτι πρὸς τούτοις Ὀρχο-
10 μενός, Κορώνεια, Κορσιαί, τὸ Τιλφωσσαῖον, τῆς τῶν Φω-
κέων χώρας ὁπόσην βούλονται. τοῖς μὲν δὴ Θηβαίοις 142
ταῦτ' ἐκ τῆς εἰρήνης γέγονεν, ὧν οὐδ' ἂν ηὔξαντο δή-
που μείζονα· τοῖς δὲ πρέσβεσι τοῖς τῶν Θηβαίων τί; οὐ-
δὲν πλὴν τὸ τούτων αἰτίοις γεγενῆσθαι τῇ πατρίδι· τοῦτο
15 δὲ καλὸν ὦ ἄνδρες Ἀθηναῖοι καὶ σεμνὸν εἰς ἀρετῆς λό-
γον καὶ δόξης, ἣν οὗτοι χρημάτων ἀπέδοντο. ἀντιθῶμεν
δὴ τί τῇ τῶν Ἀθηναίων πόλει γέγονεν ἐκ τῆς εἰρήνης,
καὶ τί τοῖς πρέσβεσι τοῖς τῶν Ἀθηναίων, καὶ θεωρεῖτ'
εἰ παραπλήσια τῇ πόλει καὶ τούτοις αὐτοῖς. τῇ πόλει μὲν 143
20 τοίνυν ἀφεστηκέναι μὲν ἁπάντων καὶ τῶν κτημάτων καὶ
τῶν συμμάχων, ὀμωμοκέναι δὲ Φιλίππῳ, κἂν ἄλλος τις

1 δὲ (τ s. v.) F δὲ Q | σφᾶς S corr. VAY 2 ὑπάρχειν A | σκεψασθαι S 3 τί ἡμῖν A 5 πόλεως πράγματα VY 7 Φωκέων del. Cobet 8 αναιρεσεις S 9 πρὸς] πρ in ras. A 10 κορωνια S | κορσιαί AY Harpocr.: κορσιαι V κορσια S | τιλφωσσαῖον Y: τιλφωσσαιον SF mg. τιλφώσσαιον Harpocr. τιλφωσαῖον A τιλφώσαιων V | τῶν om. V (habet γρ.Q) 11 ὁπόσην βούλονται S γρ. QY: ὅσην ἐβούλοντο VA (ἠβ-) | δὴ om. A 12 ευξαντο SY: εὔξαιντο VA cf. Isocr. VIII 127 13 Θηβαίων] ἀθνηαίων corr. A[2] 15 δὲ] δὴ F[1]Q 17 τι s. v. A[2] 17 et 18 Ἀθηναίων] α in ras. A[2] non fuisse θηβαίων videtur, nam litterae α loco fuit littera nec ν litt. est in ras.; corrector mutare paravit, sed intellecto errore pristina restituit 21 κἂν] καὶ A | τις ἄλλος V

ἴῃ ποτ' ἐπ' αὐτὰ βουλόμενος σῴζειν, ὑμᾶς κωλύσειν καὶ
τὸν μὲν ὑμῖν βουλόμενον παραδοῦναι ἐχθρὸν ἡγήσεσθαι
καὶ πολέμιον, τὸν δ' ἀπεστερηκότα σύμμαχον καὶ φίλον.
144 ταῦτα γάρ ἐσθ' ἃ συνεῖπε μὲν Αἰσχίνης οὑτοσί, ἔγραψε
δ' ὁ τούτου συνεργὸς Φιλοκράτης· καὶ κρατοῦντος ἐμοῦ 5
τὴν προτέραν ἡμέραν καὶ πεπεικότος ὑμᾶς τὸ τῶν συμ-
μάχων δόγμα κυρῶσαι καὶ καλέσαι τοὺς πρέσβεις τοὺς
τοῦ Φιλίππου, ἐκκρούσας οὗτος εἰς τὴν ὑστεραίαν τὴν
Φιλοκράτους γνώμην ἔπεισεν ἑλέσθαι, ἐν ᾗ καὶ ταῦτα
καὶ πόλλ' ἄλλ' ἔτι τούτων δεινότερ' ἐστὶν γεγραμμένα. 10
145 τῇ μὲν δὴ πόλει ταῦτ' ἐκ τῆς εἰρήνης γέγονεν, ὧν οὐδ' 386
εὑρεῖν αἴσχίω ῥᾴδιον· τοῖς δὲ πρέσβεσιν τί τοῖς ταῦτα
πράξασιν; τὰ μὲν ἄλλα σιωπῶ πάνθ', ὅσ' ἑοράκαθ' ὑμεῖς,
οἰκίας, ξύλα, πυρούς, ἀλλ' ἐν τῇ τῶν ἀπολωλότων συμ-
μάχων χώρᾳ κτήματα καὶ γεωργίαι παμπληθεῖς, Φιλο- 15
κράτει μὲν τάλαντον ἔχουσαι πρόσοδον, τουτῳὶ δ' Αἰ-
146 σχίνῃ τριάκοντα μνᾶς. καίτοι πῶς οὐ δεινὸν ὦ ἄνδρες
Ἀθηναῖοι καὶ σχέτλιον τὰς τῶν ὑμετέρων συμμάχων
συμφορὰς προσόδους τοῖς πρέσβεσι τοῖς ὑμετέροις γε-
γενῆσθαι, καὶ τὴν αὐτὴν εἰρήνην τῇ μὲν ἐκπεμψάσῃ πό- 20
λει τῶν συμμάχων ὄλεθρον, τῶν δὲ κτημάτων ἀπόστασιν,
ἀντὶ δὲ δόξης αἰσχύνην γεγενῆσθαι, τῶν δὲ πρέσβεων
τοῖς κατὰ τῆς πόλεως ταῦτα πράξασιν προσόδους, εὐπο-

1 ἡμᾶς A | κωλύσειν SVAY rec. mg.: κωλύειν γρ. QY text. 2 ὑμῖν vulgo: ἡμῖν SVAY | ἡγήσασθαι F[1]QA 4 ἐσθ' A[3]: εἶθ A[1] ἐστιν SVY 7 alterum τοὺς om. A 9 ἔπεισεν ὑμᾶς A 10 ἄλλ' om. A | τούτων δεινὰ ἔνεστιν A 14 ἀλλ'] ἀλλ' ἃ Y rec. mg. 16 τουτῳὶ Blass: τούτω(ι) SVAY | Αἰσχίνῃ secl. Weil 18 ἡμετέρων A 19 ἡμετέροις A 21 τῶν μὲν VAY 22 γεγενῆσθαι susp. Schaefer; post γεγενῆσθαι add. και τὴν αυτην ειρήνην S[1] (ex v. 20) hamulis notata | τῶν δὲ πρέσβεων S: τοῖς δὲ πρέσβεσι VAY

ρίας, κτήματα, πλοῦτον ἀντὶ τῶν ἐσχάτων ἀποριῶν εἰρ-
γάσθαι; ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τοὺς
Ὀλυνθίους μάρτυρας.

ΜΑΡΤΥΡΕΣ

5 Οὐ τοίνυν θαυμάσαιμ' ἂν εἰ καὶ τοιοῦτό τι τολμήσει 147
λέγειν, ὡς οὐκ ἦν καλὴν οὐδ' οἵαν ἠξίουν ἐγὼ τὴν εἰρή-
νην ποιήσασθαι, κακῶς τῷ πολέμῳ τῶν στρατηγῶν κε-
χρημένων. ἂν δὴ ταῦτα λέγῃ, πρὸς θεῶν ἐρωτήσατ' αὐτὸν
μεμνημένοι, πότερον ἐξ ἑτέρας τινὸς ᾤχετο πρεσβεύων
10 πόλεως ἢ ταύτης αὐτῆς. εἰ μὲν γὰρ ἐξ ἑτέρας, ἣν κε-
κρατηκέναι τε τῷ πολέμῳ φήσει καὶ χρηστοὺς ἔχειν στρα-
τηγούς, εἰκότως χρήματ' εἴληφεν· εἰ δ' ἐκ ταύτης αὐτῆς,
τίνος ἕνεκ' ἐφ' οἷς ἡ πέμψασα πόλις τῶν αὑτῆς ἀπέστη,
387 ἐπὶ τούτοις οὗτος δωρειὰς προσλαβὼν φαίνεται; | τῶν
15 γὰρ αὐτῶν ἔδει τήν τε πέμψασαν πόλιν τυγχάνειν καὶ
τοὺς ἐκ ταύτης πρέσβεις, εἴπερ τι τῶν δικαίων ἐγίγνετο.
ἔτι τοίνυν κἀκεῖνο σκέψασθ' ὦ ἄνδρες δικασταί. πότερ' 148
οἴεσθε πλέον Φωκέας Θηβαίων ἢ Φίλιππον ὑμῶν κρα-
τεῖν τῷ πολέμῳ; ἐγὼ μὲν γὰρ εὖ οἶδ' ὅτι Φωκεῖς Θη-
20 βαίων. εἶχόν γ' Ὀρχομενὸν καὶ Κορώνειαν καὶ τὸ Τιλ-

2 μοι τούτων VA　3 ὀλυνθίων A　4 titulum om. S spatio vacuo relicto　5 τοιοῦτόν QA　6 καλὴν AY rec. mg.: καλὴ SVY text.　9 τινὸς om. A　10 αὑτῆς S corr. (της punctis del.) VA: τῆς αὐτῆς S[1]Y | ἐξ] καὶ A　11 τε om. V | τοὺς στρατηγοὺς F　12 ταύτης γρ. S[d]VA: τῆς S γρ. FY | αὐτῆς del. Dobree　13 ante ἐφ' ras. 6 litt. Q | πόλις] ι in ras. S (fuit υ) | ἑαυτῆς A　14 δωρεας SA: δῶρα VY　16 post ἐγίγνετο in A legitur νῦν δὲ ἡ μὲν πόλις τῶν αυτῆς ἀφέστηκεν, οὗτος δὲ χρή-ματα εἴληφεν　17 δικασταί S γρ. QY: ἀθηναῖοι VA | πότερον A 18 φωκέας πλέον Y | Φωκέας Θηβαίων] φωκέων Q　19 εὖ om. A 20 γε S: γὰρ VY μέν γε A | κορωνιαν S[1] | Τιλφωσσαῖον] cum una sibila omnes praeter Y

φωσσαῖον, καὶ τοὺς ἐν Νέωσιν ἀπειλήφεσαν αὐτῶν, καὶ
ἑβδομήκοντα καὶ διακοσίους ἀπεκτόνεσαν ἐπὶ τῷ Ἡδυ-
λείῳ, καὶ τρόπαιον εἱστήκει, καὶ ἱπποκράτουν, καὶ κακῶν
149 Ἰλιὰς περιειστήκει Θηβαίους. ὑμῖν δὲ τοιοῦτο μὲν οὐδὲν
οὔτ' ἦν μήτε γένοιτο τοῦ λοιποῦ, τοῦτο δ' ἦν τὸ δεινό- 5
τατον τοῦ πρὸς Φίλιππον πολέμου· οὐκ ἐδύνασθε κακῶς
ἡλίκ' ἐβούλεσθε ποιεῖν ἐκεῖνον· τοῦ δὲ μὴ πάσχειν αὐ-
τοὶ πᾶσαν ἄδειαν ἤγετε. τί ποτ' οὖν ἐκ τῆς αὐτῆς εἰρή-
νης τοῖς μὲν Θηβαίοις, τοῖς τοσοῦτο κρατουμένοις τῷ
πολέμῳ, καὶ τὰ ἑαυτῶν κομίσασθαι καὶ τὰ τῶν ἐχθρῶν 10
προσλαβεῖν γέγονεν, τοῖς δ' Ἀθηναίοις ὑμῖν, καὶ ἃ τῷ
πολέμῳ διεσῴζετο, ταῦτ' ἐπὶ τῆς εἰρήνης ἀπολωλεκέναι;
ὅτι τἀκείνων μὲν οὐκ ἀπέδονθ' οἱ πρέσβεις, τὰ δ' ὑμέ-
τερ' οὗτοι πεπράκασιν. ἀλλὰ νὴ Δία τοὺς συμμάχους
ἀπειρηκέναι φήσει τῷ πολέμῳ..... ὅτι γὰρ ταῦθ' οὕτω 15
πέπρακται, καὶ ἐκ τῶν ἐπιλοίπων ἔτι μᾶλλον εἴσεσθε.

150 Ἐπειδὴ γὰρ ἡ μὲν εἰρήνη τέλος εἶχεν αὕτη, ἡ τοῦ
Φιλοκράτους, ἣ συνεῖπεν οὗτος, οἱ δὲ πρέσβεις ἀπήρ-
κεσαν οἱ τοῦ Φιλίππου | λαβόντες τοὺς ὅρκους (καὶ μέχρι 388
τούτου γ' οὐδὲν ἀνήκεστον ἦν τῶν πεπραγμένων, ἀλλ' 20
αἰσχρὰ μὲν ἡ εἰρήνη καὶ ἀναξία τῆς πόλεως, ἀντὶ δὲ τού-
των δὴ τὰ θαυμάσι' ἀγάθ' ἡμῖν ἔμελλεν ἔσεσθαι), ἠξίουν

1 Νέωσιν] νεωσινας A | ειλήφεσαν A[1] corr. A[2] | αὐτῶν] ω in ras. S 2 α|απεκτονεσαν S 4 περιστήκει A[1] | τοιοῦτον F[1]Q | οὐδὲν om. F 6 ἠδύνασθε A 7 ηλικα S: ἡνίκα VAY 9 τοῖς post Θηβαίοις om. A | τοσούτωι F[1] τοσοῦτον A 11 δ' om. S[1] add. S[d] (?) 13 τὰ μὲν ἐκείνων A | ἡμέτερα A 14 sq. ἀλλὰ νὴ Δία ... πολέμῳ del. Markland, minoribus litteris exprimenda curavit Blass, „cum alius recensionis reliquiae esse possint", lacunam post Wolfium indicavit Voemel 15 φήσει S γρ. VY: φησὶ V text. A 16 ὑπολοίπων A 17 αυτή F αυτη A 20 γ' om. A 22 δὴ om. A | ἤμελλεν ἡμῖν ἀγαθὰ A

ὑμᾶς ἐγὼ καὶ τούτοις ἔλεγον πλεῖν τὴν ταχίστην ἐφ' Ἑλλησπόντου, καὶ μὴ προέσθαι μηδ' ἐᾶσαι κατασχεῖν Φίλιππον μηδὲν ἐν τῷ μεταξὺ χρόνῳ τῶν ἐκεῖ χωρίων. ᾔδειν γὰρ ἀκριβῶς ὅτι πάνθ' ὅσ' ἂν ἐκ πολέμου γιγνο- 151
5 μένης εἰρήνης προεθῇ, ταῦτα τοῖς ἀμελήσασιν ἀπόλλυται· οὐδεὶς γὰρ πώποθ' ὑπὲρ τῶν ὅλων πεισθεὶς εἰρήνην ἄγειν ὑπὲρ τῶν ἐγκαταλειφθέντων ἐξ ἀρχῆς ἠθέλησεν πολεμεῖν, ἀλλὰ ταῦθ' οἱ προλαβόντες ἔχουσιν. χωρὶς δὲ τούτων δυοῖν χρησίμοιν οὐ διαμαρτήσεσθαι τὴν πό-
10 λιν ἡγούμην πλευσάντων ἡμῶν· ἢ γὰρ παρόντων καὶ κατὰ τὸ ψήφισμ' αὐτὸν ἐξορκωσάντων, ἃ μὲν εἰλήφει τῆς πόλεως, ἀποδώσειν, τῶν δὲ λοιπῶν ἀφέξεσθαι, ἢ μὴ ποι- 152 οῦντος ταῦτα ἀπαγγελεῖν ἡμᾶς εὐθέως δεῦρο, ὥστ' ἐν ἐκείνοις τοῖς πόρρω καὶ ἐλάττοσι τὴν πλεονεξίαν καὶ τὴν
15 ἀπιστίαν ἰδόντας ὑμᾶς περὶ τῶνδε τῶν ἐγγὺς καὶ μειζόνων, λέγω δὲ Φωκέων καὶ Πυλῶν, οὐ προήσεσθαι· μὴ προλαβόντος δ' ἐκείνου ταῦτα μηδ' ὑμῶν ἐξαπατηθέντων ἅπαντ' ἐν ἀσφαλεῖ τὰ πράγμαθ' ὑμῖν ἔσεσθαι, καὶ παρ' ἑκόντος ὑπάρξειν αὐτοῦ τὰ δίκαια. καὶ ταῦτ' εἰκότως 153
20 οὕτως ὑπελάμβανον ἕξειν. εἰ γὰρ ἦσαν, ὡς ἦσαν τότε, Φωκεῖς σῷοι καὶ Πύλας εἶχον, ἐκεῖνος μὲν οὐδὲν ἂν |
389 ὑμῖν εἶχεν ἀνατείνασθαι φοβερόν, δι' ὃ τῶν δικαίων ἄν

1 ὑμᾶς secl. Weil | καὶ τούτοις ἔλεγον del. Weidner recepta Feliciani mutatione ἡμᾶς, coll. § 154 | τὴν ἐφ' V 2 κατασχεῖν post μηδὲν v. 3 A 3 ἐκεῖ τι VY 5 μελήσασιν A[1] μελλήσασιν A[3] 7 καταληφθέντων F[1]Q | ἠθέλησεν] ἐθελῆσαι A 10 ἡγούμην π in ras. maiore A[1] 11 τὸ add. A[1] s. v. | ὁρκωσάντων A, cf. §§ 161, 278 | τῶν τῆς Y 12 ποιοῦντος] τοιοῦτος Y[1] 13 ante ταῦτα add. τούτου V ἐκείνου A 13 ἀπαγγελεῖν mg. Morelii: ἀπαγγέλλειν SAVY 15 ἰδόντας S γρ. FAY: εἰδότας F text. Q | ὡς ἡμᾶς A | τῶν om. Y[1] | τῶν μειζόνων V 18 ασφαλεια S[1] ut vid. (α eras.) cf. § 262 | ὑμῖν om. A 21 οἱ φωκεῖς V 21 sq. ὑμῖν οὐδὲν ἂν A 22 ἐπανατείνασθαι γρ. S[d] γρ. V

VI 34 τι παρείδετε· οὔτε γὰρ κατὰ γῆν παρελθὼν οὔτε ναυσὶ κρατήσας εἰς τὴν Ἀττικὴν ἥξειν ἔμελλεν, ὑμεῖς δ' ἐκείνου παραχρῆμα, εἰ μὴ τὰ δίκαια ποιοίη, κλείσειν τὰ ἐμπόρια, καὶ χρημάτων τ' ἐν σπάνει καὶ τῶν ἄλλων ἐν πολιορκίᾳ πάλιν αὐτὸν καταστήσειν, ὥστ' ἐκεῖνος ὁ δουλεύσων 5 [ἔμελλεν] ἔσεσθαι τοῖς ἀπὸ τῆς εἰρήνης λυσιτελοῦσιν, οὐχ 154 ὑμεῖς. καὶ ταῦθ' ὅτι οὐκ ἐπὶ τοῖς συμβεβηκόσιν νῦν πλάττομαι καὶ προσποιοῦμαι, ἀλλὰ τότ' εὐθὺς ἐγνώκειν καὶ προεωρώμην ὑπὲρ ὑμῶν καὶ τούτοις ἔλεγον, ἐκεῖθεν εἴσεσθε. ἐπειδὴ γὰρ ἐκκλησία μὲν οὐκέτ' ἦν ὑπόλοιπος 10 οὐδεμία διὰ τὸ προκατακεχρῆσθαι, οὗτοι δ' οὐκ ἀπῇσαν, XVIII 25 ἀλλ' αὐτοῦ διέτριβον, γράφω ψήφισμα βουλεύων, τὴν βουλὴν ποιήσαντος τοῦ δήμου κυρίαν, ἀπιέναι τοὺς πρέσβεις τὴν ταχίστην, τὸν δὲ στρατηγὸν Πρόξενον κομίζειν αὐτοὺς ἐπὶ τοὺς τόπους ἐν οἷς ἂν ὄντα Φίλιππον πυν- 15 θάνηται, γράψας ὥσπερ νῦν λέγω, τοῖς ῥήμασιν οὕτως ἄντικρυς. Καί μοι λέγε τοῦτο τὸ ψήφισμα λαβών.

ΨΗΦΙΣΜΑ

155 Ἐνθένδε μὲν τοίνυν αὐτοὺς ἐξήγαγον οὕτως ἄκοντας, ὡς καθαρῶς οἷς μετὰ ταῦτ' ἐποίουν εἴσεσθε. ἐπειδὴ δ' 20 ἀφικόμεθ' εἰς Ὠρεὸν καὶ συνεμείξαμεν τῷ Προξένῳ, ἀμελήσαντες οὗτοι τοῦ πλεῖν καὶ τὰ προστεταγμένα πράττειν ἐπορεύοντο κύκλῳ, καὶ πρὶν εἰς Μακεδονίαν ἐλθεῖν,

1 παρίδετε F[1]QA | prius οὔτε] ουδε A 2 ἤμελλεν VY | ἡμεῖς A 3 ποιοι S[1] 5 δουλεύων A 6 ἔμελλεν om. S[1]: add. S[d]; post ἔσεσθαι hab. F[1] (litteris β α transpositum), Q 7 νυνὶ VA 8 τότ'] τοῦτ' γρ. V | εὐθέως A 10 ὑπολο ι ὑπόλοιπος F 13 κυρείαν F 14 νομίζειν Q 16 ὧπερ F[1] οἷσπερ Lambinus 18 tit. om. S spatio vacuo relicto 19 ἀκούοντας Y[1] 21 συνεμειξαμεν S[1]: συνεμίξαμεν S corr. VAY 22 προτεταγμένα F[1]

τρεῖς καὶ εἴκοσιν ἡμέρας ἀνηλώσαμεν· τὰς δ' ἄλλας πά-
390 σας καθήμεθ' ἐν | Πέλλῃ, πρὶν Φίλιππον ἐλθεῖν, σὺν αἷς
ἐπορεύθημεν ὁμοῦ πεντήκονθ' ὅλας. ἐν δὲ τούτῳ Δορί- 156
σκον, Θρᾴκην, τὰ ἐπὶ τειχῶν, Ἱερὸν ὄρος, πάντα τὰ πράγ-
5 ματα, ἐν εἰρήνῃ καὶ σπονδαῖς ᾕρει καὶ διῳκεῖθ' ὁ Φί-
λιππος, πολλὰ λέγοντος ἐμοῦ καὶ θρυλοῦντος ἀεί, τὸ μὲν
πρῶτον ὡς ἂν εἰς κοινὸν γνώμην ἀποφαινομένου, μετὰ
ταῦτα δ' ὡς ἀγνοοῦντας διδάσκοντος, τελευτῶντος δ' ὡς
ἂν πρὸς πεπρακότας αὐτοὺς καὶ ἀνοσιωτάτους ἀνθρώ-
10 πους οὐδὲν ὑποστελλομένου. ὁ δὲ τούτοις ἀντιλέγων 157
φανερῶς καὶ ἅπασιν ἐναντιούμενος οἷς ἔλεγον μὲν ἐγώ,
ἐψήφιστο δ' ὑφ' ὑμῶν, οὗτος ἦν. εἰ δὲ καὶ πᾶσιν ἤρεσκεν
ταῦτα τοῖς ἄλλοις πρέσβεσιν, αὐτίκ' εἴσεσθε. ἐγὼ μὲν
γὰρ οὐδέν πω λέγω περὶ οὐδενὸς οὐδ' αἰτιῶμαι, οὐδ'
15 ἀναγκασθέντ᾽ αὐτῶν οὐδένα δεῖ δοκεῖν χρηστὸν εἶναι
τήμερον, ἀλλὰ δι' αὐτὸν καὶ τὸ μὴ κεκοινωνηκέναι τῶν
ἀδικημάτων. ὅτι μὲν γὰρ αἰσχρὰ καὶ δεινὰ καὶ οὐ προῖκα
τὰ πεπραγμένα, πάντες ὑμεῖς ἑοράκατε· οἵτινες δ' οἱ τού-
των μετεσχηκότες, αὐτὸ δηλώσει.

20 Ἀλλὰ νὴ Δί' ἐν τούτῳ τῷ χρόνῳ τοὺς ὅρκους ἔλαβον 158
παρὰ τῶν συμμάχων, ἢ τἄλλ' ἃ προσῆκεν ἐποίησαν. πολ-
λοῦ γε καὶ δεῖ, ἀλλὰ τρεῖς μῆνας ὅλους ἀποδημήσαντες
καὶ χιλίας λαβόντες δραχμὰς ἐφόδιον παρ' ὑμῶν, παρ'

1 εἴκοσι A[1] | ἀπάσας VY 3 ὅλαις S corr. rec. Y corr. | δωρίσκον Q 4 Θρᾴκην] Θρᾴκης Palmerius Ἐργίσκην Sandys 5 ὁ om. A 6 μου F[1]QA 9 ἂν om. A | πρὸς om. Y προπεπρακότας sine πρὸς A | ἑαυτοὺς V 10 ὑποστελλόμενος V | ὁ] οὐ A[1] 11 πᾶσιν A 12 ἀφ' ut vid. F[1] 14 περὶ] incipit antiqua m. cod. P 15 αὐτῶν] αὐτὸν QA 18 ὑμεῖς om. Y[1] 19 μετασχόντες γρ. QP | αὐτὸ S: αὐτὰ VAYP 20 ἀλλ' οὐ P 23 δραχμὰς λαβόντες VP | εἰς ἐφόδιον A[1] | ante alterum παρ' add. ὅσα VY[2] mg. P ὅσον A

οὐδεμιᾶς πόλεως, οὔθ' ὅτ' ἐκεῖσ' ἐπορεύοντ' οὔθ' ὅτ'
ἐκεῖθεν δεῦρο, τοὺς ὅρκους ἔλαβον, ἀλλ' ἐν τῷ πανδο-
κείῳ τῷ πρὸ τοῦ Διοσκορείου (εἴ τις ὑμῶν εἰς Φερὰς
ἀφῖκται, οἶδεν ὃ λέγω), ἐνταῦθ' ἐγίγνονθ' οἱ ὅρκοι, ὅτε
δεῦρ' ἤδη τὸ στράτευμ' ἄγων ἐβάδιζεν Φίλιππος, αἰ- 5
159 σχρῶς ἄνδρες Ἀθη|ναῖοι κἀναξίως ὑμῶν. καίτοι τοῦτο 391
Φίλιππος ἁπάντων ἂν ἐτιμήσατο πλείστου τοῦτον τὸν
τρόπον πραχθῆναι. τήν τε γὰρ εἰρήνην οὐχὶ δυνηθέν-
των ὡς ἐπεχείρησαν οὗτοι „πλὴν Ἀλέων καὶ Φωκέων“
γράψαι, ἀλλ' ἀναγκασθέντος ὑφ' ὑμῶν τοῦ Φιλοκράτους 10
ταῦτ' ἀπαλεῖψαι, γράψαι δ' ἄντικρυς „Ἀθηναίους καὶ
τοὺς Ἀθηναίων συμμάχους“, οὐκ ἐβούλετο τοῦτον ὀμω-
μοκέναι τὸν ὅρκον οὐδένα τῶν αὑτοῦ συμμάχων (οὐ γὰρ
αὐτῷ συστρατεύσειν ἐφ' ἃ νῦν ἔχει τῶν ὑμετέρων ἔμελ-
160 λον, ἀλλ' ἕξειν πρόφασιν τοὺς ὅρκους), οὔτε μάρτυρας 15
γενέσθαι τῶν ὑποσχέσεων, ἐφ' αἷς ηὑρίσκετο τὴν εἰρή-
νην, οὐδὲ τοῦτο δειχθῆναι πᾶσιν, ὅτι οὐκ ἄρ' ἡ πόλις ἡ
τῶν Ἀθηναίων ἥττητο τῷ πολέμῳ, ἀλλὰ Φίλιππός ἐστιν
ὁ τῆς εἰρήνης ἐπιθυμῶν καὶ ὁ πόλλ' ὑπισχνούμενος τοῖς
Ἀθηναίοις, ἂν τύχῃ τῆς εἰρήνης. ἵνα δὴ μὴ γένοιτο ταῦθ' 20

1 ἄλλης πόλεως A 2 τῷ om. A 3 διοσκορείου V Hermog. III 264 W. (283, 2 R.): διοσκουρείου SYP διοσκορίου A Hermog. cod. V 4 ὃ in ras. F[1] ἃ QP 5 φίλιππος ἐφ' ὑμᾶς S[d] γρ. Q 6 ὦ ἄνδρες VA ὦ (superscr. θ) P | και αξιως S[1] καὶ ἀναξίως S corr. VAYP | τοῦτο] τοῦθ' ὁ V 7 περὶ πλείστου F[1] (περὶ punctis del.) Q | τε suspectum cf. Mus. Rhen. XXXIII 595 9 οὗτοι τὸ πρῶτον VAYP | ἀλέων P corr.: αλεων SVAP[1] ἁλέων Y 11 ταῦτα μὲν VAYP | ἀθηναίοις F[1]AP 12 τοῖς ... συμμάχοις F[1]QAP, cf. § 278 13 τῶν] τὸν A[1] corr. ead. 14 συνστρατευσειν S συσστρατεύειν A | ἡμετέρων ἤμελλον A 15 οὔτε] οὐδὲ Bekker 16 γενέσθαι] om. S[1] add. ead. ut vid. ἔσεσθαι A 17 οὐδὲ] οὔτε A 18 ἀλλ' ὁ F[1]QP 19 ὑποσχόμενος A 20 ἂν τύχηι S γρ. FAY: ὥστε τυχεῖν F text. QP ex § 134 | δὴ S corr. AY: δὲ S[1]VP | γένοιτο SA: γένηται VYP

ἃ λέγω φανερά, διὰ ταῦτ' οὐδαμόσ' ᾤετο δεῖν τούτους βαδίζειν. οὗτοι δ' ἐχαρίζοντο πάντα, ἐνδεικνύμενοι καὶ ὑπερκολακεύοντες ἐκεῖνον. καίτοι ταῦθ' ὅταν ἐξελέγχων- 161 *ται πάντα, τοὺς χρόνους ἀνηλωκότες, τὰ ἐν Θρᾴκῃ προ-*
5 *ειμένοι, μηδὲν ὧν ἐψηφίσασθε πεποιηκότες μηδ' ὧν συμφέρον ἦν, τὰ ψευδῆ δεῦρ' ἀπηγγελκότες, πῶς ἔνεστι παρ' εὖ φρονοῦσι δικασταῖς καὶ βουλομένοις εὐορκεῖν τούτῳ σῴζεσθαι; ἀλλὰ μὴν ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε πρῶτον μὲν τὸ ψήφισμα, ὡς ὀρκοῦν προσῆκεν ἡμῖν, εἶτα τὴν*
10 *ἐπιστολὴν τὴν τοῦ Φιλίππου, εἶτα τὸ Φιλοκράτους ψήφισμα καὶ τὸ τοῦ δήμου.* |

392 ΨΗΦΙΣΜΑ ΕΠΙΣΤΟΛΗ ΨΗΦΙΣΜΑΤΑ

Καὶ μὴν ὅτι τὸν Φίλιππον ἐν Ἑλλησπόντῳ κατελάβο- 162 *μεν ἄν, εἴ τις ἐπείθετό μοι καὶ τὰ προστεταγμέν' ὑφ'*
15 *ὑμῶν ἐποίει κατὰ τὰ ψηφίσματα, κάλει τοὺς ἐκεῖ παρόντας μάρτυρας.*

ΜΑΡΤΥΡΕΣ

Λέγε δὴ καὶ τὴν ἑτέραν μαρτυρίαν, ἃ πρὸς Εὐκλείδην ὕστερον ἐλθόντα τουτονὶ ἀπεκρίνατο Φίλιππος.

20 ΜΑΡΤΥΡΙΑ

Ὅτι τοίνυν οὐδ' ἄρνησίς ἐστιν αὐτοῖς τὸ μὴ ταῦθ' 163 *ὑπὲρ Φιλίππου πράττειν, ἀκούσατέ μου. ὅτε γὰρ τὴν*

1 ἃ] ο S | *οὐδαμόσε ᾤετο δεῖν τούτους* SAY: *ᾤετο δεῖν αὐτοὺς μηδαμόσε* VP 3 *ἐξελέγχονται* A[1] 4 *πάντας* Y | *προειμένοι* S corr.: *προειρημένοι* S[1] *προέμενοι* VYP *προιέμενοι* A 6 *ψευδη* S *ψευδῆ* VAYP cf. ad XVIII 136 7 *τούτωι* SY: *τούτοις* (ωι supra) F *τούτους* QP *τοῦτον* A 9 *ὑμῖν* A | *τὴν* om. P 10 *τοῦ* om. A 11 *καὶ*] *εἶτα* VP 12 et 17 tit. om. S spatio vacuo relicto 12 ΨΗΦΙΣΜΑΤΑ] *ψήφισμα* A 15 *καὶ κατὰ* F[1] (punctis del.) QP | *τὰ* om. Y 18 *καὶ* om. A | ἃ] *ἦν* ut vid. P[1] 19 *ὕστερον* post *τουτονὶ* A 20 tit. om. S in lacuna 21 *τὸ*] *τοῦ* QP 22 *τοῦτο ἀκούσατε* A

προτέραν ἀπήρομεν πρεσβείαν τὴν περὶ τῆς εἰρήνης, κή-
ρυχ' ὑμεῖς προαπεστείλαθ' ὅστις ἡμῖν σπείσεται. τότε
μὲν τοίνυν, ὡς τάχιστ' εἰς Ὠρεὸν ἦλθον, οὐκ ἀνέμειναν
τὸν κήρυκ' οὐδ' ἐποίησαν χρόνον [οὐδένα], Ἅλου δὲ
πολιορκουμένου διέπλευσαν εἰς τοῦτον, καὶ πάλιν ἐν- 5
τεῦθεν πρὸς Παρμενίωνα τὸν πολιορκοῦντ' ἐξελθόντες
ἀπῆραν διὰ τοῦ πολεμίου στρατεύματος εἰς Παγασάς, καὶ
προϊόντες ἀπήντων ἐν Λαρίσῃ τῷ κήρυκι· τοσαύτῃ σπου-
164 δῇ καὶ προθυμίᾳ τότ' ἐχώρουν. ἐπειδὴ δ' εἰρήνη μὲν ἦν,
ἅπασα δ' ἀσφάλει' ἰέναι καὶ πρόσταγμα παρ' ὑμῶν σπεύ- 10
δειν, τηνικαῦτ' οὔτ' ἐπείγεσθαι βαδίζουσιν οὔτε πλεῖν
αὐτοῖς ἐπῄει. τί δήποτε; ὅτι τότε μὲν τὸ τὴν εἰρήνην ὡς
τάχιστα γενέσθαι, τοῦτ' ἦν ὑπὲρ Φιλίππου, νῦν δὲ τὸ
ὡς πλεῖστον τὸν μεταξὺ χρόνον | διατριφθῆναι τοῦ τοὺς 393
165 ὅρκους ἀπολαβεῖν. ἀλλὰ μὴν ὅτι καὶ ταῦτ' ἀληθῆ λέγω, 15
λαβέ μοι καὶ ταύτην τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ

Ἔστιν οὖν ὅπως ἂν μᾶλλον ἄνθρωποι πάνθ' ὑπὲρ
Φιλίππου πράττοντες ἐξελεγχθεῖεν, ἢ τὴν αὐτὴν ὁδὸν
ἡνίκα μὲν σπεύδειν ὑπὲρ ὑμῶν ἔδει καθήμενοι, ὅτε δ' 20
οὐδὲ βαδίζειν προσῆκεν πρὶν ἐλθεῖν τὸν κήρυκ' ἐπει-
γόμενοι;

1 ἀπήιρομεν F^{1}Y corr. P corr.: απηρομην S^{1}Y^1 ἀπήραμεν S corr. F corr. QP^1 ἀπήιραμεν A 2 ἡμῖν apographa aliquot: ὑμῖν SVAYP 4 ἐνεποίησαν Dobree, cf. § 3 οὐδὲ παρεῖσαν B. Keil | οὐδένα om. S^1 in fine versus (add. S^d) οὐδ' ἕνα P | ἅλου δὲ Ald. Less. al.: αλουδε S^1 (ut vid.) ἄλου δὲ A ἀλλ' οὐδὲ S corr. (λλ in ras. unius litterae) FYP οὐδὲ Q 10 πᾶσα AP 11 τινικαυτα S^1 12 ἐπήιει S γρ. F QAYP: ἐποίει F text. 13 τὸ om. F^{1}QP 14 τὸν] om. P^1 τὸ Y | πρὸ τοῦ VYP 16 λαβέ μοι] λέγε A 17 tit. om. S in lacuna 19 ἢ οἱ Y quid P^1 habuerit incertum 20 ὅτε] οτου S^1 21 οὐδὲ] ου A^1 corr. ead.

Ὃν τοίνυν χρόνον ἦμεν ἐκεῖ καὶ καθήμεθ' ἐν Πέλλῃ, 166
σκέψασθε τί πράττειν ἕκαστος ἡμῶν προείλετο. ἐγὼ μὲν
τοίνυν τοὺς αἰχμαλώτους ἀνασῴζειν καὶ ζητεῖν, καὶ παρ'
ἐμαυτοῦ τε χρήματ' ἀναλίσκειν καὶ Φίλιππον ἀξιοῦν, ὧν
5 *ἡμῖν ἐδίδου ξενίων, τούτους λύσασθαι· οὗτος δ' αὐτίκ'*
ἀκούσεσθε τί ποιῶν διετέλεσεν. τί οὖν ἦν τοῦτο τὸ κοινῇ
χρήμαθ' ἡμῖν τὸν Φίλιππον διδόναι; ἵνα μηδὲ τοῦτ' 167
ἀγνοῆτε, ἐκεῖνος ἡμᾶς διεκωδώνιζεν ἅπαντας· τίνα τρό-
πον; ἑκάστῳ προσπέμπων ἰδίᾳ καὶ πολύ γ' ὦ ἄνδρες
10 *Ἀθηναῖοι διδοὺς χρυσίον. ὡς δ' ἀπετύγχανεν ὁτουδή-*
ποτε (οὐ γὰρ ἐμέ γ' εἰπεῖν ἐμαυτὸν δεῖ, ἀλλὰ τὰ ἔργα
καὶ τὰ πεπραγμέν' αὐτὰ δηλώσει), τὰ κοινῇ δοθέντα
πάντας ἡγεῖτ' εὐήθως λήψεσθαι· ἀσφάλειαν οὖν ἔσεσθαι
τοῖς ἰδίᾳ πεπρακόσιν αὐτούς, εἰ καὶ κατὰ μικρὸν τοῦ λα-
15 *βεῖν κοινῇ πάντες μετάσχοιμεν. διὰ ταῦτ' ἐδίδοτο, ξένια*
δὴ πρόφασιν. ἐπειδὴ δ' ἐκώλυσ' ἐγώ, πάλιν προσδιενεί- 168
μαντο τοῦθ' οὗτοι. τῷ Φιλίππῳ δ', ἐπειδὴ ταῦτ' εἰς τοὺς
αἰχμαλώτους ἠξίουν αὐτὸν ἀναλίσκειν ἐγώ, οὔτε κατει-
πεῖν τούτων εἶχεν καλῶς οὔτ' εἰπεῖν ὅτι „ἀλλ' ἔχουσιν

3 *ἀναζητεῖν καὶ σώζειν* Cobet *ἀνασώζειν καὶ ἀναζητεῖν* Aristides IX 391, 10 W. | *καὶ* om. Paris 2936 4 *τε* om. VAYP | *ἠξίουν* A 5 *λύσεσθαι* A | *οὗτος*] *αὐτὸς* VP 6 ante Weilium interpungebatur (contra SP[1]) post *τοῦτο* 7 *τὸν φίλιππον χρήμαθ' ἡμῖν* VAP 8 *διεκωδώνιζεν* S γρ. FYP[1]: *διεκωδώνισεν* QAP corr. Harpocr. *διεκωδώνησεν* F | *τίνα* SQAY: *τινὰ* FP 9 *ἑκάστῳ* post *τρόπον* S γρ. QY: ante *τίνα* Q *τινὰ* FP[1] (*τινα*) post *προσπέμπων* AP rec. | *προσπέμπων*] *σ* in ras. P[2] 13 *ἅπαντας* VP[1] | *εὐήθως* SQ text. A: *εὐήθως* (*εὐθέως* superscr.) F *εὐθέως* γρ. Q *εὐθέως εὐήθως* Y | *ληψεσθε* S | *εσεσθε* S 14 *τοῖς διαπεπρακόσιν* A | *ἑαυτοὺς* VP 15 *κοινῆι λαβεῖν* VP | *ξενία* A[1] 16 *δὴ πρόφασιν* S[1]: *δ' ἦν πρόφασις* A *δ' ἦν ἡ πρόφασις* S[d]VYP 17 *τοῦθ'* om. VAYP | *τοὺς* om. VP[1] (add. P[3]) 18 *ἀναλίσκειν αὐτὸν* A 19 *οὔτ'* SAYP: *οὐδ'* V

ὁ δεῖνα | καὶ ὁ δεῖνα“, οὔτε φυγεῖν τὸ ἀνάλωμα· ὡμολό- 394
γησε μὲν δή, διεκρούσατο δ' εἰς τὰ Παναθήναια φήσας
ἀποπέμψειν. λέγε τὴν μαρτυρίαν τὴν Ἀπολλοφάνους, εἶτα
τὴν τῶν ἄλλων τῶν παρόντων.

ΜΑΡΤΥΡΙΑΙ 5

169 Φέρε δὴ καὶ ὅσους αὐτὸς ἐλυσάμην τῶν αἰχμαλώτων
εἴπω πρὸς ὑμᾶς. ἐν ὅσῳ γὰρ οὐχὶ παρόντος πω Φιλίπ-
που διετρίβομεν ἐν Πέλλῃ, ἔνιοι τῶν ἑαλωκότων, ὅσοι-
περ ἦσαν ἐξηγγυημένοι, ἀπιστοῦντες, ὡς ἐμοὶ δοκεῖ, μὴ
δυνήσεσθαί με ταῦτα πεῖσαι τὸν Φίλιππον, ἑαυτοὺς 10
ἔφασαν βούλεσθαι λύσασθαι καὶ μηδεμίαν τούτου χάριν
ἔχειν τῷ Φιλίππῳ, καὶ ἐδανείζονθ' ὁ μὲν τρεῖς μνᾶς, ὁ
170 δὲ πέντε, ὁ δ' ὅπως συνέβαινεν ἑκάστῳ τὰ λύτρα. ἐπειδὴ
τοίνυν ὡμολόγησεν ὁ Φίλιππος τοὺς λοιποὺς λύσεσθαι,
συγκαλέσας ἐγὼ τούτους οἷς αὐτὸς ἔχρησα τἀργύριον, 15
καὶ τὰ πεπραγμέν' ὑπομνήσας, ἵνα μὴ δοκοῖεν ἔλαττον
ἔχειν ἐπειχθέντες μηδ' ἐκ τῶν ἰδίων λελυτρῶσθαι πέ-
νητες ἄνθρωποι, τῶν ἄλλων ὑπὸ τοῦ Φιλίππου προσ-
δοκωμένων ἀφεθήσεσθαι, ἔδωκα δωρειὰν τὰ λύτρα. Καὶ
ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε ταύτας τὰς μαρτυρίας. 20

1 φεύγειν V 1 sq. ὡμολογήσαμεν δὴ A[1] ὡμολόγησα μὲν δὴ A corr. 3 λέγε δὴ VA 4 παρόντων· λέγε A 5 tit. om. S spatio vacuo relicto μαρτυρία A 7 τοῦ φιλίππου VA 9 ἐξεγγυημένοι F[1]QA (γγ in ras.) P 10 με γρ. F: μετὰ SF[1]QAYP 11 λύσεσθαι Q 12 φιλίππωι (sine articulo) ante χάριν VAP | οἱ μὲν ... οἱ δὲ AP[1] 13 μηνας ut vid. S[1] | οἱ δ' ὅπως A[1] | τοὺς λοιποὺς ante ὡμολόγησεν A | λύσασθαι VAP[1] 15 ἔχρησα τἀργύριον A corr. pr. m. P corr.: ἔχρησα τὸ ἀργύριον SQ ἐχρήσατο ἀργύριον F[1] ἐχρήσατο ἀργύρια F corr. Y ἐχρήσαταργύριον A[1] τὰ ἀργύρια γρ. QP[1] 19 ἀφθήσεσθαι A[1] corr. ead. 20 λέγε καὶ VAP

ΜΑΡΤΥΡΙΑΙ

Ὅσα μὲν τοίνυν ἀφῆκα χρήματα καὶ δωρειὰν ἔδωκα 171
τοῖς ἀτυχήσασιν τῶν πολιτῶν, ταῦτ' ἔστιν. ὅταν δ' οὗτος
αὐτίκα δὴ λέγῃ πρὸς ὑμᾶς „τί δήποθ', ὡς φῂς ὦ Δημό-
5 σθενες ἀπὸ τοῦ συνειπεῖν ἐμὲ Φιλοκράτει γνοὺς οὐδὲν
ἡμᾶς ὑγιὲς πράττοντας, τὴν μετὰ ταῦτα πρεσβείαν τὴν
395 ἐπὶ τοὺς ὅρκους συνεπρέσβευσας πάλιν | καὶ οὐκ ἐξω-
μόσω;" ταῦτα μέμνησθε, ὅτι τούτοις ὡμολογήκειν οὓς
ἐλυσάμην καὶ κομιεῖν λύτρα καὶ σώσειν εἰς δύναμιν. δει- 172
10 νὸν οὖν ψεύσασθαι καὶ προέσθαι δυστυχοῦντας ἀνθρώ-
πους πολίτας· ἰδίᾳ δ', ἐξομοσάμενον, οὐ πάνυ καλὸν
οὐδ' ἀσφαλὲς ἦν ἐκεῖσε πλανᾶσθαι· ἐπεὶ εἰ μὴ διὰ τὸ
τούτους βούλεσθαι σῷσαι, ἐξώλης ἀπολοίμην καὶ προ-
ώλης, εἰ προσλαβών γ' ἂν ἀργύριον πάνυ πολὺ μετὰ
15 τούτων ἐπρέσβευσα. σημεῖον δέ· ἐπὶ γὰρ τὴν τρίτην πρε-
σβείαν δίς με χειροτονησάντων ὑμῶν δὶς ἐξωμοσάμην.
καὶ παρὰ ταύτην τὴν ἀποδημίαν πάντα τἀναντί' ἔπραττ-
τον. ὧν μὲν τοίνυν αὐτοκράτωρ ἦν ἐγὼ κατὰ τὴν πρε- 173
σβείαν, τοῦτον ἔσχε τὸν τρόπον ὑμῖν· ἃ δ' οὗτοι πλείους
20 ὄντες ἐνίκων, ἅπαντ' ἀπόλωλεν. καίτοι καὶ τἄλλ' ἂν
ἅπαντ' ἀκολούθως τούτοις ἐπέπρακτο, εἴ τις ἐπείθετό
μοι. οὐ γὰρ ἔγωγ' οὕτως ἄθλιος οὐδ' ἄφρων, ὥστε χρή-

1 titulum om. S in lacuna 6 ὑμᾶς V | ὑγιὲς ἡμᾶς A 7 συνε-
πρέσβευσας (ω supra α) F συνεπρεσβεύσω Q 8 ὡμολογήκειν (η in ras. S)
ἥξειν VAYP | οὓς fort postea add. sed pr. m. S 9 τὰ λύτρα VP
10 καὶ προέσθαι om. A 11 οὐ πάνυ καλὸν οὐδ' SVYP[1] γρ.
P rec.: οὔτ' αὖ καλὸν οὔτε AP corr. 14 γ'] om. A τ' P[1] |
γ' ἂν om. Hermog. III 339 W. (354, 13 R.) | πολὺν? P[1] 15 ἐπὶ] επει
ut vid. S[1]P[1] 17 παρὰ ταύτην] παραυτὴν AP | ἔπραττον τούτοις
VYP 19 ἃ δ'] αλλ S[1] 20 ἅπαντ' om. Q | ἀπολώλεκεν γρ. FP[1] |
ἂν post ἀκολούθως A 21 πάντ' F 22 ἦν ante ἄθλιος add. A
post ἄφρων VP | αφρον S[1]

ματα μὲν διδόναι, λαμβάνοντας ὁρῶν ἑτέρους, ὑπὲρ τῆς
πρὸς ὑμᾶς φιλοτιμίας, ἃ δ' ἄνευ μὲν δαπάνης οἷά τ' ἦν
πραχθῆναι, πολλῷ δὲ μείζονας εἶχεν ὠφελείας πάσῃ τῇ
πόλει, ταῦτ' οὐκ ἐβουλόμην γίγνεσθαι. καὶ σφόδρα γ'
ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλ' οἶμαι περιῆσαν οὗτοί μου. 5

174 Φέρε δή, τί τούτῳ πέπρακται παρὰ ταῦτα καὶ τί τῷ
Φιλοκράτει θεάσασθε· παρ' ἄλληλα γὰρ ἔσται φανερώ-
τερα. πρῶτον μὲν τοίνυν Φωκέας ἐκσπόνδους καὶ Ἁλέας
ἀπέφηναν καὶ Κερσοβλέπτην παρὰ τὸ ψήφισμα καὶ τὰ
πρὸς ὑμᾶς εἰρημένα· εἶτα τὸ ψήφισμ' ἐπεχείρησαν κινεῖν 10
καὶ μεταίρειν, ἐφ' ᾧ πρεσβεύοντες ἥκομεν· εἶτα Καρδια-
νοὺς Φιλίππῳ συμμάχους ἐνέ|γραψαν καὶ τὴν μὲν γρα- **396**
φεῖσαν ἐπιστολὴν ὑπ' ἐμοῦ πρὸς ὑμᾶς ἀπεψηφίσαντο μὴ
πέμπειν, αὐτοὶ δ' οὐδ' ὁτιοῦν ὑγιὲς γράψαντες ἔπεμψαν.
175 εἶθ' ὁ γενναῖος οὑτοσὶ ἐμὲ μὲν τὸν δῆμον ἔφη τὸν ὑμέ- 15
τερον καταλύσειν ἐπηγγέλθαι Φιλίππῳ, ὅτι ταῦτ' ἐπέ-
πληττον, οὐ μόνον αἰσχρὰ νομίζων ἀλλὰ καὶ δεδιὼς μὴ
συμπαραπόλωμαι διὰ τούτους, αὐτὸς δ' ἰδίᾳ πάντα τὸν
χρόνον ἐντυγχάνων οὐδ' ὁτιοῦν ἐπαύσατο Φιλίππῳ. καὶ
τὰ μὲν ἄλλα σιωπῶ, Δερκύλος δ' αὐτὸν ἐν Φεραῖς τὴν 20
νύκτ' ἐφύλαττεν, οὐκ ἐγώ, τὸν παῖδ' ἔχων τὸν ἐμὸν του-
τονί, καὶ λαβὼν ἐξιόντ' ἐκ τῆς Φιλίππου σκηνῆς ἐμοὶ
τὸν παῖδ' ἐκέλευσεν ἀπαγγέλλειν καὶ αὐτὸν μεμνῆσθαι,
καὶ τὸ τελευταῖον ὁ βδελυρὸς καὶ ἀναιδὴς οὑτοσὶ νύκτα
καὶ ἡμέραν ἀπιόντων ἡμῶν ἀπελείφθη παρὰ Φιλίππῳ. 25

2 μὲν om. P[1] add. P rec. | ἦν οἷά τε P[1] 3 ὠφελείας εἶχε A
4 ἠβουλόμην A 6 δὲ (ἤ supra) F 8 Φωκέας ... Ἁλέας Voemel: φωκεῖς
... αλεῖς (ἁλεῖς) vel ἅλεις codd. 9 sq. παρὰ ... εἰρημένα om. P[1]
10 ἐνεχείρησαν Y[2] 12 ἀνέγραψαν A 14 δ' om. Q | ἀπέπεμ-
ψαν VP 20 δέρκυλλος A[1] (postea accentus erasus est) 21 prius
τὸν om. P[1] add. P[3] 23 ἐκέλευεν A 24 οὗτος καὶ ἀναιδὴς VP

καὶ ταῦθ᾽ ὅτι ἀληθῆ λέγω, πρῶτον μὲν αὐτὸς ἐγὼ συγ- 176
γραψάμενος καὶ καταστήσας ἐμαυτὸν ὑπεύθυνον μαρ-
τυρήσω, εἶτα τῶν ἄλλων πρέσβεων ἕκαστον καλῶ, καὶ
δυοῖν θάτερον, ἢ μαρτυρεῖν ἢ ἐξόμνυσθαι ἀναγκάσω. ἂν
5 δ᾽ ἐξομνύωσιν, ἐπιορκοῦντας ἐξελέγξω παρ᾽ ὑμῖν φανερῶς.

ΜΑΡΤΥΡΙΑ

Οἵοις μὲν τοίνυν κακοῖς καὶ πράγμασι τὴν ἀποδημίαν 177
πᾶσαν συνεσχόμην ἑοράκατε. τί γὰρ αὐτοὺς οἴεσθ᾽ ἐκεῖ
ποιεῖν ἐγγὺς ὄντας τοῦ διδόντος, ὅθ᾽ ὑμῶν ὁρώντων,
10 τῶν καὶ τιμῆσαι κυρίων ὄντων καὶ τοὐναντίον κολάσαι,
τοιαῦτα ποιοῦσιν;

Συλλογίσασθαι δὴ βούλομαι τὰ κατηγορημέν᾽ ἀπ᾽ ἀρ-
χῆς, ἵν᾽ ὅσ᾽ ὑμῖν ὑπεσχόμην ἀρχόμενος τοῦ λόγου δείξω
πεποιηκώς. ἐπέδειξ᾽ οὐδὲν ἀληθὲς ἀπηγγελκότα, ἀλλὰ
397 φενακίσανθ᾽ | ὑμᾶς, μάρτυσι τοῖς γεγενημένοις αὐτοῖς, οὐ
16 λόγοις χρώμενος. ἐπέδειξ᾽ αἴτιον γεγενημένον τοῦ μὴ 178
θέλειν ὑμᾶς ἀκούειν ἐμοῦ τἀληθῆ ταῖς ὑποσχέσεσιν καὶ
τοῖς ἐπαγγέλμασιν τοῖς τούτου καταληφθέντας τότε, πάν-
τα τἀναντία συμβουλεύσαντ᾽ ἢ ἔδει, καὶ τῇ μὲν τῶν συμ-
20 μάχων ἀντειπόντ᾽ εἰρήνῃ, τῇ δὲ Φιλοκράτους συνηγορή-
σαντα, τοὺς χρόνους κατατρίψαντα, ἵνα μηδ᾽ εἰ βούλοι-

3 ἕκαστον πρέσβεων A 4 ἐξόμνυσθαι] σθα in ras. et acc. super υ eras. (ἐξομνύειν? P[1]) P ἐξομνύειν Blass | ἐὰν VAP 6 tit. om. S in lacuna 7 μέντοι νῦν A | κατὰ τὴν ἀπ. γρ. S[d]VYP 8 ἅπασαν VAP | συνειχόμην AP cf. Isocr. XVIII 11. Plat. Soph. 250[d] | γὰρ] γ in ras. S 9 ὄντος A 10 τῶν om. SY 12 κατηγορούμενα? P[1] | ἀπ᾽] ἐξ A Syrian. II 89 R. cf. Dion. Hal. de Dem. 1068 | ἀπ᾽ ἀρχῆς om. Hermog. III 26 W. (52, 13 R.) cf. 416 (428, 6) 13 ὅσα] ἃ A 14 πεποιηκότα ἐμαυτὸν γρ. S[d] γρ. Q cf. Dion. | ἀπέδειξα Hermog. | οὐδὲν] μηδὲν Q Hermog. | ἀληθὲς αὐτὸν Syr. 16 αἴτιον om. S[1] add. S[d] 18 κατα-λειφθέντας (η supra ει) F προκαταληφθέντας A 20 συνηγορήσαντα Blass cf. § 15: συναγορεύσαντα SVAYP Syr. συνειπόντα Cobet 21 ante τοὺς ins. μηδὲν ὧν προσετάξαθ᾽ ὑμεῖς ποιήσαντα Voemel | βούλεσθε A

σθε δύναισθ' ἐξελθεῖν εἰς Φωκέας, καὶ ἄλλ' ἐπὶ τῆς ἀποδημίας πολλὰ καὶ δεῖν' εἰργασμένον, προδεδωκότα πάντα, πεπρακότα, δῶρ' ἔχοντα, οὐδὲν ἐλλελοιπότα μοχθηρίας. οὐκοῦν ταῦθ' ὑπεσχόμην ἐν ἀρχῇ, ταῦτ' ἐπέ-
179 *δειξα. ὁρᾶτε τοίνυν τὰ μετὰ ταῦτα· ἁπλοῦς γάρ ἐσθ' ὁ* 5 *μέλλων λόγος οὑτοσὶ πρὸς ὑμᾶς ἤδη. ὀμωμόκατε ψηφιεῖσθαι κατὰ τοὺς νόμους καὶ τὰ ψηφίσματα τὰ τοῦ δήμου καὶ τῆς βουλῆς τῶν πεντακοσίων· φαίνεται δ' οὗτος πάντα τἀναντία τοῖς νόμοις, τοῖς ψηφίσμασιν, τοῖς δικαίοις πεπρεσβευκώς· οὐκοῦν ἑαλωκέναι προσήκει παρά* 10 *γε νοῦν ἔχουσι δικασταῖς. εἰ γὰρ ἄλλο μηδὲν ἠδίκει, δύο τῶν πεπραγμένων ἐσθ' ἱκάν' αὐτὸν ἀποκτεῖναι· οὐ γὰρ μόνον Φωκέας, ἀλλὰ καὶ Θρᾴκην προδέδωκε Φιλίππῳ.*
180 *καίτοι δύο χρησιμωτέρους τόπους τῆς οἰκουμένης οὐδ' ἂν εἷς ἐπιδείξαι τῇ πόλει, κατὰ μὲν γῆν Πυλῶν, ἐκ θα-* 15 *λάττης δὲ τοῦ Ἑλλησπόντου· ἃ συναμφότερ' οὗτοι πεπράκασιν αἰσχρῶς καὶ καθ' ὑμῶν ἐγκεχειρίκασι Φιλίππῳ. τοῦτο τοίνυν αὐτὸ ἄνευ τῶν ἄλλων ἡλίκον ἐστ' ἀδίκημα, τὸ Θρᾴκην καὶ τὰ τείχη προέσθαι, μυρί' ἂν εἴη λέγειν, καὶ ὅσοι διὰ ταῦτ' ἀπολώλασι παρ' ὑμῖν, | οἱ δὲ* 398 *χρήματα πάμπολλ' ὠφλήκασιν, οὐ χαλεπὸν δεῖξαι, Ἐργό-* 21 *φιλος, Κηφισόδοτος, Τιμόμαχος, τὸ παλαιόν ποτ' Ἐργοκλῆς, Διονύσιος, ἄλλοι, οὓς ὀλίγου δέω σύμπαντας εἰ-*
181 *πεῖν ἐλάττω τὴν πόλιν βεβλαφέναι τούτου. ἀλλ' ἔτι γὰρ*

1 *δυναισθε* SF corr. (*αι* in ras.) Y: *δύνεσθε* Q *δύνησθε* AP corr. Syr. 2 sq. *προδεδωκότα, πάντα πεπρακότα* S *προδ. πεπρακότα πάντα* Syr. 3 *ἐκλελοιπότα* A 4 *ταῦτ'*] *ταυθ* S | *ὑπέδειξα* QP[1] Syr. 6 *οὑτοσὶ* om. A | *ὁμομόκατε* Q | *ψηφιεισθε* S 7 *τὰ* ante *τοῦ* om. VAYP 10 *ἑαλωκέναι* S corr. VP: *ἡλωκέναι* S[1]AY 12 *ἱκανά εστιν* A 13 *προέδωκεν* P[1] corr. P[2] 15 *ἐπιδεῖξαι* AY 17 post *ὑμῶν* 3 litt. eras. Q | *ἐγκεχειρήκασι* S corr. QA[1]P[1] 22 *τιμόμαχος κηφισόδοτος* (*κηφισόδωρος* A[1] corr. ead.) A | *τειμόμαχος* Y | *ποτ'*] *τότε* A 23 *ἄλλοι* om. Q | *ὀλίγωι* A

τότ' ὦ ἄνδρες Ἀθηναῖοι, ἐκ λογισμοῦ τὰ δεῖν' ἐφυλάτ-
τεσθ' ὑμεῖς καὶ προεωρᾶσθε· νῦν δ' ὅ τι ἂν μὴ καθ'
ἡμέραν ὑμᾶς ἐνοχλῇ καὶ παρὸν λυπῇ, παροράτε, εἶτα τὴν
ἄλλως ἐνταῦθα ψηφίζεσθε, „ἀποδοῦναι δὲ καὶ Κερσο-
5 *βλέπτῃ Φίλιππον τοὺς ὅρκους", „μὴ μετέχειν δὲ τῶν ἐν*
Ἀμφικτύοσιν", „ἐπανορθώσασθαι δὲ τὴν εἰρήνην". καί-
τοι τούτων οὐδενὸς ἂν τῶν ψηφισμάτων ἔδει, εἰ πλεῖν
οὗτος ἤθελεν καὶ τὰ προσήκοντα ποιεῖν· νῦν δ' ἃ μὲν
ἦν πλεύσασι σῶσαι, βαδίζειν κελεύων ἀπολώλεκεν, ἃ δ'
10 *εἰποῦσι τἀληθῆ, ψευδόμενος.*

Ἀγανακτήσει τοίνυν αὐτίκα δὴ μάλα, ὡς ἐγὼ πυνθά- 182
νομαι, εἰ μόνος τῶν ἐν τῷ δήμῳ λεγόντων λόγων εὐθύ-
νας ὑφέξει. ἐγὼ δ' ὅτι μὲν πάντες ἂν εἰκότως ὧν λέγουσι
δίκην ὑπέχοιεν, εἴπερ ἐπ' ἀργυρίῳ τι λέγοιεν, παραλείψω,
15 *ἀλλ' ἐκεῖνο λέγω· εἰ μὲν Αἰσχίνης ἰδιώτης ὢν ἀπελήρησέ*
τι καὶ διήμαρτεν, μὴ σφόδρ' ἀκριβῶς λογίσησθε, ἐάσατε,
συγγνώμην ἔχετε· εἰ δὲ πρεσβευτὴς ὢν ἐπὶ χρήμασιν
ἐπίτηδες ἐξηπάτηκεν ὑμᾶς, μὴ ἀφῆτε, μηδ' ἀνάσχησθ'
ὡς οὐ δεῖ δίκην ὧν εἶπεν ὑποσχεῖν. τίνος γὰρ ἄλλου 183
20 *δεῖ δίκην παρὰ πρέσβεων ἢ λόγων λαμβάνειν; εἰσὶ γὰρ*
οἱ πρέσβεις οὐ τριήρων οὐδὲ τόπων οὐδ' ὁπλιτῶν οὐδ'
ἀκροπόλεων κύριοι (οὐδεὶς γὰρ πρέσβεσι ταῦτ' ἐγχειρίζει),

2 *προεόρασθε* F mg. Y 3 *λυπῇ*] *αυτῆι* A 4 *καὶ* om. P[1]
5 *τὸν φίλιππον* VYP | *τοὺς ὅρκους φίλιππον* A | *τῶν*] *τὸν* F[1]Q
7 *ψηφισάντων* A 9 *πλεύσασιν ἦν* et *ἀπολώλεκεν οὗτος* Hermog. III
153 W. (178, 16 R.) 154 (179, 18) 10 *ψευδόμενος*] *δο* in ras. A[1]
(*ψευσάμενος*?) 12 *ἐν τῷ δήμῳ λεγόντων*] *ἐνταυθοῖ πολιτευομέ-*
νων Hermog. III 108 W. (134, 22 R.) 109 (135, 2) 14 *ὑπόσχοιεν* A
15 *ἀπελήρησε*] ante *λ* litt. eras. et *η* alterum in ras. A 16 *διημαρτο*?
P[1] | *ἀκριβῶς λογίσησθε* SAY: *ἀκριβολογήσησθε* VP | *ἀλλ' ἐάσατε*
VYP 18 *ἐξεπίτηδες* VYP | *ἐξηπάτησεν* A 19 *ὡς οὐ δεῖ*] *ως* in
mg. et *ου ει* in ras. F[1] 20 *πρεσβευτῶν* A | *λόγον* corr. A[2] ex
λόγων 22 *ἀκροπόλεως* S rec. VP

*ἀλλὰ λόγων καὶ χρόνων. τοὺς μὲν τοίνυν χρόνους εἰ
μὲν μὴ προανεῖλεν | τῆς πόλεως, οὐκ ἀδικεῖ, εἰ δ' ἀνεῖλεν,* 399
*ἠδίκηκεν· τοὺς δὲ λόγους εἰ μὲν ἀληθεῖς ἀπήγγελκεν ἢ
συμφέροντας, ἀποφευγέτω, εἰ δὲ καὶ ψευδεῖς καὶ μισθοῦ*
184 *καὶ ἀσυμφόρους, ἁλισκέσθω. οὐδὲν γὰρ ἔσθ' ὅ τι μεῖζον* 5
*ἂν ἀδικήσειέ τις ἢ ψευδῆ λέγων. οἷς γάρ ἐστ' ἐν λόγοις
ἡ πολιτεία, πῶς, ἂν οὗτοι μὴ ἀληθεῖς ὦσιν, ἀσφαλῶς
ἔστι πολιτεύεσθαι; ἂν δὲ δὴ καὶ πρὸς ἃ τοῖς ἐχθροῖς
συμφέρει δῶρά τις λαμβάνων λέγῃ, πῶς οὐχὶ καὶ κιν-*
185 *δυνεύσετε; οὐδέ γε τοὺς χρόνους ἴσον ἐστ' ἀδίκημ' ὀλιγ-* 10
*αρχίας ἢ τυράννου παρελέσθαι καὶ ὑμῶν· οὐδ' ὀλίγου
γε δεῖ. ἐν ἐκείναις μὲν γὰρ οἶμαι ταῖς πολιτείαις πάντ'
ἐξ ἐπιτάγματος ὀξέως γίγνεται· ὑμῖν δὲ πρῶτον μὲν τὴν
βουλὴν ἀκοῦσαι περὶ πάντων καὶ προβουλεῦσαι δεῖ, καὶ
τοῦθ' ὅταν ᾖ κήρυξι καὶ πρεσβείαις προγεγραμμένον,* 15
*οὐκ ἀεί· εἶτ' ἐκκλησίαν ποιῆσαι, καὶ ταύτην ὅταν ἐκ τῶν
νόμων καθήκῃ. εἶτα κρατῆσαι καὶ περιγενέσθαι δεῖ τοὺς
τὰ βέλτιστα λέγοντας τῶν ἢ δι' ἄγνοιαν ἢ διὰ μοχθηρίαν*
186 *ἀντιλεγόντων. ἐφ' ἅπασι δὲ τούτοις, ἐπειδὰν καὶ δεδογ-
μένον ᾖ καὶ συμφέρον ἤδη φαίνηται, χρόνον δεῖ δοθῆ-* 20
*ναι τῇ τῶν πολλῶν ἀδυναμίᾳ, ἐν ᾧ καὶ ποριοῦνται ταῦθ'
ὧν ἂν δέωνται, ὅπως τὰ δόξαντα καὶ δυνηθῶσι ποιῆσαι.
ὁ δὴ τοὺς χρόνους τούτους ἀναιρῶν τῆς οἷα παρ' ἡμῖν*

1 *τοίνυν*] *οὖν* VYP 2 post *μὲν* 10 litt. eras. Q | *μὴ* s. v. F 3 *ἢ*] *καὶ* Dobree 4 prius *καὶ* om. A 6 *ἂν* om. SYP | *ὑμᾶς ἀδικήσειε* VA 7 *ὦσιν ἀληθεῖς* Hermog. III 115 W. (144, 13 R.) 8 *ἔστι*] SVYP^1 Hermog.: *ἔνεστιν* AP^3 | *πολιτευεσθε* S^1 | *ἐὰν* VAY^1 ut vid. P 9 *συμφέρηι* Y | *λέγηι*] *ηι* in ras. F | *κινδυνεύσετε* SF rec.: *κινδυνεύσεται* F^1QAYP 12 *γε* om. A, cf. XVI 16. XXIV 195 | *ἐν* om. S | *μὲν* om. S^1 (add. ead.) A^1 (add. ead.?) 14 *περὶ πάντων* ante *τὴν βουλὴν* VAP | *καὶ προβουλεῦσαι* add. F^1 in mg. 20 *σύμφορον* P^1 22 *ὅπως ἂν* AP corr. ut vid. (nunc *ἂν* rursus erasum) 23 *δὴ*] *δὲ* VP | *τούτους* del. Dobree | *οἷα* SAY^1 P corr: *οἵας* VY corr. P^1 Cobet | *ὑμῖν* A

ἐστι πολιτείας, οὐ χρόνους ἀνῄρηκεν οὗτος, οὔ, ἀλλὰ τὰ πράγμαθ' ἁπλῶς ἀφῄρηται.

Ἔστι τοίνυν τις πρόχειρος λόγος πᾶσι τοῖς ἐξαπατᾶν 187 *ὑμᾶς βουλομένοις· „οἱ ταράττοντες τὴν πόλιν, οἱ διακω-* 5 *λύοντες Φίλιππον εὖ ποιῆσαι τὴν πόλιν". πρὸς οὓς ἐγὼ λόγον μὲν οὐδέν' ἐρῶ, τὰς δ' ἐπιστολὰς ὑμῖν ἀναγνώσομαι τὰς τοῦ Φιλίππου, καὶ τοὺς καιροὺς ἐφ' ὧν ἕκαστ'* 400 *ἐξηπάτησθ' ὑπο|μνήσω, ἵν' εἰδῆθ' ὅτι τὸ ψυχρὸν τοῦτ' ὄνομα, τὸ „ἄχρι κόρου", παρελήλυθ' ἐκεῖνος φενακίζων* 10 *ὑμᾶς.*

ΕΠΙΣΤΟΛΑΙ ΦΙΛΙΠΠΟΥ

Οὕτω τοίνυν αἰσχρὰ καὶ πολλὰ καὶ πάντα καθ' ὑμῶν 188 *πεπρεσβευκὼς περιὼν λέγει· „τί δ' ἂν εἴποις περὶ Δημοσθένους, ὃς τῶν συμπρέσβεων κατηγορεῖ;" νὴ Δί', εἴτε* 15 *βούλομαί γ' εἴτε μή, παρ' ὅλην μὲν τὴν ἀποδημίαν ὑπὸ σοῦ τοιαῦτ' ἐπιβεβουλευμένος, δυοῖν δ' αἱρέσεως οὔσης μοι νυνί, ἢ τοιούτων ὄντων τῶν πεπραγμένων δοκεῖν κοινωνεῖν ὑμῖν ἢ κατηγορεῖν. ἐγὼ δ' οὐδὲ συμπεπρε-* 189 *σβευκέναι φημί σοι, πρεσβεύειν μέντοι σὲ μὲν πολλὰ* 20 *καὶ δεινά, ἐμαυτὸν δ' ὑπὲρ τούτων τὰ βέλτιστα. ἀλλὰ Φιλοκράτης σοι συμπεπρέσβευκεν κἀκείνῳ σύ, καὶ Φρύνων· ὑμεῖς γὰρ ταῦτ' ἐπράττετε, καὶ ταὐτὰ πᾶσιν ὑμῖν ἤρεσκεν. „ποῦ δ' ἅλες; ποῦ τράπεζα; ποῦ σπονδαί;" ταῦτα γὰρ τραγῳδεῖ περιών, ὥσπερ οὐχὶ τοὺς ἀδικοῦν-*

1 *ἐστι* del. Cobet 3 *τις* om. Q 9 *ὄνομα* del. A. Schaefer *κόρου*] *ρ* in ras. S 11 *ἐπιστολαὶ* A corr. pr. m. P: *ἐπιστολὴ* SVA¹Y 13 *εἴποις* SAY: *εἴποι τις* VP 16 *αἱρέσεως οὔσης* SY: *αἱρέσεων οὐσῶν* γρ. S^{d}QP *αἱρέσεων οὐσῶν* (superscr. ως, ης) F *αἱρέσεως οὐσῶν* A 20 *τούτων* SAY Hermog. III 359 W. (374, 7 R.): *τουτωνὶ* VP 22 *ταυτὰ* (bis) F corr. QP: *ταῦτα* SF¹AY | *ἅπασιν* VAP 23 *τράπεζα* SY: *τράπεζαι* VAP

τας τούτων ὄντας προδότας, ἀλλὰ τοὺς τὰ δίκαια ποι-
190 *οῦντας. ἐγὼ δ' οἶδ' ὅτι πάντες οἱ πρυτάνεις θύουσιν*
ἑκάστοτε κοινῇ καὶ συνδειπνοῦσιν ἀλλήλοις καὶ συσπέν-
δουσιν· καὶ οὐ διὰ ταῦθ' οἱ χρηστοὶ τοὺς πονηροὺς
μιμοῦνται, ἀλλ' ἐὰν ἀδικοῦντα λάβωσίν τιν' αὐτῶν, τῇ 5
βουλῇ καὶ τῷ δήμῳ δηλοῦσιν. ἡ βουλὴ ταὐτὰ ταῦτα,
εἰσιτητήρι' ἔθυσεν, συνειστιάθη· σπονδῶν, ἱερῶν ἐκοινώ-
νησαν οἱ στρατηγοί, σχεδὸν ὡς εἰπεῖν αἱ ἀρχαὶ πᾶσαι.
ἆρ' οὖν διὰ ταῦτα τοῖς ἀδικοῦσιν ἑαυτῶν ἔδωκαν ἄδειαν;
191 *πολλοῦ γε καὶ δεῖ. Λέων Τιμαγόρου κατηγόρει συμπεπρε-* 10
σβευκὼς τέτταρ' ἔτη, Εὔβου|λος Θάρρηκος καὶ Σμικύθου **401**
συσσεσιτηκώς, Κόνων ὁ παλαιὸς ἐκεῖνος Ἀδειμάντου
συστρατηγήσας. πότερ' οὖν τοὺς ἅλας παρέβαινον καὶ
τὰς σπονδὰς Αἰσχίνη, οἱ προδιδόντες καὶ οἱ παρα-
πρεσβεύοντες καὶ οἱ δωροδοκοῦντες ἢ οἱ κατηγοροῦντες; 15
οἱ ἀδικοῦντες δῆλον ὅτι τὰς ὅλης γε τῆς πατρίδος, ὥσπερ
σύ, οὐ μόνον τὰς ἰδίας.

192 *Ἵνα τοίνυν εἰδῆθ' ὅτι οὐ μόνον τῶν δημοσίᾳ ποτ'*
ἐληλυθότων ὡς Φίλιππον ἀνθρώπων, ἀλλὰ καὶ τῶν ἰδίᾳ
καὶ πάντων οὗτοι φαυλότατοι καὶ πονηρότατοι γεγόνασι, 20

3 *συνσπενδουσιν* S 4 *ταῦθ'*] *τοῦτο* VP 5 *μιμοῦνται*] *μ* in ras. A[1] | *αλλοαν* A[1] 6 *καὶ ἡ* VYP | *τὰ αὐτὰ* VAY 7 *εἰσιτητήρια* Aug. 2 Herwerden: *εισιτηρια* SVYP (post alt. *ι* ras. et *τ* in ras.) *εισητήρια* A[1] *εισειτήρια* A[2] cf. Meisterhans § 45, 15 | *συνιστιαθη* S *συνεστιάθη* A | *ἐκοινώνησεν* AP corr. ut vid. 9 *αὑτῶν* F *αυτῶν* QA *αὐτῶν* P 10 *κατηγορει* SQ *κατηγορεῖ* FYP 11 *σμικύθου* S[d]VAYP: *σωκυθου* S[1] 12 *συνσεσιτηκως* S *συσσεσιτικὼς* FA[1] | *αδημαντου* SP *ἀδιμάντου* A 13 *συστρατηγισας* S[1] | *πότερ'* Blass (praeeunte Benselero) coll. XXI 133: *πότερον* A *πότεροι* SVYP | *παρέβαινον* post *σπονδὰς* VP 16 *γε* om. Q *τε* P | *σπονδὰς* post *πατρίδος* add. VAYP 18 *ποτ'* SVYP: *πώποτε* A 19 *ὡς*] *ὡς* (*προς* supra) F *πρὸς* QP 20 *φαυλότατοι*] *υλοτα* in ras. A | *καὶ πονηρότατοι* om. A

μικρὸν ἀκούσατέ μου ἔξω τι τῆς πρεσβείας ταύτης. ἐπει-
δὴ γὰρ εἷλεν Ὄλυνθον Φίλιππος, Ὀλύμπι' ἐποίει, εἰς δὲ
τὴν θυσίαν ταύτην καὶ τὴν πανήγυριν πάντας τοὺς
τεχνίτας συνήγαγεν. ἑστιῶν δ' αὐτοὺς καὶ στεφανῶν 193
5 τοὺς νενικηκότας ἤρετο Σάτυρον τουτονὶ τὸν κωμικὸν
ὑποκριτήν, τί δὴ μόνος οὐδὲν ἐπαγγέλλεται; ἤ τιν' ἐν
αὐτῷ μικροψυχίαν ἢ πρὸς αὐτὸν ἀηδίαν ἐνεορακώς; εἰ-
πεῖν δή φασι τὸν Σάτυρον ὅτι, ὧν μὲν οἱ ἄλλοι δέονται,
οὐδενὸς ὢν ἐν χρείᾳ τυγχάνει, ἃ δ' ἂν αὐτὸς ἐπαγγεί-
10 λαιθ' ἡδέως, ῥᾷστα μέν ἐστιν Φιλίππῳ δοῦναι καὶ
χαρίσασθαι πάντων, δέδοικε δὲ μὴ διαμάρτῃ. κελεύ- 194
σαντος δ' ἐκείνου λέγειν καί τι καὶ νεανιευσαμένου τοι-
οῦτον, ὡς οὐδὲν ὅ τι οὐ ποιήσει, εἰπεῖν φασιν αὐτὸν
ὅτι ἦν αὐτῷ Ἀπολλοφάνης ὁ Πυδναῖος ξένος καὶ φίλος,
15 ἐπειδὴ δὲ δολοφονηθεὶς ἐτελεύτησεν ἐκεῖνος, φοβηθέντες
οἱ συγγενεῖς αὐτοῦ ὑπεξέθεντο τὰς θυγατέρας παιδί'
ὄντ' εἰς Ὄλυνθον. „αὗται τοίνυν τῆς πόλεως ἁλούσης
402 αἰ|χμάλωτοι γεγόνασι καὶ εἰσὶν παρὰ σοί, ἡλικίαν ἔχου-
σαι γάμου. ταύτας, αἰτῶ σε καὶ δέομαι, δός μοι. βού- 195
20 λομαι δέ σ' ἀκοῦσαι καὶ μαθεῖν οἵαν μοι δώσεις δωρειάν,
ἂν ἄρα δῷς· ἀφ' ἧς ἐγὼ κερδανῶ μὲν οὐδέν, ἂν λάβω,
προῖκα δὲ προσθεὶς ἐκδώσω, καὶ οὐ περιόψομαι παθού-

1 τι om. V τι ἔξω Benseler cf. § 213 | ταύτης S[1]: ταυτησί S corr. VAYP 4 τεχνητας S[1] 6 ἤ τιν' (P[1]) Voemel: ἡ τινα S ήτινα QA ἢ τίνα F ἢ τινὰ YP corr. 7 αὐτωι AP corr.: εαυτωι SVY αὐτῷ P[1] | αὐτὸν Bekker: αὑτὸν codd. | ἐνεορακὼς Y: ενεωρακως S ἑωρακὼς F[1] et F corr. rec. s. v. PA ἑορακὼς F corr. Q | εἴη post ἐνεορακώς add. VAYP 8 δέωνται A[1] 9 ἐπαγγείλαιτο] αι in ras. et το post add. A επαγγειλατο S[1]P[1] ut vid. 11 δέδοικε SY: δεδοικέναι VAP cf. Diodor. XVI 55 13 αὐτόν φασιν VP 15 δοφονηθεὶς F[1] 17 ὄντα S: οὔσας VAYP | τοίνυν S γρ. FY: νῦν VAP | ἔφη τῆς VAP 20 σ' om. Q 21 ἐὰν VAYP | οὐδὲν ἐὰν AP[3] | ἂν λάβω punctis del. F om. YP[1] (add. P[3])

σας οὐδὲν ἀνάξιον οὔθ' ἡμῶν οὔτε τοῦ πατρός.“ ὡς δ'
ἀκοῦσαι τοὺς παρόντας ἐν τῷ συμποσίῳ, τοσοῦτον κρό-
τον καὶ θόρυβον καὶ ἔπαινον παρὰ πάντων γενέσθαι,
ὥστε τὸν Φίλιππον παθεῖν τι καὶ δοῦναι. καίτοι τῶν
ἀποκτεινάντων ἦν τὸν Ἀλέξανδρον τὸν ἀδελφὸν τὸν 5
196 Φιλίππου οὗτος ὁ Ἀπολλοφάνης. ἐξετάσωμεν δὴ πρὸς
τὸ τοῦ Σατύρου τοῦτο συμπόσιον τούτων ἐν Μακε-
δονίᾳ γενόμενον, καὶ θεάσασθ' ὡς παραπλήσιον τούτῳ
καὶ ὅμοιον. κληθέντες γὰρ οὗτοι πρὸς Ξενόφρονα τὸν
υἱὸν τὸν Φαιδίμου, τοῦ τῶν τριάκοντα, ᾤχοντο· ἐγὼ δ' 10
οὐκ ἐπορεύθην. ἐπειδὴ δ' ἧκον εἰς τὸ πίνειν, εἰσάγει
τιν' Ὀλυνθίαν γυναῖκα, εὐπρεπῆ μέν, ἐλευθέραν δὲ καὶ
197 σώφρονα, ὡς τὸ ἔργον ἐδήλωσεν. ταύτην τὸ μὲν πρῶτον
οὑτωσὶ πίνειν ἡσυχῇ καὶ τρώγειν ἠνάγκαζον οὗτοί μοι
δοκεῖ, ὡς διηγεῖτ' Ἰατροκλῆς ἐμοὶ τῇ ὑστεραίᾳ· ὡς δὲ 15
προῄει τὸ πρᾶγμα καὶ διεθερμαίνοντο, κατακλίνεσθαι
καί τι καὶ ᾄδειν ἐκέλευον. ἀδημονούσης δὲ τῆς ἀνθρώ-
που καὶ οὔτ' ἐθελούσης οὔτ' ἐπισταμένης, ὕβριν τὸ
πρᾶγμ' ἔφασαν οὑτοσὶ καὶ ὁ Φρύνων καὶ οὐκ ἀνεκτὸν
εἶναι, τῶν θεοῖς ἐχθρῶν, τῶν ἀλιτηρίων Ὀλυνθίων 20
αἰχμάλωτον οὖσαν τρυφᾶν· καὶ „κάλει παῖδα“, καὶ
„ἱμᾶντά τις φερέτω“. ἧκεν οἰκέτης ἔχων ῥυτῆρα, | καὶ 403

3 ἔπαινον καὶ θόρυβον VP 5 τὸν ante Ἀλέξανδρον om. VAP | ἀδελφὸν τοῦ φιλίππου VP 6 ἐξετάσομεν A^1 7 τοῦτο SAP: τούτου V τοσοῦτο Y | ἕτερον συμπόσιον post συμπόσιον add. S^dVAYP | τὸ τούτων VP 8 γενομενων S^1 | ὡς S^1: εἰ S s. v. γρ. S^dVAYP 9 τὸν υἱὸν del. Herwerden 10 τὸν φαιδίμου SAY: τοῦ φαιδίμου VP Φαιδρίαν nominat Xenoph. hist. Gr. II 3, 2 14 μοι om. F^1 15 δοκεῖ S: δοκεῖν VAYP 16 προηεῖτο A^1 20 alterum τῶν SA: τε καὶ VYP | ἀλητηρίων SP 21 καλεῖ A^1 corr. A^2 cum schol. βέλτιον παροξύνειν ἵνα ᾖ προστακτικόν | δὴ post κάλει add. S^d (?) F^1 (punctis notatum) QP corr. s. v. 22 ἧκεν] ἦλθεν A cf. § 139

πεπωκότων οἶμαι καὶ μικρῶν ὄντων τῶν παροξυνόντων, εἰπούσης τι καὶ δακρυσάσης ἐκείνης περιρρήξας τὸν χιτωνίσκον ὁ οἰκέτης ξαίνει κατὰ τοῦ νώτου πολλάς. ἔξω δ' αὑτῆς οὖσ' ὑπὸ τοῦ κακοῦ καὶ τοῦ πράγματος 198
5 *ἡ γυνή, ἀναπηδήσασα προσπίπτει πρὸς τὰ γόνατα τῷ Ἰατροκλεῖ καὶ τὴν τράπεζαν ἀνατρέπει. καὶ εἰ μὴ 'κεῖνος ἀφείλετο, ἀπώλετ' ἂν παροινουμένη· καὶ γὰρ ἡ παροινία τοῦ καθάρματος τουτουὶ δεινή. καὶ περὶ ταύτης τῆς ἀνθρώπου καὶ ἐν Ἀρκαδίᾳ λόγος ἦν ἐν τοῖς μυρίοις, καὶ*
10 *Διόφαντος ἐν ὑμῖν ἀπήγγελλεν ἃ νῦν μαρτυρεῖν αὐτὸν ἀναγκάσω, καὶ κατὰ Θετταλίαν πολὺς λόγος καὶ πανταχοῦ.*

Καὶ τοιαῦτα συνειδὼς αὑτῷ πεπραγμέν' ὁ ἀκάθαρτος 199 *οὗτος τολμήσει βλέπειν εἰς ὑμᾶς καὶ τὸν βεβιωμένον αὑτῷ βίον αὐτίκα δὴ μάλ' ἐρεῖ λαμπρᾷ τῇ φωνῇ· ἐφ'*
15 *οἷς ἔγωγ' ἀποπνίγομαι. οὐκ ἴσασιν οὗτοι τὸ μὲν ἐξ ἀρχῆς τὰς βίβλους ἀναγιγνώσκοντά σε τῇ μητρὶ τελούσῃ, καὶ παῖδ' ὄντ' ἐν θιάσοις καὶ μεθύουσιν ἀνθρώποις καλινδούμενον; μετὰ ταῦτα δὲ ταῖς ἀρχαῖς ὑπογραμ-* 200 *ματεύοντα καὶ δυοῖν ἢ τριῶν δραχμῶν πονηρὸν ὄντα;*
20 *τὰ τελευταῖα δ' ἔναγχος ἐν χορηγίοις ἀλλοτρίοις ἐπὶ τῷ τριταγωνιστεῖν ἀγαπητῶς παρατρεφόμενον; ποῖον οὖν ἐρεῖς βίον; ὃν οὐ βεβίωκας, ἐπεὶ ὅ γε βεβιωμένος σοι*

1 *πεπωκότας* Tournier 2 *δακρυσάσης*] *διακρουσάσης* A 3 *τοῦ* om. Suidas s. v. *φοινικίδα*, Blass 4 *αὑτῆς* F¹ *αυτῆς* A 7 *ἀφείλετο αὐτὴν* A 8 *τούτου* A 10 *ἀπήγγελλεν* SY: *ἀπήγγειλεν* VAP 12 *ἑαυτῶι* VAP | *συνειδὼς βεβιωμένα ἑαυτῷ* Hermog. III 339 W. (355, 12 R.) *συνειδὼς ἑαυτῷ* 340 (356, 5) 13 *οὑτοσὶ* VAP Hermog. | *βλέπειν*] *λέγειν γρ.* S^d 14 *αὑτῷ βίον* om. A | *λαμπρᾷ*] *μακρᾷ* plurimi Hermog. codd. 15 *ἀποπνειγομαι* S¹ | *οὐκ*] *κ* in ras. S 16 *βύβλους* A 17 *καὶ μεθύουσιν* om. A¹ add. ead. in mg. 19 *ἢ* VP: *καὶ* SAY cf. XXVII 9 20 *ἔναχος* Q¹ 22 *βίον;*] interrogandi signum posuit Cobet | *οὐ*]*ποῦ* Blass coll. XXV 77 qua mutatione recepta post *γε* inserendum esset *ἐνταῦθα* vel simile quid

τοιοῦτος φαίνεται. ἀλλὰ δὴ τὰ τῆς ἐξουσίας· οὗτος ἄλλον ἔκρινε παρ' ὑμῖν ἐπὶ πορνείᾳ. ἀλλὰ μήπω ταῦτα, ἀλλὰ τὰς μαρτυρίας μοι λέγε πρῶτον ταυτασί.

ΜΑΡΤΥΡΙΑΙ 404

201 Τοσούτων τοίνυν καὶ τοιούτων ὄντων ὦ ἄνδρες δι- 5 κασταί, ὧν ἀδικῶν ὑμᾶς ἐξελήλεγκται (ἐν οἷς τί κακὸν οὐκ ἔνι; δωροδόκος, κόλαξ, ταῖς ἀραῖς ἔνοχος, ψεύστης, τῶν φίλων προδότης, πάντ' ἔνεστι τὰ δεινότατα), πρὸς ἓν οὐδ' ὁτιοῦν τούτων ἀπολογήσεται, οὐδ' ἕξει δικαίαν οὐδ' ἁπλῆν εἰπεῖν ἀπολογίαν οὐδεμίαν. ἃ δ' ἐγὼ πέπυ- 10 σμαι μέλλειν αὐτὸν λέγειν, ἔστι μὲν ἐγγυτάτω μανίας, οὐ μὴν ἀλλ' ἴσως τῷ μηδὲν ἔχοντι δίκαιον ἄλλ' εἰπεῖν 202 ἀνάγκη πάντα μηχανᾶσθαι. ἀκούω γὰρ αὐτὸν ἐρεῖν ὡς ἄρ' ἐγὼ πάντων ὧν κατηγορῶ κοινωνὸς γέγονα, καὶ συνήρεσκεν ταῦτά μοι καὶ συνέπραττον αὐτῷ, ἔπειτ' 15 ἐξαίφνης μεταβέβλημαι καὶ κατηγορῶ. ἔστι δ' ὑπὲρ μὲν τῶν πεπραγμένων οὔτε δικαία οὔτε προσήκουσ' ἡ τοιαύτη ἀπολογία, ἐμοῦ μέντοι τις κατηγορία· ἐγὼ μὲν γάρ, εἰ ταῦτα πεποίηκα, φαῦλός εἰμ' ἄνθρωπος, τὰ δὲ πράγ- 203 ματ' οὐδὲν βελτίω διὰ τοῦτο, οὐδὲ πολλοῦ δεῖ. οὐ μὴν 20 ἀλλ' ἔγωγ' οἶμαί μοι προσήκειν ἀμφότερ' ὑμῖν ἐπιδεῖξαι, καὶ ὅτι ψεύσεται, ταῦτ' ἐὰν λέγῃ, καὶ τὴν δικαίαν ἥτις ἐστὶν ἀπολογία. ἡ μὲν τοίνυν δικαία καὶ ἁπλῆ, ἢ ὡς οὐ πέπρακται τὰ κατηγορημένα δεῖξαι, ἢ ὡς πεπραγμένα

1 τοιοῦτος ὢν A 2 πορνείωι ut vid. F[1] πορνίαι A[1] | μήπω ταῦτα ἀλλὰ om. A 4 ΜΑΡΤΥΡΙΑ F 6 κακὸν] κακων S (ο superscripto) κακῶν A 8 ἔνεστι om. VP 15 ἔπιτα A[1] 17 sq. ἡ τοιαύτη ἀπολογία] ἡ ἀπολογία αὕτη γρ. S[d] αὕτη ἀπολογία F[1]QP τοιαύτη secludendum coni. Weil 19 τ' αὐτὰ S 21 μοι om. A 22 ἥτις] εἴ τις P 23 ἀπολογία SA: ἀπολογία φεύξεται VYP ἀπολογίαν Dobree

συμφέρει τῇ πόλει. τούτων δ' οὐδέτερον δύναιτ' ἂν
οὗτος ποιῆσαι. οὔτε γὰρ ὡς συμφέρει δήπου Φωκέας 204
ἀπολωλέναι καὶ Πύλας Φίλιππον ἔχειν καὶ Θηβαίους
ἰσχύειν καὶ ἐν Εὐβοίᾳ στρατιώτας εἶναι καὶ Μεγάροις
5 ἐπιβουλεύειν καὶ ἀνώμοτον εἶναι τὴν εἰρήνην, ἔνεστι
405 λέγειν αὐτῷ, οἷς τότ' ἐναντί' ἀπήγ|γειλε πρὸς ὑμᾶς ὡς
συμφέροντα καὶ γενησόμενα· οὔθ' ὡς οὐ πέπρακται
ταῦτα, δυνήσεται πεῖσαι τοὺς αὐτοὺς ἑορακότας ὑμᾶς
καὶ εὖ εἰδότας. οὐκοῦν ὡς οὐ κεκοινώνηκα τούτοις οὐ- 205
10 δενός, λοιπόν μοι δεῖξαι. βούλεσθ' οὖν ὑμῖν, πάντα
τἄλλ' ἀφείς, ἃ παρ' ὑμῖν ἀντεῖπον, ἐν τῇ ἀποδημίᾳ προσέ-
κρουον, ὡς ἅπαντα τὸν χρόνον ἠναντίωμαι, αὐτοὺς παρά-
σχωμαι μάρτυρας τούτους ὅτι πάντα τἀναντί' ἐμοὶ καὶ
τούτοις πέπρακται, καὶ χρήμαθ' οὗτοι μὲν ἔχουσιν ἐφ'
15 ὑμῖν, ἐγὼ δ' οὐκ ἠθέλησα λαβεῖν; θεάσασθε δή.

Τίνα τῶν ἐν τῇ πόλει φήσαιτ' ἂν βδελυρώτατον εἶναι 206
καὶ πλείστης ἀναιδείας καὶ ὀλιγωρίας μεστόν; οὐδεὶς
οὐδ' ἂν ἁμαρτὼν ὑμῶν ἄλλον εὖ οἶδ' ὅτι φήσειεν ἢ
Φιλοκράτην. τίνα δὲ φθέγγεσθαι μέγιστον ἁπάντων καὶ
20 σαφέστατ' ἂν εἰπεῖν ὅ τι βούλοιτο τῇ φωνῇ; Αἰσχίνην
οἶδ' ὅτι τουτονί. τίνα δ' οὗτοι μὲν ἄτολμον καὶ δειλὸν
πρὸς τοὺς ὄχλους φασὶν εἶναι, ἐγὼ δ' εὐλαβῆ; ἐμέ· οὐ-

1 sq. δύναιτ' ἂν οὗτος ποιῆσαι] δύναται εἰπεῖν A 2 δήπου om. A 3 ἀπολωλεκέναι Y 5 ἀνώμοτον εἶναι] ἀνόνητον (vel ἀνήνυτον) εἶναι Dobree ὄνομα γεγονέναι Weil | ἔνεστι post αὐτῷ (v. 6) V ἐνέσται Herwerden 6 οἷς] ὃς Dobree | τότ' ἐναντία SY: τότε τἀναντία VAP 8 τοὺς om. Q 10 ἐμοὶ F¹QP 11 ἐν S¹Y: ἃ ἐν S corr. VAP 13 τούτους SA: τουτουσὶ VYP | ὅτι SAY: ὡς VP 14 super ἐφ' ὑμῖν scrips. καθ' ὑμῶν P rec. 15 θεάσασθαι S, sed αι in ras. (fuit ε)et superscr. ε 17 ὀλιγωρίας καὶ ἀναιδείας VAP 18 φήσειεν ἂν A 20 λαμπρᾷ τῇ φωνῇ A ex § 199

δὲν γὰρ πώποτ' οὔτ' ἠνώχλησα οὔτε μὴ βουλομένους
207 ὑμᾶς βεβίασμαι. οὐκοῦν ἐν πάσαις ταῖς ἐκκλησίαις, ὁσά-
κις λόγος γέγονεν περὶ τούτων, καὶ κατηγοροῦντος ἀκού-
ετέ μου καὶ ἐλέγχοντος ἀεὶ τούτους καὶ λέγοντος ἄντι-
κρυς ὅτι χρήματ' εἰλήφασι καὶ πάντα πεπράκασι τὰ 5
πράγματα τῆς πόλεως. καὶ τούτων οὐδεὶς πώποτ' ἀκούων
ταῦτ' ἀντεῖπεν οὐδὲ διῆρεν τὸ στόμα, οὐδ' ἔδειξεν ἑαυ-
208 τόν. τί ποτ' οὖν ἐστιν τὸ αἴτιον ὅτι οἱ βδελυρώτατοι
τῶν ἐν τῇ πόλει καὶ μέγιστον φθεγγόμενοι τοῦ καὶ
ἀτολμοτάτου πάντων ἐμοῦ καὶ οὐδενὸς μεῖζον | φθεγ- 406
γομένου τοσοῦτον ἡττῶνται; ὅτι τἀληθὲς ἰσχυρόν, καὶ 11
τοὐναντίον ἀσθενὲς τὸ συνειδέναι πεπρακόσιν αὐτοῖς τὰ
πράγματα. τοῦτο παραιρεῖται τὴν θρασύτητα τὴν τού-
των, τοῦτ' ἀποστρέφει τὴν γλῶτταν, ἐμφράττει τὸ στόμα,
209 ἄγχει, σιωπᾶν ποιεῖ. τὸ τοίνυν τελευταῖον ἴστε δήπου 15
πρῴην ἐν Πειραιεῖ, ὅτ' αὐτὸν οὐκ εἰᾶτε πρεσβεύειν,
βοῶνθ' ὡς εἰσαγγελεῖ με καὶ γράψεται καὶ ἰοὺ ἰού. καίτοι
ταῦτα μέν ἐστι μακρῶν καὶ πολλῶν ἀγώνων καὶ λόγων
ἀρχή, ἐκεῖνα δ' ἁπλᾶ καὶ δύ' ἢ τρί' ἴσως ῥήματα, ἃ κἂν
ἐχθὲς ἐωνημένος ἄνθρωπος εἰπεῖν ἠδυνήθη· „ἄνδρες 20
Ἀθηναῖοι, τουτὶ τὸ πρᾶγμα πάνδεινόν ἐστιν· οὑτοσὶ κατη-
γορεῖ ταῦτ' ἐμοῦ ὧν αὐτὸς κοινωνὸς γέγονεν, καὶ χρή-
ματ' εἰληφέναι φησὶν ἐμέ, αὐτὸς [εἰληφὼς ἢ] μετειληφώς“.

1 βουλόμενος Q 2 ἐβιασάμην A 5 τὰ πράγματα πεπράκασι A 9 πάντων τῶν VYP 11 ἰσχυρόν ἐστι VP 12 ἑαυτοῖς VAP 14 ἀποστρέφει VAP: ἀποστρέφεται SY 15 τελευται F[1] 16 οὐκ εἴων Weil 17 εἰσαγγέλλει SY εἰσαγγελλεῖ P 18 ταῦτα] τοιαῦτα Y[1] | ἐστι del. Weil 20 χθὲς F (χθ in ras.) QP[1] | ἠδυνήθη SAY: δυνηθείη ὦ VP 21 πρᾶγμα πάνδεινον] πρᾶγμ' ἅπαν δεινὸν Y 23 εἴληφεν Q[1] | εἰληφὼς ἢ secl. G. H. Schaefer | ἢ μετειληφώς om. B in fine versus, add. ead. secl. Reiske

τούτων μὲν τοίνυν οὐδὲν εἶπεν οὐδ' ἐφθέγξατο, οὐδ' 210
ἤκουσεν ὑμῶν οὐδείς, ἄλλα δ' ἠπείλει. διὰ τί; ὅτι ταῦτα
μὲν αὑτῷ συνῄδει πεπραγμένα, καὶ δοῦλος ἦν τῶν ῥημά-
των τούτων. οὔκουν προσῄει πρὸς ταῦθ' ἡ διάνοια, ἀλλ'
5 ἀνεδύετο· ἐπελαμβάνετο γὰρ αὐτῆς τὸ συνειδέναι. λοι-
δορεῖσθαι δ' ἄλλ' ἄττ' οὐδὲν ἐκώλυεν αὐτὸν οὐδὲ βλασφη-
μεῖν. ὃ τοίνυν μέγιστον ἁπάντων καὶ οὐ λόγος, ἀλλ' ἔργον· 211
βουλομένου γὰρ ἐμοῦ τὰ δίκαια, ὥσπερ ἐπρέσβευσα δίς,
οὕτω καὶ λόγον ὑμῖν δοῦναι δίς, προσελθὼν Αἰσχίνης
10 οὑτοσὶ τοῖς λογισταῖς ἔχων μάρτυρας πολλοὺς ἀπηγόρευε
μὴ καλεῖν ἔμ' εἰς τὸ δικαστήριον ὡς δεδωκότ' εὐθύνας
καὶ οὐκ ὄνθ' ὑπεύθυνον· καὶ τὸ πρᾶγμ' ἦν ὑπεργέλοιον.
407 τί οὖν ἦν τοῦτο; τῆς προτέρας ἐκείνης | πρεσβείας, ἧς
οὐδεὶς κατηγόρει, δοὺς λόγον οὐκέτ' ἐβούλετ' αὖθις εἰσ-
15 ιέναι περὶ ταύτης ἧς νῦν εἰσέρχεται, ἐν ᾗ πάντα τἀδική-
ματ' ἐνῆν· ἐκ δὲ τοῦ δὶς ἔμ' εἰσελθεῖν ἀνάγκη περιίστατο 212
καὶ τούτῳ πάλιν εἰσιέναι· διὰ ταῦτ' οὐκ εἴα καλεῖν. καί-
τοι τοῦτο τὸ ἔργον ὦ ἄνδρες Ἀθηναῖοι ἀμφότερ' ὑμῖν
ἐπιδείκνυσι σαφῶς, καὶ κατεγνωκόθ' ἑαυτοῦ τοῦτον,
20 ὥστε μηδενὶ νῦν ὑμῶν εὐσεβῶς ἔχειν ἀποψηφίσασθαι
αὐτοῦ, καὶ μηδὲν ἀληθὲς ἐροῦντα περὶ ἐμοῦ· εἰ γὰρ εἶχεν,
τότ' ἂν καὶ λέγων καὶ κατηγορῶν ἐξητάζετο, οὐ μὰ Δί'
οὐκ ἀπηγόρευε καλεῖν.

1 εἶπεν secl. Weidner | prius οὐδ'] οὐ Q[1] δὲ add. mg. 2 ὅτι] ὁ P[1] 3 ἑαυτῶι A 4 προσῄει] ει s. v. add. F rec. 5 εἶτ' ἐλαμβάνετο γρ. S[d] | γὰρ γρ. S[d]VAY: παρ S[1] del. Blass 6 ἄλλ' om. A | οὐδὲν marg. Morelii: οὐδεὶς SVAYP 7 τοίνυν] οι in ras. A | ἤδη post ἔργον add. A ex XXI 79? 12 ὑπεργελοῖον Q 14 κατηγορεῖ VAP rec. | οὐκέτι] οὐκ FP 17 ταῦτ'] τοῦτο QAP 19 αυτοῦ A 20 νῦν om. A Priscian. XVIII § 240 | ἡμῶν Q 22 εξηταξετο S[1] 23 μὴ ante καλεῖν add. Cobet cf. Stahlii Syntaxis verbi p. 791

213 Ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

Ἀλλὰ μὴν ἄν γέ τι ἔξω τῆς πρεσβείας βλασφημῇ περὶ ἐμοῦ, κατὰ πόλλ' οὐκ ἂν εἰκότως ἀκούοιτ' αὐτοῦ. οὐ γὰρ ἐγὼ κρίνομαι τήμερον, οὐδ' ἐγχεῖ μετὰ ταῦθ' ὕδωρ οὐ- 5 δεὶς ἐμοί. τί οὖν ἐστιν ταῦτα πλὴν δικαίων λόγων ἀπορία; τίς γὰρ ἂν κατηγορεῖν ἕλοιτο κρινόμενος, ἔχων ὅ τι ἀπολογήσεται; ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτ' ἄνδρες 214 δικασταί. εἰ ἐκρινόμην μὲν ἐγώ, κατηγόρει δ' Αἰσχίνης οὑτοσί, Φίλιππος δ' ἦν ὁ κρίνων, εἶτ' ἐγὼ μηδὲν ἔχων 10 εἰπεῖν ὡς οὐκ ἀδικῶ κακῶς ἔλεγον τουτονὶ καὶ προπηλακίζειν ἐπεχείρουν, οὐκ ἂν οἴεσθε καὶ κατ' αὐτὸ τοῦτ' ἀγανακτῆσαι τὸν Φίλιππον, εἰ παρ' ἐκείνῳ τοὺς ἐκείνου τις εὐεργέτας κακῶς λέγοι; μὴ τοίνυν ὑμεῖς χείρους γένησθε Φιλίππου, ἀλλ' ὑπὲρ ὧν ἀγωνίζεται, περὶ τού- 15 των ἀναγκάζετ' ἀπολογεῖσθαι. Λέγε τὴν μαρτυρίαν.

ΜΑΡΤΥΡΙΑ 408

215 Οὐκοῦν ἐγὼ μέν, ἐκ τοῦ μηδὲν ἐμαυτῷ συνειδέναι, καὶ λόγον διδόναι καὶ πάντα τἀκ τῶν νόμων ὑπέχειν ᾤμην δεῖν, οὗτος δὲ τἀναντία. πῶς οὖν ταὔτ' ἐμοὶ καὶ τούτῳ 20 πέπρακται; ἢ πῶς ἔνεστι τούτῳ ταῦτα πρὸς ὑμᾶς λέγειν, ἃ μηδ' ᾐτίαται πρότερον πώποτε; οὐδαμῶς δήπου. ἀλλ'

2 titulum ΜΑΡΤΥΡΕΣ post *μάρτυρας* add. SVAYP del. Felicianus 3 *ἐὰν* VP | *ἄν γ' ἔξω τι* Weil cf. § 192 | *βλασφημει?* S[1] 8 *σκοπεῖτε κἀκεῖνο* A cf. § 221 | *ὦ ἄνδρες* VAP 9 *δικασταὶ* om. P 9 sq. *κατηγόρει ... ἐγὼ* om. P[1] 11 *ὡς οὐκ*] *κωσου* S[1] 12 *κατα ταυτο τοῦτο* SQ[1]Y 14 *λέγοι* AP[4]: *λέγει* SVYP[1] 15 *γενησθαι* S[1] 16 *αναγκαζεται* S[1] *ἀναγκάζετε αὐτὸν* A 17 ΜΑΡΤΥΡΙΑΙ S 18 *μὲν* om. SY Bekk. anecd. p. 171, 14 | *τοῦ*] *τῶν* A[1] | *συνειδέναι δεινὸν* VP 19 *λόγον ἤθελον* A 20 *οὑτοσὶ* VP | *ταυτά μοι* S 21 *ταυτὰ* A[1] 22 *ᾐτίαται* SA: *ᾐτιᾶτο* VYP | *πρότερον* om. A

ὅμως ἐρεῖ, καὶ νὴ Δί' εἰκότως γε. ἴστε γὰρ δήπου τοῦθ',
ὅτι ἀφ' οὗ γεγόνασιν ἄνθρωποι καὶ κρίσεις γίγνονται,
οὐδεὶς πώποθ' ὁμολογῶν ἀδικεῖν ἑάλω, ἀλλ' ἀναισχυν-
τοῦσιν, ἀρνοῦνται, ψεύδονται, προφάσεις πλάττονται,
5 *πάντα ποιοῦσιν ὑπὲρ τοῦ μὴ δοῦναι δίκην. ὧν οὐδενὶ* 216
δεῖ παρακρουσθῆναι τήμερον ὑμᾶς, ἀλλ' ἀφ' ὧν ἴστ' αὐ-
τοὶ τὰ πράγματα κρῖναι, μὴ τοῖς ἐμοῖς λόγοις μηδὲ τοῖς
τούτου προσέχειν, μηδέ γε τοῖς μάρτυσιν, οὓς οὗτος
ἑτοίμους ἕξει μαρτυρεῖν ὁτιοῦν, Φιλίππῳ χορηγῷ χρώ-
10 *μενος (ὄψεσθε δ' ὡς ἑτοίμως αὐτῷ μαρτυρήσουσιν), μηδέ*
γ' εἰ καλὸν καὶ μέγ' οὗτος φθέγξεται, μηδ' εἰ φαῦλον
ἐγώ. οὐδὲ γὰρ ῥητόρων οὐδὲ λόγων κρίσιν ὑμᾶς τή- 217
μερον, εἴπερ εὖ φρονεῖτε, προσήκει ποιεῖν, ἀλλ' ὑπὲρ
πραγμάτων αἰσχρῶς καὶ δεινῶς ἀπολωλότων τὴν ὑπάρ-
15 *χουσαν αἰσχύνην εἰς τοὺς αἰτίους ἀπώσασθαι, τὰ πεπραγ-*
μένα, ἃ πάντες ἐπίστασθε, ἐξετάσαντας. τί οὖν ἐστιν
ταῦθ' ἃ ὑμεῖς ἴστε καὶ οὐ παρ' ἡμῶν ὑμᾶς ἀκοῦσαι δεῖ;
εἰ μὲν ἅπανθ' ὅσ' ὑπέσχονθ' ὑμῖν ἐκ τῆς εἰρήνης γέ- 218
γονεν, καὶ τοσαύτης ἀνανδρίας καὶ κακίας ὑμεῖς ὁμο-
20 *λογεῖτ' εἶναι μεστοί, ὥστε μήτ' ἐν τῇ χώρᾳ τῶν πολε-*
μίων ὄντων μήτ' ἐκ θαλάττης πολιορκούμενοι μήτ' ἐν
409 *ἄλλῳ μηδενὶ δεινῷ | τῆς πόλεως οὔσης, ἀλλὰ καὶ σῖτον*
εὔωνον ὠνούμενοι καὶ τἄλλ' οὐδὲν χεῖρον πράττοντες

1 *γε* om. A 7 *κρίνειν* A 8 *οὓς*] *οις* SY 9 *ἑτοίμως* F | *ὅτι οὐ* Y 11 *φθέγξεται* SAY: *φθέγγεται* VP 12 prius *οὐδὲ* S: *οὐ* VAYP 14 *τὴν* s. v. Y[2] 15 *ἀπώσασθαι* SF corr. AY: *ἀπώσασθε* F[1]QP 16 *ἃ πάντες*] *ἅπαντες* SY | *ἐξετάσαντας* A: *ἐξετάσαντες* SVYP | *τί* SY: *τίνα γρ.* S[d]VAP 17 *δεῖ;*] hic interrogandi signum habet Y (Herwerden), erat post *ταῦτα* 18 *μὲν γὰρ* VYP | *ὑπέσχονθ'* SY: *ὑπέσχεθ'* VP *ὑπέσχετε* A 19 *ἀνανδρειας* S | *ὁμολογεῖτε ὑμεῖς* VP 23 *ευονον* S[1]

219 ἢ νῦν, προειδότες καὶ προακηκοότες παρὰ τούτων καὶ τοὺς συμμάχους ἀπολουμένους καὶ Θηβαίους ἰσχυροὺς γενησομένους καὶ τἀπὶ Θρᾴκης Φίλιππον ληψόμενον καὶ ἐν Εὐβοίᾳ κατασκευασθησόμεν' ὁρμητήρι' ἐφ' ὑμᾶς καὶ πάνθ' ἃ πέπρακται γενησόμενα, εἶτα τὴν εἰρήνην 5 ἐποιήσασθ' ἀγαπητῶς, ἀποψηφίσασθ' Αἰσχίνου, καὶ μὴ πρὸς τοσούτοις αἰσχροῖς καὶ ἐπιορκίαν προσκτήσησθε (οὐδὲν γὰρ ὑμᾶς ἀδικεῖ, ἀλλ' ἐγὼ μαίνομαι καὶ τετύ-
220 φωμαι νῦν κατηγορῶν αὐτοῦ). εἰ δὲ πάντα τἀναντία τούτων καὶ πολλὰ καὶ φιλάνθρωπ' εἰπόντες, Φίλιππον φι- 10 λεῖν τὴν πόλιν, Φωκέας σώσειν, Θηβαίους παύσειν τῆς ὕβρεως, ἔτι πρὸς τούτοις μείζον' ἢ κατ' Ἀμφίπολιν εὖ ποιήσειν ὑμᾶς, ἐὰν τύχῃ τῆς εἰρήνης, Εὔβοιαν, Ὠρωπὸν ἀποδώσειν, εἰ ταῦτ' εἰπόντες καὶ ὑποσχόμενοι πάντ' ἐξηπατήκασιν καὶ πεφενακίκασιν καὶ μόνον οὐ τὴν Ἀτ- 15 τικὴν ὑμῶν περιῄρηνται, καταψηφίσασθε, καὶ μὴ πρὸς τοῖς ἄλλοις οἷς ὕβρισθε (οὐ γὰρ ἔγωγ' οἶδ' ὅ τι χρὴ λέγειν ἄλλο) καὶ ὑπὲρ ὧν οὗτοι δεδωροδοκήκασιν ὑμεῖς τὴν ἀρὰν καὶ τὴν ἐπιορκίαν οἴκαδ' εἰσενέγκησθε.

221 Ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτ' ὦ ἄνδρες δικασταί, τίνος 20 εἵνεκ' ἐγὼ μηδὲν ἠδικηκότων τούτων κατηγορεῖν ἂν προειλόμην. οὐ γὰρ εὑρήσετε. ἡδὺ πολλοὺς ἐχθροὺς ἔχειν; οὐδέ γ' ἀσφαλές. ἀλλ' ὑπῆρχέ μοι πρὸς τοῦτον ἀπέχθειά

1 παρὰ] περὶ A 3 γεγενημένους A 4 post καὶ 2 litt. eras. (τὰ?) Q καὶ iter. Y 6 ἐποιήσατε A 7 προσκτήσεσθε A 8 καὶ τετύφωμαι om. QP (add. γρ. Q γρ. P[4]) 9 δ' ἅπαντα VP 11 σώσειν QAP: σώσειν (ζ s. v.) F σωζειν SY 13 ἂν VP 15 οὐ] ουχὶ A 16 περιήρηντο S[1] παρήρηνται γρ. S[d] περιήιρηνται (πα s. v.) F | ante καταψηφ. καὶ eras. A | καταψηφισασθαι S[1] 17 ὕβρισθε in ras. A 19 εἰσενέγκησθε SA: ἀπενέγκησθε VYP 21 ἕνεκα VP 22 ευρησεται S 23 οὐδέ γ' S γρ. FAY: οὐδ' αὖ VP | μοι s. v. A[1]

τις; οὐδεμία. τί οὖν; „ἐφοβοῦ περὶ σαυτοῦ, καὶ διὰ δει-
λίαν ταύτην ἡγήσω σωτηρίαν.“ καὶ γὰρ ταῦτ' ἀκήκο'
αὐτὸν λέγειν. καίτοι μηδενός γ' ὄντος Αἰσχίνη δεινοῦ |
410 μηδ' ἀδικήματος, ὡς σὺ φῄς. εἰ γὰρ αὖ ταῦτ' ἐρεῖ, σκο-
5 πεῖτ' ἄνδρες δικασταί, εἰ ἐφ' οἷς ὁ μηδ' ὁτιοῦν ἀδικῶν
ἐφοβούμην ἐγὼ μὴ διὰ τούτους ἀπόλωμαι, τί τούτους
προσήκει παθεῖν τοὺς αὐτοὺς ἠδικηκότας; ἀλλ' οὐ διὰ
ταῦτα. ἀλλὰ διὰ τί σου κατηγορῶ; συκοφαντῶ νὴ Δία, 222
ἵν' ἀργύριον λάβω παρὰ σοῦ. καὶ πότερον κρεῖττον ἦν
10 μοι παρὰ Φιλίππου λαβεῖν, τοῦ διδόντος πολὺ καὶ μηδε-
νὸς τούτων ἔλαττον, καὶ φίλον κἀκεῖνον ἔχειν καὶ τούτους
(ἦσαν γὰρ ἄν, ἦσάν μοι φίλοι τῶν αὐτῶν κεκοινωνηκότι·
οὐδὲ γὰρ νῦν ἔχθραν πατρικὴν ἔχουσι πρός με, ἀλλ' ὅτι
τῶν πεπραγμένων οὐ μετέσχηκα), ἢ παρὰ τούτων ἀφ'
15 ὧν εἰλήφασι μεταιτεῖν, κἀκείνῳ τ' ἐχθρὸν εἶναι καὶ τού-
τοις; καὶ τοὺς μὲν αἰχμαλώτους ἐκ τῶν ἰδίων τοσούτων
χρημάτων λύεσθαι, μικρὰ δ' ἀξιοῦν παρὰ τούτων αἰ-
σχρῶς μετ' ἔχθρας λαμβάνειν; οὐκ ἔστι ταῦτα, ἀλλ' 223
ἀπήγγειλα μὲν τἀληθῆ καὶ ἀπεσχόμην τοῦ λαβεῖν τοῦ
20 δικαίου καὶ τῆς ἀληθείας εἵνεκα καὶ τοῦ λοιποῦ βίου,
νομίζων, ὥσπερ ἄλλοι τινὲς παρ' ὑμῖν, καὶ αὐτὸς ὢν
ἐπιεικὴς τιμήσεσθαι, καὶ οὐκ ἀνταλλακτέον εἶναί μοι τὴν

1 σεαυτοῦ VAP 3 καίτοι S corr. F γρ. QY corr. γρ. P[4]: καιτι S[1] καί τι QAY[1] καὶ τί P | γ' om. VP | αισχιν S[1] 4 αὖ VYP: ἀὖ S om. A 5 ὦ ἄνδρες VAP | δικασταί om. P | εἰ del. Seager ὃ ... ἀδικῶ Y 7 αὑτοὺς A 8 συκοφαντων ιδια S[1] 10 πολὺν S[1] 11 τουτουσὶ F[1] 12 ἂν om. A | μοι ante φίλοι SY: post φίλοι VP om. A 13 με SY: ἐμὲ VAP 15 καικείνωι F[1] | τούτους Y 17 λύεσθαι S γρ. FAY: λύσασθαι VP 20 ἕνεκα VAP 21 ὑμῖν,| Weil interpunxit 22 τιμήσεσθαι Weil: τιμηθήσεσθαι SVYP τιμηθήσεσθαι καὶ πλέον ἕξειν τῶν πολλῶν κατὰ τοῦτο A ex § 100

πρὸς ὑμᾶς φιλοτιμίαν οὐδενὸς κέρδους· μισῶ δὲ τούτους, ὅτι μοχθηροὺς καὶ θεοῖς ἐχθροὺς εἶδον ἐν τῇ πρεσβείᾳ, καὶ ἀπεστέρημαι καὶ τῶν ἰδίων φιλοτιμιῶν διὰ τὴν τούτων δωροδοκίαν πρὸς ὅλην δυσχερῶς ὑμῶν τὴν πρεσβείαν ἐσχηκότων· κατηγορῶ δὲ νυνὶ καὶ ἐπὶ τὰς 5 εὐθύνας ἥκω τὸ μέλλον προορώμενος, καὶ βουλόμενος ἀγῶνι καὶ δικαστηρίῳ μοι διωρίσθαι παρ' ὑμῖν ὅτι 224 τἀναντί' ἐμοὶ καὶ τούτοις πέπρακται. καὶ δέδοικα, δέδοικα (εἰρήσεται γὰρ | πάνθ' ἃ φρονῶ πρὸς ὑμᾶς) μὴ 411 τότε μὲν συνεπισπάσησθέ με τὸν μηδ' ὁτιοῦν ἀδικοῦντα, 10 νῦν δ' ἀναπεπτωκότες ἦτε. παντάπασι γὰρ ἄνδρες Ἀθηναῖοι ἐκλελύσθαι μοι δοκεῖτε καὶ παθεῖν ἀναμένειν τὰ δεινά, ἑτέρους δὲ πάσχοντας ὁρῶντες οὐ φυλάττεσθαι, οὐδὲ φροντίζειν τῆς πόλεως πάλαι κατὰ 225 πολλοὺς καὶ δεινοὺς τρόπους διαφθειρομένης. οὐκ οἴ- 15 εσθε δεινὸν εἶναι καὶ ὑπερφυές; (καὶ γὰρ εἴ τι σιωπᾶν ἐγνώκειν, λέγειν ἐξάγομαι.) ἴστε δήπου Πυθοκλέα τουτονὶ τὸν Πυθοδώρου. τούτῳ πάνυ φιλανθρώπως ἐκεχρήμην ἐγώ, καὶ ἀηδὲς ἐμοὶ καὶ τούτῳ γέγονεν εἰς τὴν ἡμέραν ταύτην οὐδέν. οὗτος ἐκτρέπεταί με νῦν ἀπαν- 20 τῶν, ἀφ' οὗ πρὸς Φίλιππον ἀφῖκται, κἂν ἀναγκασθῇ που συντυχεῖν, ἀπεπήδησεν εὐθέως, μή τις αὐτὸν ἴδῃ

1 οὐδενὸς] ante ς ras. S 2 μοχθηροὺς] υς in ras. maiore A 7 μοι δικαστηριωι S[1] lineolis corr. 9 ειρησετε S[1] | ἅπανθ' A 9 sq. μήποτε P[1] 10 μὲν] με omisso mox pronomine γρ. S[d] s. v. | τούτοις post μὲν add. γρ. S[d] VYP | συνεπισπασησθέμε etiam S 11 ὦ ἄνδρες VAP 12 ἐκλελύσθαι] υ in ras. A[2] | μοι om. A 14 φυλάττεσθαι SQA[1]: φυλάττεσθε FA[2]Y Hermog. III 234 W. (256, 13 R.) φυλάττεσθε^αι P sed alt. ε in ras. | φροντίζειν SAYP[2] s. v. φροντίζετε^ειν F φροντίζετε QP[1] 15 διαφθειρομένης SY: διεφθαρμένης A ἀδικουμένης VP 17 νῦν λέγειν VYP 20 ἀπαντων S[1] ἀπαντῶν S corr. ἀπάντων A[1] 22 εἴδῃ A[1]

λαλοῦντ' ἐμοί· μετὰ δ' Αἰσχίνου περιέρχεται τὴν ἀγορὰν
κύκλῳ καὶ βουλεύεται. οὐκοῦν δεινὸν ὦ ἄνδρες Ἀθη- 226
ναῖοι καὶ σχέτλιον τοῖς μὲν τὰ Φιλίππου πράγμαθ'
ᾑρημένοις θεραπεύειν οὕτως ἀκριβῆ τὴν παρ' ἐκείνου
5 πρὸς ἑκάτερ' αἴσθησιν ὑπάρχειν, ὥσθ' ἕκαστον, ὥσπερ
ἂν παρεστηκότος αὐτοῦ, μηδ' ὧν ἂν ἐνθάδε πράξῃ μηδὲν
ἡγεῖσθαι λήσειν, ἀλλὰ φίλους τε νομίζειν οὓς ἂν ἐκείνῳ
δοκῇ καὶ μὴ φίλους ὡσαύτως, τοῖς δὲ πρὸς ὑμᾶς ζῶσιν
καὶ τῆς παρ' ὑμῶν τιμῆς γλιχομένοις καὶ μὴ προδεδω-
10 κόσι ταύτην τοσαύτην κωφότητα καὶ τοσοῦτο σκότος
παρ' ὑμῶν ἀπαντᾶν, ὥστε τοῖς ἀλιτηρίοις τούτοις ἐξ
ἴσου νῦν ἔμ' ἀγωνίζεσθαι, καὶ ταῦτα παρ' ὑμῖν τοῖς
ἅπαντ' εἰδόσιν. βούλεσθ' οὖν εἰδέναι καὶ ἀκοῦσαι τὸ 227
412 τούτων αἴτιον; ἐγὼ δὴ φράσω, ἀξιῶ δὲ μηδὲν ἄχθεσθαί
15 μοι λέγοντι τἀληθῆ. ὅτι ἐκεῖνος μὲν ἓν οἶμαι σῶμ' ἔχων
καὶ ψυχὴν μίαν παντὶ θυμῷ καὶ φιλεῖ τοὺς ἑαυτὸν εὖ
ποιοῦντας καὶ μισεῖ τοὺς τἀναντία, ὑμῶν δ' ἕκαστος
πρῶτον μὲν οὔτε τὸν εὖ ποιοῦντα τὴν πόλιν αὐτὸν εὖ
ποιεῖν ἡγεῖται, οὔτε τὸν κακῶς ⟨κακῶς⟩, ἀλλ' ἕτερ' ἐστὶν 228
20 ἑκάστῳ προυργιαίτερα, ὑφ' ὧν παράγεσθε πολλάκις,
ἔλεος, φθόνος, ὀργή, χαρίσασθαι τῷ δεηθέντι, ἄλλα μυρία·

1 δ' om. A | κατὰ τὴν ἀγορὰν Cobet 2 καὶ σκοπεῖ add. post κύκλῳ S[d] post βουλεύεται VAYP om. S[1] 4 ἀκριβῶς P[1] 6 ἂν εἰ VAP | ἐνθαδε S[1] ut vid. VAYP: ἐνθαδὶ S corr. (nusquam ap. Dem.) 7 φίλους τε SY: φίλους γε VP καὶ φίλους A 9 τῆς] τοῖς (η supra) F τοῖς A 10 τοσοῦτον A τοιοῦτο P[1] ut vid. 11 ἀλητηρίοις SV[1] 14 δὲ om. Y | μηδὲν VYP[1]: μηδεν S μηδέν' AP corr. | ἄχθεσθαί] ἀχθεσθῆναί A, cf. X 54. XXI 58 15 λέγοντί μοι Y | οἶμαι F[1] in mg. | οἶμαι ἓν A 16 ἑαυτὸν om. A 18 πρῶτον μὲν om. VP secl. Reiske | ἑαυτὸν P 19 κακῶς add. Morelius 20 προυργιαίτερα] alterum ι in ras. S προυργιέτερα A, αι in mg. A[1] | παράγεσθαι A[1]Y

ἂν δ' ἄρ' ἅπαντά τις ἐκφύγῃ, ἀλλὰ τούς γ' οὐδένα βουλομένους εἶναι τοιοῦτον οὐ διαφεύξεται. ἡ δ' ἐφ' ἑκάστου τούτων ἁμαρτία κατὰ μικρὸν ὑπορρέουσα ἀθρόος τῇ πόλει βλάβη γίγνεται.

229 *Ὧν μηδὲν ὦ ἄνδρες Ἀθηναῖοι πάθητε τήμερον, μηδ'* 5 *ἀνῆτε τοῦτον ὃς ὑμᾶς τηλικαῦτ' ἠδίκηκεν. καὶ γὰρ ὡς ἀληθῶς τίς ἔσται λόγος περὶ ὑμῶν, εἰ τοῦτον ἀφήσετε; Ἀθήνηθεν ἐπρέσβευσάν τινες ὡς Φίλιππον τουτονί, Φιλοκράτης, Αἰσχίνης, Φρύνων, Δημοσθένης. τί οὖν; ὁ μὲν πρὸς τῷ μηδὲν ἐκ τῆς πρεσβείας λαβεῖν τοὺς αἰχμαλώ-* 10 *τους ἐκ τῶν ἰδίων ἐλύσατο, ὁ δ' ὧν τὰ τῆς πόλεως πράγματα χρημάτων ἀπέδοτο, τούτων πόρνας ἠγόραζεν καὶ*
230 *ἰχθῦς περιιών. καὶ ὁ μὲν τὸν υἱὸν ἔπεμψεν Φιλίππῳ, πρὶν εἰς ἄνδρας ἐγγράψαι, ὁ μιαρὸς Φρύνων, ὁ δ' οὐδὲν ἀνάξιον οὔτε τῆς πόλεως οὔθ' αὑτοῦ διεπράξατο. καὶ ὁ* 15 *μὲν χορηγῶν καὶ τριηραρχῶν ἔτι καὶ ταῦτ' ᾤετο δεῖν ἐθελοντὴς ἀναλίσκειν, λύεσθαι, μηδέν' ἐν συμφορᾷ τῶν πολιτῶν δι' ἔνδειαν περιορᾶν, ὁ δὲ | τοσούτου δεῖ τῶν* 413 *ὑπαρχόντων τιν' αἰχμάλωτον σῶσαι, ὥσθ' ὅλον τόπον καὶ πλεῖν ἢ μυρίους μὲν ὁπλίτας, ὁμοῦ δὲ χιλίους ἱπ-* 20 *πέας τῶν ὑπαρχόντων συμμάχων ὅπως αἰχμάλωτοι γέ-*
231 *νωνται Φιλίππῳ συμπαρεσκεύασεν. τί οὖν μετὰ ταῦτα;*

1 *δ' ἄρ'* G. H. Schaefer, Dobree: *γὰρ* SVAYP | *ἐκφύγῃ, ἀλλὰ* Cobet: *ἐκφύγηι τἄλλα* SVAYP 3 *ἀθρόος* FY: *αθρυος* S *ἀθρόος* QP^{1} (suprascr. *ω* P^{3}) *ἀθρόως* A 4 *γίνεται βλάβη* A 5 *ἄνδρες*
φ
om. P 6 *ανητε* SY: *ἀνῆτε* F *ἀφῆτε* QAP corr. *ἀφῆγε* P^{1} 7 *ἀφῆτε* A 8 *Φίλιππον τουτονί,*] *Φίλιππον· τούτων ἦν* Weil cf. XXIII 111. 121 15 *ἑαυτοῦ* A 17 *λύεσθαι* SV: secl. Cobet *λύεσθαι τοὺς αἰχμαλώτους γρ.* VAYP 18 *δι' ἔνδειαν* om. Q 19 *αἰχμαλώτων* A 20 *πλεῖν* S: *πλέον* A *πλείους* VYP 21 *ὑπαρχόντων* post Reiskium secl. Dobree 22 *ταῦθ'* Y

Ἀθηναῖοι λαβόντες (ᾔδεσαν μὲν γὰρ πάλαι· τί δέ;) τοὺς μὲν χρήματ' εἰληφότας καὶ δῶρα καὶ καταισχύναντας ἑαυτούς, τὴν πόλιν, τοὺς ἑαυτῶν παῖδας, ἀφεῖσαν καὶ νοῦν ἔχειν ἡγοῦντο καὶ τὴν πόλιν εὐθενεῖσθαι· τὸν δὲ
5 *κατηγοροῦντα τί; ἐμβεβροντῆσθαι, τὴν πόλιν ἀγνοεῖν, οὐκ ἔχειν ὅποι τὰ ἑαυτοῦ ῥίπτῃ. καὶ τίς ὦ ἄνδρες Ἀθηναῖοι τοῦτ' ἰδὼν τὸ παράδειγμα δίκαιον αὑτὸν παρασχεῖν ἐθελήσει; τίς προῖκα πρεσβεύειν, εἰ μήτε λαβεῖν μήτε τῶν εἰληφότων ἀξιοπιστότερον παρ' ὑμῖν εἶναι* 232
10 *δοκεῖν ὑπάρξει; οὐ μόνον κρίνετε τούτους τήμερον, οὔ, ἀλλὰ καὶ νόμον τίθεσθ' εἰς ἅπαντα τὸν μετὰ ταῦτα χρόνον, πότερον χρημάτων αἰσχρῶς ὑπὲρ τῶν ἐχθρῶν πρεσβεύειν ἅπαντας προσήκει ἢ προῖχ' ὑπὲρ ὑμῶν τὰ βέλτιστ' ἀδωροδοκήτως. ἀλλὰ μὴν περὶ τῶν ἄλλων οὐδενὸς* 233
15 *προσδεῖσθε μάρτυρος· ὡς δὲ τὸν υἱὸν ἔπεμψεν ὁ Φρύνων, κάλει μοι τούτων τοὺς μάρτυρας.*

Τοῦτον μὲν τοίνυν οὐκ ἔκρινεν Αἰσχίνης, ὅτι τὸν αὑτοῦ παῖδ' ἐπ' αἰσχύνῃ πρὸς Φίλιππον ἔπεμψεν. εἰ δέ τις ὢν ἐφ' ἡλικίας ἑτέρου βελτίων τὴν ἰδέαν, μὴ προϊδό-
20 *μενος τὴν ἐξ ἐκείνης τῆς ὄψεως ὑποψίαν, ἰταμώτερον*

1 *δέ* S[1]YP: *δή* S rec. Q *δὲ* (η supra) F *δαί* A[2] 3 *ἀφίεσαν* FYP[1] ut vid. 4 *εὐθενεῖσθαι*] *εὐθηνεῖσθαι* (*ει* in ras.) P *γρ.* *θε* P[3] Weilius aliam vocem requirit quae in antithesi stet cum *ἀγνοεῖν* 6 *ὅπου* A | *ῥιπτῆι* S rec. QA[1]P *ῥιπτεῖ* A corr. (*η* in ras. Y) 7 *τουτὶ* P | *ἰδὼν* post *τίς* v. 6 ponit P | *ἑαυτὸν* AP om. Q | *παρέχειν* AP 10 *οὐ* SAY[1]: *ὥστε οὐ* VY[2]P | *οὔ* post *τήμερον* om. YP 11 post *νόμον* 7—8 litt. eras. (*τίθεσθε* ut vid.) Y | *νόμον τούτοις* Y[1] et corr. P[1] | *τίθεσθαι* P *θεσθε* Y[1] 14 *περὶ μὲν* VAYP 15 *ὡς δὲ*] *ὥστε* A 16 *μοι* om. AP | *τούτου* Herwerden; deleverim cf. § 146. 162 | titulum ΜΑΡΤΥΡΕΣ post *μάρτυρας* in codd. additum del. Sauppe, cf. § 213 17 sqq. verba *Τοῦτον* ... 490, 2 *κέκρικεν* Nitsche post testimonium § 236 transponendum putat 18 *ἑαυτοῦ* A 19 *τὴν ἰδέαν* (*εἰδέαν* F[2]) *ἑτέρου βελτίων* VP | *προειδόμενος* FAYP[4]

τῷ μετὰ ταῦτ᾽ ἐχρήσατο βίῳ, τοῦτον | ὡς πεπορνευμένον 414
κέκρικεν.

234 Φέρε δὴ περὶ τῆς ἑστιάσεως καὶ τοῦ ψηφίσματος εἴπω·
μικροῦ γ᾽, ἃ μάλιστά μ᾽ ἔδει πρὸς ὑμᾶς εἰπεῖν, παρῆλ-
θον. τῆς πρώτης ἐκείνης πρεσβείας γράφων τὸ προ- 5
βούλευμ᾽ ἐγὼ καὶ πάλιν ἐν τῷ δήμῳ ταῖς ἐκκλησίαις, ἐν
αἷς ἐμέλλετε βουλεύεσθαι περὶ τῆς εἰρήνης, οὐδενὸς οὔτε
λόγου πω παρὰ τούτων οὔτ᾽ ἀδικήματος ὄντος φανεροῦ,
τὸ νόμιμον [ἔθος] ποιῶν, καὶ ἐπῄνεσα τούτους καὶ εἰς
235 πρυτανεῖον ἐκάλεσα. καὶ νὴ Δί᾽ ἔγωγε καὶ τοὺς παρὰ 10
τοῦ Φιλίππου πρέσβεις ἐξένισα, καὶ πάνυ γ᾽ ὦ ἄνδρες
Ἀθηναῖοι λαμπρῶς· ἐπειδὴ γὰρ ἑώρων αὐτοὺς καὶ ἐπὶ
τοῖς τοιούτοις ἐκεῖ σεμνυνομένους ὡς εὐδαίμονας καὶ λαμ-
προύς, εὐθὺς ἡγούμην ἐν τούτοις πρῶτον αὐτὸς περιεῖναι
δεῖν αὐτῶν καὶ μεγαλοψυχότερος φαίνεσθαι. ταῦτα δὴ 15
παρέξεται νῦν οὗτος λέγων ὡς „αὐτὸς ἐπῄνεσεν ἡμᾶς“,
236 „αὐτὸς εἱστία τοὺς πρέσβεις“, τὸ πότ᾽ οὐ διορίζων. ἔστιν
δὲ ταῦτα πρὸ τοῦ τὴν πόλιν ἠδικῆσθαί τι καὶ φανεροὺς
τούτους πεπρακότας αὑτοὺς γενέσθαι, ὅτ᾽ ἄρτι μὲν ἧκον
οἱ πρέσβεις τὸ πρῶτον, ἔδει δ᾽ ἀκοῦσαι τὸν δῆμον τί 20
λέγουσιν, οὐδέπω δ᾽ οὔθ᾽ οὗτος συνερῶν δῆλος ἦν τῷ

1 μεταῦτα P^{1} | πεπορνευμένον] post πε 2 post ευ 1 litt. eras. F 4 μεδει S με δεῖ VYP ἔδει A | παρῆλθον SVAP^{1}: παρῆλθεν YP^{4} cf. XXI 110; cur non: *paene praeterii?* 6 ἐν ταῖς A | ⟨πρὶν γενέσθαι⟩ τὰς ἐκκλησίας Weil 7 ἠμέλλετε A | βουλευεσθε S 9 τὸ νόμιμον Weil: τὸ νόμιμον ἔθος SV τὸ κοινὸν ἔθος γρ. S^{d} γρ. VA τὸ κοινὸν νόμιμον P^{1} τὸ κοινὸν νόμιμον ἔθος YP^{4} 10 τὸ πρυτανεῖον F corr. QAYP | καὶ ante τοὺς om. A 11 post ἐξένισα nihil eras. in S teste Rabe 12 καὶ om. A 14 πρῶτος VYP | αὐτὸς SVYP: om. A 15 αὐτῶν] αὐτὸν Y 16 παρέξεται SV γρ. P^{2}: πράξει A παράξει YP^{1} 17 καὶ αὐτὸς VY καὶ ὡς αὐτὸς P | ιστια S 19 ἑαυτοὺς P 20 ἀκοῦσαι δὲ ἔδει VP 21 οὐδέποτε ut vid. A^{1} | συναίρων A

Φιλοκράτει οὔτ' ἐκεῖνος τοιαῦτα γράψων. ἂν δὴ ταῦτα λέγῃ, μέμνησθε τοὺς χρόνους ὅτι τῶν ἀδικημάτων εἰσὶν πρότεροι. μετὰ ταῦτα δ' οὐδὲν ἐμοὶ πρὸς τούτους οἰκεῖον οὐδὲ κοινὸν γέγονεν. Λέγε τὴν μαρτυρίαν.

5 ΜΑΡΤΥΡΙΑ

Ἴσως τοίνυν ἀδελφὸς αὐτῷ συνερεῖ Φιλοχάρης καὶ 237
415 *Ἀφόβητος· πρὸς οὓς ἀμφοτέρους ὑμῖν πολλὰ | καὶ δίκαι' ἔστιν εἰπεῖν. ἀνάγκη δ' ὦ ἄνδρες Ἀθηναῖοι μετὰ παρρησίας διαλεχθῆναι, μηδὲν ὑποστελλόμενον. ἡμεῖς, Ἀφό-*
10 *βητε καὶ σὺ Φιλόχαρες, σὲ μὲν τὰς ἀλαβαστοθήκας γράφοντα καὶ τὰ τύμπανα, τούτους δ' ὑπογραμματέας καὶ τοὺς τυχόντας ἀνθρώπους (καὶ οὐδεμιᾶς κακίας ταῦτα, ἀλλ' οὐ στρατηγίας γ' ἄξια) πρεσβειῶν, στρατηγιῶν, τῶν μεγίστων τιμῶν ἠξιώσαμεν. εἰ τοίνυν μηδὲν ὑμῶν* 238
15 *ἠδίκει μηδείς, οὐχ ἡμεῖς χάριν ὑμῖν οὐδενός, ἀλλ' ὑμεῖς ἡμῖν δικαίως ἂν ἔχοιτε τούτων· πολλοὺς γὰρ ὑμῶν μᾶλλον ἀξίους τιμᾶσθαι παρέντες ἡμεῖς ὑμᾶς ἐσεμνύνομεν. εἰ δὲ δὴ καὶ ἐν αὐτοῖς οἷς ἐτιμᾶσθ' ἠδίκηκέν τις ὑμῶν, καὶ ταῦτα τοιαῦτα, πόσῳ μᾶλλον ἂν μισοῖσθε δικαίως ἢ*
20 *σῴζοισθε; ἐγὼ μὲν οἶμαι πολλῷ. βιάσονται τοίνυν ἴσως, μεγαλόφωνοι καὶ ἀναιδεῖς ὄντες, καὶ τὸ „συγγνώμη ἀδελ-*

1 *τοιαῦτα ἐκεῖνος* AP | *γράφων* AP[1] 2 *μεμνῆσθαι* A 6 *συνείρει* F[1] 9 *ὑποστελλόμενον* S *γρ.* FQY: *ὑποστειλάμενον* AP ex IV 51? *ὑποκρινόμενον* F text. | *ὑμεῖς* A corr. 10 *φιλοχαρης* S[1] | *ἴσμεν σὲ μὲν* VY ante *σὲ* ras. 5—6 litt. P | *ἀλαβαστοθήκας* Harpocrat. Bekk. anecd. p. 375: *ἀλαβαστροθήκας* SVAYP 13 *οὐ* S: *οὐδὲ* VAYP | *στρατηγίας γ'*] *γ'* eras. S *γε στρατηγίας* A 14 *ὑμῶν μηδὲν* P 16 *εἴχετε* AP[1] (*ἔχοιτε γρ.* P[3]) 19 *πόσῳ*] *πῶς οὐ* A | *μισοῖσθ' ἂν διὰ ταῦτα δικαίως* Hermog. III 347 W. (362, 11 R.) et *διὰ ταῦτα* om. 352 (367, 22) | *ἢ σῴζοισθε* SVYP Hermog.: *ἢ σῴζεσθε* A del. Cobet 21 *συγγνώμη* Felicianus: *συγγνώμην* SVAYP (etiam B)

239 φῷ βοηθεῖν“ προσειληφότες. ὑμεῖς δὲ μὴ ἡττᾶσθε, ἐκεῖν’
ἐνθυμούμενοι, ὅτι τούτοις μὲν τούτου προσήκει φροντί-
ζειν, ὑμῖν δὲ τῶν νόμων καὶ ὅλης τῆς πόλεως καὶ παρὰ
πάντα τῶν ὅρκων, οὓς αὐτοὶ κάθησθ’ ὀμωμοκότες. καὶ
γὰρ εἰ τινῶν δεδέηνται τουτονὶ σῴζειν, πότερ’ ἂν μηδὲν 5
ἀδικῶν φαίνηται τὴν πόλιν ἢ κἂν ἀδικῶν, σκοπεῖτε. εἰ
μὲν γὰρ ἂν μή, κἀγώ φημι δεῖν, εἰ δ’ ὅλως κἂν ὁτιοῦν,
ἐπιορκεῖν δεδέηνται. οὐ γὰρ εἰ κρύβδην ἐστὶν ἡ ψῆφος,
λήσει τοὺς θεούς, ἀλλὰ τοῦτο καὶ πάντων ἄρισθ’ ὁ τι-
θεὶς τὸν νόμον εἶδεν [τὸ κρύβδην ψηφίζεσθαι], ὅτι τού- 10
των μὲν οὐδεὶς εἴσεται τὸν ἑαυτῷ κεχαρισμένον ὑμῶν,
οἱ θεοὶ δ’ εἴσονται καὶ τὸ δαιμό|νιον τὸν μὴ τὰ δίκαια 416
240 ψηφισάμενον. παρ’ ὧν κρεῖττόν ἐστιν ἑκάστῳ τὰς ἀγαθὰς
ἐλπίδας τοῖς παισὶ καὶ ἑαυτῷ, τὰ δίκαια γνόντα καὶ τὰ
προσήκοντα, περιποιήσασθαι ἢ τὴν ἀφανῆ καὶ ἄδηλον 15
χάριν τούτοις καταθέσθαι, καὶ ἀφεῖναι τοῦτον ὃς αὐτὸς
ἑαυτοῦ καταμεμαρτύρηκεν. τίνα γὰρ Αἰσχίνη μάρτυρα
μείζω παράσχωμαι τοῦ πολλὰ καὶ δεινὰ πεπρεσβεῦσθαί
σοι ἢ σὲ κατὰ σαυτοῦ; ὃς γὰρ ᾠήθης χρῆναι τὸν φανε-
ρόν τι ποιῆσαι βουληθέντα τῶν σοὶ πεπρεσβευμένων 20
τηλικαύτῃ καὶ τοιαύτῃ συμφορᾷ περιβαλεῖν, δῆλον ὅτι
δεινὸν ἄν τι παθεῖν σαυτὸν ἤλπιζες, εἰ πύθοινθ’ οὗτοι
τὰ πεπραγμένα σοι.

241 Τοῦτο τοίνυν, ἄνπερ ὑμεῖς εὖ φρονῆτε, καθ’ αὑτοῦ

1 ἡμεῖς Q | ηττασθαι S^1 2 ἐνθυμηθέντες A | τούτοις] τουτους S^1Y 7 ἂν μὴ SA: μὴ ἀδικῶν VYP 8 οὐδὲ γὰρ A 10 εἶδεν om. Y^1 add. Y^2 | τὸ (τοῦ A) κρύβδην ψηφίζεσθαι del. Herwerden | διὰ τί; ante ὅτι add. γρ. S^dVAYP 11 ἐν̈ ἑαυτῶι F 16 τούτοις χάριν P 17 καταμεμαρτύρηκεν] alterum α in ras. A | μάρτυρα αἰσχίνη P | μαρτυρία Y^1 19 σεαυτοῦ VAP 21 περιβάλλειν A 22 σεαυτὸν P 24 ἐάνπερ A | φρονειτε S^1 | καταυτοῦ A

συμβήσεται τούτῳ πεπρᾶχθαι, οὐ μόνον κατὰ τοῦθ' ὅτι
παμμέγεθες σημεῖόν ἐστι τῶν πεπρεσβευμένων, ἀλλ' ὅτι
καὶ κατηγορῶν ἐκείνους τοὺς λόγους εἶπεν οἳ κατ' αὐ-
τοῦ νῦν ὑπάρχουσιν· ἃ γὰρ ὡρίσω σὺ δίκαια, ὅτε Τίμαρ-
5 χον ἔκρινες, ταὐτὰ δήπου ταῦτα καὶ κατὰ σοῦ προσήκει
τοῖς ἄλλοις ἰσχύειν. ἔλεγεν τοίνυν τότε πρὸς τοὺς δικα- 242
στὰς ὅτι „ἀπολογήσεται δὲ Δημοσθένης ὑπὲρ αὐτοῦ καὶ
κατηγορήσει τῶν ἐμοὶ πεπρεσβευμένων· εἶτ', ἐὰν ὑμᾶς Aesch. I 175
ἀπαγάγῃ τῷ λόγῳ, νεανιεύσεται καὶ περιιὼν ἐρεῖ· πῶς τι
10 τοὺς δικαστὰς ἀπαγαγὼν ἀπὸ τῆς ὑποθέσεως ᾠχόμην τὸ
πρᾶγμ' αὐτῶν ὑφελόμενος;“ μὴ σύ γε, ἀλλ' ὑπὲρ ὧν
ἀγωνίζῃ, περὶ τούτων ἀπολογοῦ· τότε δ', ἡνίκ' ἐκεῖνον
ἔκρινες, ἐξῆν σοι κατηγορεῖν καὶ λέγειν ὅ τι ἐβούλου.

Ἀλλὰ μὴν καὶ ἔπη τοῖς δικασταῖς ἔλεγες, οὐδένα μάρ- 243
417 τυρ' ἔχων | ἐφ' οἷς ἔκρινες τὸν ἄνθρωπον παρασχέσθαι·

16 φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ Hesiod. oper. 761
πολλοὶ φημίξωσι· θεός νύ τίς ἐστι καὶ αὐτή.

οὐκοῦν Αἰσχίνη καὶ σὲ πάντες οὗτοι χρήματ' ἐκ τῆς
πρεσβείας φασὶν εἰληφέναι, ὥστε καὶ κατὰ σοῦ δήπου-
20 θεν „φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ
πολλοὶ φημίξωσι“. ὅσῳ γὰρ αὖ σὲ πλείους ἢ 'κεῖνον αἰ- 244

1 τούτῳ] τουτο Y | τουτοτι S[1]Y[1] (ut vid.) 2 σημεῖον] om. S[1] add. S[d] post ἐστι habet Y 4 ὑπάρχουσιν SQ: ὑπάρξουσιν FAYP | οριϲω S[1] 5 ταὐτὰ] ταυτα S ταῦτα FY 6 τότε om. A 8 ἂν VP 9 περὶ ὧν Y | πῶς τι G. H. Schaefer: πῶς; τί; Reiske πῶς τι; Voemel 11 ἀφελόμενος P[1] | ὑπὲρ] περὶ F mg. 12 περὶ SQAY γρ. P: ὑπὲρ FP[1] | τότε] τοῦτο A[1] 14 ἔπη QP[3] Weil: ἐπι SFAYP[1] | post οὐδένα 2 litt. eras. Q 16 πάμπαν] παμ postea add. S 17 φημίξουσι A φημίξασιν P corr. 21 φημίξασιν P corr. φημίξουσι· θεός νύ τις ἐστι καὶ αυτή A

τιῶνται, θεώρησον † ὡς εἴσῃ. τὸν μὲν Τίμαρχον οὐδ' οἱ πρόσχωροι πάντες ἐγίγνωσκον, ὑμᾶς δὲ τοὺς πρέσβεις οὐδεὶς Ἑλλήνων οὐδὲ βαρβάρων ἔσθ' ὅστις οὔ φησι χρήματ' ἐκ τῆς πρεσβείας εἰληφέναι. ὥστ', εἴπερ ἐστ' ἀληθὴς ἡ φήμη, καθ' ὑμῶν ἐστιν ἡ παρὰ τῶν πολλῶν, ἣν 5 *ὅτι πιστὴν εἶναι δεῖ καὶ „θεός νύ τίς ἐστι καὶ αὐτή", καὶ ὅτι σοφὸς ἦν ὁ ποιητὴς ὁ ταῦτα ποιήσας, σὺ διώρισας αὐτός.*

245 *Ἔτι τοίνυν ἰαμβεῖα δήπου συλλέξας ἐπέραινεν, οἷον*

Aesch. I 152

ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ, 10
οὐ πώποτ' ἠρώτησα, γιγνώσκων ὅτι
τοιοῦτός ἐστιν οἷσπερ ἥδεται ξυνών.

εἶτα „τὸν εἰς τοὺς ὄρνεις εἰσιόντα καὶ μετὰ Πιτταλάκου περιιόντα", καὶ τοιαῦτ' εἰπών, „ἀγνοεῖτ'", ἔφη, „ποῖόν τιν' ἡγεῖσθαι δεῖ;" οὐκοῦν Αἰσχίνῃ καὶ κατὰ σοῦ τὰ 15 *ἰαμβεῖα ταῦθ' ἁρμόσει νῦν ἐμοί, κἂν ἐγὼ λέγω πρὸς τούτους, ὀρθῶς καὶ προσηκόντως ἐρῶ· „ὅστις δ' ὁμιλῶν ἥδεται", καὶ ταῦτα πρεσβεύων, Φιλοκράτει, „οὐ πώποτ' ἠρώ-*

1 *ὡς εισтηι* S¹ *ως εισηι* S corr. Blass commate post *θεώρησον* posito (*statim enim scies*) *ὡς ἔχει γρ.* S^d VAYP *ὧδ' εἴσει* deleto *θεώρησον* Cobet (*ὧδε* nusquam ap. Dem.); verba nondum sanata; cum *θεώρησον* nullo pacto coniungi possunt. num ⟨*ἐρῶ δ'*⟩ *ὡς εἴσῃ*? cf. IX 55. XXI 160. 4 *ἐστ'*] *ἐστιν* A om. VP 5 *καὶ καθ'* VAP 8 *αὐτὸν* A¹ 9 *ἰαμβεῖα*] *ει* in ras. F *ἰάμβια* Q *ἰαμβία* A item v. 16 et p. 495, 5. 11 | *δήπου* om. A Gregor. Cor. VII 1322, 15 W. 11 sq. *οὐ ... ξυνὼν* in tractatu rhet. pap. Oxyrh. III 410, 103 sqq. (II saec. p. Chr.) 12 *οιπερ* S¹ *ἐσθ' οἷοισπερ* H. Wolf, sed etiam pap. *εστιν ...... ηδ.* 13 *τὸν*] *τῶν* A¹ | *τοὺς* SVP⁴: *τὰς* AYP¹ Gregor. | *ὄρνις* F corr. Gregor. 16 sq. *τούτους ὀρθῶς* Y habet ab alt. m. (om. *ὀρθῶς* ut vid. Y¹) 17 *καὶ προσηκόντως* om. A Gregor. | *προσηκόντως*] *ω* in ras. F 18 *καὶ* om. Hermog. III 437 W. (447, 21 R.) | *ταυτὰ* VYP⁴ Hermog. om. Gregor.

τησα, γιγνώσκων ὅτι“ ἀργύριον εἴληφ' οὗτος, ὥσπερ Φιλοκράτης ὁ ὁμολογῶν.

Λογογράφους τοίνυν καὶ σοφιστὰς καλῶν τοὺς ἄλλους 246
418 *καὶ ὑβρίζειν πει|ρώμενος, αὐτὸς ἐξελεγχθήσεται τούτοις*
5 *ὧν ἔνοχος. ταῦτα μὲν γὰρ τὰ ἰαμβεῖ' ἐκ Φοίνικός ἐστιν* fr. 809 N
Εὐριπίδου· τοῦτο δὲ τὸ δρᾶμ' οὐδεπώποτ' οὔτε Θεόδωρος οὔτ' Ἀριστόδημος ὑπεκρίναντο, οἷς οὗτος τὰ τρίτα λέγων διετέλεσεν, ἀλλὰ Μόλων ἠγωνίζετο καὶ εἰ δή τις ἄλλος τῶν παλαιῶν ὑποκριτῶν. Ἀντιγόνην δὲ Σοφο-
10 *κλέους πολλάκις μὲν Θεόδωρος, πολλάκις δ' Ἀριστόδημος ὑποκέκριται, ἐν ᾗ πεποιημέν' ἰαμβεῖα καλῶς καὶ συμφερόντως ὑμῖν πολλάκις αὐτὸς εἰρηκὼς καὶ ἀκριβῶς ἐξεπιστάμενος παρέλιπεν. ἴστε γὰρ δήπου τοῦθ', ὅτι ἐν* 247
πᾶσι τοῖς δράμασι τοῖς τραγικοῖς ἐξαίρετόν ἐστιν ὥσπερ
15 *γέρας τοῖς τριταγωνισταῖς τὸ τοὺς τυράννους καὶ τοὺς τὰ σκῆπτρ' ἔχοντας εἰσιέναι. ταῦτα τοίνυν ἐν τῷ δράματι τούτῳ σκέψασθ' ὁ Κρέων Αἰσχίνης οἷα λέγων πεποίηται τῷ ποιητῇ, ἃ οὔτε πρὸς αὐτὸν οὗτος ὑπὲρ τῆς πρεσβείας διελέχθη οὔτε πρὸς τοὺς δικαστὰς εἶπεν.*
20 *Λέγε.*

1 *εἴληφεν* VA Gregor. 2 *ὁ* om. VAP Hermog. *ὁ ὁμολογῶν* om. Gregor. at cf. id. v. 14 (habebat codicem classis A) del. Herwerden 3 *τοίνυν* SVAY *γρ.* P[3]: *γὰρ* P[1] | *ἀποκαλῶν* VAYP 5 *τὰ* om. Y[1] | *Φοίνικος*] *οιν* in ras. A 6 *οὐδὲ* A 7 *ὑπεκρίνατο* AP Gregor. p. 1241, 5 8 *εἰ* om. Y[1] 10 *πολλάκις μὲν Θεόδωρος* om. F[1] add. in mg. 11 *ὑποκέκριται*] *ὑποκέκρινται* Y *ὑπεκρίνατο* *γρ.* S[d] *γρ.* QAP Gregor. p. 1241, 9 12 *ἡμῖν* F[1] | *αὐτὸς* SY: *οὗτος* VAP om. Gregor. 13 *παρέλιπεν* VYP: om. S[1] *παρέλειπεν* S[d] *ὑπερέβη* A Gregor. p. 1241, 11 (ex § 260) 14 *πᾶσι* VP: *ἅπασι(ν)* SAY 15 *γέρας τι* V 16 *ταῦτα τοίνυν ἐν* SVYP: *ἐν τοίνυν* *γρ.* S[d] *γρ.* VA Gregor. 18 *ὑπὲρ* SFAY *γρ.* P[4]: *περὶ* QP[1] 19 *διελεγχθῇ* S[1]

ΙΑΜΒΕΙΑ ΣΟΦΟΚΛΕΟΥΣ

ΕΞ ΑΝΤΙΓΟΝΗΣ

175 sqq.

ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ. 5
ἐμοὶ γὰρ ὅστις πᾶσαν εὐθύνων πόλιν
μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
καὶ μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας | 419
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω. 11
ἐγὼ γάρ, ἴστω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεί,
οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
στείχουσαν ἀστοῖς ἀντὶ τῆς σωτηρίας,
οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς 15
θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων ὅτι
ἥδ' ἐστὶν ἡ σῴζουσα, καὶ ταύτης ἔπι
πλέοντες ὀρθῆς τοὺς φίλους ποιούμεθα.

248 *Τούτων οὐδὲν Αἰσχίνης εἶπεν πρὸς αὑτὸν ἐν τῇ πρεσβείᾳ, ἀλλ' ἀντὶ μὲν τῆς πόλεως τὴν Φιλίππου ξενίαν* 20 *καὶ φιλίαν πολλῷ μείζον' ἡγήσαθ' αὑτῷ καὶ λυσιτελεστέραν, ἐρρῶσθαι πολλὰ φράσας τῷ σοφῷ Σοφοκλεῖ, τὴν*

1 ΙΑΜΒΙΑ F in text. (εῖα mg.) QA 1 ΣΟΦΟΚΛΕΟΥΣ ... 18 ποιούμεθα om. A versibus inter scholia positis 4 post prius καὶ 2 litt. eras. F 7 ἅπτηται A 8 του] τοι S[1] 10 μειζων S μεῖζον YP[1] 11 λέγων S corr. 12 ἴστω] ισθ' ο S ἴσθ' ὦ Y 14 στίχουσαν SF[1]QA[2]Y[1]P[1] | ἀστοῖς] ἄσσον orator legisse videtur Dobraeo coll. § 248 ὁμοῦ 15 δυσμενῆ] συμμάχου A 16 γινώσκων S[1]Q[1]AP[1] 17 ἐστὶν ἡ] εστι S[1] ἔστι ἡ Y[1] 18 ὀρθῶς A 19 οὐδὲν om. Y[1] add. Y[2] | αἰσχίνης οὐδὲν A Gregor. | ἑαυτὸν P αυτὸν A 21 φιλίαν] ιαν in ras. S

δ' ἄτην ὁρῶν στείχουσαν ὁμοῦ, τὴν ἐπὶ Φωκέας στρατείαν, οὐ προεῖπεν οὐδὲ προεξήγγειλεν, ἀλλὰ τοὐναντίον συνέκρυψεν καὶ συνέπραξεν καὶ τοὺς βουλομένους εἰπεῖν διεκώλυσεν, οὐκ ἀναμνησθεὶς ὅτι „ἥδ' ἐστὶν ἡ σῴ- 249
5 ζουσα καὶ ταύτης ἔπι“ τελοῦσα μὲν ἡ μήτηρ αὐτοῦ καὶ καθαίρουσα καὶ καρπουμένη τὰς τῶν χρωμένων οὐσίας ἐξέθρεψε τοσούτους τουτουσί, διδάσκων δ' ὁ πατὴρ γράμματα, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, πρὸς τῷ τοῦ ἥρω τοῦ ἰατροῦ, ὅπως ἠδύνατο, ἀλλ' οὖν ἐν ταύτῃ γ' ἔζη,
10 ὑπογραμματεύοντες δ' αὐτοὶ καὶ ὑπηρετοῦντες ἁπάσαις ταῖς ἀρχαῖς ἀργύριον εἰλήφεσαν, καὶ τὸ τελευταῖον ὑφ' ὑμῶν γραμματεῖς χειροτονηθέντες δύ' ἔτη διετράφησαν ἐν τῇ θόλῳ, πρεσβεύων δ' ἀπέσταλτο νῦν αὐτὸς ἐκ ταύτης. τούτων οὐδὲν ἐσκέψατο, οὐδ' ὅπως ὀρθὴ πλεύσεται 250
420 προείδετο, ἀλλ' ἀνέτρεψεν καὶ κατέδυσεν καὶ τὸ | καθ'
16 αὑτὸν ὅπως ἐπὶ τοῖς ἐχθροῖς ἔσται παρεσκεύασεν. εἶτ' οὐ σὺ σοφιστής; καὶ πονηρός γε. οὐ σὺ λογογράφος; καὶ θεοῖς ἐχθρός γε· ὃς ἃ μὲν πολλάκις ἠγωνίσω καὶ ἀκριβῶς ἐξηπίστασο, ὑπερέβης, ἃ δ' οὐδεπώποτ' ἐν τῷ βίῳ
20 ὑπεκρίνω, ταῦτα ζητήσας ἐπὶ τῷ τῶν πολιτῶν βλάψαι τιν' εἰς μέσον ἤνεγκας.

1 στίχουσαν SF¹QP¹ | στρατείαν V Gregor.: στρατιαν S στρατιὰν γρ. FAYP 2 ἐξήγγειλεν A Gregor. 4 post οὐκ est αν eras. ut vid. P 6 οὐσίας Markland: οἰκίας SVAYP 8 τῷ] τὸ V | ἥρωος VYP cf. Meisterhans § 54 10 αὐτοὶ S: οὗτοι VAYP 11 sq. ὑφ' ὑμῶν om. A γραμματεῖς ὑφ' ὑμῶν P 13 θόλῳ] θ postea add. λ in ras. S | αὐτὸς SAY: οὗτος VP | ταύτης αὐτῆς AP⁴ 14 ὀρθῆι VY ὀρθῇ A | πλευσεῖται AP cf. IV 44 15 προείλετο S | κατέλδυσεν FY 15 sq. κατέδυσε τὸ καθ' αὐτὸν καὶ P 16 ἐπὶ in ras. F ἐπὶ τοῖς iter. Y¹ 17 prius καὶ om. Q | λογογράφος γρ. S^d F¹QA: λογοτροφος S¹F rec. Y 18 γε om. VAP 19 ἐξεπίστασο A

251 Φέρε δὴ καὶ περὶ τοῦ Σόλωνος ὃν εἶπε λόγον σκέ-
Aesch. I 25 ψασθε. ἔφη τὸν Σόλων' ἀνακεῖσθαι τῆς τῶν τότε δημη-
γορούντων σωφροσύνης παράδειγμα, εἴσω τὴν χεῖρ' ἔχοντ'
ἀναβεβλημένον, ἐπιπλήττων τι καὶ λοιδορούμενος τῇ τοῦ
Τιμάρχου προπετείᾳ. καίτοι τὸν μὲν ἀνδριάντα τοῦτον 5
οὔπω πεντήκοντ' ἔτη φασὶν ἀνακεῖσθαι Σαλαμίνιοι, ἀπὸ
Σόλωνος δ' ὁμοῦ διακόσι' ἐστὶν ἔτη καὶ τετταράκοντ' εἰς
τὸν νυνὶ παρόντα χρόνον, ὥσθ' ὁ δημιουργὸς ὁ τοῦτο
πλάσας τὸ σχῆμα οὐ μόνον οὐκ αὐτὸς ἦν κατ' ἐκεῖνον,
252 ἀλλ' οὐδ' ὁ πάππος αὐτοῦ. τοῦτο μὲν τοίνυν εἶπεν τοῖς 10
δικασταῖς καὶ ἐμιμήσατο· ὃ δὲ τοῦ σχήματος ἦν τούτου
πολλῷ τῇ πόλει λυσιτελέστερον, τὸ τὴν ψυχὴν τὴν Σό-
λωνος ἰδεῖν καὶ τὴν διάνοιαν, ταύτην οὐκ ἐμιμήσατο,
ἀλλὰ πᾶν τοὐναντίον. ἐκεῖνος μέν γ' ἀφεστηκυίας Σα-
λαμῖνος Ἀθηναίων καὶ θάνατον ζημίαν ψηφισαμένων, ἄν 15
τις εἴπῃ κομίζεσθαι, τὸν ἴδιον κίνδυνον ὑποθεὶς ἐλεγεῖα
ποιήσας ᾖδεν, καὶ τὴν μὲν χώραν ⟨ἀν⟩έσωσεν τῇ πόλει,
253 τὴν δ' ὑπάρχουσαν αἰσχύνην ἀπήλλαξεν· οὗτος δ', ἣν
IX 16 βασιλεὺς καὶ πάντες οἱ Ἕλληνες ὑμετέραν ἔγνωσαν, Ἀμφί-
πολιν, ταύτην ἐξέδωκεν καὶ ἀπέδοτο καὶ τῷ ταῦτα γρά- 20
φοντι | συνεῖπεν Φιλοκράτει. ἄξιόν γ' ἦν Σόλωνος αὐτῷ 421
μεμνῆσθαι. καὶ οὐ μόνον ἐνταῦθα ταῦτ' ἐποίησεν, ἀλλ'

2 ἔφη γὰρ F rec. s. v. γρ. QYP 4 επιπληττον S[1] 6 Σαλα-
μίνιοι] primum ι in ras. S item v. 14 (fuisse vid. ει) 7 τεττερά-
κοντα QP 8 νῦν AP | παρόντα F | δημιουργὸς] μ s. v. F ιο in
ras. A 9 ἐκεῖνον τὸν χρόνον VAYP 12 τὸ om. P[1] | τὴν Σό-
λωνος] τοῦ σόλωνος A[1] 14 ἅπαν Y 15 τὴν ζημίαν F mg.
γρ. QAP 17 ἀνέσωσε Herwerden: ἔσωσεν SVAYP 20 ἀπέδοτο]
το add. Y[2] 21 ἦν S γρ. VY: οὐ γάρ; ἦν VAY οὐ γάρ; etiam
XXIII 161. XXIV 106 inculcatum | αὐτῷ om. Y 22 μνησθῆναι
AP | ταῦτ'] alterum τ in ras. S (ταυθ?) τοῦτ' VAP 22 sq. ἀλλὰ
κἀκεῖσε VAP

ἐκεῖσ' ἐλθὼν οὐδὲ τοὔνομ' ἐφθέγξατο τῆς χώρας ὑπὲρ ἧς ἐπρέσβευεν. καὶ ταῦτ' αὐτὸς ἀπήγγειλεν πρὸς ὑμᾶς· μέμνησθε γὰρ δήπου λέγοντ' αὐτὸν ὅτι „περὶ Ἀμφιπόλεως εἶχον μὲν κἀγὼ λέγειν· ἵνα δ' ἐγγένηται Δημο- 5 *σθένει περὶ αὐτῆς εἰπεῖν, παρέλιπον". ἐγὼ δὲ παρελθὼν* 254 *οὐδὲν ἔφην τοῦτον ὧν ἐβούλετ' εἰπεῖν πρὸς Φίλιππον ἐμοὶ παραλιπεῖν· θᾶττον γὰρ ἂν τοῦ αἵματος ἢ λόγου μεταδοῦναί τινι. ἀλλ' οἶμαι χρήματ' εἰληφότ' οὐκ ἦν ἀντιλέγειν πρὸς Φίλιππον τὸν ὑπὲρ τούτου δεδωκότα,* 10 *ὅπως ἐκείνην μὴ ἀποδῷ. Λέγε δή μοι λαβὼν καὶ τὰ τοῦ Σόλωνος ἐλεγεῖα ταυτί, ἵν' εἰδῆθ' ὅτι καὶ Σόλων ἐμίσει τοὺς οἵους οὗτος ἀνθρώπους.*

Οὐ λέγειν εἴσω τὴν χεῖρ' ἔχοντ' Αἰσχίνη δεῖ, οὔ, 255 *ἀλλὰ πρεσβεύειν εἴσω τὴν χεῖρ' ἔχοντα. σὺ δ' ἐκεῖ προ-* 15 *τείνας καὶ ὑποσχὼν καὶ καταισχύνας τούτους ἐνθάδε σεμνολογεῖ, καὶ λογάρια δύστηνα μελετήσας καὶ φωνασκήσας οὐκ οἴει δίκην δώσειν τηλικούτων καὶ τοσούτων ἀδικημάτων, ἂν πιλίδιον λαβὼν περὶ τὴν κεφαλὴν περινοστῇς καὶ ἐμοὶ λοιδορῇ; λέγε σύ.*

20 ΕΛΕΓΕΙΑ

Ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
αἶσαν καὶ μακάρων θεῶν φρένας ἀθανάτων·

2 *ἀπήγγειλε*] *ει* in ras. F 3 *δήπου*] *δὴ* A | post *ὅτι* 2 litt. eras. P | *περὶ δὲ* A 4 *ἐγγίνηται* A *δὲ γένηται γρ.* QP[1] 6 *τοῦτον* A[1]: *τούτων* SVA[2]YP 7 *παραλειπειν* S | *ἂν* om. A 8 *εἰληφότ'*] *λαβόντα* A 10 *καὶ* om. A 11 *σώλωνος* F[1] | *ταῦθ'* A | *ἴδηθ'* S cf. XVIII 118 12 *οἵους* Cobet, cf. XXII 64, XXIV 185: *οἷος* SVAYP 13 *οὔ* SVYP Hermog. III 252 W. (271, 20 R.): om. A Demetr. § 277 16 *σεμνολογεῖ* SA[1]: *σεμνολογῆι* VY (*η* in ras.) P[2] *σεμνολογεῖς* A corr. 18 *ἂν*] *α* in ras. P *κἂν* VY schol. p. 438, 25 | *περὶ* AP: *ἐπὶ* SVY 21 sqq. Carmen om. SA (primum et tertium distichum in scholiis habet) 21 *ἡμετέρη* Sylburg: *ἡμετέρα* codd. 22 *μακρων* Y[1]

τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν |
ἀστοὶ βούλονται, χρήμασι πειθόμενοι, 422
δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον 5
ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν.
οὐ γὰρ ἐπίστανται κατέχειν κόρον, οὐδὲ παρούσας
εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ.

. . . .

πλουτοῦσιν δ' ἀδίκοις ἔργμασι πειθόμενοι. 10

. . . .

οὔθ' ἱερῶν κτεάνων οὔτε τι δημοσίων
φειδόμενοι κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
οὐδὲ φυλάσσονται σεμνὰ Δίκης θέμεθλα,
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα, 15
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτεισομένη.
τοῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον,
εἰς δὲ κακὴν ταχέως ἤλυθε δουλοσύνην,
ἣ στάσιν ἔμφυλον πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,
ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην. 20
ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλαις.

1 *ὀμβριμοπάτρη* P[2] 2 *Παλλὰς* om. Y[1] 13 *ἐφ' ἁρπαγῇ*] *ἀφαρπαγῆι* VYP cf. Solon ap. Arist. *Ἀθ. πολ.* 12, 3 *οἳ δ' ἐφ' ἁρπαγαῖσιν ἦλθον* 14 *θέμεθλα Δίκης* Bergk cf. v. 16 *τῷ δὲ χρόνῳ* 15 post *σιγῶσα* ras. 6—7 litt. F, *δ' ἔληθε* Q *λέληθε* P 16 *ἀποτισομένη* B corr. (coni. Sylburg): *ἀποτισαμένη* VYP 17 *ἔρκος* P[4] 19 *ἐπεγείρει* P corr.: *ἐπεγείρειν* V *ἐπαγείρειν* YP[1] *ἐπέγειρεν* Schneidewin 20 *ἐρατὴν* (ω *supra* η) F *ἐρατῶν* Y 22 *τρύχετ* P[1] | *φίλαις* Bergk: *φίλοις* F[1]QYP *φίλους* F corr.

ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν
ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπήν,
πραθέντες δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες.

. . . .

5 *οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ,*
αὔλειοι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι,
ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως,
εἰ καί τις φεύγων ἐν μυχῷ ᾖ θαλάμου.
ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
10 *ὡς κακὰ πλεῖστα πόλει δυσνομίη παρέχει,*
εὐνομίη δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,
καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας, |
423 *τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,*
αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
15 *εὐθύνει δὲ δίκας σκολιάς, ὑπερήφανά τ' ἔργα*
πραΰνει, παύει δ' ἔργα διχοστασίης,
παύει δ' ἀργαλέης ἔριδος χόλον· ἔστι δ' ὑπ' αὐτῆς
πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

Ἀκούετ' ὦ ἄνδρες Ἀθηναῖοι περὶ τῶν τοιούτων ἀν- 256
20 *θρώπων οἷα Σόλων λέγει, καὶ περὶ τῶν θεῶν, οὕς φησι τὴν πόλιν σῴζειν. ἐγὼ δ' ἀεὶ μὲν ἀληθῆ τὸν λόγον τοῦτον ἡγοῦμαι καὶ βούλομαι, ὡς ἄρ' οἱ θεοὶ σῴζουσιν ἡμῶν τὴν πόλιν· τρόπον δέ τιν' ἡγοῦμαι καὶ τὰ νῦν συμβεβη-*

3 *ἀεικελίοισι*] *λι* in ras. P *ἀεικλείοισι* Q | *δεθέντες* P: *δοθέντες* VY 6 *δ' ἔτ'* F corr.: *δ' ὅτ'* QYP 7 *ἕρκος*] *ρ* in ras. F | *πάντως* Vind. 4: *πάντων* VYP[1] *πάντας* P[4] 8 *εἰ* VP: *ἡ* Y | *καί* anonymus in mg. libri Lessingiani: *γέ* VYP | *ᾖ θαλάμου* Schneidewin: *ἢ θαλάμωι* VYP 10 *δυσνομία* 11 *εὐνομία* codd. corr. Bergk 13 *λειαίνει*] *λει* in ras. F *δ' ἰαίνει* QP 19 *ἄνδρες* om. P 21 *ἀεὶ* S corr. VYP: *ει* S[1] *εἶναι* A 22 *ἡγοῦμαι καὶ* del. Herwerden 23 *ἡγοῦμαι*] *οἶμαι* A | *νῦν* om. P[1]

κότα πάντ' ἐπὶ ταῖς εὐθύναις ταυταισὶ δαιμονίας τινὸς
257 εὐνοίας ἔνδειγμα τῇ πόλει γεγενῆσθαι. σκοπεῖτε γάρ.
ἄνθρωπος πολλὰ καὶ δεινὰ πρεσβεύσας, καὶ χώρας ἐκ-
δεδωκὼς ἐν αἷς τοὺς θεοὺς ὑφ' ὑμῶν καὶ τῶν συμμάχων
τιμᾶσθαι προσῆκεν, ἠτίμωσεν ὑπακούσαντά τιν' αὐτοῦ 5
κατήγορον. ἵνα τί; ἵνα μήτ' ἐλέου μήτε συγγνώμης ἐφ'
οἷς αὐτὸς ἠδίκηκεν τύχῃ. ἀλλὰ καὶ κατηγορῶν ἐκείνου
κακῶς λέγειν προείλετ' ἐμέ, καὶ πάλιν ἐν τῷ δήμῳ γρα-
φὰς ἀποίσειν καὶ τοιαῦτ' ἠπείλει. ἵνα τί; ἵν' ὡς μετὰ
πλείστης συγγνώμης παρ' ὑμῶν ὁ τὰ τούτου πονηρεύ- 10
ματ' ἀκριβέστατ' εἰδὼς ἐγὼ καὶ παρηκολουθηκὼς ἅπασι
258 κατηγορῶ. ἀλλὰ καὶ διακρουόμενος πάντα τὸν ἔμπροσθεν
χρόνον εἰσελθεῖν εἰς τοιοῦτον ὑπῆκται καιρὸν ἐν ᾧ τῶν
ἐπιόντων ἕνεκα, εἰ μηδενὸς ἄλλου, οὐχ οἷόν τ' οὐδ' ἀσφα-
λὲς ὑμῖν δεδωροδοκηκότα τοῦτον ἀθῷον ἐᾶσαι· ἀεὶ μὲν 15
γὰρ ὦ ἄνδρες Ἀθηναῖοι προσήκει μι|σεῖν καὶ κολάζειν 424
τοὺς προδότας καὶ δωροδόκους, μάλιστα δὲ νῦν ἐπὶ και-
ροῦ τοῦτο γένοιτ' ἂν καὶ πάντας ὠφελήσειεν ἀνθρώπους
259 κοινῇ. νόσημα γὰρ ὦ ἄνδρες Ἀθηναῖοι δεινὸν ἐμπέπτω-
κεν εἰς τὴν Ἑλλάδα, καὶ χαλεπὸν καὶ πολλῆς τινὸς εὐ- 20
τυχίας καὶ παρ' ὑμῶν ἐπιμελείας δεόμενον. οἱ γὰρ ἐν
ταῖς πόλεσιν γνωριμώτατοι καὶ προεστάναι τῶν κοινῶν
ἀξιούμενοι, τὴν αὐτῶν προδιδόντες ἐλευθερίαν οἱ δυστυ-

1 ἐπὶ] π in ras. A[2] (num ἐν A[1]?) | ταυταισὶ om. A 5 ὕποπτ' ἀκούσαντα Stahl | τὸν αὐτοῦ (post Weilium) Sakorraphus 6 ἵνα τί; G. H. Schaefer (cf. v. 9): διὰ τί SVAYP 7 ἠδίκησε A 9 ἠπείλει γρ. S[d]VAP: ἀπειλειν S[1] ἀπειλεῖ S corr. Y | ἵνα τί; SY: διὰ τί γρ. S[d]VAP 10 ὑμῖν A 11 ἀκριβῶς AP 12 ἅπαντα A | ἔμπροσθε Y 14 ἄλλου γ' S corr. 16 et 19 ἄνδρες om. P 17 προδότας καὶ om. A (habet Dionys. Hal. Dem. p. 996) 18 ἀνθρώπους om. A 19 νόσημα ante δεινὸν iterat γρ. S[d] 21 παρ' (supra: τῆς,) F τῆς παρ' YP Hermog. III 250 W. (270, 6 R.), Theon 224 W.

χεῖς, αὐθαίρετον αὐτοῖς ἐπάγονται δουλείαν, Φιλίππῳ
ξενίαν καὶ ἑταιρίαν [καὶ φιλίαν] καὶ τοιαῦθ' ὑποκορι-
ζόμενοι· οἱ δὲ λοιποὶ καὶ τὰ κύρι' ἄττα ποτ' ἐστὶν ἐν
ἑκάστῃ τῶν πόλεων, οὓς ἔδει τούτους κολάζειν καὶ παρα-
5 χρῆμ ἀποκτιννύναι, τοσοῦτ' ἀπέχουσι τοῦ τοιοῦτόν τι
ποιεῖν ὥστε θαυμάζουσι καὶ ζηλοῦσι καὶ βούλοιντ' ἂν
αὐτὸς ἕκαστος τοιοῦτος εἶναι. καίτοι τοῦτο τὸ πρᾶγμα 260
καὶ τὰ τοιαῦτα ζηλώματα Θετταλῶν μὲν ὦ ἄνδρες Ἀθη-
ναῖοι μέχρι μὲν ἐχθὲς ἢ πρῴην τὴν ἡγεμονίαν καὶ τὸ
10 κοινὸν ἀξίωμ' ἀπωλωλέκει, νῦν δ' ἤδη καὶ τὴν ἐλευθε-
ρίαν παραιρεῖται· τὰς γὰρ ἀκροπόλεις αὐτῶν ἐνίων Μα-
κεδόνες φρουροῦσιν· εἰς Πελοπόννησον δ' εἰσελθὸν τὰς
ἐν Ἤλιδι σφαγὰς πεποίηκεν καὶ τοσαύτης παρανοίας καὶ
μανίας ἐνέπλησε τοὺς ταλαιπώρους ἐκείνους ὥσθ', ἵν'
15 ἀλλήλων ἄρχωσι καὶ Φιλίππῳ χαρίζωνται, συγγενεῖς αὐ-
τῶν καὶ πολίτας μιαιφονεῖν. καὶ οὐδ' ἐνταῦθ' ἕστηκεν, 261
ἀλλ' εἰς Ἀρκαδίαν εἰσελθὸν πάντ' ἄνω καὶ κάτω τἀκεῖ
πεποίηκεν, καὶ νῦν Ἀρκάδων πολλοί, προσῆκον αὐτοῖς
ἐπ' ἐλευθερίᾳ μέγιστον φρονεῖν ὁμοίως ὑμῖν (μόνοι γὰρ
425 πάντων αὐτόχθονες ὑμεῖς ἐστε κἀκεῖνοι) Φίλιπ|πον θαυ-

1 *δουλίαν* S[1] | *φιλίππου* A, Photius et Suidas s. v. *ὑποκοριζόμενοι* 2 *καὶ φιλίαν* Weilio suspecta: ante *καὶ ἑταιρίαν* habent AP om. Photius et Suidas; ex § 248? | *τὰ τοιαῦθ'* A, schol. Photius Suidas | *υποκορακιζομενοι* S[1] 5 *τοσοῦτον* VAYP | *τοιοῦτο* A 6 *βούλοιτο* AP[1] 7 *αὐτὸς*] *ος* in ras. P *αὐτῶν γρ.* P[3] | *τοιοῦτος*] *οὗτος* P[1] | *τοῦτο*] *ουτο* S[1] (*και τοιουτο*), *τουτὶ* F corr. YP 8 *τὰ* om. S[1] 9 *χθὲς* P | *ἢ* SY: *καὶ* VAP 10 *ἀπολωλέκει* SQ *ἀπολώλεκε* AP 11 *αὐτῶν* om. A 12 *εἰσελθὸν τὰς*] *εισελθοντες* S[1] *εἰσελθὼν τὰς* A[1]Y corr. 13 sq. *παρανοίας καὶ μανίας* SQYP[3] *μανίας καὶ παρανοίας* A *παρανομίας καὶ μανίας* F *παροινίας καὶ μανίας* P[1] Bekk. Anecd. p. 163, 8 14 *ἐνέπλησε*] *λησε* in ras. A[1] *ἀνέπλησε* Herwerden 15 *χαρίζωνται*] *ω* in ras. A 16 *μιαιφωνειν* ut vid. S[1] 17 *τἀκεῖ* om. P[1] 19 *ἡμῖν* S 20 *ἁπάντων* VP *τῶν ἁπάντων* A

*μάζουσι καὶ χαλκοῦν ἱστᾶσι καὶ στεφανοῦσι, καὶ τὸ τε-
λευταῖον, ἂν εἰς Πελοπόννησον ἴῃ, δέχεσθαι ταῖς πόλεσιν*
262 *εἰσὶν ἐψηφισμένοι. ταὐτὰ δὲ ταῦτ' εἰσὶν Ἀργεῖοι. ταῦτα νὴ
τὴν Δήμητρα, εἰ δεῖ μὴ ληρεῖν, εὐλαβείας οὐ μικρᾶς δεῖ-
ται, ὡς βαδίζον γε κύκλῳ καὶ δεῦρ' ἐλήλυθεν ὦ ἄνδρες* 5
*Ἀθηναῖοι τὸ νόσημα τοῦτο. ἕως οὖν ἔτ' ἐν ἀσφαλεῖ,
φυλάξασθε καὶ τοὺς πρώτους εἰσαγαγόντας ἀτιμώσατε·
εἰ δὲ μή, σκοπεῖθ' ὅπως μὴ τηνικαῦτ' εὖ λέγεσθαι δόξει*
263 *τὰ νῦν εἰρημένα, ὅτ' οὐδ' ὅ τι χρὴ ποιεῖν ἕξετε. οὐχ
ὁρᾶθ' ὡς ἐναργὲς ὦ ἄνδρες Ἀθηναῖοι καὶ σαφὲς παρά-* 10
*δειγμ' οἱ ταλαίπωροι γεγόνασιν Ὀλύνθιοι; οἳ παρ' οὐδὲν
οὕτως ὡς τὸ τὰ τοιαῦτα ποιεῖν ἀπολώλασιν οἱ δείλαιοι.
ἔχοιτε δ' ἂν ἐξετάσαι καθαρῶς ἐκ τῶν συμβεβηκότων
αὐτοῖς. ἐκεῖνοι γάρ, ἡνίκα μὲν τετρακοσίους ἱππέας ἐκέ-
κτηντο μόνον καὶ σύμπαντες οὐδὲν ἦσαν πλείους πεν-* 15
264 *τακισχιλίων τὸν ἀριθμόν, οὔπω Χαλκιδέων πάντων εἰς
ἓν συνῳκισμένων, Λακεδαιμονίων ἐπ' αὐτοὺς ἐλθόντων
πολλῇ καὶ πεζῇ καὶ ναυτικῇ δυνάμει (ἴστε γὰρ δήπου*
IX 47 *τοῦθ', ὅτι γῆς καὶ θαλάττης ἦρχον ὡς ἔπος εἰπεῖν Λακε-
δαιμόνιοι κατ' ἐκείνους τοὺς χρόνους), ἀλλ' ὅμως τη-* 20
*λικαύτης ἐπ' αὐτοὺς ἐλθούσης δυνάμεως οὔτε τὴν πόλιν
οὔτε φρούριον οὐδὲν ἀπώλεσαν, ἀλλὰ καὶ μάχας πολλὰς
ἐκράτησαν καὶ τρεῖς τῶν πολεμάρχων ἀπέκτειναν καὶ τὸ*

3 *εἰσὶν* SY: om. VAP | *μὰ* A 4 *δήμητραν* QA[1] | *μὴ* om. Q 5 *βαδίζων* S[1] | *ἐλήλυθεν* S: *εἰσελήλυθεν* VAYP | *ἄνδρες* om. P (item v. 10) 6 *ἔτ'* S: *ἐστὲ* vel *ἐστ'* *γρ.* S[d]VAYP cf. VI 35 8 *σκοπεῖσθ'* A cf. I 14 al. | *δόξηι* AY 9 *ὅτ'*] *ὅτι* A 10 *ὡς ἐναργὲς* om. Q text. add. Q[1] mg. | *τούτων παράδειγμα* Hermog. III 237 W. (259, 1 R.) 11 *ταλαιπω* S[1] 12 *τὸ τὰ* FYP[4]: *τὰ* (*το* suprascr.) S ead. ut vid. m. *τὰ* QP[1] *το* A | *τοιαῦτα* SVYP: *ταῦτα* A 15 *τε-τρακισχιλίων* A 18 *ναυτικῆι καὶ πεζῆι* A 19 *ἔπος* om. *γρ.* QP

τελευταῖον, ὅπως ἐβούλοντο, οὕτω τὸν πόλεμον κατέθεν-
το. ἐπειδὴ δὲ δωροδοκεῖν ἤρξαντό τινες, καὶ δι' ἀβελ- 265
τερίαν οἱ πολλοί, μᾶλλον δὲ διὰ δυστυχίαν, τούτους πι-
στοτέρους ἡγήσαντο τῶν ὑπὲρ αὐτῶν λεγόντων, καὶ Λα-
426 σθένης μὲν | ἤρεψε τὴν οἰκίαν τοῖς ἐκ Μακεδονίας δοθεῖσι
6 ξύλοις, Εὐθυκράτης δὲ βοῦς ἔτρεφεν πολλὰς τιμὴν οὐ-
δενὶ δούς, ἕτερος δέ τις ἧκεν ἔχων πρόβατα, ἄλλος δέ
τις ἵππους, οἱ δὲ πολλοί, [καὶ] καθ' ὧν ταῦτ' ἐγίγνετο,
οὐχ ὅπως ὠργίζοντ' ἢ κολάζειν ἠξίουν τοὺς ταῦτα ποι-
10 οῦντας, ἀλλ' ἀπέβλεπον, ἐζήλουν, ἐτίμων, ἄνδρας ἡγοῦν-
το — ἐπειδὴ ταῦθ' οὕτω προήγετο καὶ τὸ δωροδοκεῖν 266
ἐκράτησεν, χιλίους μὲν ἱππέας κεκτημένοι, πλείους δ'
ὄντες ἢ μύριοι, πάντας δὲ τοὺς περιχώρους ἔχοντες συμ-
μάχους, μυρίοις δὲ ξένοις καὶ τριήρεσι πεντήκονθ' ὑμῶν
15 βοηθησάντων αὐτοῖς, καὶ ἔτι τῶν πολιτῶν τετρακισχι-
λίοις, οὐδὲν αὐτοὺς τούτων ἠδυνήθη σῶσαι, ἀλλὰ πρὶν
μὲν ἐξελθεῖν ἐνιαυτὸν τοῦ πολέμου τὰς πόλεις ἁπάσας
ἀπωλωλέκεσαν τὰς ἐν τῇ Χαλκιδικῇ [προδιδόντες], καὶ
Φίλιππος οὐχ ὑπεῖχεν ὑπακούων τοῖς προδιδοῦσιν, οὐδ'
20 εἶχεν ὅ τι πρῶτον λάβῃ. πεντακοσίους δ' ἱππέας προδο- 267
θέντας ὑπ' αὐτῶν τῶν ἡγουμένων ἔλαβεν αὐτοῖς ὅπλοις
ὁ Φίλιππος, ὅσους οὐδεὶς πώποτ' ἄλλος ἀνθρώπων. καὶ

1 πως A[1], corr. A rec. 2 ἀβελτερίαν S[1]QY: ἀβελτηρίαν S rec. FAP 3 διὰ secl. Blass 5 λακεδαιμονιας S[1] | δοθεῖσι om. Plut. mor. 510 B del. Taylor 8 πολλοί] ἄλλοι ut vid. Y[1] | καὶ del. Dobree 11 ἐπειδὴ] ἐπει δε A | οὕτω] post οὔ ras. in Q 14 μυρίους δὲ ξένους Q 18 τὰς] τὰ Q[1] | προδιδόντες SA οἱ προδιδόντες VYP del. Markland 19 οὐχ ὑπεῖχεν SA: οὐκέτ' εἶχεν VYP οὐκ ἐπεῖχεν Weil οὐκ ἐπήρκει Madvig | ὑπακούων SAY: ὑπακούειν VP 20 λάβοι Aug. 2 Herwerden 21 ἡγουμένων SY: ἡγεμόνων VAP 22 ὁ Φίλιππος susp. Taylor | ὅσους] σους in ras. A

οὔτε τὸν ἥλιον ᾐσχύνονθ' οἱ ταῦτα ποιοῦντες οὔτε τὴν γῆν πατρίδ' οὖσαν, ἐφ' ἧς ἕστασαν, οὐδ' ἱερ' οὔτε τάφους οὔτε τὴν μετὰ ταῦτα γενησομένην αἰσχύνην ἐπὶ τοιούτοις ἔργοις· οὕτως ἔκφρονας ὦ ἄνδρες Ἀθηναῖοι καὶ παραπλῆγας τὸ δωροδοκεῖν ποιεῖ. ὑμᾶς οὖν, ὑμᾶς εὖ 5 *φρονεῖν δεῖ τοὺς πολλούς, καὶ μὴ ἐπιτρέπειν τὰ τοιαῦτα, ἀλλὰ κολάζειν δημοσίᾳ. καὶ γὰρ ἂν καὶ ὑπερφυὲς εἴη, εἰ κατὰ μὲν τῶν Ὀλυνθίους προδόντων πολλὰ καὶ δείν' ἐψηφίσασθε, τοὺς δὲ παρ' ὑμῖν αὐτοῖς ἀδικοῦντας μὴ κολάζοντες φαίνοισθε. λέγε τὸ ψήφισμά μοι τὸ περὶ τῶν* 10 *Ὀλυνθίων.* |

ΨΗΦΙΣΜΑ 427

268 *Ταῦθ' ὑμεῖς ὦ ἄνδρες δικασταὶ ὀρθῶς καὶ καλῶς πᾶσιν Ἕλλησι καὶ βαρβάροις δοκεῖτ' ἐψηφίσθαι κατ' ἀνδρῶν προδοτῶν καὶ θεοῖς ἐχθρῶν. ἐπειδὴ τοίνυν τὸ* 15 *δωροδοκεῖν πρότερον τοῦ τὰ τοιαῦτα ποιεῖν ἐστιν καὶ δι' ἐκεῖνο καὶ τάδε πράττουσί τινες, ὃν ἂν ὦ ἄνδρες Ἀθηναῖοι δωροδοκοῦντ' ἴδητε, τοῦτον καὶ προδότην εἶναι νομίζετε. εἰ δ' ὁ μὲν καιρούς, ὁ δὲ πράγματα, ὁ δὲ στρατιώτας προδίδωσιν, ὧν ἂν ἕκαστος οἶμαι κύριος* 20 *γένηται, ταῦτα διαφθείρει· μισεῖν δ' ὁμοίως τοὺς τοι-*
269 *ούτους πάντας προσήκει. ἔστι δ' ὑμῖν ὦ ἄνδρες Ἀθη-*
III 23 *ναῖοι περὶ τούτων μόνοις τῶν πάντων ἀνθρώπων οἰ-*

1 post *ποιοῦντες* iterat *οὔτε τὴν γῆν ποιοῦντες* Y[1] 2 *ἵστασαν?* Y[1] 4 *τοῖς τοιούτοις* VAP | *ἄνδρες* om. P 5 alterum *ὑμᾶς* om. A 8 *ὀλυνθίοις* Q 10 *λέγε οὖν* A | *μοι* om. VP 12 ΨΗΦΙΣΜΑΤΑ S 13 *ὦ ἀθηναῖοι* P 14 *ἕλλησι τε καὶ* F rec. YP | *ψηφίσασθαι* AP 17 et 22 *ἄνδρες* om. P 20 *ὧν*] *ον* S[1] | *ἕκαστος* AP: *ἕκαστος ὑμῶν* SVY (*ὑμῖν* Rauchenstein) 21 *γένηται* S γρ. FAY: *γίγνηται* VP 22 *ἅπαντας* VYP 23 *πάντων*] *ἄλλων* A

κείοις χρῆσθαι παραδείγμασι, καὶ τοὺς προγόνους, οὓς
ἐπαινεῖτε δικαίως, ἔργῳ μιμεῖσθαι. [καὶ γὰρ] εἰ μὴ τὰς
μάχας μηδὲ τὰς στρατείας μηδὲ τοὺς κινδύνους, ἐν οἷς
ἦσαν ἐκεῖνοι λαμπροί, συμβαίνει καιρός, ἀλλ' ἄγεθ' ἡσυ-
5 χίαν ὑμεῖς ἐν τῷ παρόντι, ἀλλὰ τό γ' εὖ φρονεῖν αὐτῶν
μιμεῖσθε. τούτου γὰρ πανταχοῦ χρεία, καὶ οὐδέν ἐστιν 270
πραγματωδέστερον οὐδ' ὀχληρότερον τὸ καλῶς φρονεῖν
τοῦ κακῶς, ἀλλ' ἐν τῷ ἴσῳ χρόνῳ νυνὶ καθήμενος ὑμῶν
ἕκαστος, ἂν μὲν ἃ χρὴ γιγνώσκῃ περὶ τῶν πραγμάτων
10 καὶ ψηφίζηται, βελτίω τὰ κοινὰ ποιήσει τῇ πόλει καὶ ἄξια
τῶν προγόνων πράξει, ἂν δ' ἃ μὴ δεῖ, φαυλότερα καὶ
ἀνάξια τῶν προγόνων ποιήσει. τί οὖν ἐκεῖνοι περὶ τού-
των ἐφρόνουν; ταυτὶ λαβὼν ἀνάγνωθι, γραμματεῦ· δεῖ
γὰρ ὑμᾶς ἰδεῖν ὅτι ἐπὶ τοῖς τοιούτοις ἔργοις ῥαθυμεῖτε,
15 ὧν θάνατον κατεγνώκασιν οἱ πρόγονοι. λέγε. |

428 ΓΡΑΜΜΑΤΑ ΕΚ ΣΤΗΛΗΣ

Ἀκούετ' ὦ ἄνδρες Ἀθηναῖοι τῶν γραμμάτων λεγόν- 271
των Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην ἐχθρὸν εἶ-
ναι καὶ πολέμιον τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῶν συμ-
20 μάχων αὐτὸν καὶ γένος πᾶν. διὰ τί; ὅτι τὸν χρυσὸν τὸν
ἐκ τῶν βαρβάρων εἰς τοὺς Ἕλληνας ἤγαγεν. οὐκοῦν

2 καὶ γὰρ om. SVP^1Y: add. γρ. S^dAP^4 3 στρατιὰς A
4 συμβαίνει καιρός SVP^1Y: ἐν τοῖς νῦν συμβαίνει καιροῖς γρ. S^d
ἐν τοῖς νῦν συμβαίνει μιμεῖσθαι καιροῖς AP^4 6 μιμεῖσθαι P^1
9 γιγνώσκειν Y 10 ψηφίζεται $S^1F^1A^1$ 11 φλαυρότερα P |
τε καὶ V 12 ποιήσει del. Dobree 14 ἰδεῖν S: εἰδέναι VAYP |
τοῖς om. AP 15 θάνατον] νατ S^2 in ras. 2 litt. | ὑμῶν οἱ A |
λέγε om. A 16 ΓΡΑΜΜΑΤΑ ΕΚ ΣΤΗΛΗΣ mg. Mor.: ΓΡΑΜ-
ΜΑΤΑ ΕΚΛΟΓΗΣ SY ΓΡΑΜΜΑΤΑ YP^4 ΓΡΑΜΜΑ P^1 ΣΤΗΛΗ
A cf. Dinarch. II 25 17 ἄνδρες om. P 18 ἀρίθμιον A 20 αὐ-
τῶν V | καὶ γένος om. S^1 (add. S^d) | τὸν post χρυσὸν add. AP^4:
om. SVYP^1 cf. IX 42 Aesch. III 258 Din. II 25 — Din. II 24

ἔστιν ὡς ἔοικεν ἐκ τούτων ἰδεῖν ὅτι οἱ πρόγονοι μὲν ὑμῶν, ὅπως μηδ' ἄλλος ἀνθρώπων μηδεὶς ἐπὶ χρήμασι μηδὲν ἐργάσεται κακὸν τὴν Ἑλλάδα, ἐφρόντιζον, ὑμεῖς δ' οὐδὲ τὴν πόλιν αὐτὴν ὅπως μηδεὶς τῶν πολιτῶν ἀδι- 272 *κήσει προορᾶσθε. νὴ Δί', ἀλλ' ὅπως ἔτυχεν ταῦτα τὰ* 5 *γράμμαθ' ἕστηκεν. ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως ταυτησὶ καὶ πολλὴν εὐρυχωρίαν ἐχούσης, παρὰ τὴν χαλκῆν τὴν μεγάλην Ἀθηνᾶν ἐκ δεξιᾶς ἕστηκεν, ἣν ἀριστεῖον ἡ πόλις τοῦ πρὸς τοὺς βαρβάρους πολέμου, δόντων τῶν Ἑλλήνων τὰ χρήματα ταῦτ', ἀνέθηκεν. τότε* 10 *μὲν τοίνυν οὕτω σεμνὸν ἦν τὸ δίκαιον καὶ τὸ κολάζειν τοὺς τὰ τοιαῦτα ποιοῦντας ἔντιμον, ὥστε τῆς αὐτῆς ἠξιοῦτο στάσεως τό τ' ἀριστεῖον τῆς θεοῦ καὶ αἱ κατὰ τῶν τὰ τοιαῦτ' ἀδικούντων τιμωρίαι· νῦν δὲ γέλως, ἄδεια,* 273 *εἰ μὴ τὴν ἄγαν ταύτην ἐξουσίαν σχήσετε νῦν ὑμεῖς. νο-* 15 *μίζω τοίνυν ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι οὐ καθ' ἕν τι μόνον τοὺς προγόνους μιμουμένους ὀρθῶς ἂν ποιεῖν, ἀλλὰ καὶ κατὰ πάνθ' ὅσ' ἔπραττον ἐφεξῆς. ἐκεῖνοι τοίνυν, ὡς ἅπαντες εὖ οἶδ' ὅτι τὸν λόγον τοῦτον ἀκηκόατε, Καλλίαν τὸν Ἱππονίκου ταύτην τὴν ὑπὸ πάντων θρυ-* 20 *λουμένην εἰρήνην πρεσβεύσαντα, ἵππου μὲν δρόμον ἡμέρας πεζῇ μὴ καταβαίνειν | ἐπὶ τὴν θάλατταν βασιλέα,* **429** *ἐντὸς δὲ Χελιδονίων καὶ Κυανέων πλοίῳ μακρῷ μὴ πλεῖν,*

1 *μὲν* om. Y[1] 2 *ἡμῶν* SVYP | *μηδεὶς* om. Q 3 *ἐργάσεται* S[1]AY: *ἐργάσηται* S corr. VP | *ἐφρόντιζεν* A[1] 4 *ἀδικήσηι* Y 8 *ἐκ δεξιᾶς* SQAY Hermog. III 259 W. (278, 22 R.): *ἐν δεξιᾶι* FP 10 *ταῦτα* del. Dobree 11 *μέντοι νῦν* A[1] 13 *αἱ* om. Y 14 *τὰ τοιαῦτ'* secl. Blass | *αἰσχύνη* post *ἄδεια* add. VAYP 16 *Ἀθηναῖοι*] *δικασταὶ γρ.* Q om. P 18 *πάντες* P 19 *λόγον* in ras. 8 vel 9 litt. S[1] 20 *ἱππόνικον* A[1] 22 *τὴν* om. F[1]QP 23 *Χελιδονίων* Ald. Voem.: *χελειδονειων* S *χελιδονέων* VYP *χελιδοναιῶν* A *Χελιδονιῶν* Voemel sec. Herodiani praeceptum | *κυαναιῶν* A

ὅτι δῶρα λαβεῖν ἔδοξε πρεσβεύσας, μικροῦ μὲν ἀπέκτειναν, ἐν δὲ ταῖς εὐθύναις πεντήκοντ' ἐπράξαντο τάλαντα. καίτοι καλλίω ταύτης εἰρήνην οὔτε πρότερον οὔθ' ὕστε- 274 ρον οὐδεὶς ἂν εἰπεῖν ἔχοι πεποιημένην τὴν πόλιν. ἀλλ'
5 οὐ τοῦτ' ἐσκόπουν. τούτου μὲν γὰρ ἡγοῦντο τὴν αὑτῶν ἀρετὴν καὶ τὴν τῆς πόλεως δόξαν αἰτίαν εἶναι, τοῦ δὲ προῖκ' ἢ μὴ τὸν τρόπον τοῦ πρεσβευτοῦ· τοῦτον οὖν δίκαιον ἠξίουν παρέχεσθαι καὶ ἀδωροδόκητον τὸν προσιόντα τοῖς κοινοῖς. ἐκεῖνοι μὲν τοίνυν οὕτως ἐχθρὸν 275
10 ἡγοῦντο τὸ δωροδοκεῖν καὶ ἀλυσιτελὲς τῇ πόλει, ὥστε μήτ' ἐπὶ πράξεως μηδεμιᾶς μήτ' ἐπ' ἀνδρὸς ἐᾶν γίγνεσθαι· ὑμεῖς δ' ὦ ἄνδρες Ἀθηναῖοι τὴν αὐτὴν εἰρήνην ἑορακότες τὰ μὲν τῶν συμμάχων τῶν ὑμετέρων τείχη καθῃρηκυῖαν, τὰς δὲ τῶν πρέσβεων οἰκίας οἰκοδομοῦσαν,
15 καὶ τὰ μὲν τῆς πόλεως κτήματ' ἀφῃρημένην, τούτοις δ' ἃ μηδ' ὄναρ ἤλπισαν πώποτε κτησαμένην, οὐκ αὐτοὶ τούτους ἀπεκτείνατε, ἀλλὰ κατηγόρου προσδεῖσθε, καὶ λόγῳ κρίνεθ' ὧν ἔργῳ τἀδικήματα πάντες ὁρῶσιν.

Οὐ τοίνυν τὰ παλαί' ἄν τις ἔχοι μόνον εἰπεῖν καὶ διὰ 276
20 τούτων τῶν παραδειγμάτων ὑμᾶς ἐπὶ τιμωρίαν παρακαλέσαι· ἀλλ' ἐφ' ὑμῶν τουτωνὶ τῶν ἔτι ζώντων ἀνθρώπων πολλοὶ δίκην δεδώκασιν, ὧν ἐγὼ τοὺς μὲν ἄλλους παραλείψω, τῶν δ' ἐκ πρεσβείας, ἣ πολὺ ταύτης ἐλάττω

2 τάλαντα ἐπράξαντο AP[1] 3 καίτοι ... 14 τὰς pap. Oxyrh. 5 τούτου] τοῦτο Y | ἑαυτῶν VAP 7 το[ν του πρεσβευ]του τροπον pap. 8 προσοντα pap. 9 ante κοινοῖς 3 litt. eras. Y | τοίνυν] οὖν A 13 ἡμετέρων A pap. 14 τῶν bis P 16 πώποτε] ποτε A 17 ἀποκτενεῖτε VAP | προσδεισθαι ut. vid. S[1] 18 ὁρᾶτε γρ. Q 19 παλαιὰ VAP: παλαι S[1] πάλαι S[2]Y 21 τούτων P | τινων post τουτωνὶ add. Weil, seclusis cum Cobeto sequentibus τῶν ἔτι ζώντων ἀνθρώπων | ἀνθρώπων secl. Blass

κακὰ τὴν πόλιν εἴργασται, θανάτῳ ζημιωθέντων ἑνὸς ἢ δυοῖν ἐπιμνησθήσομαι. καί μοι λέγε τουτὶ τὸ ψήφισμα λαβών. |

ΨΗΦΙΣΜΑ **430**

277 *Κατὰ τουτὶ τὸ ψήφισμ' ὦ ἄνδρες Ἀθηναῖοι τῶν πρέ-* 5
*σβεων ἐκείνων ὑμεῖς θάνατον κατέγνωτε, ὧν εἷς ἦν Ἐπι-
κράτης, ἀνήρ, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, σπου-
δαῖος καὶ πολλὰ χρήσιμος τῇ πόλει, καὶ τῶν ἐκ Πειραιῶς
καταγαγόντων τὸν δῆμον καὶ ἄλλως δημοτικός. ἀλλ' ὅμως
οὐδὲν αὐτὸν ὠφέλησε τούτων, δικαίως· οὐ γὰρ ἐφ' ἡμι-* 10
*σείᾳ χρηστὸν εἶναι δεῖ τὸν τηλικαῦτα διοικεῖν ἀξιοῦντα,
οὐδὲ τὸ πιστευθῆναι προλαβόντα παρ' ὑμῶν εἰς τὸ μεί-
ζω δύνασθαι κακουργεῖν καταχρῆσθαι, ἀλλ' ἁπλῶς μη-*
278 *δὲν ὑμᾶς ἀδικεῖν ἑκόντα. εἰ τοίνυν τι τούτοις ἄπρακτόν
ἐστιν τούτων ἐφ' οἷς ἐκείνων θάνατος κατέγνωσται, ἔμ'* 15
*ἀποκτείνατ' ἤδη. σκοπεῖτε γάρ. „ἐπειδὴ παρὰ τὰ γράμ-
ματα“ φησὶν „ἐπρέσβευσαν ἐκεῖνοι.“ καὶ τοῦτ' ἔστιν τῶν
ἐγκλημάτων πρῶτον. οὗτοι δ' οὐ παρὰ τὰ γράμματα; οὐ
τὸ μὲν ψήφισμα „Ἀθηναίοις καὶ τοῖς Ἀθηναίων συμ-
μάχοις“, οὗτοι δὲ Φωκέας ἐκσπόνδους ἀπέφηναν; οὐ τὸ* 20
μὲν ψήφισμα „τοὺς ἄρχοντας ὁρκοῦν τοὺς ἐν ταῖς πόλε-

1 *κακὰ*] *κατα* S 2 *μνησθήσομαι* A 4 tit. habet S in mg. superiore 5 *ἄνδρες* om. P ut saepe deinceps 6 *ὑμεῖς ἐκείνων* P | *κατεγνώκατε* P | *εἷς ἦν*] *εισιν* S[1] 8 *πολλὰ*] *λα* in ras. A (*πολὺ*? A[1]) | *πειραιεως* SY 10 sq. *οὐ γὰρ ἐφ' ἡμισείᾳ χρηστὸν εἶναι δεῖ*] *μισειαι δει* S[1] corr. S[d] | *ἡμισίαι* Q[1] *ἐξ ἡμισείας* Blass sec. Aristid. II 617, 653 al. 11 *τὰ τηλικαῦτα* S corr. VP | *δοκεῖν* P[1] 13 *καταχρήσασθαι* A 14 *τούτων* ... 15 *τούτοις* A 17 sq. *ἐκεῖνοι* ... *πρῶτον* om. Marcellinus IV 427 W. 17 *ἐκεῖνοι* secl. Blass | *ἐκεῖνοι* A: *ἐκεῖνοι τὸ ψήφισμα* S *ἐκεῖνοι καὶ τὸ ψήφισμα* VYP 18 *πρῶτον* S: *τὸ πρῶτον* VAYP 19 *συμμάχοις εἶναι κελεύει τὴν εἰρήνην* VYP cf. § 159

σιν“, οὗτοι δ', οὓς Φίλιππος αὐτοῖς προσέπεμψεν, τού-
τους ὥρκισαν; οὐ τὸ μὲν ψήφισμα „οὐδαμοῦ μόνους
ἐντυγχάνειν Φιλίππῳ“, οὗτοι δ' οὐδὲν ἐπαύσαντ' ἰδίᾳ
χρηματίζοντες; „καὶ ἠλέγχθησάν τινες αὐτῶν ἐν τῇ βουλῇ 279
5 οὐ τἀληθῆ ἀπαγγέλλοντες“, οὗτοι δέ γε καὶ ἐν τῷ δήμῳ.
καὶ ὑπὸ τοῦ; τοῦτο γάρ ἐστιν τὸ λαμπρόν· ὑπ' αὐτῶν
τῶν πραγμάτων· οἷς γὰρ ἀπήγγειλαν οὗτοι, πάντα δή-
431 που γέγονεν τἀναντία. „οὐδ' ἐπιστέλλοντες“ | φησὶ „τά-
ληθῆ.“ οὐκοῦν οὐδ' οὗτοι. „καὶ καταψευδόμενοι τῶν
10 συμμάχων καὶ δῶρα λαμβάνοντες.“ ἀντὶ μὲν τοίνυν τοῦ
καταψευδόμενοι παντελῶς ἀπολωλεκότες· πολλῷ δὲ δή-
που τοῦτο δεινότερον τοῦ καταψεύσασθαι. ἀλλὰ μὴν
ὑπέρ γε τοῦ δῶρ' εἰληφέναι, εἰ μὲν ἠρνοῦντο, ἐλέγχειν
λοιπὸν ἂν ἦν, ἐπειδὴ δ' ὡμολόγουν, ἀπάγειν δήπου προσ-
15 ῆκεν. τί οὖν ὦ ἄνδρες Ἀθηναῖοι; τούτων οὕτως ἐχόν- 280
των, ὑμεῖς ⟨ἐξ⟩ ἐκείνων τῶν ἀνδρῶν ὄντες, οἱ δὲ καὶ
τινὲς αὐτῶν ἔτι ζῶντες, ὑπομενεῖτε τὸν μὲν εὐεργέτην
τοῦ δήμου καὶ τὸν ἐκ Πειραιῶς, Ἐπικράτην, ἐκπεσεῖν
καὶ κολασθῆναι; καὶ πάλιν πρῴην Θρασύβουλον ἐκεῖνον
20 τὸν Θρασυβούλου τοῦ δημοτικοῦ καὶ τοῦ ἀπὸ Φυλῆς
καταγαγόντος τὸν δῆμον, τάλαντα δέκ' ὠφληκέναι, καὶ

1 ὁ φίλιππος VP | προσέπεμψαν Q 2 μόνους ⟨μόνῳ⟩ Cobet 6 ὑπο τουτου· το S[1] super το scripsit m. antiqua τοῦ S 11 καταψευδόμενοι SA: καταψεύδεσθαι VYP 12 δεινότερον τοῦ καταψεύσασθαι SQYP: δεινότερον τοῦ καταψεύδεσθαι A τοῦ καταψεύσασθαι δεινότερον F δεινότερον Herwerden 13 δῶρα ... p. 512, 3 καὶ pap. Ox. 13 ἐλέγχειν SY corr.: ἐξελέγχειν VAY[1]P pap. 14 τὸ λοιπὸν VP | αν ην λοιπον S[1] | ἂν eras. Y | ὡμολόγουν SYP[1]: ὁμολογοῦσιν VAP[4] pap. | προσήκει A pap. 16 ἐξ add. Dobree, cf. § 313, XVIII 126 18 τὸν] τῶν A[1] | πειραιεως SY 19 Θρασύβουλον ἐκεῖνον τὸν om. S[1]Y, add. S[d] mg. ἐκεῖνον om. pap. 20 δημοτικοῦ υἱὸν VP[1] | καὶ om. pap., del. Dobree, cf. Lys. XXVIII 12 21 τὸν δῆμον καταγ. P | [δημον κ]αι τινας αλλους pap.

τὸν ἀφ' Ἁρμοδίου καὶ τῶν τὰ μέγιστ' ἀγάθ' ὑμᾶς εἰργασμένων, οὓς νόμῳ διὰ τὰς εὐεργεσίας ἃς ὑπῆρξαν εἰς ὑμᾶς ἐν ἅπασι τοῖς ἱεροῖς ἐπὶ ταῖς θυσίαις σπονδῶν καὶ κρατήρων κοινωνοὺς πεποίησθε, καὶ ᾄδετε καὶ τιμᾶτ' ἐξ
281 ἴσου τοῖς ἥρωσι καὶ τοῖς θεοῖς, τούτους μὲν πάντας τὴν 5
ἐκ τῶν νόμων δίκην ὑπεσχηκέναι, καὶ μήτε συγγνώμην μήτ' ἔλεον μήτε παιδία κλάονθ' ὁμώνυμα τῶν εὐεργετῶν μήτ' ἄλλο μηδὲν αὐτοὺς ὠφεληκέναι· τὸν δ' Ἀτρομήτου τοῦ γραμματιστοῦ καὶ Γλαυκοθέας τῆς τοὺς θιάσους συναγούσης, ἐφ' οἷς ἑτέρα τέθνηκεν ἱέρεια, τοῦτον 10
ὑμεῖς λαβόντες, τὸν τῶν τοιούτων, τὸν οὐδὲ καθ' ἓν χρήσιμον τῇ πόλει, οὐκ αὐτόν, οὐ πατέρα, οὐκ ἄλλον οὐ-
282 δένα τῶν τούτου, ἀφήσετε; ποῖος γὰρ ἵππος, ποία τριήρης, ποία στρα|τεία, τίς χορός, τίς λητουργία, τίς εἰσφορά, 432
τίς εὔνοια, ποῖος κίνδυνος, τί τούτων ἐν παντὶ τῷ χρόνῳ 15
γέγονεν παρὰ τούτων τῇ πόλει; καίτοι κἂν εἰ ταῦτα πάνθ' ὑπῆρχεν, ἐκεῖνα δὲ μὴ προσῆν, δικαίως καὶ προῖκα πεπρεσβευκέναι, ἀπολωλέναι δήπου προσῆκεν αὐτῷ. εἰ δὲ
283 μήτε ταῦτα μήτ' ἐκεῖνα, οὐ τιμωρήσεσθε; οὐκ ἀναμνησθήσεσθ' ὧν κατηγορῶν ἔλεγεν Τιμάρχου, ὡς οὐδέν ἐστ' 20

1 τὸν] τῶν Y corr. | ἁρμοδίου καὶ S^1A pap.: ἁρμοδίου καὶ ἀριστογείτονος S corr. ἁρμοδίου καὶ ἀριστογείτονος καὶ V (alt. καὶ iterat F^1) YP (alt. καὶ del. punctis), cf. XX 18 | ὑμᾶς P^4: ἡμᾶς SVYP^1 om. A | [.]μας αγαθα pap. | εἰργασμένων S γρ. FQAYP: ἐργασαμένων F text. 3 ἡμᾶς SVYP^1 | και επι pap. 5 ἅπαντας A 7 κλαίοντα SA 11 post λαβόντες add. ἀφήσετε A, cf. XXI 97, omisso ἀφήσετε v. 13 | τοιούτων ⟨αἴτιον⟩ Herwerden | τὸν οὐδὲ] τοιου (ὀν supra) incohaverat S^1 12 οὐχ αὐτον P^1 13 τῶν τούτου] τῶν τοιούτων (ον supra) γρ. P^4 mg. 14 στρατια S | post στρατεία add. ποία χορηγία VAP | χορός] χορηγός VY^2 15 ποῖος] τίς A | ποῖοι κίνδυνοι YP | τούτων S: τούτων ἁπάντων VYP τῶν πάντων A 16 τούτου A 17 ἐκεῖνο VAYP | μὴ δὲ Y | τὸ δικαίως VAYP cf. III 12 18 αὐτὸν A 19 ἀναμνήσεσθε A 20 ὧν οὗτος VP

ὄφελος πόλεως ἥτις μὴ νεῦρ' ἐπὶ τοὺς ἀδικοῦντας ἔχει, οὐδὲ πολιτείας ἐν ᾗ συγγνώμη καὶ παραγγελία τῶν νόμων μεῖζον ἰσχύουσιν· οὐδ' ἐλεεῖν ὑμᾶς οὔτε τὴν μητέρα δεῖν τὴν Τιμάρχου, γραῦν γυναῖκα, οὔτε τὰ παιδί' 5 *οὔτ' ἄλλον οὐδένα, ἀλλ' ἐκεῖν' ὁρᾶν, ὅτι, εἰ προήσεσθε τὰ τῶν νόμων καὶ τῆς πολιτείας, οὐχ εὑρήσετε τοὺς ὑμᾶς αὐτοὺς ἐλεήσοντας. ἀλλ' ὁ μὲν ταλαίπωρος ἄνθρωπος* 284 *ἠτιμώσεται, ὅτι τοῦτον εἶδεν ἀδικοῦντα, τούτῳ δ' ἀθῴῳ δώσετ' εἶναι; διὰ τί; εἰ γὰρ παρὰ τῶν εἰς ἑαυτοὺς ἐξα-* 10 *μαρτόντων τηλικαύτην ἠξίωσε δίκην Αἰσχίνης λαβεῖν, παρὰ τῶν εἰς τὰ τῆς πόλεως τηλικαῦθ' ἡμαρτηκότων, ὧν εἷς οὗτος ὢν ἐξελέγχεται, πηλίκην ὑμᾶς προσήκει λαβεῖν τοὺς ὀμωμοκότας καὶ δικάζοντας; νὴ Δί', οἱ νέοι γὰρ* 285 *ἡμῖν δι' ἐκεῖνον ἔσονται τὸν ἀγῶνα βελτίους. οὐκοῦν* 15 *καὶ διὰ τόνδ' οἱ πολιτευόμενοι, δι' ὧν τὰ μέγιστα κινδυνεύεται τῇ πόλει· προσήκει δὲ καὶ τούτων φροντίζειν. ἵνα τοίνυν εἰδῆθ' ὅτι καὶ τοῦτον ἀπώλεσε, [τὸν Τίμαρχον,] οὐ μὰ Δί' οὐχὶ τῶν ὑμετέρων παίδων, ὅπως ἔσον-* 433 *ται σώφρονες, προορῶν* | *(εἰσὶν γὰρ ὦ ἄνδρες Ἀθηναῖοι* 20 *καὶ νῦν σώφρονες· μὴ γὰρ οὕτω γένοιτο κακῶς τῇ πόλει, ὥστ' Ἀφοβήτου καὶ Αἰσχίνου σωφρονιστῶν δεηθῆναι τοὺς νεωτέρους), ἀλλ' ὅτι βουλεύων ἔγραψεν, ἄν τις ὡς* 286

1 *πόλεως ὄφελος* Q[1] 3 *πλέον ἰσχύει* A | *οὔτε*] *οὐδὲ* SF[1]Q 4 *δεῖ* A | *τὰ* om. A 6 *τὰ τῆς* VAP 7 *ταλαίπωρος*] *ἄθλιος* Hermog. III 340 W. (356, 7 R.) 8 *ἠτιμωσεται* S[1] (*σε* punctis et lineolis not.): *ἠτίμωται* S corr. VAYP *ἠτίμωται τε* (om. V) *καὶ ὕβρισται* Hermog. ex § 287 9 *δώσεται* P | *ἑαυτοὺς* S[1]VYP corr.: *αυτοὺς* AP[1] *ἑαυτον* S corr. | *ἐξαμαρτόντων* S: *ἐξαμαρτανόντων* VAYP 11 *τηλικαῦτ'* A 12 *ὑμῖν* AP[4] 14 *τὸν ἀγῶνα ἔσονται* A 15 *τόνδ'*] *τοῦτόν γε* A | *καὶ οἱ* Y 16 *δὲ καὶ*] litt. *εκ* corr. S[1] *τοίνυν καὶ* A 17 *τὸν Τίμαρχον* del. Cobet 18 *ἡμετέρων* A | *ὅπως* om. Q[1] add. ead. mg. 20 *γενοι* F[1] 21 *Ἀφοβήτου*] *ἀτρομήτου* γρ. P[4]

Φίλιππον ὅπλ' ἄγων ἁλῷ ἢ σκεύη τριηρικά, θάνατον εἶναι τὴν ζημίαν· σημεῖον δέ· πόσον γὰρ ἐδημηγόρει χρόνον Τίμαρχος; πολύν. οὐκοῦν τοῦτον ἦν Αἰσχίνης ἅπαντ' ἐν τῇ πόλει, καὶ οὐδεπώποτ' ἠγανάκτησεν οὐδὲ δεινὸν ἡγήσατ' εἶναι τὸ πρᾶγμα, εἰ ὁ τοιοῦτος λέγει, ἕως εἰς Μακε- 5 *δονίαν ἐλθὼν ἑαυτὸν ἐμίσθωσεν. λέγε δή μοι τὸ ψήφισμα λαβὼν αὐτὸ τὸ τοῦ Τιμάρχου.*

ΨΗΦΙΣΜΑ

287 *Ὁ μὲν τοίνυν ὑπὲρ ὑμῶν γράψας μὴ ἄγειν ἐν τῷ πολέμῳ πρὸς Φίλιππον ὅπλα, εἰ δὲ μή, θανάτῳ ζημιοῦσθαι,* 10 *ἀπόλωλε καὶ ὕβρισται· ὁ δὲ καὶ τὰ τῶν ὑμετέρων συμμάχων ὅπλ' ἐκείνῳ παραδοὺς οὑτοσὶ κατηγόρει καὶ περὶ πορνείας ἔλεγεν, ὦ γῆ καὶ θεοί, δυοῖν μὲν κηδεσταῖν παρεστηκότοιν, οὓς ἰδόντες ἂν ὑμεῖς ἀνακράγοιτε, Νικίου τε τοῦ βδελυροῦ, ὃς ἑαυτὸν ἐμίσθωσεν εἰς Αἴγυπτον* 15 *Χαβρίᾳ, καὶ τοῦ καταράτου Κυρηβίωνος, ὃς ἐν ταῖς πομπαῖς ἄνευ τοῦ προσώπου κωμάζει. καὶ τί ταῦτα; ἀλλὰ τὸν ἀδελφὸν ὁρῶν Ἀφόβητον. ἀλλὰ δῆτ' ἄνω ποταμῶν ἐκείνῃ τῇ ἡμέρᾳ πάντες οἱ περὶ πορνείας ἐρρύησαν λόγοι.*

288 *Καὶ μὴν εἰς ὅσην ἀτιμίαν τὴν πόλιν ἡμῶν ἡ τούτου* 20 *πονηρία καὶ ψευδολογία καταστήσασ' ἔχει, πάντα τἆλλ' ἀφείς, ὃ πάντες ὑμεῖς ἴστ' ἐρῶ. πρότερον μὲν γὰρ ὦ ἄνδρες Ἀθηναῖοι τί παρ' ὑμῖν ἐψή|φισται, τοῦτ' ἐπετή-* **434**

1 *ἄγων ὅπλα* P 2 *δὲ* om. S[1] add. S[d] 6 *αυτὸν ἐμίσθωσε φιλίππωι* A | *δή* om. P 12 *κατηγορεῖ* AYP[1] 14 *παρεστηκότων* (superscr. *οιν*) SF *παρεστηκότοιν* QAYP | *ἰδόντας* A[1] 16 *κυρηβίωνος* QP Hermog. III 307 W. (324, 22 R.) *κυρηβιωνος* S *κυρηβιῶνος* FY *κηρυβίωνος* A 17 *προσώπου* SA[1]A[3]: *προσωπείου* VA[2]YP Hermog. 18 *δὴ τὰ* A 19 *οἱ* SAY: *ὅσοι* superscripto *οἱ* m. rec. F *ὅσοι* QP 20 *αἰσχύνην καὶ ἀτιμίαν* A | *τούτων* A 21 *πονηρία*] *βδελυρία γρ.* QP 22 ὃ] ἃ A 23 *ἡμῖν* A

ρουν οἱ ἄλλοι πάντες Ἕλληνες· νῦν δ' ἤδη περιερχό-
μεθ' ἡμεῖς τί δέδοκται τοῖς ἄλλοις σκοποῦντες, καὶ ὠτα-
κουστοῦντες τί τὰ τῶν Ἀρκάδων, τί τὰ τῶν Ἀμφικτυόνων,
ποῖ πάρεισι Φίλιππος, ζῇ ἢ τέθνηκεν. οὐ τοιαῦτα ποιοῦ- 289
5 μεν; ἐγὼ δ' οὐ δέδοικ' εἰ Φίλιππος ζῇ, ἀλλ' εἰ τῆς πόλεως
τέθνηκεν τὸ τοὺς ἀδικοῦντας μισεῖν καὶ τιμωρεῖσθαι·
οὐδὲ φοβεῖ με Φίλιππος, ἂν τὰ παρ' ὑμῶν ὑγιαίνῃ, ἀλλ'
εἰ παρ' ἡμῖν ἄδεια γενήσεται τοῖς παρ' ἐκείνου μισθαρ-
νεῖν βουλομένοις, καὶ συνεροῦσί τινες τούτοις τῶν ὑφ'
10 ὑμῶν πεπιστευμένων, καὶ πάντα τὸν ἔμπροσθεν χρόνον
ἀρνούμενοι μὴ πράττειν ὑπὲρ Φιλίππου νῦν ἀναβήσον-
ται, ταῦτα φοβεῖ με. τί γὰρ δήποτ', Εὔβουλε, Ἡγησί- 290
λεῳ μὲν κρινομένῳ, ὅς ἀνεψιός ἐστί σοι, καὶ Θρασυβούλῳ
πρῴην, τῷ Νικηράτου θείῳ, ἐπὶ μὲν τῆς πρώτης ψήφου
15 οὐδ' ὑπακοῦσαι καλούμενος ἤθελες, εἰς δὲ τὸ τίμημ' ἀνα-
βὰς ὑπὲρ μὲν ἐκείνων οὐδ' ὁτιοῦν ἔλεγες, ἐδέου δὲ τῶν
δικαστῶν συγγνώμην ἔχειν σοί; εἶθ' ὑπὲρ μὲν συγγενῶν
καὶ ἀναγκαίων ἀνθρώπων οὐκ ἀναβαίνεις, ὑπὲρ Αἰσχί-
νου δ' ἀναβήσει, ὅς, ἡνίκ' ἔκρινεν Ἀριστοφῶν Φιλόνι- 291
20 κον καὶ δι' ἐκείνου τῶν σοὶ πεπραγμένων κατηγόρει,
συγκατηγόρει μετ' ἐκείνου σοῦ καὶ τῶν ἐχθρῶν τῶν σῶν
εἷς ἐξητάζετο; ἐπειδὴ δὲ σὺ μὲν τουτουσὶ δεδιξάμενος

1 δ' ἤδη SF[1]QAP: δὲ δὴ F corr. Y 3 prius τί om. Y[1]
4 τοιαῦτα] ταῦτα A 5 οὐ τοῦτο Hermog. III 326 W. (343, 5 R.) |
ζῇ ἢ τέθνηκεν Hermog. (ex antecedentibus) 7 φοβεῖ] ει in ras. F
ὑμῶν SVYP: ὑμῖν F mg. A cf. § 340 8 ἡμῖν SY: ἡμῖν (υ superscr.) F ὑμῖν
QAP cf. IX 3 9 συναιρουσι S[1]A[1] (ut vid.) P[1] | ὑφ' ὑμῶν] παρ-
ημῖν A παρ' ὑμῖν γρ. P[4] 10 ἔμπροσθε Q[1]Y[1]P 12 ποτ'] που Q
καὶ πάλιν Hermog. III 345 W. (360, 19 R.) 14 νεικηράτου A
15 ἤθελες S γρ. FYP: ἠθέλησας VA 17 σοί Gebauer: σοι SVAYP |
μὲν τῶν P[4] 19 δ'] οὐδὲ A | ἀναβήσηι VAYP[4] 21 συνκατη-
γορει S | τῶν σῶν ἐχθρῶν P 22 δεδειξάμενος AP[1] δεδιδαξάμενος Y[2]

καὶ φήσας καταβαίνειν εἰς Πειραιᾶ δεῖν ἤδη καὶ χρήματ'
εἰσφέρειν καὶ τὰ θεωρικὰ στρατιωτικὰ ποιεῖν, ἢ χειρο-
τονεῖν ἃ συνεῖπε μὲν οὗτος, ἔγραψεν δ' ὁ βδελυρὸς Φι-
λοκράτης, αἰσχρὰν ἀντ' ἴσης ** γενέσθαι τὴν εἰρήνην,
292 οὗτοι δὲ τοῖς μετὰ ταῦτ' ἀδικήμασι | πάντ' ἀπολωλέκασι, 435
τηνικαῦτα διήλλαξαι; καὶ ἐν μὲν τῷ δήμῳ κατηρῶ [Φι- 6
λίππῳ] καὶ κατὰ τῶν παίδων ὤμνυες ἦ μὴν ἀπολωλέναι
Φίλιππον ἂν βούλεσθαι, νῦν δὲ βοηθήσεις τούτῳ; πῶς
οὖν ἀπολεῖται, ὅταν τοὺς παρ' ἐκείνου δωροδοκοῦντας
293 σὺ σῴζῃς; τί γὰρ δήποτε Μοιροκλέα μὲν ἔκρινες, εἰ παρὰ 10
τῶν τὰ μέταλλ' ἐωνημένων εἴκοσιν ἐξέλεξε δραχμὰς παρ'
ἑκάστου, καὶ Κηφισοφῶντα γραφὴν ἱερῶν χρημάτων
ἐδίωκες, εἰ τρισὶν ὕστερον ἡμέραις ἐπὶ τὴν τράπεζαν
ἔθηκεν ἑπτὰ μνᾶς· τοὺς δ' ἔχοντας, ὁμολογοῦντας, ἐξε-
λεγχομένους ἐπ' αὐτοφώρῳ ἐπὶ τῷ τῶν συμμάχων ὀλέθρῳ 15
ταῦτα πεποιηκότας, τούτους οὐ κρίνεις, ἀλλὰ καὶ σῴζειν
294 κελεύεις; καὶ μὴν ὅτι ταῦτα μέν ἐστιν φοβερὰ καὶ προ-
νοίας καὶ φυλακῆς πολλῆς δεόμενα, ἐφ' οἷς δ' ἐκείνους
[σὺ] ἔκρινες, γέλως, ἐκείνως ὄψεσθε. ἦσαν ἐν Ἤλιδι κλέ-

4 *αἰσχρὰν* S: *ἐξ ὧν αἰσχρὰν* S[d]VAYP | *ἀντ' ἴσης* A et fort. S[1]: *ἀντὶ καλῆς* S[d]VYP | *συνέβη* ante *γενέσθαι* add. S[d]VAYP (*καλῆς συνέβη* in ras. 8 vel 9 litt. S[d]) *ἐποίησας* Bekker *εἴασας* Nitsche; num *ἐφῆκας*? | *γεγενῆσθαι* A 5 *οὗτοι δ' ἐπειδὴ* VP[1] (*ἐπειδὴ* punct. del. P[4]) 6 *κατηρῶ* S corr. (*κατηρῶι*) FA: *κατηγορωι* S[1] *κατηγορῶ* Q *κατηγορῶν* *γρ.* VYP | *φιλίππωι* SVA *φιλίππου* *γρ.* VYP secl. Dobree coll. XVIII 283 7 post *μὴν* ras. 2 litt. QA 8 *ἂν βούλεσθαι* in ras. 16 litt. P[1] | *βούλησθε* Y 9 *ἀπολεῖται*] post *ο* 2 litt. eras. S | *ἐκείνωι* A 10 *σὺ* om. Q | *μοιροκλέα* SF mg. QAYP: *μυροκλέα* F text. | *ἔκρινες* A: *ἔκρινας* SVYP pap. Tebt. 11 *μέταλλα*] prius λ puncto et lineola notatum S | *εἴκοσι* Y[1] *ἐξέλεξε*] ultimum ε in ras. A 15 *αὐτοφορωι* S[1] 16 *οὐ*] *δε οὐ μόνον οὐ* *γρ.* S[d] 17 *καὶ προνοίας* om. A cf. XVIII 161 19 *σὺ* om. A | *ἔκρεινας* pap. Tebt. | *ἐκείνως* S *γρ.* FY: *ἐκεῖθεν* VAP ex § 154? | *ὄψεσθε*] *εἴσεσθε* *γρ.* S[d] ex § 154

πτοντες τὰ κοινά τινες; καὶ μάλ' εἰκός γε. ἔστιν οὖν ὅστις
μετέσχεν αὐτόθι νῦν τούτων τοῦ καταλῦσαι τὸν δῆμον;
οὐδὲ εἷς. τί δ'; ἦσαν, ὅτ' ἦν Ὄλυνθος, τοιοῦτοί τινες
ἄλλοι; ἐγὼ μὲν οἴομαι. ἆρ' οὖν διὰ τούτους ἀπώλετ'
5 Ὄλυνθος; οὔ. τί δ'; ἐν Μεγάροις οὐκ οἴεσθ' εἶναί τινα
καὶ κλέπτην καὶ παρεκλέγοντα τὰ κοινά; ἀνάγκη. καὶ
πέφηνέ τις αἴτιος αὐτόθι νῦν τούτων τῶν συμβεβηκότων
πραγμάτων; οὐδὲ εἷς. ἀλλὰ ποῖοί τινες οἱ τὰ τηλικαῦτα 295
καὶ τοιαῦτ' ἀδικοῦντες; οἱ νομίζοντες αὑτοὺς ἀξιόχρεως
10 εἶναι τοῦ Φιλίππου ξένοι καὶ φίλοι προσαγορεύεσθαι,
οἱ στρατηγιῶντες καὶ προστασίας ἀξιούμενοι, οἱ μείζους
τῶν πολλῶν οἰόμενοι δεῖν εἶναι. οὐ Περίλας ἐκρίνετ'
436 ἔναγχος ἐν Μεγάροις ἐν τοῖς τρια|κοσίοις, ὅτι πρὸς Φί-
λιππον ἀφίκετο, καὶ παρελθὼν Πτῳόδωρος αὐτὸν ἐξῃ-
15 τήσατο, καὶ πλούτῳ καὶ γένει καὶ δόξῃ πρῶτος Μεγαρέων,
καὶ πάλιν ὡς Φίλιππον ἐξέπεμψεν, καὶ μετὰ ταῦθ' ὁ μὲν
ἧκεν ἄγων τοὺς ξένους, ὁ δ' ἔνδον ἐτύρευεν; τοιαῦτα. οὐ 296
γάρ ἔστιν, οὐκ ἔσθ' ὅ τι τῶν πάντων μᾶλλον εὐλαβεῖσθαι
δεῖ ἢ τὸ μείζω τινὰ τῶν πολλῶν ἐᾶν γίγνεσθαι. μή μοι
20 σῳζέσθω μηδ' ἀπολλύσθω μηδείς, ἂν ὁ δεῖνα βούληται,

1 γε om. A 2 μετέσχηκεν A 3 οὐδείς A | τί δ' om. A 4 οἴομαι S: οἶμαι VAYP | ἀπόλωλεν P 6 καὶ ante κλέπτην add. S: om. VAYP 6 sq. καὶ πέφηνέ τις AY: και πεφηνε τις S καὶ πέφηνε. τίς οὖν VP (οὖν om. P) καὶ del. Madvig 8 ποῖοι καὶ S corr. VYP | τίνες εἰσὶν οἱ VP τινες εἰσιν οἱ A 8 sq. τοιαῦτα καὶ τηλικαῦτα A 9 τοιαῦτα διοικοῦντες P | ἑαυτοὺς A del. Richards 11 στρατηγιῶντες SF[1]QAP: στρατηγιῶν τε F corr. Y | προστασίας SF (προσστ- F[1]) AY: προστασίων Q προστασιῶν P 12 Περίλας] περίλαος SVAYP Harpocr. cf. XVIII 48. 295 14 Πτῳόδωρος] πτοιόδωρος SVAYP cf. ad XVIII 295 | αὐτὸν om. Q 15 δόξῃ καὶ γένει A pap. Tebt. 19 ἐᾶν γίνεσθαι μή μ in ras. A[2] 20 ἂν S: ἐὰν γρ S[d]A ὃν ἐὰν VP[1] ὃν ἂν YP[4] Hermog. III 251 W. (270, 19 R.) | δεῖνα ἢ ὁ δεῖνα γρ. S[d]VAYP Hermog.

ἀλλ᾿ ὃν ἂν τὰ πεπραγμένα σῴζῃ καὶ τοὐναντίον, τούτῳ τῆς προσηκούσης ψήφου παρ᾿ ὑμῶν ὑπαρχέτω τυγχάνειν·
297 *τοῦτο γάρ ἐστιν δημοτικόν. ἔτι τοίνυν πολλοὶ παρ᾿ ὑμῖν ἐπὶ καιρῶν γεγόνασιν ἰσχυροί, Καλλίστρατος, αὖθις Ἀριστοφῶν, Διόφαντος, τούτων ἕτεροι πρότερον. ἀλλὰ ποῦ* 5 *τούτων ἕκαστος ἐπρώτευεν; ἐν τῷ δήμῳ· ἐν δὲ τοῖς δικαστηρίοις οὐδείς πω μέχρι τῆς τήμερον ἡμέρας ὑμῶν οὐδὲ τῶν νόμων οὐδὲ τῶν ὅρκων κρείττων γέγονεν. μὴ τοίνυν μηδὲ νῦν τοῦτον ἐάσητε. ὅτι γὰρ ταῦτα φυλάττοισθ᾿ ἂν εἰκότως μᾶλλον ἢ πιστεύοιτε, τῶν θεῶν ὑμῖν* 10 *μαντείαν ἀναγνώσομαι, οἵπερ ἀεὶ σῴζουσι τὴν πόλιν πολλῷ τῶν προεστηκότων μᾶλλον. λέγε τὰς μαντείας.*

ΜΑΝΤΕΙΑΙ

298 *Ἀκούετ᾿ ὦ ἄνδρες Ἀθηναῖοι τῶν θεῶν οἷ᾿ ὑμῖν προλέγουσιν. εἰ μὲν τοίνυν πολεμούντων ὑμῶν ταῦτ᾿ ἀνῃ-* 15 *ρήκασιν, τοὺς στρατηγοὺς λέγουσι φυλάττεσθαι· πολέμου γάρ εἰσιν ἡγεμόνες οἱ στρατηγοί· εἰ δὲ πεποιημένων εἰρήνην, τοὺς ἐπὶ τῆς πολιτείας ἐφεστηκότας· οὗτοι γὰρ ἡγοῦνται, τούτοις πείθεσθ᾿ ὑμεῖς, | ὑπὸ τούτων δέος ἐστὶ* **437** *μὴ παρακρουσθῆτε. „καὶ τὴν πόλιν συνέχειν“ φησὶν [ἐν* 20
Din. I 99 *τῇ μαντείᾳ] „ὅπως ἂν μίαν γνώμην ἔχωσιν ἅπαντες καὶ*

2 *ὑμῖν* A 4 post *Καλλίστρατος* add. *ἐκεῖνος* S[d]VP 5 *ποῦ* om. Q 10 *μᾶλλον ὑμεῖς* V | *ἢ τούτοις* VP 11 *μαντείαν*] *μαρτυρίαν* S *μαντίαν* F 14 *οἷα* γρ. VAYP: *ἃ* SV text. 15 *ὑμῶν* QAP: *ἡμῶν* SY *ἡμῶν* (*υ* supra) F | *ἀνῃρήκασι* AP[4]: *ανειρηκασιν* SF corr. *ἂν εἰρήκασι* F[1]QYP[1] 17 *οἱ* om. S[1] (add. ant. m.) 18 *ἐφεστηκότας* SVAY γρ. P[4]: *ἐφεστῶτας* P[1] 19 *καὶ τούτοις* S rec. | *ὑμεῖς* om. Hermog. III 288 W. (306, 20 R.) | *δέος*] *δε ως* ut vid. S[1] 20 *δεῖν συνέχειν* VYP | *φησὶν* Sauppe: *φησὶν ἐν τῆι μαντείαι* SF[1]QY[1] *φησὶν ἡ μαντεία* γρ. S[d]F corr. γρ. QAY corr. P *φησὶν ἐν τῇ μαντείᾳ* secl. Blass 21 *ὅπως ἂν*] *ὅπου ἂν* Dobree *ὁπότ᾿ ἂν* Weil | *πάντες* A

μὴ τοῖς ἐχθροῖς ἡδονὴν ποιῶσιν“. πότερον οὖν οἴεσθ' 299
ἂν ὦ ἄνδρες Ἀθηναῖοι τὸν τοσαῦτα κάκ' εἰργασμένον
σωθέντα, ἢ δίκην δόντα, ἡδονὴν Φιλίππῳ ποιῆσαι; ἐγὼ
μὲν οἴομαι σωθέντα. φησὶ δέ γ' ἡ μαντεία δεῖν ὅπως
5 ἂν μὴ χαίρωσιν οἱ ἐχθροὶ ποιεῖν. ἅπασι τοίνυν μιᾷ γνώμῃ
παρακελεύεται κολάζειν τοὺς ὑπηρετηκότας τι τοῖς ἐχθροῖς
ὁ Ζεύς, ἡ Διώνη, πάντες οἱ θεοί. ἔξωθεν οἱ ἐπιβουλεύ-
οντες, ἔνδοθεν οἱ συμπράττοντες. οὐκοῦν τῶν ἐπιβου-
λευόντων μὲν ἔργον διδόναι, τῶν συμπραττόντων δὲ
10 λαμβάνειν καὶ τοὺς εἰληφότας ἐκσῴζειν.

Ἔτι τοίνυν κἂν ἀπ' ἀνθρωπίνου λογισμοῦ τοῦτ' ἴδοι 300
τις, ὅτι πάντων ἐχθρότατον καὶ φοβερώτατον τὸ τὸν
προεστηκότ' ἐᾶν οἰκεῖον γίγνεσθαι τοῖς μὴ τῶν αὐτῶν
ἐπιθυμοῦσι τῷ δήμῳ. τίσι γὰρ τῶν πραγμάτων ἐγκρα-
15 τὴς γέγονεν Φίλιππος ἁπάντων, καὶ τίσιν τὰ μέγιστα
κατείργασται τῶν πεπραγμένων, σκέψασθε. τῷ παρὰ τῶν
πωλούντων τὰς πράξεις ὠνεῖσθαι, τῷ τοὺς προεστηκότας
ἐν ταῖς πόλεσιν διαφθείρειν καὶ ἐπαίρειν, τούτοις. ταῦτα 301
τοίνυν ἐφ' ὑμῖν ἐστιν ἀμφότερα, ἐὰν βούλησθε, ἀχρεῖα
20 ποιῆσαι τήμερον, ἂν τῶν μὲν μὴ 'θέλητ' ἀκούειν τοῖς
τοιούτοις συνηγορούντων, ἀλλ' ἐπιδείξητ' ἀκύρους ὄντας
ὑμῶν (νῦν γάρ φασιν εἶναι κύριοι), τὸν δὲ πεπρακόθ'

1 πότερ' YP 2 ἂν om. FAP[1] 3 ἡδονὴν ἂν A 4 οἶμαι VAY | ἀεὶ δεῖν FY, ras. ante δεῖν Q 5 ἂν om. A | πᾶσι P | τοίνυν ὑμῖν A 6 παρακελεύεται ἡμῖν P[4] 8 ἔνδοθεν δὲ P[1], δὲ del. P[3] | μὲν ἐπιβουλευόντων P 9 τὸ διδόναι VP | συμπρατ-τόντων] ραττ in ras. F 11 τοῦτο habet A[1] mg. | ἂν ἴδοι F[1] (punctis del.) QP 12 φοβερώτατόν ἐστι A 15 τίσιν F[1]: τίσι SF corr. QAYP 18 ἐπαρειν A[1] | τούτοις L, Reiske: τούτους SVAYP 19 ἡμῖν F 20 ἂν SY: ἐὰν VAP | ἀκούειν τῶν τοῖς S corr. γρ. QAP corr. 21 τοιουτοι F[1] 22 ὑμῖν P

302 *ἑαυτὸν κολάσητε, καὶ τοῦθ' ἅπαντες ἴδωσιν. παντὶ μὲν γὰρ εἰκότως ἂν ὀργισθείητ' ὦ | ἄνδρες Ἀθηναῖοι τοι-* 438 *αῦτα πεποιηκότι καὶ προδεδωκότι συμμάχους καὶ φίλους καὶ καιρούς, μεθ' ὧν ἢ καλῶς ἢ κακῶς ἑκάστοις ἔχει τὰ πάντα, οὐ μὴν οὐδενὶ μᾶλλον οὐδὲ δικαιότερον ἢ τούτῳ.* 5 *ὃς γὰρ ἑαυτὸν τάξας τῶν ἀπιστούντων εἶναι Φιλίππῳ, καὶ μόνος καὶ πρῶτος ἰδὼν ὅτι κοινὸς ἐχθρὸς ἐκεῖνός ἐστιν ἁπάντων τῶν Ἑλλήνων, ηὐτομόλησεν καὶ προὔδωκεν καὶ γέγονεν ἐξαίφνης ὑπὲρ Φιλίππου, πῶς οὐ πολ-*

303 *λάκις οὗτος ἄξιός ἐστ' ἀπολωλέναι; ἀλλὰ μὴν ὅτι ταῦθ'* 10 *οὕτως ἔχει, αὐτὸς οὐχ οἷός τ' ἀντειπεῖν ἔσται. τίς γάρ ἐσθ' ὁ τὸν Ἴσχανδρον προσάγων ὑμῖν τὸ κατ' ἀρχάς, ὃν παρὰ τῶν ἐν Ἀρκαδίᾳ φίλων τῇ πόλει δεῦρ' ἥκειν ἔφη; τίς ὁ συσκευάζεσθαι τὴν Ἑλλάδα καὶ Πελοπόννησον Φίλιππον βοῶν, ὑμᾶς δὲ καθεύδειν; τίς ὁ τοὺς μα-* 15 *κροὺς καὶ καλοὺς λόγους ἐκείνους δημηγορῶν, καὶ τὸ Μιλτιάδου καὶ ⟨τὸ⟩ Θεμιστοκλέους ψήφισμ' ἀναγιγνώσκων καὶ τὸν ἐν τῷ τῆς Ἀγλαύρου τῶν ἐφήβων ὅρκον;*

304 *οὐχ οὗτος; τίς ὁ πείσας ὑμᾶς μόνον οὐκ ἐπὶ τὴν ἐρυθρὰν θάλατταν πρεσβείας πέμπειν, ὡς ἐπιβουλευομένης μὲν* 20 *ὑπὸ Φιλίππου τῆς Ἑλλάδος, ὑμῖν δὲ προσῆκον προορᾶν ταῦτα καὶ μὴ προΐεσθαι τὰ τῶν Ἑλλήνων; οὐχ ὁ μὲν γράφων τὸ ψήφισμ' Εὔβουλος ἦν, ὁ δὲ πρεσβεύων εἰς*

1 *αυτὸν* A | *ἅπαντες* habet Q[1] mg. | *ταῦτα πάντες* A *τοῦτον πάντες γρ.* QP[1] 2 *ἂν* om. P[1] 4 *ἢ* ante *καλῶς* om. P 5 *οὐδὲ* om. VP[1] | *ἢ*] *ἤι* F[1] 7 *ἐκεῖνος ἐχθρὸς* A 10 *ἐστ' ἄξιος* P 12 *ἐστιν* VAP | *ἴσχρανδρον* SY | *ἡμῖν* A[1] 14 *συσκευάζεσθαι*] *εσθαι* in ras. A 15sq. *καλοὺς καὶ μακροὺς* A *καλοὺς καὶ μακροὺς καὶ πολλοὺς* VP cf. § 11 16 *ἐκείνους λόγους* P 17 *Μιλτιάδου*] post *λ* ras. in Q | *τὸ* add. Weil ex schol. p. 446, 17 18 *ἀγραύλου* A *γρ.* QP[1] (*ἀγλαύρου γρ.* P[3]) 20 *πρεσβείαν* A

21 *προσῆκον* QAYP: *προσῆκεν* S *προσῆκεν* F

Πελοπόννησον Αἰσχίνης οὑτοσί; ἐλθὼν δ' ἐκεῖσε, ἅττα
μέν ποτε διελέχθη καὶ ἐδημηγόρησεν, αὐτὸς ἂν εἰδείη,
ἃ δ' ἀπήγγειλεν πρὸς ὑμᾶς, ὑμεῖς οἶδ' ὅτι μέμνησθε
πάντες. βάρβαρόν τε γὰρ πολλάκις καὶ ἀλάστορα τὸν 305
5 *Φίλιππον ἀποκαλῶν ἐδημηγόρει, καὶ τοὺς Ἀρκάδας ὑμῖν*
439 *ἀπήγγελλεν ὡς ἔχαιρον, εἰ | προσέχει τοῖς πράγμασιν ἤδη*
καὶ ἐγείρεται ἡ τῶν Ἀθηναίων πόλις. ὃ δὲ πάντων μάλιστ'
ἀγανακτῆσαι ἔφη· συντυχεῖν γὰρ ἀπιὼν Ἀτρεστίδᾳ παρὰ
Φιλίππου πορευομένῳ, καὶ μετ' αὐτοῦ γύναια καὶ παι-
10 *δάρι' ὡς τριάκοντα βαδίζειν, αὐτὸς δὲ θαυμάσας ἐρέσθαι*
τινὰ τῶν ὁδοιπόρων τίς ἅνθρωπός ἐστι καὶ τίς ὄχλος ὁ
μετ' αὐτοῦ, ἐπειδὴ δ' ἀκοῦσαι ὅτι Ἀτρεστίδας παρὰ Φι- 306
λίππου τῶν Ὀλυνθίων αἰχμάλωτα δωρειὰν ταῦτ' ἔχων
ἀπέρχεται, δεινὸν αὐτῷ τι δόξαι καὶ δακρῦσαι καὶ ὀδύ-
15 *ρασθαι τὴν Ἑλλάδα, ὡς κακῶς διάκειται, ἣ τοιαῦτα πάθη*
περιορᾷ γιγνόμενα. καὶ συνεβούλευεν ὑμῖν πέμπειν τι-
νὰς εἰς Ἀρκαδίαν, οἵτινες κατηγορήσουσιν τῶν τὰ Φι-
λίππου πραττόντων· ἀκούειν γὰρ ἔφη τῶν φίλων, ὡς
ἐὰν ἐπιστροφὴν ἡ πόλις ποιήσηται καὶ πρέσβεις πέμψῃ,
20 *δίκην ἐκεῖνοι δώσουσι. ταῦτα μὲν τοίνυν τότε καὶ μάλ'* 307
ὦ ἄνδρες Ἀθηναῖοι καλὰ καὶ τῆς πόλεως ἄξι' ἐδημη-
γόρει. ἐπειδὴ δ' ἀφίκετ' εἰς Μακεδονίαν καὶ τὸν ἐχθρὸν

2 *ποτε*] *τότε* AP^{4} 3 *πάντες μέμνησθε* P 4 *καὶ* om. F^{1}
6 *απηγγειλεν* S^{1}P^{1} 7 *ἁπάντων* A 9 *μετατου* S^{1} *μετὰ τούτου* A
10 *ἔρεσθαι θαυμάσας* A 11 *ἅνθρωπος* Bekker: *ανθρωπος* S
ἄνθρωπος VAYP *ὁ ἄνθρωπος* leg. ante Reiskium | *ὁ ὄχλος* P
12 *ἀκοῦσαι* VYP: *ακουσαι* SA corr. *ἀκούσας* ut vid. A^{1} | *Ἀτρεστί-*
δας] cf. Mitt. des K. D. Arch. Inst. Athen. Abt. XXXVI p. 351
13 *αἰχμάλωτα*^{ον}, postr. *α* in ras. P^{3} | *ταῦτ' ἔχων ἀπέρχεται*] *ἔχων*
ταῦτα ἄγει γρ. QP 14 *αὐτῷ* Ald. Voem.: *αὐτῶι* SVAYP | *ὀδύ-*
ρεσθαι P^{1} 15 *ἣ* SVYP: *εἰ* A(Y^{1}?), cf. § 309 17 *κατηγορή-*
σωσι P^{1} | *τὰ*] *ὑπὲρ* A 19 *ἂν* A

εἶδε τὸν αὑτοῦ καὶ τῶν Ἑλλήνων, τὸν Φίλιππον, ἆρά γ'
ὅμοι' ἢ παραπλήσια τούτοις; πολλοῦ γε καὶ δεῖ, ἀλλὰ
μήτε τῶν προγόνων μεμνῆσθαι μήτε τρόπαια λέγειν μήτε
βοηθεῖν μηδενί, τῶν τε κελευόντων μετὰ τῶν Ἑλλήνων
περὶ τῆς πρὸς Φίλιππον εἰρήνης βουλεύεσθαι θαυμάζειν, 5
εἰ περὶ τῶν ὑμετέρων ἰδίων ἄλλον τινὰ δεῖ πεισθῆναι·
308 εἶναί τε τὸν Φίλιππον αὐτόν, Ἡράκλεις, Ἑλληνικώτατον
ἀνθρώπων, δεινότατον λέγειν, φιλαθηναιότατον· οὕτω
δ' ἀτόπους τινὰς ἐν τῇ πόλει καὶ δυσχερεῖς ἀνθρώπους
εἶναι, ὥστ' οὐκ αἰσχύνεσθαι λοιδορουμένους αὐτῷ καὶ 10
βάρ|βαρον αὐτὸν ἀποκαλοῦντας. ἔστιν οὖν ὅπως ταῦτ' 440
ἄν, ἐκεῖνα προειρηκώς, ὁ αὐτὸς ἀνὴρ μὴ διαφθαρεὶς ἐτόλ-
309 μησεν εἰπεῖν; τί δ'; ἔσθ' ὅστις ἂν τὸν Ἀτρεστίδαν τότε
μισήσας διὰ τοὺς τῶν Ὀλυνθίων παῖδας καὶ γύναια,
ταὐτὰ Φιλοκράτει νῦν πράττειν ὑπέμεινεν, ὃς γυναῖκας 15
ἐλευθέρας τῶν Ὀλυνθίων ἤγαγεν δεῦρο [ἐφ' ὕβρει] καὶ
οὕτως ἐπὶ τῷ βδελυρῶς βεβιωκέναι γιγνώσκεται, ὥστε
μηδὲν ἔμ' αἰσχρὸν εἰπεῖν νυνὶ περὶ αὐτοῦ δεῖν μηδὲ
δυσχερές, ἀλλὰ τοσοῦτον εἰπόντος μόνον, ὅτι Φιλοκρά-
της γυναῖκας ἤγαγεν, πάντας ὑμᾶς εἰδέναι καὶ τοὺς περι- 20
εστηκότας τὰ μετὰ ταῦτα, καὶ ἐλεεῖν εὖ οἶδ' ὅτι τὰς ἀτυ-
χεῖς καὶ ταλαιπώρους ἀνθρώπους, ἃς οὐκ ἠλέησεν Αἰσχίνης,
οὐδ' ἐδάκρυσεν ἐπὶ ταύταις τὴν Ἑλλάδα, εἰ παρὰ τοῖς
310 συμμάχοις ὑπὸ τῶν πρέσβεων ὑβρίζονται. ἀλλ' ὑπὲρ

1 εἶδε] ειλε ut vid. S[1] ἴδε A | ἑαυτοῦ VP | τὸν (τῶν Y[1]) Φίλιππον del. Cobet 3 λέγει S 4 βοηθει S[1] 8 ἄνθρωπον V 11 ὅπως ταῦτ'] ὅπως ut vid. omiserat primo A[1] 11 sq. ἂν ταῦτ' P 13 ἐστιν VAP 14 τὰ γύναια γρ. QAP 15 νῦν πράττειν] συμπράττειν A 16 ἐφ' ὕβρει secl. Weil 18 αἰσχρὸν ἐμὲ AP νῦν A 20 ἅπαντας A 21 τὰ] om. SVYP 23 Ἑλλάδα] ἐλπίδα A

αὐτοῦ κλαήσει τοῦ τὰ τοιαῦτα πεπρεσβευκότος, καὶ τὰ
παιδί' ἴσως παράξει καὶ ἀναβιβᾶται. ὑμεῖς δ' ἐνθυμεῖσθ'
ὦ ἄνδρες δικασταὶ πρὸς μὲν τὰ τούτου παιδία, ὅτι πολ-
λῶν συμμάχων ὑμετέρων καὶ φίλων παῖδες ἀλῶνται καὶ
5 πτωχοὶ περιέρχονται δεινὰ πεπονθότες διὰ τοῦτον, οὓς
ἐλεεῖν πολλῷ μᾶλλον ὑμῖν ἄξιον ἢ τοὺς τοῦ ἠδικηκότος
καὶ προδότου πατρός, καὶ ὅτι τοὺς ὑμετέρους παῖδας
οὗτοι, „καὶ τοῖς ἐκγόνοις“ προσγράψαντες ⟨εἰς⟩ τὴν
εἰρήνην, καὶ τῶν ἐλπίδων ἀπεστερήκασι· πρὸς δὲ τὰ αὐ-
10 τοῦ τούτου δάκρυα, ὅτι νῦν ἔχετ' ἄνθρωπον, ὃς εἰς
Ἀρκαδίαν ἐκέλευεν ἐπὶ τοὺς ὑπὲρ Φιλίππου πράττοντας
πέμπειν τοὺς κατηγορήσοντας. νῦν τοίνυν ὑμᾶς οὐκ εἰς 311
441 Πελο|πόννησον δεῖ πρεσβείαν πέμπειν, οὐδ' ὁδὸν μακρὰν
βαδίσαι, οὐδ' ἐφόδι' ἀναλίσκειν, ἀλλ' ἄχρι τοῦ βήματος
15 ἐνταυθὶ προσελθόνθ' ἕκαστον ὑμῶν τὴν ὁσίαν καὶ τὴν
δικαίαν ψῆφον ὑπὲρ τῆς πατρίδος θέσθαι κατ' ἀνδρός,
ὅς, ὦ γῆ καὶ θεοί, ἐκεῖν' ἃ διεξῆλθον ἐν ἀρχῇ δεδημη-
γορηκώς, τὸν Μαραθῶνα, τὴν Σαλαμῖνα, τὰς μάχας, τὰ
τρόπαια, ἐξαίφνης ὡς ἐπέβη Μακεδονίας, πάντα τἀναν-
20 τία τούτοις, μὴ προγόνων μεμνῆσθαι, μὴ τρόπαια λέγειν,
μὴ βοηθεῖν μηδενί, μὴ κοινῇ μετὰ τῶν Ἑλλήνων βου-
λεύεσθαι, μόνον οὐ καθελεῖν τὰ τείχη. καίτοι τούτων 312

1 κλαήσει Bekker: κλαιήσει SVYP κλαύσεται A 4 ἀλῶνται QP 5 πτωχοὶ in ras. A 6 τοὺς om. Q | τοῦ om. FYP[1] | ante ἠδικηκότος add. τοσαῦτα VYP τοιαῦτα A | ἠδικηκότας FP[1] 7 καὶ ὅτι τοὺς ὑμετέρους om. A del. P[3] 8 οὓς οὗτοι AP[3] | εἰς add. Reiske cf. § 87 (πρὸς add. Markland) cf. § 56, τῇ εἰρήνῃ mg. Mor. 9 αὐτοῦ om. AP 11 ἐκέλευσεν A 12 κατηγορήσαντας A | οὐκ om. Y[1] 15 ἐνταυθὶ S: ἐνταυθοῖ VAYP | προελθόντα γρ. QAP παρελθόντα γρ. F | ὁσίαν καὶ τὴν δικαίαν SY: ὁσίαν καὶ δικαίαν ταύτην VP δικαίαν καὶ ὁσίαν A cf. Din. I 111. II 20. Lyc. 128 20 τούτοις ἔλεγεν γρ. VAYP 21 βουλεσθαι S

αἰσχίους λόγοι οὐδένες πώποτ' ἐν τῷ παντὶ χρόνῳ γεγόνασι παρ' ὑμῖν. τίς γάρ ἐστιν Ἑλλήνων ἢ βαρβάρων οὕτω σκαιὸς ἢ ἀνήκοος ἢ σφόδρα μισῶν τὴν πόλιν τὴν ἡμετέραν, ὅστις, εἴ τις ἔροιτο, „εἰπέ μοι, τῆς νῦν οὔσης Ἑλλάδος ταυτησὶ καὶ οἰκουμένης ἔσθ' ὅ τι ταύτην ἂν 5 *τὴν προσηγορίαν εἶχεν ἢ ᾤκεῖθ' ὑπὸ τῶν νῦν ἐχόντων Ἑλλήνων, εἰ μὴ τὰς ἀρετὰς ὑπὲρ αὐτῶν ἐκείνας οἱ Μαραθῶνι κἀν Σαλαμῖνι παρέσχοντο, οἱ ἡμέτεροι πρόγονοι;“ οὐδ' ἂν εἷς εὖ οἶδ' ὅτι φήσειεν, ἀλλὰ πάντα ταῦθ' ὑπὸ* 313 *τῶν βαρβάρων ἂν ἑαλωκέναι. εἶθ' οὓς μηδὲ τῶν ἐχθρῶν* 10 *μηδεὶς ἂν τούτων τῶν ἐγκωμίων καὶ τῶν ἐπαίνων ἀποστερήσειεν, τούτων Αἰσχίνης ὑμᾶς οὐκ ἐᾷ μεμνῆσθαι, τοὺς ἐξ ἐκείνων, ἵν' αὐτὸς ἀργύριον λάβῃ; καὶ μὴν τῶν μὲν ἄλλων ἀγαθῶν οὐ μέτεστι τοῖς τεθνεῶσιν, οἱ δ' ἐπὶ τοῖς καλῶς πραχθεῖσιν ἔπαινοι τῶν οὕτω τετελευτηκότων* 15 *ἴδιον κτῆμ' εἰσίν (οὐδὲ γὰρ ὁ φθόνος αὐτοῖς ἔτι τηνικαῦτ' | ἐναντιοῦται)· ὧν ἀποστερῶν ἐκείνους οὗτος, αὐ-* **442** *τὸς ἂν τῆς ἐπιτιμίας δικαίως νῦν στερηθείη, καὶ ταύτην ὑπὲρ τῶν προγόνων ὑμεῖς δίκην λάβοιτε παρ' αὐτοῦ. τοιούτοις μέντοι λόγοις, ὦ κακὴ κεφαλὴ σύ, τὰ τῶν προ-* 20 *γόνων ἔργα συλήσας καὶ διασύρας, τῷ λόγῳ πάντα τὰ* 314 *πράγματ' ἀπώλεσας. εἶτα γεωργεῖς ἐκ τούτων καὶ σεμνὸς γέγονας. καὶ γὰρ τοῦτο. πρὸ μὲν τοῦ πάντα κάκ' εἰργάσθαι τὴν πόλιν ὡμολόγει γεγραμματευκέναι καὶ χάριν ὑμῖν ἔχειν τοῦ χειροτονηθῆναι, καὶ μέτριον παρεῖχεν* 25

1 *παντὶ τῶι* A 3 *σκαιος ανηκοος* S[1] 8 *κἀν* Herwerden: *καὶ* SVAYP | *ἡμέτεροι* AP: *ὑμέτεροι* SVY 9 *ταῦτα πάντα* A 10 *ἀνηλωκέναι* P[1] corr. P[3] | *ειτ' ους* A | *μηδὲ*] *δε* s. v. A[1] 12 *ὑμᾶς* om. A 14 *τεθνεωσι* S 19 *ἡμεῖς* P 20 *κεφαλὴ σύ*, P, Gebauer: *κεφαλή, σὺ* vulg. 21 *τῷ λόγῳ* om. Taylor 22 *εἶτα καὶ* P 23 *αὖ τοῦτο* VP | *πρὸ*] *πρὸς* Y | *πάντα τὰ* VAP 25 *ἔχει* F[1] corr. ead.

*ἑαυτόν· ἐπειδὴ δὲ μυρί' εἴργασται κακά, τὰς ὀφρῦς ἀνέ-
σπακεν, κἂν „ὁ γεγραμματευκὼς Αἰσχίνης" εἴπῃ τις,
ἐχθρὸς εὐθέως καὶ κακῶς φησιν ἀκηκοέναι, καὶ διὰ τῆς
ἀγορᾶς πορεύεται θοἰμάτιον καθεὶς ἄχρι τῶν σφυρῶν,
5 ἴσα βαίνων Πυθοκλεῖ, τὰς γνάθους φυσῶν, τῶν Φιλίπ-
που ξένων καὶ φίλων εἷς οὗτος ὑμῖν ἤδη, τῶν ἀπαλλα-
γῆναι τοῦ δήμου βουλομένων καὶ κλύδωνα καὶ μανίαν
τὰ καθεστηκότα πράγμαθ' ἡγουμένων, ὁ τέως προσκυνῶν
τὴν θόλον.*

10 *Βούλομαι τοίνυν ὑμῖν ἐπελθεῖν ἐπὶ κεφαλαίων ὃν τρό-* 315
*πον ὑμᾶς κατεπολιτεύσατο Φίλιππος προσλαβὼν τούτους
τοὺς θεοῖς ἐχθρούς. πάνυ δ' ἄξιον ἐξετάσαι καὶ θεά-
σασθαι τὴν ἀπάτην ὅλην. τὸ μὲν γὰρ ἀπ' ἀρχῆς τῆς
εἰρήνης ἐπιθυμῶν, διαφορουμένης αὐτοῦ τῆς χώρας ὑπὸ
15 τῶν λῃστῶν καὶ κεκλειμένων τῶν ἐμπορίων, ὥστ' ἀνό-
νητον ἐκεῖνον ἁπάντων εἶναι τῶν ἀγαθῶν, τοὺς τὰ φιλάν-
θρωπα λέγοντας ἐκείνους ἀπέστειλεν ὑπὲρ αὐτοῦ, τὸν*
448 *Νεοπτόλεμον, τὸν Ἀριστόδημον, τὸν Κτησιφῶντα·| ἐπειδὴ* 316
*δ' ἤλθομεν ὡς αὐτὸν ἡμεῖς οἱ πρέσβεις, ἐμισθώσατο μὲν
20 τοῦτον εὐθέως, ὅπως συνερεῖ καὶ συναγωνιεῖται τῷ μιαρῷ
Φιλοκράτει καὶ τῶν τὰ δίκαια βουλομένων ἡμῶν πράτ-
τειν περιέσται, συνέγραψε δ' ἐπιστολὴν ὡς ὑμᾶς, ᾗ μάλιστ'
ἂν ᾤετο τῆς εἰρήνης τυχεῖν. ἦν δ' οὐδὲν μᾶλλον μέγ'* 317

3 *εὐθέως ἐχθρὸς* A 4 *φυρῶν* F[1] 8 *τέως* AP schol. ad Plat. Hipparch. 229 D (ex Didymo?): *τέως πρώην* SVY 10 *ὑμῖν* om. Ald. Voem. | *ἐπελθεῖν* S *γρ.* QY *γρ.* P (cf. Arist. eth. Nic. X 1, 4): *ἐπανελθεῖν* VAP[1] cf. Isocr. VIII 132 | *ἐπὶ κεφαλαίων* ante *ἐπανελθεῖν* VP (*ἐπελθεῖν ἐπὶ κεφαλαίων γρ.* Q *γρ.* P) om. Ald. Voem. 11 *ὁ φίλιππος* P[1] 13 *τὸ*] *ὁ* P[3] 15 *κεκλεισμένων* P[1] 19 *μὲν* om. P[1] 20 *εὐθέως τοῦτον* A | *συνερεῖ*] post *ν* ras. et *ε* in ras. F (fuit *συναιρει*, η superscr.) 21 *ἡμῶν* SFYP: *ὑμῶν* Q *ὑμῶν* A secl. Cobet 22 *ᾗ*] *δι' ἧς γρ.* VYP[1] (*ἧι γρ.* P[3]) 23 sq. *μεγ' αὐτῷ*] *οὕτω μέγα* A

*αὐτῷ καθ' ὑμῶν οὐδ' οὕτω πρᾶξαι, εἰ μὴ Φωκέας ἀπο-
λεῖ. τοῦτο δ' οὐκ ἦν εὔπορον· συνῆκτο γὰρ αὐτῷ τὰ
πράγματα, ὥσπερ ἐκ τύχης, εἰς καιρὸν τοιοῦτον, ὥστ' ἢ
μηδὲν ὧν ἐβούλετ' εἶναι διαπράξασθαι, ἢ ἀνάγκην εἶναι
ψεύσασθαι καὶ ἐπιορκῆσαι καὶ μάρτυρας τῆς αὐτοῦ κακίας* 5
318 *πάντας Ἕλληνας καὶ βαρβάρους ποιήσασθαι. εἰ μὲν γὰρ
προσδέξαιτο Φωκέας συμμάχους καὶ μεθ' ὑμῶν τοὺς
ὅρκους αὐτοῖς ἀποδοίη, τοὺς πρὸς Θετταλοὺς καὶ Θη-
βαίους ὅρκους παραβαίνειν εὐθὺς ἀναγκαῖον ἦν, ὧν τοῖς
μὲν τὴν Βοιωτίαν συνεξαιρήσειν ὠμωμόκει, τοῖς δὲ τὴν* 10
*πυλαίαν συγκαταστήσειν· εἰ δὲ μὴ προσδέχοιτο, ὥσπερ
οὐ προσίετο, οὐκ ἐάσειν ὑμᾶς παρελθεῖν αὐτὸν ἡγεῖτο,
ἀλλὰ βοηθήσειν εἰς Πύλας, ὅπερ, εἰ μὴ παρεκρούσθητε,
ἐποιήσατ' ἄν· εἰ δὲ τοῦτο γένοιτο, οὐκ ἐνεῖναι παρελ-*
319 *θεῖν ἐλογίζετο. καὶ τοῦτ' οὐ παρ' ἄλλων αὐτὸν ἔδει πυ-* 15
*θέσθαι, ἀλλ' αὐτὸς ὑπῆρχεν μάρτυς ἑαυτῷ τοῦ πράγμα-
τος· ὅτε γὰρ Φωκέας ἐκράτησε τὸ πρῶτον καὶ διέφθειρε
τοὺς ξένους αὐτῶν καὶ τὸν ἡγούμενον καὶ στρατηγοῦντ'
Ὀνόμαρχον, τότε τῶν ὄντων ἀνθρώπων ἁπάντων οὐδενός,
οὐθ' Ἕλληνος οὔτε βαρβάρου, Φωκεῦσι βοηθήσαντος* 20
πλὴν ὑμῶν, οὐχ ὅπως παρῆλθεν ἢ | διεπράξαθ' ὧν ἠβου- **444**
λήθη τι παρελθών, ἀλλ' οὐδὲ προσελθεῖν ἐγγὺς ἠδυνήθη.
320 *ᾔδει δὴ σαφῶς οἶμαι τοῦθ' ὅτι νῦν, ἡνίκ' ἐστασίαζε μὲν*

1 *οὗδ ουτω κάθυμων* S | ⟨*οὐδὲν*⟩ *οὐδ'* Dobree 4 *εἶναι* puncto notat S del. Taylor 6 *ἅπαντας* A | *πάντας τοὺς* P[1] 8 sq. *αὐτοῖς … ὅρκους* om. P[1] | *αποδωη* ut vid. S[1] 9 *παρα-βαίνειν* post *ἦν* P 11 *συνκαταστήσειν* S 12 *αὐτὸν εἰς πύλας* γρ. Q γρ. P[3] 15 *καὶ τοῦτο*] *αι το* in ras. S *καὶ ταῦτα* V 17 *φωκέας ἐκράτησε τὸ πρῶτον* A: *φωκέας ἐκτήσατο πρῶτον* SY *τὸ πρῶτον ἐκράτησε φωκέας ὁ φίλιππος* VP 19 *ἁπάντων ἀνθρώπων* A 21 *ηβουληθηι* S 23 *δὴ*] *δὲ* γρ. P | *ἐστασιάζετο* A

*αὐτῷ τὰ Θετταλῶν, καὶ Φεραῖοι πρῶτον οὐ συνηκολού-
θουν, ἐκρατοῦντο δὲ Θηβαῖοι καὶ μάχην ἥττηντο καὶ
τρόπαιον ἀπ' αὐτῶν εἱστήκει, οὐκ ἔνεστι παρελθεῖν, εἰ
βοηθήσεθ' ὑμεῖς, οὐδ', ἂν ἐπιχειρῇ, χαιρήσει, εἰ μή τις
5 τέχνη προσγενήσεται. πῶς οὖν μήτε ψεύσομαι φανερῶς,
μήτ' ἐπιορκεῖν δόξας πάνθ' ἃ βούλομαι διαπράξομαι;
πῶς; οὕτως, ἂν Ἀθηναίων τινὰς εὕρω τοὺς Ἀθηναίους
ἐξαπατήσοντας· ταύτης γὰρ οὐκέτ' ἐγὼ τῆς αἰσχύνης
κληρονομῶ. ἐντεῦθεν οἱ μὲν παρ' ἐκείνου πρέσβεις προὔ-* 321
*10 λεγον ὑμῖν ὅτι Φωκέας οὐ προσδέχεται Φίλιππος συμ-
μάχους, οὗτοι δ' ἐκδεχόμενοι τοιαῦτ' ἐδημηγόρουν, ὡς
φανερῶς μὲν οὐχὶ καλῶς ἔχει τῷ Φιλίππῳ προσδέξασθαι
τοὺς Φωκέας συμμάχους διὰ τοὺς Θηβαίους καὶ τοὺς
Θετταλούς, ἂν δὲ γένηται τῶν πραγμάτων κύριος καὶ
15 τῆς εἰρήνης τύχῃ, ἅπερ ἂν συνθέσθαι νῦν ἀξιώσαιμεν
αὐτόν, ταῦτα ποιήσει τότε. τὴν μὲν τοίνυν εἰρήνην ταύ-* 322
*ταις ταῖς ἐλπίσιν καὶ ταῖς ἐπαγωγαῖς ηὕροντο παρ' ὑμῶν
ἄνευ Φωκέων· τὴν δὲ βοήθειαν ἔδει κωλῦσαι τὴν εἰς
τὰς Πύλας, ἐφ' ἣν αἱ πεντήκοντα τριήρεις ὅμως ἐφώρ-
20 μουν, ἵν', εἰ πορεύοιτο Φίλιππος, κωλύοιθ' ὑμεῖς. πῶς* 323
οὖν; τίς τέχνη πάλιν αὖ γενήσεται περὶ ταύτης; τοὺς

1 *τὰ τῶν θετταλῶν* A | *φερεοι* S 2 *εκρατουν* S[1]Y | *μάχην* SY: *μάχηι* A *μάχηι τε* VP | ante *ἥττηντο* 3 vel 4 litt. eras. Q 3 *ἔνεστι*] *ἐνεῖναι γρ.* S[d] *γρ.* V | *εἰ*] in ras. P[8] *εἰ μὴ γρ.* S[d] *γρ.* Q 4 *οὐδ' ἂν*] *ουδεν* ut vid. S[1] | *χαιρήσει* Dobree: *χαίρειν* S *χαιρήσειν γρ.* S[d]A *τοῖς ὅπλοις δυνήσεται* VY[2] (qui *τοῖς ὅπλοις δύ* in ras. 10—12 litt. et *νησεται εἰ μή τις* in mg. habet) P 5 *ψεύσωμαι* YP 6 *ἃ*] *ὅσα* VAP | *διαπράξωμαι* P 7 *οὕτως* om. A | *ἐὰν* P 13 alterum *τοὺς* om. F[1]Q punctis del. P 14 *ἐὰν* VAP 17 *ὑπαγωγαῖς* AP | *εὕρετο* A 18 *ἔδει μετὰ ταῦτα* VAYP 19 *τὰς* om. AP[1] | *ὅμως*] *ὁμόσε* A (alterum *ο* ex *ω* corr.) P[4] 20 *ἵν'*] *ην* S[1], corr. s. v. et in mg. S[d] | *κωλύσοιθ'* P, sed fort. *κωλύσαιθ'* P[1] 21 *πάλιν* om. S[1] add. S[d]

χρόνους ὑμῶν ἀφελέσθαι καὶ ἐπιστῆσαι τὰ πράγματ'
ἀγα|γόντας ἄφνω, ἵνα μηδ' ἂν βούλησθε δύνησθ' ἐξελ- 445
θεῖν. οὐκοῦν τοῦθ' οὗτοι πράττοντες φαίνονται, ἐγὼ
δ', ὥσπερ ἀκηκόατ' ἤδη πολλάκις, οὐχὶ δυνηθεὶς προαπ-
ελθεῖν, ἀλλὰ καὶ μισθωσάμενος πλοῖον κατακωλυθεὶς 5
324 ἐκπλεῦσαι. ἀλλὰ καὶ πιστεῦσαι Φωκέας ἔδει Φιλίππῳ καὶ
ἑκόντας ἐνδοῦναι, ἵνα μηδεὶς χρόνος ἐγγένηται τοῖς πράγ-
μασι μηδ' ἐναντίον ἔλθῃ ψήφισμα παρ' ὑμῶν μηδέν.
οὐκοῦν ὡς μὲν οἱ Φωκεῖς σωθήσονται, παρὰ τῶν Ἀθη-
ναίων πρέσβεων ἀπαγγελθήσεται, ὥστε καὶ εἴ τις ἐμοὶ 10
διαπιστεῖ, τούτοις πιστεύσας αὑτὸν ἐγχειριεῖ· τοὺς δ'
Ἀθηναίους αὐτοὺς μεταπεμψόμεθ' ἡμεῖς, ἵνα πάνθ', ὅσ'
ἂν βούλωνται, νομίσαντες ὑπάρχειν σφίσιν μηδὲν ἐναν-
τίον ψηφίσωνται· οὗτοι δὲ τοιαῦτ' ἀπαγγελοῦσι παρ'
ἡμῶν καὶ ὑποσχήσονται, ἐξ ὧν μηδ' ἂν ὁτιοῦν ᾖ κινη- 15
325 θήσονται. τοῦτον τὸν τρόπον καὶ τοιαύταις τέχναις ὑπὸ
τῶν κάκιστ' ἀπολουμένων ἀνθρώπων πάντα τὰ πράγματ'
ἀπώλετο. καὶ γάρ τοι παραχρῆμα, ἀντὶ μὲν τοῦ Θεσπιὰς
καὶ Πλαταιὰς ἰδεῖν οἰκιζομένας, Ὀρχομενὸν καὶ Κορώ-
νειαν ἠκούσατ' ἠνδραποδισμένας, ἀντὶ δὲ τοῦ τὰς Θήβας 20
ταπεινὰς γενέσθαι καὶ περιαιρεθῆναι τὴν ὕβριν καὶ τὸ
φρόνημ' αὐτῶν, τὰ τῶν συμμάχων τῶν ὑμετέρων Φω-

2 ἀγαγέντας A | δύνησθε AP: δυνήσεσθε SVY 3 τοῦθ' SF rec. YP: ταῦτα F[1] ut vid. Q ταῦθ' A | πράξαντες AP 5 κατακωλυθεὶς SAY: κατεκωλύθην V γρ. P[3] ἐκωλύθην P[1] 7 ἑκόντας S[1]YP[1]: ἑκόντας ἑαυτοὺς S corr. VAP[4] cf. Thuc. IV 129, 5 | ἐκδοῦναι SY 8 ελθειν S[1] 10 ἀπαγγελθήσεται S[d]VAYP: ἀπαγγελλονται S[1] 11 ἑαυτὸν VAP 12 πάνθ'] τανθ S[1] 13 ἂν om. A 14 ψηφισονται S[1] | ἀπαγγέλλουσι SF[1]QY 15 ἡμῶν S corr. AP[1]: ὑμῶν S[1]VY ὑμῖν (ω) P[3] | ᾖ] om. P[1] 16 ὑπὸ τούτων τῶν VAP 20 ἐξηνδραποδισμένας AP, cf. III 20 22 αὐτῶν del. Herwerden | ἡμετέρων A | Φωκέων del. Cobet, cf. § 141

κέων τείχη κατεσκάπτετο· Θηβαῖοι δ' ἦσαν οἱ κατασκά-
πτοντες, οἱ διοικισθέντες ὑπ' Αἰσχίνου τῷ λόγῳ. ἀντὶ δὲ 326
τοῦ τὴν Εὔβοιαν ἀντ' Ἀμφιπόλεως ὑμῖν παραδοθῆναι,
ὁρμητήρι' ἐφ' ὑμᾶς ἐν Εὐβοίᾳ Φίλιππος προσκατασκευά-
446 ζεται καὶ Γεραστῷ καὶ | Μεγάροις ἐπιβουλεύων διατελεῖ.
6 ἀντὶ δὲ τοῦ τὸν Ὠρωπὸν ὑμῖν ἀποδοθῆναι, περὶ Δρυμοῦ
καὶ τῆς πρὸς Πανάκτῳ χώρας μεθ' ὅπλων ἐξερχόμεθα,
ὅ, τέως ἦσαν Φωκεῖς σῷοι, οὐδεπώποτ' ἐποιήσαμεν. ἀντὶ 327
δὲ τοῦ τὰ πάτρι' ἐν τῷ ἱερῷ κατασταθῆναι καὶ τὰ χρή-
10 ματ' εἰσπραχθῆναι τῷ θεῷ, οἱ μὲν ὄντες Ἀμφικτύονες
φεύγουσι καὶ ἐξελήλανται, καὶ ἀνάστατος αὐτῶν ἡ χώρα
γέγονεν, οἱ δ' οὐπώποτ' ἐν τῷ πρόσθεν χρόνῳ γενόμενοι,
Μακεδόνες καὶ βάρβαροι, νῦν Ἀμφικτύονες εἶναι βιά-
ζονται· ἐὰν δέ τις περὶ τῶν ἱερῶν χρημάτων μνησθῇ,
15 κατακρημνίζεται, ἡ πόλις δὲ τὴν προμαντείαν ἀφῄρηται.
καὶ γέγονεν τὰ πράγματα πάνθ' ὥσπερ αἴνιγμα τῇ πόλει. 328
ὁ μὲν οὐδὲν ἔψευσται καὶ πάνθ' ὅσ' ἠβουλήθη διαπέ-
πρακται, ὑμεῖς δ' ἅπερ εὔξαισθ' ἂν ἐλπίσαντες, τἀναν-
τία τούτων ἑοράκατε γιγνόμενα, καὶ δοκεῖτε μὲν εἰρήνην
20 ἄγειν, πεπόνθατε δὲ δεινότερ' ἢ πολεμοῦντες· οὗτοι δὲ
χρήματ' ἔχουσιν ἐπὶ τούτοις καὶ μέχρι τῆς τήμερον ἡμέ-
ρας δίκην οὐ δεδώκασιν. ὅτι γὰρ ταῦθ' ἁπλῶς δεδωρο- 329
δόκηται καὶ τιμὴν ἔχουσιν ἁπάντων τούτων οὗτοι, πολ-
λαχόθεν μὲν ἔγωγ' οἶμαι δῆλον ὑμῖν εἶναι πάλαι, καὶ

3 ἡμῖν A 4 κατεσκευάζετο A κατασκευάζεται P[1] 5 prius καὶ iter. Q | γεραιστωι SVYP corr. 8 τέως S[1]VAYP Suidas schol. ad Plat. Hipparch. 229 D: ἕως S[d] | σῶοι Φωκεῖς schol. Plat. | οὐδέποτ' schol. Plat. 12 οὐδεπώποτε VAP 13 καὶ om. Y 15 προμαντίαν F[1]Q 16 πάνθ' om. A 18 ἅσπερ ut vid. Q[1] | εὔξεσθ' A 22 γὰρ SF[1]QA: δὲ F[2]YP | ταυτ S | ἁπλῶς] οὕτως ἔχει καὶ γρ. S[d] γρ. Q | δεδωροδόκηται AP: δεδωροδόκηνται SVY

δέδοικα μὴ τοὐναντίον οὗ βούλομαι ποιῶ, σφόδρ' ἀκρι-
βῶς δεικνύναι πειρώμενος διοχλῶ πάλαι τοῦτ' αὐτοὺς
330 ὑμᾶς εἰδότας· ὅμως δ' ἔτι καὶ τόδ' ἀκούσατε. ἔστιν ὅν-
τιν' ὑμεῖς ὦ ἄνδρες δικασταὶ τῶν πρέσβεων ὧν ἔπεμψεν
Φίλιππος χαλκοῦν στήσαιτ' ἂν ἐν ἀγορᾷ; τί δέ; δοίητ' 5
ἂν ἐν πρυτανείῳ σίτησιν ἢ ἄλλην τινὰ δωρειάν, αἷς τι-|
μᾶτε τοὺς εὐεργέτας; ἐγὼ μὲν οὐκ οἶμαι. διὰ τί; (οὔτε 447
γὰρ ὑμεῖς γ' ἀχάριστοί ἐστ' οὔτ' ἄδικοι ἄνθρωποι οὔτε
κακοί.) ὅτι πάνθ' ὑπὲρ Φιλίππου καὶ οὐδ' ὁτιοῦν ὑπὲρ
331 ἡμῶν ἔπραξαν, εἴποιτ' ἄν, καὶ ἀληθῆ καὶ δίκαια. εἶτ' 10
οἴεσθ' ὑμεῖς μὲν οὕτω γιγνώσκειν, τὸν δὲ Φίλιππον οὐχ
οὕτως, ἀλλὰ τούτοις διδόναι τηλικαύτας καὶ τοσαύτας
δωρειάς, διότι ὑπὲρ ὑμῶν καλῶς καὶ δικαίως ἐπρέσβευ-
σαν; οὐκ ἔστι ταῦτα. τὸν γὰρ Ἡγήσιππον ὁρᾶτε καὶ τοὺς
μετ' αὐτοῦ πρέσβεις πῶς ἐδέξατο. τὰ μὲν ἄλλα σιωπῶ, 15
ἀλλὰ Ξενοκλείδην τουτονὶ τὸν ποιητὴν ἐξεκήρυξεν, ὅτι
αὐτοὺς ὑπεδέξατο πολίτας ὄντας. τοῖς μὲν γὰρ ὑπὲρ ὑμῶν
λέγουσιν δικαίως ὅσ' ἂν φρονῶσιν τοῦτον τὸν τρόπον
προσφέρεται, τοῖς δὲ πεπρακόσιν αὑτοὺς ὡς τούτοις.
ταῦτ' οὖν μαρτύρων, ταῦτ' ἐλέγχων τινῶν ἔτι δεῖται 20
μειζόνων; ταῦτ' ἀφαιρήσεταί τις ὑμῶν;

1 οὗ] ἢ A | ποιῶ SVYP: ποιήσω A del. Dobree 2 ἐνοχλῶ A | πάλαι om. Q[1] add. ead. mg. | τοῦτ'] τοὺς γρ. S[d] A 3 ὑμᾶς ἑωρακότας καὶ εὖ εἰδότας γρ. S[d] ex § 204 | δ'] δ' οὖν VP | ἀκούσατέ μου A | ὅντιν' ἂν A 5 ἂν om. P | δοίητ'] η s. v. F[2] 6 σίτησιν] η in ras. A 8 γ' om. AP | ἀχρι|στοι S[1] | ἄνθρωποι suspectum est Voemelio ut (ανοι [sic A]) ex ἄδικοι repetitum 9 ἀλλ' ὅτι VYP 10 ἡμῶν Ald. Voem.: ὑμῶν SVAYP | καὶ δίκαια ἂν εἴποιτε A 12 ουτω SY | τούτους F[1]Q | τηλικαύτας καὶ τοσαύτας SY: τηλικαύτας καὶ τοιαύτας A τοσαύτας καὶ τηλικαύτας VP 13 ὑπὲρ om. A | δικαίως καὶ καλῶς P 15 ὅπως YP 17 δι-αυτους S[1] δι punctis del., sed a rec. m. νὴ superscr., voluit νὴ Δί' 19 αὐτοῖς Q ἑαυτοὺς P

Εἶπε τοίνυν μοί τις ἄρτι προσελθὼν πρὸ τοῦ δικαστη- 332
ρίου πρᾶγμα καινότατον πάντων, Χάρητος κατηγορεῖν
αὐτὸν παρεσκευάσθαι, καὶ διὰ τούτου τοῦ τρόπου καὶ
τούτων τῶν λόγων ἐξαπατήσειν ὑμᾶς ἐλπίζειν. ἐγὼ δ'
5 *ὅτι μὲν πάντα τρόπον κρινόμενος Χάρης ηὕρηται πιστῶς*
εὐνοϊκῶς, ὅσον ἦν ἐπ' ἐκείνῳ, πράττων ὑπὲρ ὑμῶν, διὰ
τοὺς δ' ἐπὶ χρήμασι λυμαινομένους τοῖς πράγμασι πολ-
λῶν ὑστερῶν, οὐ σφόδρ' ἰσχυρίζομαι, ἀλλ' ὑπερβολὴν
ποιήσομαι· ἔστω γὰρ πάντ' ἀληθῆ λέξειν περὶ αὐτοῦ
10 *τουτονί. καὶ οὕτω τοίνυν κομιδῇ γέλως ἐστὶ κατηγορεῖν*
ἐκείνου τουτονί. ἐγὼ γὰρ Αἰσχίνην οὐδενὸς αἰτιῶμαι 333
448 *τῶν ἐν τῷ πολέμῳ πραχθέντων (τούτων γάρ εἰσιν | οἱ*
στρατηγοὶ ὑπεύθυνοι), οὐδὲ τοῦ ποιήσασθαι τὴν πόλιν
εἰρήνην, ἀλλ' ἄχρι τούτου πάντ' ἀφίημι. τί οὖν λέγω
15 *καὶ πόθεν ἄρχομαι κατηγορεῖν; τοῦ ποιουμένης τῆς πό-*
λεως εἰρήνην Φιλοκράτει συνειπεῖν, ἀλλὰ μὴ τοῖς τὰ
βέλτιστα γράφουσιν, καὶ τοῦ δῶρ' εἰληφέναι, τοῦ μετὰ
ταῦτ' ἐπὶ τῆς ὑστέρας πρεσβείας τοὺς χρόνους κατατρῖψαι
καὶ μηδὲν ὧν προσετάξαθ' ὑμεῖς ποιῆσαι, τοῦ φενακίσαι
20 *τὴν πόλιν καὶ παραστήσαντ' ἐλπίδας, ὡς ὅσα βουλόμεθ'*
ἡμεῖς Φίλιππος πράξει, πάντ' ἀπολωλεκέναι, τοῦ μετὰ
ταῦθ', ἑτέρων προλεγόντων φυλάττεσθαι τὸν τοσαῦτ'

1 *μοί τις ἄρτι μοι* P 4 *διὰ τούτων* P^{1} | *τούτων* om. A 5 *εὕρηται* $SF^{1}Q$: *εὑρήσεται* F rec. Y *εὑρεθήσεται* AP 6 *καὶ εὐνοικῶς* VAP | *ἐπ'*] *εν* A | *ἡμῶν* Y | *διὰ τοὺς δ'* Blass: *διὰ δὲ τοὺς* SVAYP 9 *ἅπαντα* A | *ἀληθῆ* P: *τἀληθῆ* SVAY | *λέγειν* A 11 *τουτονί*] *τοῦτον* Maximus Plan. Rhet. Gr. V 580, 18 W. | *οὐδενὸς*] *οὐδαμῶς* Y 13 *οἱ στρατηγοί γ'*? 17 *καὶ* om. Maximus, del. Markland | *του τοῦ δῶρ'* S 19 *ποιῆσαι*] *ποιη* in ras. A 20 *παρα-στήσαντα* VAP: *παραστησαν|τας* S^{1} alia m. *τ* scripsit super tertium *α* ut esset *παραστήσαντα τὰς* (sic Y) alia ultimam litt. puncto et lineola delevit 21 *ὑμεῖς* P^{4}

334 ἠδικηκότα, τοῦτον ἐκείνῳ συνηγορεῖν. ταῦτα κατηγορῶ,
ταῦτα μέμνησθε, ἐπεὶ δικαίαν εἰρήνην καὶ ἴσην καὶ μηδὲν
πεπρακότας ἀνθρώπους μηδὲ ψευσαμένους ὕστερον κἂν
ἐπῄνουν καὶ στεφανοῦν ἐκέλευον. στρατηγὸς δ' εἴ τις
ἠδίκηκεν ὑμᾶς, οὐχὶ κοινωνεῖ ταῖς νῦν εὐθύναις. ποῖος 5
γὰρ στρατηγὸς Ἅλον, τίς δὲ Φωκέας ἀπολώλεκεν; τίς δὲ
Δορίσκον; τίς δὲ Κερσοβλέπτην; τίς δ' Ἱερὸν ὄρος; τίς
δὲ Πύλας; τίς δὲ πεποίηκεν ἄχρι τῆς Ἀττικῆς ὁδὸν διὰ
συμμάχων καὶ φίλων εἶναι Φιλίππῳ; τίς δὲ Κορώνειαν,
τίς δ' Ὀρχομενόν, τίς Εὔβοιαν ἀλλοτρίαν; τίς Μέγαρα 10
335 πρῴην ὀλίγου; τίς Θηβαίους ἰσχυρούς; τούτων γὰρ οὐ-
δὲν τοσούτων καὶ τηλικούτων ὄντων διὰ τοὺς στρατη-
γοὺς ἀπώλετο, οὐδ' ἐν τῇ εἰρήνῃ συγχωρηθὲν πεισθέν-
των ὑμῶν ἔχει Φίλιππος, ἀλλὰ διὰ τούτους ἀπόλωλε καὶ
τὴν τούτων δωροδοκίαν. ἂν τοίνυν ταῦτα μὲν φεύγῃ, 15
πλανᾷ δὲ καὶ πάντα μᾶλλον λέγῃ, | ἐκείνως αὐτὸν δέχεσθε. 449
„οὐ στρατηγῷ δικάζομεν, οὐ περὶ τούτων κρίνῃ. μὴ λέγ'
εἴ τις αἴτιός ἐστι καὶ ἄλλος τοῦ Φωκέων ὀλέθρου, ἀλλ'
ὡς οὐ σὺ αἴτιος δεῖξον. τί οὖν, εἴ τι Δημοσθένης ἠδί-
κει, νῦν λέγεις, ἀλλ' οὐχ ὅτε τὰς εὐθύνας ἐδίδου κατη- 20
336 γόρεις; δι' αὐτὸ γὰρ εἶ τοῦτ' ἀπολωλέναι δίκαιος. μὴ
λέγ' ὡς καλὸν εἰρήνη, μηδ' ὡς συμφέρον· οὐδεὶς γὰρ
αἰτιᾶταί σε τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην· ἀλλ' ὡς

1 ἠδηκηκότα F[1] 2 ἴσην πεποιημένους γρ. S[d] γρ. V γρ. P[3]
4 κἀν στεφανοῦν Q 6 ἅλον P corr.: ἀλον SQA ἄλλον F[1] ἄλον
F corr. YP[1] | δὲ ante Δορίσκον om. A 8 δὲ ante Πύλας om. P[1]
10 δ' om. P | δ' εὔβοιαν A 13 οὐδ' ἐν S γρ. FAYP: οὐδὲν V |
οὐδὲ πεισθέντων A 14 ἀπολώλεκεν P[1] 17 μὴ λέγ'] μηδεγε S
18 τοῦ τῶν φωκέων VYP 19 σὺ αἴτιος SAY: συναίτιος Q[1]
σὺ συναίτιος FQ pr. m. mg. P | εἶ δεῖξον VYP | ἠδίκηκε A
21 διατο S[1] 22 λέγ'] λ in ras. S cf. ad. v. 17 | ἡ εἰρήνη A | ὡς
om. A 23 ποιῆσαι A | ὡς s. v. A[1]

οὐκ αἰσχρὰ καὶ ἐπονείδιστος, καὶ πόλλ' ὕστερον ἐξηπατήμεθα, καὶ πάντ' ἀπώλετο, ταῦτα λέγε. τούτων γὰρ ἁπάντων ἡμῖν αἴτιος σὺ δέδειξαι. καὶ τί δὴ μέχρι νυνὶ τὸν τὰ τοιαῦτα πεποιηκότ' ἐπαινεῖς;" ἂν οὕτω φυλάττητ' αὐ- 5 *τόν, οὐχ ἕξει τί λέγῃ, ἀλλὰ τὴν ἄλλως ἐνταῦθ' ἐπαρεῖ τὴν φωνὴν καὶ πεφωνασκηκὼς ἔσται.*

Καίτοι καὶ περὶ τῆς φωνῆς ἴσως εἰπεῖν ἀνάγκη· πάνυ 337 *γὰρ μέγα καὶ ἐπὶ ταύτῃ φρονεῖν αὐτὸν ἀκούω, ὡς καθυποκρινούμενον ὑμᾶς. ἐμοὶ δὲ δοκεῖτ' ἀτοπώτατον ἁπάν-* 10 *των ἂν ποιῆσαι, εἰ, ὅτε μὲν τὰ Θυέστου καὶ τῶν ἐπὶ Τροίᾳ κάκ' ἠγωνίζετο, ἐξεβάλλετ' αὐτὸν καὶ ἐξεσυρίττετ' ἐκ τῶν θεάτρων καὶ μόνον οὐ κατελεύεθ' οὕτως ὥστε τελευτῶντα τοῦ τριταγωνιστεῖν ἀποστῆναι, ἐπειδὴ δ' οὐκ ἐπὶ τῆς σκηνῆς, ἀλλ' ἐν τοῖς κοινοῖς καὶ μεγίστοις* 15 *τῆς πόλεως πράγμασι μυρί' εἴργασται κακά, τηνικαῦθ' ὡς καλὸν φθεγγομένῳ προσέχοιτε. μηδαμῶς· μηδὲν ὑμεῖς* 338 *ἀβέλτερον πάθητε, ἀλλὰ λογίζεσθ' ὅτι δεῖ κήρυκα μὲν ἂν δοκιμάζητε, εὔφωνον σκοπεῖν, πρεσβευτὴν δὲ καὶ τῶν κοινῶν ἀξιοῦντά τι πράττειν δίκαιον καὶ φρόνημ' ἔχονθ'* 20 *ὑπὲρ ὑμῶν μέγα, πρὸς δ' ὑμᾶς ἴσον, ὥσπερ ἐγὼ Φίλιπ-* **450** *πον μὲν | οὐκ ἐθαύμασα, τοὺς δ' αἰχμαλώτους ἐθαύμασα, ἔσῳσα, οὐδὲν ὑπεστειλάμην. οὗτος δ' ἐκείνου μὲν προὐ-*

3 *νῦν* A 4 *ἐὰν* AP 8 *ἐπ' αὐτῆι* Y | *καθυποκρινόμενον* AP 9 *δοκεῖται* F[1] | *ἁπάντων ἂν*] *ἂν πάντων* AP 10 *τῶν*] *ων* in ras. P 11 *τροίαν* A[1] 12 *κατελεύετε*] *κατελύετε* S corr. *κατελεύσετε* Q 13 *τριγωνιστεῖν* Q[1] | *ἐπειδὴ*] *ἐπεὶ* A 14 *τοῖς μεγίστοις* P[1] 16 sq. *ἀβέλτερον ὑμεῖς* P 17 *λογίζεσθ'*] *ε* in ras. P 18 *εὔφωνον* SAY *γρ.* P[4]: *εἰ εὔφωνος* VP[1] 20 *μὲν ὑμῶν* VAP 21 *μὲν* om. Y | *μασα τοὺς δ' αἰχμαλώτους ἐθαύ* om. Y[1] | alterum *ἐθαύμασα* SY: *θαυμάσας* VP om. A del. Cobet 22 *καὶ οὐδὲν* A *οὐδὲν δὲ* VP | *προὐκαλινδεῖτο* Cobet: *προυκυλινδεῖτο* SFQ (ras. post *κυ*) AYP

339 καλινδεῖτο, τοὺς παιᾶνας ᾖδεν, ὑμῶν δ' ὑπερορᾷ. ἔτι τοί-
νυν ὅταν μὲν ἴδητε δεινότητ' ἢ εὐφωνίαν ἤ τι τῶν ἄλ-
λων τῶν τοιούτων ἀγαθῶν ἐπὶ χρηστοῦ καὶ φιλοτίμου
γεγενημένον ἀνθρώπου, συγχαίρειν καὶ συνασκεῖν πάν-
τας δεῖ· κοινὸν γὰρ ὑμῖν πᾶσι τοῖς ἄλλοις τοῦτ' ἀγαθὸν 5
γίγνεται· ὅταν δ' ἐπὶ δωροδόκου καὶ πονηροῦ καὶ παν-
τὸς ἥττονος λήμματος, ἀποκλείειν καὶ πικρῶς καὶ ἐναν-
τίως ἀκούειν, ὡς πονηρία δυνάμεως δόξαν εὑρομένη παρ'
340 ὑμῶν ἐπὶ τὴν πόλιν ἐστίν. ὁρᾶτε δ', ἀφ' ὧν οὗτος εὐ-
δοκιμεῖ πηλίκα τῇ πόλει περιέστηκε πράγματα. αἱ μὲν 10
τοίνυν ἄλλαι δυνάμεις ἐπιεικῶς εἰσιν αὐτάρκεις, ἡ δὲ
τοῦ λέγειν, ἂν τὰ παρ' ὑμῶν τῶν ἀκουόντων ἀντιστῇ,
διακόπτεται. οὕτως οὖν ἀκούετε τούτου, ὡς πονηροῦ καὶ
δωροδόκου καὶ οὐδ' ὁτιοῦν ἐροῦντος ἀληθές.

341 Ὅτι δ' οὐ μόνον κατὰ τἄλλα, ἀλλὰ καὶ τὰ πρὸς αὐτὸν 15
τὸν Φίλιππον πράγματα πανταχῶς συμφέρει τοῦτον ἑαλω-
κέναι, θεάσασθε. εἴτε γὰρ ἥξει ποτ' εἰς ἀνάγκην τῶν
δικαίων τι ποιεῖν τῇ πόλει, τὸν τρόπον μεταθήσεται·
νῦν μὲν γὰρ ᾕρηται τοὺς πολλοὺς ἐξαπατῶν ὀλίγους
θεραπεύειν, ἂν δὲ τούτους ἀπολωλότας πύθηται, ὑμῖν 20
τοῖς πολλοῖς καὶ πάντων κυρίοις τὰ λοιπὰ ποιεῖν βουλή-
342 σεται. εἴτ' ἐπὶ τῆς αὐτῆς ἧσπερ νῦν ἐξουσίας καὶ ἀσελ-
γείας μενεῖ, τοὺς ὁτιοῦν ἂν ἐκείνῳ ποιήσαντας ἀνῃρη-

1 καὶ τοὺς S rec. VAYP | υπερoραι S: ὑπερεώρα γρ. S^dVAP
ὑπερώραι Y 2 μὲν om. P^1 | εἰδῆτε A | τῶν ἄλλων om. P
η
4 ἅπαντας S corr. F corr. YP 5 ὑμῖν F ἡμῖν QP | ἅπασι VAP |
τοῦτο τὸ P 7 αποκλιειν S^1 8 ἀκούειν δεῖ A | εὑραμένη A
9 ευδοκημει S 10 ἡλίκα A 16 τὸν om. P^1 | πανταχῶς SYP^1:
ου
πανταχῶς F πανταχοῦ γρ. S^dQAP^4 | τουτονὶ V 19 ᾕιρηται SA:
προήιρηται VYP 20 ἐὰν A 22 καὶ ἀσελγείας om. Q
23 μένει QA | ποιήσαντας A: ποιήσοντας SVYP

κότες ἐκ τῆς πόλεως ἔσεσθε, ἂν τούτους ἀνέλητε· οἳ γὰρ οἰόμενοι δίκην ὑφέξειν τοιαῦτ' ἔπραξαν, τούτους, ἂν τὰ
451 *παρ' ὑμῶν αὐτοῖς | ἐφεθῇ, τί οἴεσθε ποιήσειν; ποῖον Εὐθυκράτη, ποῖον Λασθένη, τίν' οὐχ ὑπερβαλεῖσθαι προ-*
5 *δότην; τίνα δ' οὐ πάντων τῶν ἄλλων χείρω πολίτην* 343
ὑπάρξειν, ὁρῶντα τοῖς μὲν ἅπαντα πεπρακόσιν χρήματα, δόξαν, ἀφορμὴν τὴν Φιλίππου ξενίαν περιοῦσαν, τοῖς δὲ δικαίους τε παρέχουσιν ἑαυτοὺς καὶ προσανηλωκόσιν χρήματα πράγματα, ἀπεχθείας, φθόνον περιόντα παρ'
10 *ἐνίων; μηδαμῶς· οὔτε γὰρ πρὸς δόξαν οὔτε πρὸς εὐσέβειαν οὔτε πρὸς ἀσφάλειαν οὔτε πρὸς ἄλλ' οὐδὲν ὑμῖν συμφέρει τοῦτον ἀφεῖναι, ἀλλὰ τιμωρησαμένους παράδειγμα ποιῆσαι πᾶσι, καὶ τοῖς πολίταις καὶ τοῖς ἄλλοις Ἕλλησιν.*

1 *οἳ* SY: *εἰ* VAP 2 *ἐὰν* A 3 *ἐφεθῆι* SY: *ἀφεθῆι* VAP | *ποιεῖν* A | *ποῖον* om. Y[1] | *εὐθυκράτην* ... 4 *λασθένην* F corr. AYP 4 *υπερβαλεισθε* S[1] 7 *τὴν* om. A 8 *δικαίοις* A 9 *περιιόντα* A 10 *μηδαμῶς*] *μ* et *η* dim. in ras. A

In SVY subscriptum est

ΠΕΡΙ ΤΗ͂Σ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ

X̄ X̄ X̄ H̄ H̄ [Δ] Δ̄ Δ̄ Δ̄

S[d] add. *ἀντεβλη* (with *θ* written above) (i. e. *ἀντεβλήθη*)

F add. Δ (i. e. *διώρθωται*)

in A *κατ' αἰσχίνου περὶ τῆς παραπρεσβείας*

BIBLIOTHECA TEVBNERIANA

PLVTARCHVS, Vitae parallelae

Vol. I. Fasc. 1.

Theseus et Romulus · Solon et Publicola · Themistocles et Camillus · Aristides et Cato maior · Cimon et Lucullus

Vol. I. Fasc. 2

Pericles et Fabius Maximus · Nicias et Crassus · Alcibiades et Coriolanus · Demosthenes et Cicero

Vol. II. Fasc. 1

Phocion et Cato maior · Dion et Brutus · Aemilius Paulus et Timoleon · Sertorius et Eumenes

Vol. II. Fasc. 2

Philopoemen et Titus Flaminius · Pelopidas et Marcellus · Alexander et Caesar

Vol. III. Fasc. 1

Demetrius et Antonius · Pyrrhus et Marius · Aratus et Artaxerxes · Agis et Cleomenes et Ti. et C. Gracchi

Vol. III. Fasc. 2

Lycurgus et Numa · Lysander et Sulla · Agesilaus et Pompeius · Galba et Otho

Vol. IV

Indices

In Einzelausgaben:
Alexander et Caesar
Demosthenes et Cicero



B.G. TEUBNER STUTTGART UND LEIPZIG

BIBLIOTHECA TEVBNERIANA

PLUTARCHUS, Moralia

Vol. I.

De liberis educandis · De audiendis poetis · De audiendo · De adulatore et amico · De profectibus in virtute · De capienda ex inimicis utilitate · De amicorum multitudine · De fortuna · De virtute et vitio · Consolatio ad Apollonium · De tuenda sanitate praecepta · Coniugalia praecepta · Septem sapientium convivium · De superstitione

Vol. II.

Regum et imperatorum apophthegmata · Apophthegmata Laconica · Instituta Laconica · Apophthegmata Lacaenarum Mulierum virtutes · Aetia Romana · Aetia Graeca · Parallela minora · De fortuna Romanorum · De Alexandri Magni fortuna aut virtute oratio I et II · De gloria Atheniensium · De Iside et Osiride

Vol. III.

De E apud Delphos · De Pythiae oraculis · De defectu oraculorum · An virtus doceri possit · De virtute morali · De cohibenda ira · De tranquillitate animi · De fraterno amore · De amore prolis · An vitiositas ad infelicitatem sufficiat · Animine an corporis affectiones sint peiores · De garrulitate · De curiositate · De cupiditate divitiarum · De vitioso pudore · De invidia et odio · De laude ipsius · De sera numinis vindicta · De fato · De genio Socratis · De exilio · Consolatio ad uxorem

Vol. IV.

Quaestionum convivalium libri IX · Amatorius · Amatoriae narrationes

Vol. V. Fasc. 1.

Maxime cum principibus philosopho esse disserendum · Ad principem ineruditum · An seni sit gerenda res publica · Praecepta gerendae rei publicae · De tribus rei publicae generibus · De vitando aere alieno

Vol. V. Fasc. 2. Pars 1.

Vitae X oratorum · Placita philosophorum

Vol. V. Fasc. 2. Pars 2.

De comparatione Aristophanis et Menandri · De Herodoti malignitate

Vol. V. Fasc. 3.

Aetia physica · De facie in orbe lunae · De primo frigido

Vol. VI. Fasc. 1.

Aqua an ignis utilior · De sollertia animalium · Bruta ratione uti · De esu carnium I · De esu carnium II · Platonicae quaestiones · De animae procreatione in Timaeo · Epitome libri de animae procreatione in Timaeo

Vol. VI. Fasc. 2.

Libri contra Stoicos et contra Epicureos scripti

Vol. VI. Fasc. 3.

De musica · De libidine et aegritudine · Parsne an facultas animi sit vita passiva

Vol. VII.

Fragmenta



B.G. TEUBNER STUTTGART UND LEIPZIG